ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

34

Λ Ο Γ Ο Ι

ΔΟΓΜΑΤΙΚΟΙ - ΠΟΛΕΜΙΚΟΙ

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ ΚΑΙ ΕΘΝΙΚΩΝ

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ, ΛΟΓΟΙ Α΄-Η΄

ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΒΑΒΥΛΑΝ

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

ΛΟΓΟΙ Α΄-S

ΕΙΣΑΓΩΓΗ

ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ

Ἀπὸ τὸν

Λ. Σ.

Θεολόγο


92 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 92

Ἐπόπτης

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΜΕΡΕΤΑΚΗΣ Γ. ΕΛΕΥΘΕΡΙΟΣ, Θεολόγος



ΕΠΕ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»
ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1988

ΕΙΣΑΓΩΓΗ

ΠΡΟΣ ΤΟΥΣ ΙΟΥΔΑΙΟΥΣ ΚΑΙ ΕΛΛΗΝΕΣ

Τόσο στὴν πραγματεία αὐτή, ὅσο καὶ στὸν λόγο *Εἰς τὸν Μακάριον Βαβύλαν καὶ κατὰ Ἰουλιανοῦ καὶ πρὸς Ἕλληνας*, ὁ ἱερὸς Χρυσόστομος ἀποδεικνύει μὲ ἐκπληκτικὴ ἐπιχειρηματολογία τὴ θεότητα τοῦ Ἰησοῦ Χριστοῦ. Τὰ ἐπιχειρήματα δὲν ἀντλοῦνται, ὅπως θὰ ἀνέμενε κανείς, μέσα ἀπὸ τὴν ἁγία Γραφή, ἀλλὰ στηρίζονται σὲ γεγονότα, τῶν ὁποίων ἡ ἀλήθεια δὲν εἶναι δυνατὸ ν' ἀμφισβητηθῆ ἀπὸ κανένα, καὶ αὐτὰ εἶναι.

1. Τὸ ἔργο ποὺ ἐπιτελέσθηκε ἀπὸ τὸν Χριστό, ποὺ εἶναι μοναδικὸ στὴν ἱστορία καὶ ὑπερβαίνει κάθε ἀνθρώπινη δύναμη, ἀποδεικνύει τὴ θεότητά του.
2. Ὁ σταυρικὸς θάνατος τοῦ Χριστοῦ δὲν ἐπισφράγισε τὸ τέλος τοῦ ἀπολυτρωτικοῦ του ἔργου, ἀλλ' ἀπέβη σταθμὸς καὶ ὁρόσημο στὴ ζωὴ καὶ στὸ ἔργο τῆς Ἐκκλησίας ποὺ ὁ ἴδιος ἵδρυσε. Τὸ πραγματικὰ ἀσύνηθες αὐτὸ στὴν ἱστορία τοῦ ἀνθρώπου γεγονὸς ἀποδεικνύει τὴν ὑπερφυσικὴ δύναμη τοῦ Χριστοῦ.
3. Τὸ ὅτι ἡ Βηθλεὲμ βγαίνει ἀπὸ τὴν ἀσημότητα καὶ γίνεται τόπος πανανθρώπινου προσκυνήματος εἶναι ἕνα ἄλλο ὀφθαλμοφανὲς γεγονός, ποὺ μαρτυρεῖ τὴ θεία δύναμη τοῦ Μεγάλου καταδιωκομένου.
4. Ἀλλὰ καὶ ἡ ἀθρόα μεταβολὴ ποὺ ἐπῆλθε, μετὰ τὴν ἀνάσταση, στὴ ψυχὴ τοῦ «ἀρνητοῦ» Πέτρου, καθὼς ἐπίσης καὶ τῶν ἄλλων μαθητῶν, καὶ ἡ ὁποία τοὺς ἀνέδειξε σὲ διαπρύσιους τοῦ Χριστοῦ κήρυκες καὶ τῆς ἀλήθειας μάρτυρες, ἀποτελεῖ ἀκόμη μιὰ μαρτυρία τῆς θεότητας τοῦ Ἰησοῦ Χριστοῦ.

5. Ἡ ἵδρυση τῆς Ἐκκλησίας μέσα σὲ σύντομο χρονικὸ διάστημα καὶ μέσα ἀπὸ τόσες δυσκολίες καὶ κινδύνους, μέσα ἀπὸ βασανιστήρια καὶ θανάτους, καὶ μάλιστα ἀπὸ δώδεκα ἄσημους ἀνθρώπους, καθὼς καὶ ἡ ἀνάδειξη τοῦ σταυροῦ, τοῦ ἄλλοτε συμβόλου τῆς κατάρας, σὲ «ὡραιότητα τῆς Ἐκκλησίας» καὶ σὲ «στήριγμα τῶν πιστῶν», τί ἄλλο μαρτυροῦν παρὰ τὴν θεότητα τοῦ Χριστοῦ;

6. Ἀλλὰ γεγονὸς ἀνεξήγητο εἶναι κατὰ τὸν ἱερὸ Χρυσόστομο καὶ τὸ ὅτι ἡ χριστιανικὴ ἰδεολογία, παρὰ τὶς δυσμενεῖς συνθῆκες, ὄχι μόνο διαδόθηκε, ἀλλὰ καὶ γνώρισε μιὰ καταπληκτικὴ ἄνθηση. Μὲ τὴν χριστιανικὴ διδασκαλία ἐγκαινιαζόταν ἕνας νέος τρόπος ζωῆς. Τὰ παλιὰ ἤθη καὶ ἔθιμα, οἱ συνήθειες καὶ οἱ παραδόσεις τῶν ἀνθρώπων ἀνετρέπονταν καὶ ἡ ἠθικὴ τοῦ Εὐαγγελίου ἀντικαθιστοῦσε τὴν ἡδονὴ τοῦ κόσμου. Τὴ θέση τῶν παθῶν ἔπαιρναν οἱ ἀρετές, οἱ ὁποῖες βιοῦνταν μὲ τὴν πορεία τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, ποὺ τόση ἕλξη καὶ γοητεία ἀσκοῦσε καὶ ἀσκεῖ στὶς ψυχὲς τῶν ταπεινῶν. Ἔτσι ἄλλαξε τοῦ κόσμου ἡ μορφή. Ἔτσι χαράχθηκε τοῦ ἀνθρώπου ἡ πορεία. Ἔτσι πλέχθηκε τοῦ ταπεινοῦ ὁ στέφανος καὶ ἡ δόξα. Ἔτσι ὁριοθετήθηκε καὶ τῆς Ἐκκλησίας ἡ ζωή. Ἔτσι ἐνεργήθηκε τῆς Πεντηκοστῆς τὸ θαῦμα. Ἔτσι πραγματοποιήθηκε τῆς ἱστορίας ἡ πιὸ μεγάλη καὶ ἡ πιὸ τρανὴ ἐπανάσταση, τοῦ Φωτὸς κατὰ τοῦ σκότους, τῆς Ζωῆς κατὰ τοῦ θανάτου, τῆς χάριτος καὶ εὐλογίας κατὰ τῆς κατάρας τοῦ Νόμου.

Πέραν τούτων ὅμως ὁ ἱερὸς πατὴρ ἀποδεικνύει τὴ θεία ὑπόσταση τοῦ Χριστοῦ καὶ μέσα ἀπὸ τὶς προφητεῖες, ποὺ ὅλες ἀνεξαιρέτως ἐκπληρώθηκαν στὸ πρόσωπό του. Εἰδικώτερα ὅμως μνημονεύει τὶς προφητεῖες τῆς ἀσάλευτης οἰκοδομῆς τῆς Ἐκκλησίας[1] καὶ τῆς καταστροφῆς τῶν Ἱεροσολύμων καὶ τοῦ ναοῦ τοῦ Σολομῶντος[2], πού, ὡς γνωστόν, συνέβηκε τὸ 70 μ.Χ., ὅταν ὁ Ρωμαῖος αὐτοκράτορας Τίτος κατέλαβε τὴν πόλη. Δὲν παραλείπει νὰ μνημονεύσῃ καὶ τὴν ἀπόπειρα τοῦ αὐτοκράτορα Ἰουλιανοῦ τοῦ Παραβάτη γιὰ ἀνοικοδόμηση τοῦ ναοῦ καὶ τὴν κατὰ θεία ἐπέμβαση διακοπὴ τῶν ἐργασιῶν.

Ἡ ἀξιοπιστία, ἐξ ἄλλου, τῶν ἱερῶν συγγραφέων ἀποτελεῖ κατὰ τὸν ἱερὸ Χρυσόστομο ἕνα πολὺ σοβαρὸ ἐπιχείρημα κατὰ τῶν

1. Ματθ. 16,18.
2. Ματθ. 24,2.

ἀρνητῶν τῆς θεότητας τοῦ Χριστοῦ, τοὺς ὁποίους κυριολεκτικὰ ἀπογυμνώνει. Οἱ ἱεροὶ συγγραφεῖς δὲν ἐξιστοροῦν μόνο τὰ θαύματα τοῦ Χριστοῦ, ἀλλὰ καταχωροῦν καὶ τὴν ταπεινὴ καταγωγή του καὶ μνημονεύουν τὰ πάθη καὶ τὸν σταυρό, τὰ ὁποῖα ἀσφαλῶς μποροῦσαν, ἀπὸ εὐγνωμοσύνη πρὸς τὸν Διδάσκαλο, νὰ τὰ παραβλέψουν[3].

Ἡ πραγματεία αὐτὴ γράφθηκε πρὶν ἀπὸ τὴν ἐκφώνηση τῶν 8 κατὰ Ἰουδαίων Λόγων, τὴν ὁποία καὶ ἐξαγγέλλει ἐδῶ, καὶ πρέπει ὡς χρόνος συγγραφῆς της νὰ θεωρηθοῦν τὰ ἔτη 385 ἢ 386 μ.Χ.

ΛΟΓΟΙ ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

Ἡ πολεμικὴ τοῦ ἱεροῦ Χρυσοστόμου ἐναντίον τῶν Ἰουδαίων, ἡ ὁποία εἶχε θρησκευτικὰ καὶ μόνο κίνητρα, περιλαμβάνεται στοὺς ὀκτὼ (Α΄–Η΄) *Κατὰ Ἰουδαίων* λόγους του, τοὺς ὁποίους ἐξεφώνησε κατὰ τὰ ἔτη 386 καὶ 387 μ.Χ., λαμβάνοντας ἀφορμὴ τὸ γεγονὸς ὅτι πολλοὶ Χριστιανοὶ συνεώρταζαν, ἀπὸ κακὴ συνήθεια, μὲ τοὺς Ἰουδαίους τὶς ἑορτὲς τῶν Νηστειῶν, τῆς Σκηνοπηγίας καὶ τῶν Σαλπίγγων ἢ τοῦ Νέου Ἔτους. Ἐξ ἄλλου μιὰ ἄλλη μερίδα πιστῶν, οἱ γνωστοὶ μὲ τὸ ὄνομα Πρωτοπασχῖτες ἢ Τεσσαρασκαιδεκατῖτες, ἀγνοώντας τὴν ἀπόφαση τῆς Α΄ Οἰκουμενικῆς Συνόδου (325 μ.Χ) γιὰ τὸν ἑορτασμὸ τοῦ Πάσχα, ἑώρταζε τὴν κορυφαία ἑορτὴ τῆς Χριστιανωσύνης μαζὶ μὲ τοὺς Ἰουδαίους.

Στὶς ἑορταστικὲς λοιπὸν ἐκδηλώσεις τῶν Ἰουδαίων καὶ στὰ ζητήματα τῆς νηστείας καὶ τοῦ Πάσχα ἀναφέρονται οἱ λόγοι αὐτοί, τῶν ὁποίων τὸ περιεχόμενο εἶναι τὸ ἴδιο καὶ ὁ σκοπὸς κοινὸς καὶ ὡς ἐκ τούτου ἀποτελοῦν μία λογοτεχνικὴ ἑνότητα, ποὺ ἐπιδιώκει νὰ διασφαλίσῃ τὴν ἑνότητα τῆς Ἐκκλησίας, ποὺ διεσπᾶτο μὲ τὴν διαγωγὴ τῶν ἰουδαϊζόντων Χριστιανῶν.

Ἀλλ' ἐκεῖνο ποὺ ἐντυπωσιάζει τὸν ἀναγνώστη δὲν εἶναι τόσο ἡ ὀξεῖα πολεμικὴ τοῦ Χρυσοστόμου κατὰ τῶν Ἰουδαίων ἢ ὁ θερμουργὸς ζῆλος καὶ ἡ ἀγωνία τοῦ «καλοῦ ποιμένος» γιὰ τὴν προστασία τῶν ἐμπιστευθέντων αὐτῷ λογικῶν προβάτων, ὅσο ἡ λα-

μπρὰ ἐπιχειρηματολογία, ποὺ ἀντλεῖται μέσα ἀπὸ τὴν ἁγία Γραφή, ἰδιαίτερα δὲ τὴν Παλαιὰ Διαθήκη, καὶ μὲ τὴν ὁποία ἀποδεικνύει ὅτι ὁ Χριστὸς εἶναι τὸ πλήρωμα τοῦ Νόμου, ἀφοῦ «ὁ Νόμος διὰ τοῦ Μωϋσέως ἐδόθη, ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο», καὶ συνεπῶς οἱ πιστοὶ «χάριτί εἰσι σεσωσμένοι». Στὸ πρόσωπο τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, τὸν ὁποῖο οἱ Ἰουδαῖοι σταύρωσαν καὶ εἶναι γι' αὐτὸ αἰωνίως ὑπόδικοι, σύμφωνα καὶ μὲ τὴ δική τους ὁμολογία, ἐκπληρώθηκαν ὅλες οἱ προφητεῖες.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΒΑΒΥΛΑΝ

Ἡ θεήλατη ζωὴ καὶ τὰ μετὰ θάνατο κατορθώματα τοῦ ἁγίου ἱερομάρτυρα Βαβύλα, ἐπισκόπου Ἀντιοχείας (240– 250), ἔδωσαν στὸν ἱερὸ Χρυσόστομο τὴν ἀφορμὴ νὰ καταπολεμήση τοὺς Ἐθνικοὺς καὶ ἰδιαίτερα τὸν εἰδωλολάτρη αὐτοκράτορα Ἰουλιανὸ τὸν Παραβάτη, πού, ὡς γνωστό, μὲ πάθος ἐπεδίωξε τὴν ἀναβίωση τῶν εἰδωλολατρικῶν ἐθίμων, λαμβάνοντας πρὸς τοῦτο πολλὰ καὶ διάφορα μέτρα, μεταξὺ τῶν ὁποίων ἦταν ἡ διοργάνωση θυσιῶν στὸ ἱερὸ τοῦ Δαφναίου Ἀπόλλωνα καὶ ἡ ἀνεπιτυχὴς ἀπόπειρα γιὰ ἀνοικοδόμηση τοῦ ναοῦ τῶν Ἱεροσολύμων. Τὸ 362 μ.Χ., σὲ μιὰ πανήγυρη, ὁ αὐτοκράτορας Ἰουλιανός, ζητώντας ἀπὸ τὸν Ἀπόλλωνα χρησμό, ἔλαβε τὴν ἀπάντηση, ὅτι ἡ ὕπαρξη ἱερῶν λειψάνων πλησίον τοῦ ναοῦ ἐμποδίζει τὴν χρησμοδοσία. Τότε ὁ ἀσεβὴς αὐτοκράτορας διέταξε ἡ λειψανοθήκη τοῦ ἁγίου νὰ μεταφερθῆ ἀπὸ τὴν Δάφνη στὴν Ἀντιόχεια. Γιὰ τὸ ἀνοσιούργημα αὐτὸ ἐπενέβη ὁ Θεὸς καὶ μὲ κεραυνὸ κατέκαυσε τὸν ναὸ καὶ τὸν κατέστρεψε.

Λαμβάνοντας ἀφορμὴ ὁ ἱερὸς πατὴρ ἀπὸ τὸ ἐξαίσιο καὶ παράδοξο αὐτὸ γεγονὸς ἀποδεικνύει πέραν πάσης ἀμφιβολίας καὶ μὲ καταπληκτικὴ λογικὴ ἐπιχειρηματολογία τὴν ἔναντι τῆς εἰδωλολατρίας ὑπεροχὴ τοῦ Χριστιανισμοῦ, ἀποδοκιμάζει τὴν πανουργία τῶν ἱερέων τῶν εἰδώλων καὶ κατηγορεῖ τὴν ὁμολογούμενη ἀδυναμία τοῦ ἀσεβοῦς αὐτοκράτορα ν' ἀντιμετωπίση τὴ δύναμη τοῦ Γαλιλαίου, ἐξυμνώντας παράλληλα τὴν παρρησία τῶν μαρτύρων καὶ τὴν

ἀκατάβλητη δύναμη τῆς χάριτος, ποὺ ἐπεσκίαζε τοὺς ἁγίους ὅταν ζοῦσαν καὶ μετὰ θάνατο, διακηρύσσοντας μ' ὅλη τὴ δύναμη τῆς ψυχῆς του· «τοσαύτη ἡ τῶν ἁγίων ἰσχύς· οὕτως ἄμαχος καὶ φοβερὰ καὶ βασιλεῦσι καὶ δαίμοσι καὶ αὐτῷ τῷ τῶν δαιμόνων ἀρχηγῷ». Καὶ ἀλλοῦ· «τοσαύτη ἡ τῶν μαρτύρων ἰσχὺς καὶ ζώντων καὶ τελευτώντων καὶ τόποις ἐφισταμένων καὶ πάλιν αὐτοὺς καταλιμπανόντων».

Ἡ παρρησία καὶ ὁ θάνατος τοῦ μάρτυρα ἐκπλήσσουν καὶ κατανύσσουν βαθύτατα κάθε εὐσεβῆ ψυχή. Περιφρονώντας ὁ ἅγιος τὸ μέγεθος τῆς βασιλικῆς ἐξουσίας, τὸ πλῆθος τῆς συνοδείας καὶ τὴν σκληρότητα τοῦ χαρακτῆρα τοῦ ἀσεβοῦς αὐτοκράτορα πού, καταπατώντας χωρὶς αἰτία τοὺς ὅρους τῆς συνθήκης ποὺ συνῆψε μὲ τὸν Πέρση βασιλέα, κατέσφαξε τὸ ἀνήλικο παιδί του ποὺ τοῦ τὸ εἶχε παραδώσει σὰν ἐνέχυρο τῆς συμφωνίας, ἐξεδίωξε μὲ παρρησία τὸν ἀσεβῆ αὐτοκράτορα ἀπὸ τὸν ναό, θέλοντας ν' ἀποτρέψη τὴ βεβήλωση τοῦ ναοῦ. Ἀποτέλεσμα αὐτοῦ ἦταν ἡ σύλληψή του, ἡ φυλάκισή του καὶ τέλος ἡ θανάτωσή του.

Δύσκολο ὅμως εἶναι νὰ προσδιορισθῆ ποιός ἦταν ὁ αὐτοκράτορας. Ἀποκλειομένου τοῦ αὐτοκράτορα Φιλίππου τοῦ Ἄραβα (244– 249 μ.Χ), γιὰ τὸν ὁποῖο ὁ ἱστορικὸς Εὐσέβιος λέγει ὅτι, ἐπειδὴ ἐμποδίσθηκε ἀπὸ τὸν ἐπίσκοπο νὰ εἰσέλθη στὸν ναό, ἀναγκάσθηκε νὰ ἐξομολογηθῆ καὶ ἔτσι μπόρεσε νὰ εἰσέλθη στὸν ναό, εἴμαστε ὑποχρεωμένοι νὰ δεχθοῦμε τὴ γνώμη, ὅτι πρόκειται γιὰ τὸν μεγάλο διώκτη τῶν Χριστιανῶν Ρωμαῖο αὐτοκράτορα Δέκιο, ἂν καὶ ὁ ἱερὸς Συναξαριστὴς ὀνομάζει τὸν βασιλέα Νουμεριανό. Κατὰ τὴν περίοδο ὅμως αὐτὴ κανεὶς αὐτοκράτορας δὲν μνημονεύεται μὲ τὸ ὄνομα αὐτό. Πρόκειται μᾶλλον γιὰ μεταποίηση τοῦ ὀνόματος τοῦ Δεκίου, ποὺ θυμίζει ἀριθμὸ (numerus), καὶ μάλιστα τὸ δέκα.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

Στοὺς ἕξι αὐτοὺς λόγους τοὺς πάρα πολὺ σύντομους καὶ μὲ τὸν γενικὸ τίτλο *Περὶ εἱμαρμένης καὶ προνοίας* ὁ ἱερὸς Χρυσόστομος ἐξετάζει τὸ τεράστιο καὶ πάρα πολὺ φλέγον θεμα τῆς εἱμαρμέ-

νης, τῆς κοινῶς καλουμένης τύχης, καὶ ἡ ἐξέταση γίνεται ἀπὸ ἠθικῆς μᾶλλον, παρὰ ἀπὸ δογματικῆς πλευρᾶς. Καὶ αὐτὸ γίνεται γιατὶ ἡ χριστιανικὴ διδασκαλία[1] γιὰ τὸ θέμα αὐτὸ εἶναι σαφὴς καὶ καμμιὰ ἀμφισβήτηση ἢ παρερμηνεία δὲν ἐπιδέχεται. Γιὰ τὸν Χριστιανὸ τὸ πρόβλημα «είμαρμένη» δὲν ὑπάρχει. Ὁ ἄνθρωπος ἐξῆλθε ἀπὸ τὰ χέρια τοῦ Θεοῦ ἐλεύθερος καὶ ἐξαρτᾶται ἀπὸ τὴ θέλησή του ἡ προτίμηση καὶ ἐπιτέλεση τοῦ καλοῦ ἀντὶ τοῦ κακοῦ. Ὁ ἄνθρωπος καλεῖται (Λόγος Α΄) νὰ ἀξιολογήση ὀρθῶς τὰ ἐπίγεια ἀγαθὰ καὶ νὰ στηρίξη τὴν εὐτυχία του μόνο στὴν ἀρετὴ καὶ ὄχι στὰ πρόσκαιρα ὑλικὰ ἀγαθὰ τοῦ κόσμου. Γιατὶ ἔτσι θὰ κατορθώση ν' ἀποφύγη τὴν κατάκριση τοῦ Θεοῦ, ἀντιμετωπίζοντας ὀρθὰ τὶς δυσκολίες καὶ τὶς ἀντιξοότητες τῆς παρούσας ζωῆς.

Ἡ πίστη στὴν εἱμαρμένη ὁδηγεῖ τὸν ἄνθρωπο στὴν ἠθικὴ ἀδιαφορία καὶ στὴν πνευματικὴ χαύνωση, ἀφοῦ τὸν κάμνει νὰ σταματήση τὸν καλὸ ἀγῶνα τῆς πνευματικῆς τελειώσεως. Ἀποτελεῖ ἑπομένως περιφρόνηση τῆς θείας πρόνοιας καὶ βλασφημία ὄχι μικρὴ κατὰ τοῦ δημιουργοῦ καὶ προνοητοῦ τῶν πάντων Θεοῦ (Λόγος β΄).

Ἀλλὰ τὶς ὀδυνηρὲς αὐτὲς συνέπειες, ποὺ ἐπιφέρει στὴν πνευματικὴ ζωὴ τοῦ ἀνθρώπου ἡ πίστη στὴν εἱμαρμένη, περιγράφει ἐκτενέστερα ὁ ἱερὸς πατὴρ στὸν γ΄ λόγο του, τονίζοντας, ὅτι ἡ ἐκλογὴ καὶ ἡ διάπραξη ὁποιουδήποτε κακοῦ εἶναι προϊὸν τοῦ αὐτεξουσίου καὶ μόνο τοῦ ἀνθρώπου καὶ συνεπῶς φέρει ἀκέραια τὴν εὐθύνη τῆς πράξεώς του. Τὸ θέμα αὐτὸ τοῦ γ΄ λόγου ἀναπτύσσει εὐρύτερα στὸν ε΄ Λόγο, ὅπου τονίζει τὸ βλαβερὸ καὶ ἀνίατο τῆς εἱμαρμένης.

Στὸν δ΄ Λόγο ὑποδεικνύει τρόπους ἀπαλλαγῆς ἀπὸ τὴν εἱμαρμένη καὶ τὶς ἠθικὰ ὀλέθριες συνέπειές της. Οἱ τρόποι καὶ τ μέσα ποὺ συνιστᾶ εἶναι ἡ προσευχή, ἡ διαρκὴς ἐπικοινωνία μὲ τὸν Θεό, οἱ ἀγαθοὶ λογισμοὶ καὶ ἡ πίστη στὴν μετὰ θάνατο ζωὴ καὶ ἀνταπόδοση.

Τέλος ὁ στ΄ Λόγος ἀναφέρεται σὲ μιὰ βασικὴ συνέπεια τῆς εἱμαρμένης, τὴν γαστριμαργία.

ΛΟΓΟΣ

ΠΡΟΣ ΙΟΥΔΑΙΟΥΣ ΚΑΙ ΕΛΛΗΝΑΣ

ΠΡΟΣ ΙΟΥΔΑΙΟΥΣ ΚΑΙ ΕΛΛΗΝΑΣ

ΑΠΟΔΕΙΞΙΣ, ΟΤΙ ΕΣΤΙ ΘΕΟΣ Ο ΧΡΙΣΤΟΣ

ἐκ τῶν παρὰ τοῖς προφήταις πολλαχοῦ περὶ αὐτοῦ εἰρημένων

1. Ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων, οἱ μὲν οἴκοθεν ὄντες ῥᾴθυμοι, οἱ δὲ τοῖς βιωτικοῖς ἑαυτοὺς μετὰ πολλῆς ἐκδεδωκότες τῆς σπουδῆς, ἕτεροι δὲ καὶ ὑπὸ ἀμαθίας πολλῆς κατεχόμενοι, οὐκ ἂν ῥᾳδίως μακρῶν ἀνάσχοιντο λόγων, ἀναγκαῖον εἶναι ἐνόμισα τὸν ἐκ τῆς μακρηγορίας ὑποτεμέσθαι πόνον, ὥστε καὶ τὸν ὄκνον ἀνελεῖν τῇ βραχυλογίᾳ τῶν ῥᾳθύμων καὶ τοὺς σφόδρα αὐτῶν ἀναπεπτωκότας πρὸς τὴν ἀνάγνωσιν πεῖσαι τῆς προκειμένης ἡμῖν πραγματείας μετὰ πολλῆς ἀκροάσασθαι τῆς προθυμίας. Διά τοι τοῦτο οὐδὲ καλλωπίζων ῥήμασί τε καὶ ὀνόμασι τὴν ἑρμηνείαν, ἀλλ' αὐτὰ τιθεὶς τὰ ὀνόματα οὕτως, ὡς καὶ οἰκέτῃ καὶ θεραπαινίδι καὶ χήρᾳ γυναικὶ καὶ καπήλῳ καὶ ναύτῃ καὶ γηπόνῳ ῥᾴδια εἶναι καὶ εὔληπτα, πανταχοῦ πειράσομαι συστεῖλαι τὸ μῆκος, ὡς ἂν ἐγχωρῇ, καὶ δι' ὀλίγων τὴν διδασκαλίαν ποιῆσαι, ἑκατέροις τούτοις τῶν ὑπτίων ἀκροατῶν διεγείρων τὴν ὄρεξιν εἰς τὸ ῥᾳδίως καὶ χωρὶς καμάτου τινὸς τὰ ἐγκείμενα ἐπελθεῖν καὶ κατασχόντας ἐπὶ μνήμης ταῦτα κερδᾶναι. Ποιήσομαι δὲ τὸν ἀγῶνα πρὸς Ἕλληνας πρῶτον.

Εἰ γὰρ δὴ λέγοι ὁ Ἕλλην, πόθεν δῆλον ὅτι Θεός ἐστιν ὁ Χριστός; (τοῦτο γὰρ δεῖ προϋποθέσθαι πρῶτον, ὡς τὰ ἄλλα πάντα τούτῳ ἑπόμενα) οὐκ ἀπ' οὐρανοῦ ποιησόμεθα τὴν ἀπόδειξιν, οὐδὲ ἀπ' ἄλλων τοιούτων. Ἐὰν γὰρ εἴπω πρὸς αὐτόν, ὅτι οὐρανὸν ἔκτισεν, ὅτι γῆν, ὅτι θάλασσαν, οὐκ ἀνέξεται· ἂν εἴπω, ὅτι νεκροὺς

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ ΚΑΙ ΕΘΝΙΚΩΝ

ΑΠΟΔΕΙΞΗ, ΟΤΙ Ο ΧΡΙΣΤΟΣ ΕΙΝΑΙ ΘΕΟΣ

μὲ βάση τὰ ὅσα εἶπαν οἱ προφῆτες γι' Αὐτὸν σὲ πολλὰ σημεῖα τῶν βιβλίων τους

1. Ἐπειδὴ πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους δὲν θὰ ἀνέχονταν ν' ἀκούουν μὲ εὐκολία μακροσκελεῖς λόγους, γιὰ τὸν λόγο ὅτι ἄλλοι εἶναι ἐκ φύσεως ράθυμοι, ἄλλοι ἔχουν παραδοθῆ μὲ πολλὴ ἀφοσίωση στὶς βιωτικὲς μέριμνες καὶ ἄλλοι ἐπειδὴ κατέχονται ἀπὸ πολλὴ ἀμάθεια, θεώρησα ἀναγκαῖο νὰ σᾶς ἀπαλλάξω ἀπὸ τὸν κόπο τῆς μακρηγορίας, ὥστε καὶ τὴν ὀκνηρία ν' ἀφαιρέσω ἀπὸ τοὺς ράθυμους καὶ νὰ πείσω ἐκείνους ποὺ ἀποφεύγουν νὰ διαβάζουν κάτι, νὰ ἀκούσουν μὲ πολλὴ προθυμία τὴν ἀνάπτυξη τῆς πραγματείας αὐτῆς. Γι' αὐτὸ λοιπὸν δὲν θὰ στολίσω τὴν ὁμιλία μου μὲ λέξεις καὶ ὀνόματα καλλιλογικά, ἀλλὰ θὰ θέσω τὰ ὀνόματα καὶ τὶς λέξεις ἔτσι, ὥστε νὰ εἶναι εὐκολονόητα καὶ στὸν δοῦλο καὶ στὴν ὑπηρέτρια καὶ στὴ χήρα γυναῖκα καὶ στὸν ἔμπορο καὶ στὸν ναύτη καὶ στὸν ἀγρότη, καὶ θὰ προσπαθήσω παντοῦ νὰ περιορίσω, ὅσο εἶναι δυνατό, τὸ μῆκος τῆς ὁμιλίας καὶ νὰ κάνω σύντομη τὴ διδασκαλία, γιὰ νὰ διεγείρω καὶ μὲ τὰ δύο αὐτὰ τὴν ὄρεξη τῶν ἀδιάφορων ἀκροατῶν νὰ ἀκούσουν μὲ εὐκολία καὶ χωρὶς κούραση τὰ ὅσα πρόκειται νὰ λεχθοῦν, ὥστε, συγκρατώντας τα στὴ μνήμη σας, νὰ ὠφεληθῆτε. Θὰ ἀρχίσω τὸν ἀγῶνα μου πρῶτα ἐναντίον τῶν Ἐθνικῶν.

Ἂν δηλαδὴ λέγη ὁ εἰδωλολάτρης, 'ἀπὸ ποῦ γίνεται φανερό, ὅτι ὁ Χριστὸς εἶναι Θεός;' (γιατὶ πρέπει ἀπὸ τὴν ἀρχὴ νὰ λάβουμε αὐτὸ σὰν προϋπόθεση, ἀφοῦ ὅλα τὰ ἄλλα εἶναι ἐπακόλουθα αὐτοῦ), ἐμεῖς δὲν θὰ ἀρχίσουμε τὴν ἀπόδειξη ξεκινώντας ἀπὸ τὸν οὐρανό, οὔτε καὶ ἀπὸ ἄλλα παρόμοια. Γιατί, ἂν τοῦ πῶ, 'ὅτι δημιούργησε τὸν οὐρανὸ καὶ τὴ γῆ καὶ τὴ θάλασσα', δὲν θὰ τὸ ἀνεχθῆ· ἂν

ἤγειρε, τυφλοὺς ἐθεράπευσε, δαίμονας ἤλασεν, οὐδὲ τοῦτο καταδέξεται· ἂν εἴπω, ὅτι βασιλείαν ἐπηγγείλατο καὶ τὰ ἀπόρρητα ἀγαθά, ἂν περὶ ἀναστάσεως διαλεχθῶ, οὐ μόνον οὐκ ἀνέξεται, ἀλλὰ καὶ γελάσεται. Πόθεν οὖν αὐτὸν ἐνάξομεν καὶ μάλιστα ἐὰν ἰδιώτης ᾖ; Πόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῶν παρ' ἐμοῦ καὶ αὐτοῦ κοινῶς καὶ ἀναντιρρήτως ὁμολογουμένων καὶ πρὸς ἃ ἀμφιβόλως οὐκ ἔχει; Ὅτι μὲν γὰρ οὐρανὸν ἐποίησε καὶ τὰ ἄλλα, ἅπερ εἶπον, ἐὰν ὑποθῶμαι, οὐκ ἂν ἀνάσχοιτο πεισθῆναι ῥᾳδίως. Τίνα οὖν ἐστιν ἃ καὶ ἐκεῖνος ὁμολογεῖ αὐτὸν πεποιηκέναι καὶ οὐδαμῶς ἂν ἀντείποι; Ὅτι τὸ Χριστιανῶν γένος αὐτὸς ἐφύτευσεν· οὐ γὰρ δὴ καὶ πρὸς τοῦτο ἀντερεῖ, ὅτι τὰς πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίας αὐτὸς ἐπήξατο. Ἀπὸ τούτων παρεξόμεθα τῆς δυνάμεως αὐτοῦ τὴν ἀπόδειξιν καὶ δείξομεν αὐτὸν ὄντα Θεὸν καὶ ἐροῦμεν ὅτι οὐκ ἔστιν ἀνθρώπου ψιλοῦ τοσαύτην ἐν βραχεῖ καιρῷ περιελθεῖν οἰκουμένην καὶ γῆν καὶ θάλατταν καὶ ἐπὶ τοιούτοις καλεῖν πράγμασιν οὕτω, καὶ ταῦτα ὑπὸ ἀτόπου συνηθείας προκατειλημμένους ἀνθρώπους, μᾶλλον δὲ ὑπὸ τοσαύτης κακίας κατεχομένους. Καὶ ὅμως ἴσχυσε τούτων πάντων τὸ τῶν ἀνθρώπων γένος ἐλευθερῶσαι, οὐχὶ Ῥωμαίους μόνον, ἀλλὰ καὶ Πέρσας καὶ ἁπλῶς τὰ τῶν βαρβάρων γένη. Καὶ ταῦτα κατώρθωσεν, οὐχ ὅπλοις χρώμενος, οὐ χρήματα δαπανῶν, οὐ στρατόπεδα κινῶν, οὐ πολέμους ἀναρριπίζων, ἀλλὰ δι' ἕνδεκα ἀνθρώπων τὴν ἀρχήν, ἀσήμων, εὐτελῶν, ἀμαθῶν, ἰδιωτῶν, πενήτων, γυμνῶν, ἀόπλων, ἀνυποδέτων, μονοχιτώνων.

Τί λέγω, κατώρθωσε; Πεῖσαι ἠδυνήθη τοσαῦτα φῦλα ἀνθρώπων, οὐ περὶ τῶν παρόντων μόνον, ἀλλὰ καὶ περὶ τῶν μελλόντων φιλοσοφεῖν καὶ νόμους πατρῴους ἀνασπάσαι καὶ παλαιὰ ἔθη τοσούτῳ ῥιζωθέντα χρόνῳ ἐκ ῥιζῶν ἀνελεῖν καὶ ἕτερα ἀντιφυτεῦσαι καὶ τῶν εὐκόλων ἀπαγαγόντα εἰς τὰ δύσκολα ἐμβαλεῖν τὰ αὐτοῦ, καὶ ταῦτα ποιῆσαι πολεμούμενον παρὰ πάντων καὶ σταυρὸν

τοῦ πῶ, 'ὅτι ἀνέστησε νεκρούς, ὅτι θεράπευσε τυφλούς, ὅτι ἐξεδίωξε δαίμονες', οὔτε καὶ αὐτὸ θὰ τὸ ἀποδεχθῇ· ἂν τοῦ πῶ, 'ὅτι ὑποσχέθηκε τὴ βασιλεία τῶν οὐρανῶν καὶ τὰ ἄρρητα ἀγαθά, ἂν τοῦ μιλήσω γιὰ τὴν ἀνάσταση', ὄχι μόνο δὲν θὰ τὰ δεχθῇ, ἀλλὰ καὶ θὰ γελάσῃ. Πῶς λοιπὸν θὰ τὸν φέρουμε κοντά μας, καὶ μάλιστα ἂν εἶναι ἰδιώτης; Ἀπὸ ποῦ ἀλλοῦ, παρὰ ἀπὸ αὐτά, ποὺ καὶ ἀπὸ μένα καὶ ἀπ' αὐτὸν τὸν ἴδιο εἶναι κοινῶς παραδεκτὰ καὶ ἀναντίρρητα καὶ πρὸς τὰ ὁποῖα δὲν ἔχει καμμιὰ ἀμφιβολία; Γιατί, ἂν τοῦ πῶ, ὅτι δημιούργησε τὸν οὐρανὸ καὶ τὰ ἄλλα ποὺ ἀνέφερα προηγουμένως, δὲ θὰ δεχόταν νὰ πεισθῇ εὔκολα. Ποιά εἶναι λοιπὸν ἐκεῖνα, ποὺ καὶ αὐτὸς δέχεται ὅτι τὰ ἔκαμε καὶ δὲν θὰ μποροῦσε νὰ προβάλῃ καμμιὰ ἀντίρρηση; Τὸ ὅτι αὐτὸς φύτευσε τὸ γένος τῶν Χριστιανῶν· γιατὶ δὲ μπορεῖ νὰ ἀρνηθῇ, ὅτι αὐτὸς ἵδρυσε τὶς Ἐκκλησίες ποὺ ὑπάρχουν σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης. Ἀπὸ αὐτὰ θ' ἀποδείξουμε τὴ δύναμή του, καὶ θὰ δείξουμε ὅτι εἶναι Θεός, καὶ θὰ τοῦ ποῦμε, ὅτι δὲν εἶναι ἔργο ἁπλοῦ ἀνθρώπου ἡ ἐξάπλωση τῆς διδασκαλίας μέσα σὲ τόσο μικρὸ χρονικὸ διάστημα σ' ὅλη τὴν οἰκουμένη, στὴ στεριὰ καὶ στὴ θάλασσα, καὶ μάλιστα τὴ στιγμὴ ποὺ καλοῦσε τοὺς ἀνθρώπους πρὸς τέτοια πράγματα, καὶ ἀνθρώπους τέτοιους, ποὺ ἦταν προκατειλημμένοι ἀπὸ τὶς κακὲς συνήθειές τους, ἢ καλύτερα ποὺ ἦταν κυριευμένοι ἀπὸ τόση μεγάλη κακία. Καὶ ὅμως κατώρθωσε νὰ ἐλευθερώσῃ ἀπ' ὅλα αὐτὰ τὸ ἀνθρώπινο γένος κι ὄχι μόνο τοὺς Ρωμαίους, ἀλλὰ καὶ τοὺς Πέρσες καὶ γενικὰ ὅλα τὰ ἔθνη τῶν βαρβάρων. Καὶ ὅλα αὐτὰ τὰ κατώρθωσε ὄχι μὲ τὴ χρήση ὅπλων οὔτε μὲ δαπάνες χρημάτων οὔτε κινώντας ἐναντίον τους στρατεύματα καὶ ὑποκινώντας πολέμους, ἀλλ' ἔχοντας στὴν ἀρχὴ ἕνδεκα ἀνθρώπους, ἄσημους, ἁπλοϊκούς, ἀγράμματους, ἰδιῶτες, φτωχούς, κακοντυμένους, ἄοπλους, ἀνυπόδητους, μὲ ἕνα καὶ μόνο χιτῶνα.

Γιατί ὅμως λέγω, κατώρθωσε; Μπόρεσε νὰ πείσῃ τόσες φυλὲς ἀνθρώπων νὰ φιλοσοφοῦν ὄχι μόνο γιὰ τὰ παρόντα, ἀλλὰ καὶ γιὰ τὰ μελλοντικὰ ἀγαθά, νὰ καταργήσουν τοὺς νόμους τῶν πατέρων τους, νὰ ξερριζώσουν τὶς ἐπὶ τόσα χρόνια ριζωμένες παλιὲς συνήθειες καὶ νὰ φυτεύσουν ἄλλες ἀντὶ αὐτῶν, καὶ παίρνοντάς τους ἀπὸ τὰ εὔκολα τοὺς ὡδήγησε στὰ δικά του τὰ δύσκολα, καὶ

ὑπομεμενηκέναι χλευαζόμενον καὶ θάνατον ἐπονείδιστον. Οὐ γὰρ δὴ καὶ πρὸς ταῦτα ἀντεροῦσιν, ὅτι οὐκ ἐσταυρώθη ὑπὸ Ἰουδαίων καὶ μυρία ἔπαθε παρ' αὐτῶν καὶ ὅτι καθ' ἑκάστην ἡμέραν ἐπιδίδωσι τὸ κήρυγμα. Καὶ τὸ παράδοξον, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ παρὰ Πέρσαις ἀνθεῖ, ἔτι καὶ νῦν παρ' αὐτοῖς πολεμούμενον. Καὶ γὰρ παρ' ἐκείνοις ἄρτι μαρτύρων δῆμοι πολλοί, καὶ ὅμως οἱ καὶ λύκων αὐτῶν ἀγριώτεροι, δεξάμενοι τὸ κήρυγμα, προβάτων ἡμερώτεροι γεγόνασι καὶ περὶ ἀθανασίας καὶ περὶ ἀναστάσεως φιλοσοφοῦσι καὶ τῶν ἀπορρήτων ἀγαθῶν.

2. Οὐκ ἐν ταῖς πόλεσι δὲ μόνον, ἀλλὰ καὶ εἰς τὴν ἔρημον ταῦτα ἐξῆλθε τὰ κατορθώματα καὶ εἰς κώμας καὶ εἰς χώρας καὶ εἰς νήσους καὶ ὅρμους καὶ ἐπίνεια· καὶ οὐκ ἰδιῶται, οὐδὲ ἄρχοντες ἁπλῶς, ἀλλὰ καὶ αὐτοὶ οἱ τὰ διαδήματα περικείμενοι μετὰ πολλῆς εἰσιν ὑποτεταγμένοι τῆς πίστεως τῷ σταυρωθέντι. Καὶ ὅτι ταῦτα πάντα οὐχ ἁπλῶς γέγονεν, ἀλλὰ μετὰ προρρήσεως πρὸ πολλοῦ γεγενημένης χρόνου, ἐπὶ τοῦ παρόντος ἀποδεῖξαι πειράσομαι· μᾶλλον δὲ ὥστε ἡμῶν μηδὲ ὕποπτον γενέσθαι τὸν λόγον, ἀναγκαῖον τὰ βιβλία τῶν σταυρωσάντων αὐτὸν Ἰουδαίων εἰς μέσον προθεῖναι καὶ τὰς περὶ αὐτοῦ μαρτυρίας ἐκ τῶν παρ' αὐτοῖς φυλαττομένων Γραφῶν ἔτι καὶ νῦν ὑπ' ὄψεσι τῶν ἀπειθούντων διεξελθεῖν.

Ὅτι τοίνυν ὁ Θεὸς ἄνθρωπος ἔσται, Θεὸς ὤν, πρῶτον Ἱερεμίας λέγει· «οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Εἶδες πῶς ἅπαντα ἐν βραχέσι ῥήμασι παρεδήλωσε καὶ ὅτι Θεὸς ὢν ἄνθρωπος ἐγένετο καὶ ἀνθρώποις συνανεστράφη καὶ ὅτι καὶ τὴν παλαιὰν αὐτὸς ἐνομοθέτησεν; «Ἐξεῦρε», γὰρ φησί, «πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ». Δείκνυσι γὰρ ἐνταῦθα ὅτι καὶ πρὸ τῆς παρουσίας

1. Βαρούχ 3,36–38. Μιλώντας ὁ ἱερὸς Χρυσόστομος γιὰ τὸν Ἱερεμία χρησιμοποιεῖ κείμενο τοῦ Βαρούχ, ὄχι κατὰ λάθος, ἀλλὰ γιατὶ τότε τὰ βιβλία Ἱερεμίας, Θρῆνοι καὶ Βαρούχ φέρονταν ὑπὸ τὸ ὄνομα Ἱερεμίας.

ὅλα αὐτὰ τὰ κατώρθωσε ἐνῶ πολεμοῦνταν ἀπὸ ὅλους καὶ ἀφοῦ ὑπέμεινε χλευαζόμενος τὸν σταυρὸ καὶ τὸν ἐπονείδιστο ἐκεῖνον θάνατο. Δὲν μποροῦν βέβαια νὰ προβάλουν ἀντιρρήσεις γι αὐτά, ὅτι δηλαδὴ δὲν σταυρώθηκε ἀπὸ τοὺς Ἰουδαίους καὶ ἔπαθε ἄπειρα κακὰ ἀπ' αὐτούς, καὶ ὅτι τὸ κήρυγμα καθημερινὰ σημειώνει πρόοδο. Καὶ τὸ παράδοξο εἶναι, ὅτι ἀνθεῖ ὄχι μόνο ἐδῶ, ἀλλὰ καὶ στοὺς Πέρσες, ἂν καὶ πολεμεῖται ἀκόμη καὶ τώρα ἀπ' αὐτούς. Καὶ ἂν καὶ ὑπάρχει σ' αὐτοὺς μέχρι τώρα ἕνα πλῆθος μαρτύρων, κι ὅμως αὐτοί, ποὺ ἦταν καὶ ἀπὸ τοὺς λύκους πιὸ ἄγριοι, ἀφοῦ δέχθηκαν τὸ κήρυγμα, ἔγιναν πιὸ ἥμεροι καὶ ἀπὸ τὰ πρόβατα, καὶ φιλοσοφοῦν γιὰ τὴν ἀθανασία καὶ τὴν ἀνάσταση καὶ τὰ ἀπόρρητα ἀγαθά.

2. Καί τὰ κατορθώματα αὐτὰ δὲν ἐπιτεύχθηκαν μόνο στὶς πόλεις, ἀλλὰ καὶ στὴν ἔρημο καὶ στὰ χωριὰ καὶ στὰ νησιὰ καὶ στοὺς ὅρμους καὶ στὰ ἐπίνεια. Καὶ δὲν εἶναι μόνο ἰδιῶτες οὔτε καὶ ἄρχοντες ἁπλῶς, ἀλλὰ καὶ αὐτοὶ ποὺ φοροῦν τὰ βασιλικὰ στέμματα μὲ μεγάλη πίστη ἔχουν ὑποταγῆ στὸν Ἐσταυρωμένο. Καὶ ὅτι ὅλα αὐτὰ δὲν ἔγιναν τυχαῖα, ἀλλὰ ὕστερα ἀπὸ πρόρρηση ποὺ εἶχε γίνει πρὶν ἀπὸ πολὺ χρόνο, θὰ προσπαθήσω τώρα νὰ τὸ ἀποδείξω. Καλύτερα ὅμως, γιὰ νὰ μὴ θεωρηθῆ ὕποπτος ὁ λόγος μου, εἶναι ἀνάγκη νὰ παραθέσω μπροστά σας τὰ βιβλία τῶν Ἰουδαίων ποὺ σταύρωσαν αὐτὸν καὶ ν' ἀναφέρω, μπροστὰ στὰ μάτια αὐτῶν ποὺ δὲν πιστεύουν, ὅλες τὶς μαρτυρίες γι' αὐτὸν τῶν Γραφῶν ποὺ ἀκόμη καὶ σήμερα φυλάσσουν.

Τὸ ὅτι λοιπὸν ὁ Θεὸς θὰ γινόταν ἄνθρωπος, παραμένοντας Θεός, πρῶτος τὸ λέγει ὁ Ἱερεμίας· «αὐτὸς εἶναι ὁ Θεός μας καὶ κανεὶς ἄλλος δὲν μπορεῖ νὰ συγκριθῆ μ' αὐτόν. Αὐτὸς βρῆκε ὅλη τὴν ὁδὸ τῆς σοφίας καὶ τὴν ἔδωσε στὸν Ἰακὼβ τὸν δοῦλο του, τὸν Ἰσραὴλ τὸν ἀγαπημένο του. Μετὰ ἀπὸ αὐτὰ φανερώθηκε στὴ γῆ καὶ συναναστράφηκε τοὺς ἀνθρώπους»[1]. Εἶδες πῶς τὰ δήλωσε ὅλα μέσα σὲ λίγες λέξεις, καὶ ὅτι, ἐνῶ ἦταν Θεός, ἔγινε ἄνθρωπος, καὶ ὅτι συναναστράφηκε τοὺς ἀνθρώπους καὶ ὅτι αὐτὸς νομοθέτησε καὶ τὴν Παλαιὰ Διαθήκη; Γιατὶ λέγει, «αὐτὸς βρῆκε ὅλη τὴν ὁδὸ τῆς σοφίας καὶ τὴν ἔδωσε στὸν Ἰακὼβ τὸν δοῦλο του, τὸν Ἰσραὴλ τὸν ἀγαπημένο του». Δείχνει δηλαδὴ ἐδῶ, ὅτι καὶ πρὶν ἀπὸ τὴν

τῆς ἐνσάρκου πάντα αὐτὸς ᾠκονόμει καὶ πάντα αὐτὸς ἔπραττε, νομοθετῶν, προνοῶν, κηδόμενος, εὐεργετῶν. Ἕτερος πάλιν προφήτης, ὅτι οὐκ ἄνθρωπος μόνον ἔσται, ἀλλ᾽ ὅτι καὶ ἀπὸ παρθένου τεχθήσεται, ἄκουσον πῶς φησιν· «ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ»· τοῦτο δέ ἐστι μεθερμηνευόμενον, μεθ᾽ ἡμῶν ὁ Θεός.

Εἶτα δεικνὺς ὅτι οὐ φαντασία τὸ φαινόμενον ἦν, ἀλλ᾽ ἀληθῶς ἄνθρωπος, ἐπήγαγε λέγων· «διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν». Ὅτι δὲ αὐτὸς οὗτος οὐκ ἄνθρωπος μόνον, ἀλλ᾽ ὅτι ἐκ παρθένου μόνον, ἀλλ᾽ ὅτι καὶ ἐξ οἴκου Δαυίδ, ἄκουσον πῶς καὶ τοῦτο ἄνωθεν προλέγει ὁ Ἠσαΐας, τροπικῶς μὲν κεχρημένος ταῖς λέξεσι καὶ μεταφορᾷ πολλῇ, προλέγει δ᾽ οὖν ὅμως· «ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται καὶ ἀναπαύσεται ἐπ᾽ αὐτὸν πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν»· ὁ γὰρ Ἰεσσαὶ οὗτος πατὴρ τοῦ Δαυὶδ ἦν. Δῆλον ἐκ τούτου ὅτι καὶ ἀπὸ τῆς φυλῆς ἐκείνης ἦν. Οὐ μόνον δὲ ὅτι ἀπὸ τῆς φυλῆς, ἀλλ᾽ ὅτι καὶ ἀπὸ τῆς οἰκίας Ἰεσσαὶ προελεύσεται, καὶ τοῦτο προανεφώνησεν, εἰπών· «ἐξελεύσεται», γὰρ φησί, «ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί», οὐ περὶ ῥάβδου λέγων ἁπλῶς, ἀλλὰ περὶ αὐτοῦ καὶ τῆς βασιλείας αὐτοῦ. Καὶ ὅτι οὐ περὶ ῥάβδου τοῦτο εἶπεν ἐδήλωσε διὰ τῶν ἑξῆς· εἰπὼν γάρ, «ἐξελεύσεται ῥάβδος», ἐπήγαγε· «καὶ ἀναπαύσεται ἐπ᾽ αὐτὸν πνεῦμα σοφίας καὶ συνέσεως». Οὐδεὶς δέ, κἂν σφόδρα ἀνόητος ᾖ, τοῦτο ἐρεῖ, ὅτι ἐπὶ τοῦ ξύλου ἤρχετο ἡ τοῦ πνεύματος χάρις, ἀλλ᾽ εὔδηλον ὅτι ἐπὶ τὸν ναὸν ἐκεῖνον τὸν ἄμωμον. Διὰ τοῦτο οὐδέ, «ἥξει», εἶπεν, ἀλλ᾽, «ἀναπαύσεται»· ἐπειδὴ ἐλθὼν παρέμεινε καὶ οὐκ ἀπέστη. Ὃ δὴ καὶ ὁ

2. Ἠσ. 7,44.
3. Ἠσ. 7,16.
4. Ἠσ. 11,1–3.

παρουσία του ὡς ἄνθρωπος αὐτὸς τὰ κυβερνοῦσε ὅλα καὶ αὐτὸς τὰ ἔκαμνε ὅλα, δίνοντας τὴ νομοθεσία, καὶ προνοώντας, κηδεμονεύοντας καὶ εὐεργετώντας ὅλα. Ἄκουσε πάλι τί λέγει ἄλλος προφήτης θέλοντας νὰ δείξη ὅτι δὲν θὰ εἶναι μόνο ἄνθρωπος, ἀλλ' ὅτι θὰ γεννηθῆ ἀπὸ παρθένο· «νά, ἡ παρθένος θὰ συλλάβη στὴν κοιλιά της καὶ θὰ γεννήση υἱὸ ποὺ θὰ τὸν ὀνομάσουν Ἐμμανουήλ»[2]· τὸ ὄνομα αὐτὸ ἑρμηνευόμενο σημαίνει, «ὁ Θεὸς μαζί μας».

Ἔπειτα, γιὰ νὰ δείξη, ὅτι αὐτὸ ποὺ φαινόταν δὲν ἦταν φανταστικό, ἀλλ' ἦταν πράγματι ἄνθρωπος, πρόσθεσε λέγοντας· «γιατὶ προτοῦ τὸ παιδὶ μάθη νὰ διακρίνη ἂν ὁ πατέρας εἶναι καλὸς ἢ κακός, θὰ ἀπειθῆ στὴν πονηρία καὶ θὰ προτιμᾶ τὸ καλό»[3]. Τὸ ὅτι αὐτὸς δὲν θὰ γινόταν μόνο ἄνθρωπος καὶ δὲν θὰ γεννώνταν ἀπὸ παρθένο μόνο, ἀλλὰ καὶ θὰ καταγόταν ἀπὸ τὸ γένος τοῦ Δαυΐδ, ἄκουσε πῶς καὶ αὐτὸ τὸ προλέγει πολὺ πιὸ μπροστὰ ὁ Ἠσαΐας, χρησιμοποιώντας ἀλληγορικὰ καὶ μεταφορικὰ τὶς λέξεις, πλὴν ὅμως τὸ προλέγει· «θὰ φυτρώση κλωνάρι ἀπὸ τὴ ρίζα τοῦ Ἰεσσαὶ καὶ θὰ βλαστήση ἄνθος ἀπὸ τὴ ρίζα αὐτὴ καὶ θ' ἀναπαυθῆ σ' αὐτὸν τὸ Πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, καὶ μὲ πνεῦμα φόβου Θεοῦ θὰ γεμίση αὐτόν»[4]· γιατὶ αὐτὸς ὁ Ἰεσσαὶ ἦταν πατέρας τοῦ Δαυΐδ. Εἶναι φανερὸ ἀπὸ αὐτό, ὅτι καταγόταν καὶ ἀπὸ τὴ φυλὴ ἐκείνη. Καὶ ὄχι μόνο τὸ ὅτι θὰ κατάγεται ἀπὸ τὴ φυλὴ ἐκείνη, ἀλλὰ καὶ τὸ ὅτι θὰ προέλθη ἀπὸ τὸν οἶκο τοῦ Ἰεσσαί, καὶ αὐτὸ τὸ προεῖπε, λέγοντας· «θὰ φυτρώση», λέγει, «ράβδος ἀπὸ τὴν ρίζα τοῦ Ἰεσσαί», μιλώντας ὄχι ἁπλῶς γιὰ ράβδο, ἀλλὰ γι' αὐτὸν τὸν ἴδιο καὶ τὴ βασιλεία του. Καὶ ὅτι δὲν τὸ εἶπε αὐτὸ ἐννοώντας ἁπλῶς τὴ ράβδο, τὸ δήλωσε μὲ τὰ ἑπόμενα. Γιατί, ἀφοῦ εἶπε, «θὰ φυτρώση ράβδος», πρόσθεσε· «καὶ θ' ἀναπαυθῆ σ' αὐτὸν πνεῦμα σοφίας καὶ συνέσεως». Κανεὶς βέβαια, κι ἂν ἀκόμη εἶναι πάρα πολὺ ἀνόητος, δὲν θὰ πῆ αὐτό, ὅτι ἡ χάρη τοῦ Πνεύματος θὰ ἐρχόταν στὸ ξύλο, ἀλλ' εἶναι φανερό, ὅτι θὰ ἐρχόταν στὸν ναὸ ἐκεῖνο τὸν ἄμωμο. Γι' αὐτὸ δὲν εἶπε, 'θὰ ἔλθη', ἀλλὰ «θὰ ἀναπαυθῆ», ἐπειδή, ἀφοῦ ἦλθε τὸ Πνεῦμα, παρέμεινε καὶ δὲν ἔφυγε. Καὶ αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώση καὶ ὁ Εὐαγγελιστὴς Ἰωάννης ἔλεγε· «εἶδα

Εὐαγγελιστὴς Ἰωάννης δηλῶν ἔλεγεν· «ἐγὼ τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν καὶ μένον ἐπ' αὐτόν».

Οὐ παρεσιώπησαν δὲ οὐδὲ τὴν γνώμην τὴν ἰουδαϊκήν, ἣν ἐπεδείξαντο ἅμα τεχθέντος αὐτοῦ· ὁ μὲν γὰρ Ματθαῖός φησιν· «ἀκούσας δὲ Ἡρώδης ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ»· ὁ δὲ Ἠσαΐας ἄκουσον πῶς καὶ τοῦτο ἄνωθεν προανεφώνει λέγων· «θελήσουσιν εἰ ἐγεννήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος». Ὅτι δὲ περὶ ἀνθρώπου οὐκ ἄν τις εἴποι τοῦτο ψιλοῦ, εὔδηλον καὶ τοῖς σφόδρα φιλονεικεῖν ἐθέλουσι. Θεὸς γὰρ ἰσχυρὸς οὐδεὶς ἀνθρώπων ἐλέχθη ἀπὸ τοῦ αἰῶνος, οὐδὲ ἄρχων εἰρήνης τοιαύτης· «τῆς γὰρ εἰρήνης αὐτοῦ», φησίν, «οὐκ ἔστιν ὅριον». Καὶ δηλοῖ τῶν πραγμάτων ἡ φύσις ὅτι πᾶσαν ἐπῆλθε τὴν γῆν, πᾶσαν θάλατταν, πᾶσαν οἰκουμένην, πᾶσαν ἀοίκητον καὶ ὄρη καὶ νάπας καὶ βουνοὺς ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς ἀρξάμενος, εἰς οὐρανοὺς ἀνέρχεσθαι μέλλων, ὁ Χριστὸς εἶπεν· «εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσι, δίδωμι ὑμῖν». Τί δήποτε δὲ οὕτως εἶπεν ὁ Χριστός; Ὅτι ἡ μὲν γὰρ τῶν ἀθρώπων εὐκατάλυτός ἐστι καὶ πολλὰς ἔχει τὰς μεταβολάς, ἡ δὲ παρ' αὐτοῦ βεβαία, ἀκίνητος, παγία, μόνιμος, ἀθάνατος, τέλος οὐκ ἔχουσα, καὶ ταῦτα μυρίων πολέμων πανταχόθεν ἀναρριπισθέντων καὶ καθ' ἑκάστην ἡμέραν μυρίων ἐπιβουλῶν γινομένων. Ἀλλ' ὁ πάντα ἀνύων αὐτοῦ λόγος καὶ τοῦτο ἤνυσε μετὰ τῶν ἄλλων.

3. Οὐ μόνον δὲ ὅτι ἄνθρωπος ἔσται, ἀλλὰ καὶ τῆς παρουσίας αὐτοῦ τὸν τρόπον προεφήτευσαν. Ἐπειδὴ γὰρ ἔμελλε παραγίνεσθαι, οὐκ ἀστραπὰς ἀφιείς, οὐ κεραυνοὺς ἄνωθεν, οὐ σείων τὴν γῆν, οὐ κλονῶν τὸν οὐρανόν, οὐκ ἐκπλήξεις τινὰς ἐργαζόμενος, ἀλλ' ἀψοφητὶ καὶ μηδενὸς εἰδότος ἐν οἰκίᾳ τέκτονος ἐτέχθη, ἐν οἰκίᾳ ἀσήμῳ καὶ εὐτελεῖ, ἄκουσον πῶς οὐδὲ τοῦτο παρεσιώπησεν

5. Ἰω. 1,32.
6. Ματθ. 2,3.
7. Ἠσ. 9,5–6.
8. Ἠσ. 9,7.
9. Ἰω. 14,27.

ἐγὼ τὸ Πνεῦμα νὰ κατεβαίνῃ σὰν περιστερὰ καὶ νὰ μένῃ ἐπάνω σ' αὐτόν»[5].

Δὲν παρασιώπησαν ἐπίσης οὔτε τὴν ἰουδαϊκὴ γνώμη, ποὺ ἐξέφρασαν μόλις γεννήθηκε. Καθόσον ὁ Ματθαῖος λέγει, «ὅταν τὸ ἄκουσε ὁ Ἡρώδης ταράχθηκε καθὼς καὶ ὅλα τὰ Ἱεροσόλυμα μαζὶ μ' αὐτόν»[6], ἐνῶ ὁ Ἠσαΐας ἄκουσε πῶς καὶ αὐτὸ τὸ προέλεγε πρὶν ἀπὸ χρόνια, λέγοντας· «θὰ θελήσουν αὐτὰ νὰ παραδοθοῦν στὴ φωτιά. Γιατὶ θὰ γεννηθῇ γιὰ μᾶς παιδὶ καὶ θὰ δοθῇ σὲ μᾶς υἱὸς καὶ τὸ ὄνομα αὐτοῦ θὰ εἶναι 'ἀγγελιαφόρος τῆς μεγάλης βουλῆς, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχοντας εἰρήνης, πατέρας τοῦ μελλοντικοῦ αἰῶνα»[7]. Τὸ ὅτι αὐτὸ δὲν θὰ μποροῦσε κανεὶς νὰ τὸ πῇ γιὰ ἄνθρωπο ἁπλό, εἶναι ὁλοφάνερο καὶ γιὰ ἐκείνους ποὺ θέλουν ἐπίμονα νὰ φιλονεικοῦν. Γιατὶ κανεὶς ἀπὸ τοὺς ἀνθρώπους δὲν ὠνομάσθηκε ἀπὸ τὴν ἀρχὴ τῶν αἰώνων Θεὸς ἰσχυρός, οὔτε ἄρχοντας μιᾶς τέτοιας εἰρήνης· γιατὶ λέγει, «τῆς εἰρήνης αὐτοῦ δὲν ὑπάρχει τέρμα»[8]. Καὶ τὸ ἐπιβεβαιώνει ἡ φύση τῶν πραγμάτων, ὅτι ἡ εἰρήνη αὐτή, ἀπὸ τὴν ἡμέρα ἐκείνη ποὺ εἶπε ὁ Χριστὸς λίγο πρὶν ἀναληφθῇ στοὺς οὐρανούς, «σᾶς δίνω τὴν εἰρήνη μου· δὲν σᾶς τὴν δίνω ὅπως τὴν δίνει ὁ κόσμος»[9], κατέλαβε ὁλόκληρη τὴ γῆ, ὁλόκληρη τὴ θάλασσα, ὁλόκληρη τὴν οἰκουμένη, ὁλόκληρη τὴν ἔρημο, καθὼς καὶ τὰ ὄρη καὶ τὰ λαγκάδια καὶ τὰ βουνά. Γιατί ἄραγε μίλησε ἔτσι ὁ Χριστὸς γιὰ τὴν εἰρήνη; Ἐπειδὴ ἡ εἰρήνη τῶν ἀνθρώπων εὔκολα καταλύεται καὶ ἔχει πολλὲς μεταβολές, ἐνῶ ἡ εἰρήνη ποὺ δίνει αὐτὸς εἶναι σταθερή, ἀμετάβλητη, πάγια, μόνιμη, ἀθάνατη, χωρὶς νὰ ἔχῃ τέλος, καὶ ὅλα αὐτὰ ἐνῶ ἐγείρονται ἐναντίον της ἀπὸ παντοῦ μύριοι πόλεμοι, καὶ καθημερινὰ γίνονται ἀμέτρητες ἐπιβουλές. Ἀλλ' ὁ λόγος αὐτοῦ, ποὺ κατορθώνει τὰ πάντα, καὶ αὐτὸ τὸ κατώρθωσε μαζὶ μὲ τὰ ἄλλα.

3. Καὶ δὲν προφήτευσαν μόνο τὸ ὅτι θὰ γίνῃ ἄνθρωπος, ἀλλὰ καὶ τὸν τρόπο τῆς παρουσίας του στὴ γῆ. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ ἔλθῃ χωρὶς ν' ἀφήσῃ νὰ πέσουν ἀστραπὲς καὶ κεραυνοὶ ἀπὸ τὸν οὐρανό, χωρὶς νὰ σείσῃ τὴ γῆ, χωρὶ νὰ συγκλονίσῃ τὸν οὐρανό, χωρὶς νὰ κάμῃ κάποια ἐκπληκτικὰ ἔργα, ἀλλ' ἀντίθετα γεννήθηκε ἀθόρυβα καὶ χωρὶς νὰ τὸ γνωρίζῃ κανεὶς στὴν οἰκία ἑνὸς ξυλουργοῦ, σὲ μιὰ ἄσημη καὶ ταπεινὴ οἰκία, ἄκουσε πῶς δὲν τὸ πα-

ὁ Δαυὶδ εἰπών, «καταβήσεται ὡς ὑετος ἐπὶ πόκον», τὸ ἀτάραχον, τὸ ἥσυχον διὰ τούτου δηλῶν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῆς τότε μετὰ πάντων αὐτοῦ διαγωγῆς τὸ πρᾳον καὶ ἐπιεικὲς ἐμφαίνων ἄλλος προφήτης ὅρα τί φησιν. Ἐπειδὴ γὰρ ὑβριζόμενος, ἐμπτυόμενος, λοιδορούμενος, ἀτιμαζόμενος, μαστιζόμενος, τελευταῖον καὶ σταυρωθεὶς οὐδένα τῶν ταῦτα πεποιηκότων ἠμύνατο, ἀλλ' ἔφερεν ἅπαντα μακροθύμως καὶ πρᾴως, οἷον τὰς ἀτιμίας, τὰς ἀπιβουλάς, τὴν μανίαν, τὸν θυμὸν τὸ ἄκαιρον ἐκείνου τοῦ δήμου, τὰς ἐφόδους, ταῦτα πάντα δηλῶν ἔλεγε· «κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν». Ἕτερος δὲ πάλιν καὶ τὸν τόπον, ἐν ᾧ ἔμελλε τίκτεσθαι, δηλοῖ οὕτω λέγων· «καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. Ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος». Οὗτος καὶ τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα δείκνυσι· τῷ μὲν γὰρ εἰπεῖν, «αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος», τὴν προαιώνιον ἐδήλωσε ὕπαρξιν· τῷ δὲ εἰπεῖν, «ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ», τὴν κατὰ σάρκα γέννησιν.

Καὶ ὅρα πάλιν καὶ ἑτέραν ἐνταῦθα προφητείαν διαλάμπουσαν. Οὐ γὰρ μόνον ὅτι τεχθήσεται εἶπεν, ἀλλ' ὅτι καὶ ἐπίσημον ἔσται τὸ χωρίον, καίτοι εὐτελὲς ὂν καὶ μικρόν· «οὐδαμῶς γὰρ ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα», φησί. Πᾶσα τοίνυν ἡ οἰκουμένη συντρέχει νῦν ἰδεῖν τὴν Βηθλεέμ, ἔνθα τεχθεὶς ἐτέθη, οὐδαμόθεν ἄλλοθεν ἀλλ' ἢ ἐντεῦθεν μόνον. Ἄλλος πάλιν καὶ τὸν καιρόν, ἐν ᾧ ἔμελλε παραγίνεσθαι, ἐδήλωσεν οὕτως εἰπών· «οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν, δεσμεύων πρὸς ἄμπε-

10. Ψαλμ. 71. 6.
11. Ἠσ. 42,3.
12. Μιχ. 5,2.

ρεσιώπησε αὐτὸ ὁ Δαυΐδ, λέγοντας· «θὰ κατεβῆ σὰν δροσιὰ ἐπάνω στὸ μαλλί»[10], θέλοντας νὰ δηλώση μὲ αὐτὸ τὴν ἀτάραχη, τὴν ἥσυχη παρουσία του. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ κι ἕνας ἄλλος προφήτης, θέλοντας νὰ δείξη τὴν ἥσυχη καὶ γεμάτη ἐπιείκεια συναναστροφή του μὲ τοὺς ἀνθρώπους, πρόσεχε τί λέγει. Ἐπειδὴ δηλαδή, ἐνῶ ὑβριζόταν, φτυνόταν, κακολογοῦνταν, ἀτιμαζόταν, μαστιγωνόταν καὶ τέλος ὁδηγηθεὶς στὸν σταυρό, δὲν πρόβαλε ἄμυνα ἐναντίον κανενὸς ποὺ τοῦ ἔκαμναν αὐτά, ἀλλὰ τὰ ὑπέμεινε ὅλα μὲ μακροθυμία καὶ πραότητα, τὶς ἀτιμίες δηλαδή, τὶς ἐπιβουλές, τὴ μανία, τὸν ἀδικαιολόγητο θυμὸ ἐκείνου τοῦ λαοῦ, τὶς ἐπιθέσεις, ὅλα αὐτὰ θέλοντας νὰ τὰ δηλώση, ἔλεγε· «καλάμι σπασμένο δὲν θὰ συντρίψη καὶ λινάρι ποὺ σιγοκαπνίζει καὶ κοντεύει νὰ σβήση δὲν θὰ τὸ σβήση, μέχρι ποὺ νὰ νικήση καὶ νὰ ἐκφέρη τὴν κρίση του, καὶ σ' αὐτὸν θὰ στηρίξουν τὶς ἐλπίδες τους ἔθνη πολλά»[11]. Ἄλλος πάλι προφήτης προλέγει καὶ τὸν τόπο, ὅπου ἐπρόκειτο νὰ γεννηθῆ, λέγοντας· «καὶ σὺ Βηθλεέμ, γῆ τοῦ Ἰούδα, δὲν εἶσαι καθόλου κατώτερη ὡς πρὸς τοὺς ἡγεμόνες τοῦ Ἰούδα. Γιατὶ ἀπὸ σένα θὰ ἐξέλθη ἀρχηγός, ὁ ὁποῖος θὰ ποιμάνη τὸν λαό μου τὸν Ἰσραήλ. Καὶ ἡ ἀρχὴ αὐτοῦ καὶ τὰ ἔργα του ξεπερνοῦν τὴν ἀρχὴ τῶν ἡμερῶν τῆς δημιουργίας»[12]. Αὐτὸς δείχνει καὶ τὴ θεότητα καὶ τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ. Γιατὶ μὲ τὸ νὰ πῆ, «αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος», φανέρωσε τὴν προαιώνια ὕπαρξή του, ἐνῶ λέγοντας, «θὰ ἐξέλθη ἡγούμενος, ποὺ θὰ ποιμάνη τὸν λαό μου τὸν Ἰσραήλ», δήλωσε τὴν κατὰ σάρκα γέννηση.

Καὶ πρόσεχε πάλι νὰ διαλάμπη ἐδῶ καὶ ἄλλη προφητεία. Γιατὶ δὲν εἶπε μόνο, ὅτι θὰ γεννηθῆ, ἀλλ' ὅτι καὶ τὸ χωριό, στὸ ὁποῖο θὰ γεννηθῆ, θὰ καταστῆ λαμπρό, ἂν καὶ ἦταν ἀσήμαντο καὶ μικρό. Διατὶ λέγει, «δὲν εἶσαι καθόλου κατώτερη ὡς πρὸς τοὺς ἡγεμόνες τοῦ Ἰούδα». Ὅλη τώρα ἡ οἰκουμένη τρέχει νὰ δῆ τὴ Βηθλεέμ, ὅπου τοποθετήθηκε ὅταν γεννήθηκε, γιὰ κανένα ἄλλο λόγο, παρὰ μόνο γι' αὐτόν. Ἄλλος πάλι προφήτης δήλωσε καὶ τὸν χρόνο, κατὰ τὸν ὁποῖον ἐπρόκειτο νὰ ἔλθη, λέγοντας τὰ ἑξῆς· «δὲν θὰ ἐκλείψη ἄρχοντας ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, οὔτε ἀρχηγὸς ἀπὸ τοὺς ἀπογόνους του, μέχρι ποὺ νὰ ἔλθη ἐκεῖνος στὸν ὁποῖο ἀνήκει ἡ ἐξουσία. Καὶ αὐτὸς θὰ εἶναι προσδοκία τῶν ἐθνῶν, δένοντας τὸν

λον τὸν πῶλον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα». Ὅρα καὶ ταύτην τὴν προφητείαν διαπρέπουσαν. Τότε γὰρ παραγίνεται, ὅτε λοιπὸν ἐπέλιπον οἱ ἄρχοντες οἱ Ἰουδαϊκοί, καὶ ὑπὸ τὰ σκῆπτρα τῶν Ρωμαίων ἐγένοντο· καὶ οὕτως ἐπληροῦτο καὶ ἡ προφητεία ἡ λέγουσα, ὅτι «οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται», τὸν Χριστὸν λέγουσα. Ὁμοῦ τε γὰρ ἐτέχθη καὶ ἀπογραφὴ ἐγένετο ἐκείνη πρώτη, κρατησάντων Ρωμαίων τοῦ Ἰουδαίων ἔθνους καὶ ὑπὸ ζυγὸν τῆς οἰκείας βασιλείας ἀγαγόντων αὐτούς. Εἶτα καὶ ἄλλο παρασημαίνεται τῷ λέγειν· «καὶ αὐτὸς προσδοκία ἐθνῶν»· παραγενόμενος γὰρ τὰ ἔθνη πάντα ἐπεσπάσατο.

Ἔμελλεν ὁ Ἡρώδης, ἐπιζητῶν αὐτὸν τεχθέντα, ἀναιρεῖν τὰ αὐτόθι παιδία. Καὶ οὐδὲ τοῦτο ἐσίγησαν οἱ προφῆται, ἀλλὰ πρὸ πολλῶν προανεφώνησαν τῶν χρόνων εἰπόντες· «φωνὴ ἐν Ραμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ραχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὔκ εἰσιν». Ἔμελλεν ἐξ Αἰγύπτου ἀνιέναι· καὶ τοῦτο ἐδήλωσαν εἰπόντες· «ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου». Ἀλλὰ καὶ ἐν τόποις φανεροῖς παραγενόμενος ἔμελλεν εὐθέως σημεῖα ποιεῖν καὶ διδάσκειν, καὶ τοῦτο προανεφωνήθη. Ἄκουε γὰρ Ἡσαΐου λέγοντος· «χώρα Ζαβουλών, γῆ Νεφθαλείμ, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα καὶ τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς», τὴν παρουσίαν αὐτοῦ ἐντεῦθεν δηλῶν τὴν ἐκεῖσε, τὴν διδασκαλίαν, τὴν ἀπὸ τῶν θαυμάτων γενομένην αὐτοῖς ἐπίγνωσιν.

Εἶτα πάλιν ἕτερα θαύματα διηγούμενος καὶ δεικνὺς πῶς χωλοὺς ἐθεράπευσε, πῶς τυφλοὺς ἰάσατο,, πῶς ἀλάλους παρε-

13. Γεν. 49,10–12.
14. Ἰερ. 31,15.
15. Ὠσ. 11,1.
16. Ἡσ. 9,1.

ὄνο του στὴν ἄμπελο καὶ τὸ πουλάρι τῆς ὄνου στὴν ψαλλίδα τῆς ἀμπέλου. Θὰ πλύνη τὴν στολή του στὸ κρασὶ καὶ στὸν κόκκινο σὰν αἷμα οἶνο τοῦ σταφυλιοῦ τὴν ἐνδυμασία του. Οἱ ὀφθαλμοί του θὰ ἀκτινοβολοῦν ἀπὸ χαρὰ ὅπως ἐκείνου ποὺ πίνει κρασὶ καὶ τὰ δόντια του θὰ εἶναι πιὸ λευκὰ καὶ ἀπὸ τὸ γάλα»[13]. Πρόσεχε καὶ αὐτὴν τὴν προφητεία ποὺ διαλάμπει. Γιατὶ ἦλθε τότε, ὅταν εἶχαν ἐκλείψει οἱ ἄρχοντες τῶν Ἰουδαίων καὶ βρίσκονταν κάτω ἀπὸ τὴν κυριαρχία τῶν Ρωμαίων, καὶ ἔτσι ἐκπληρωνόταν καὶ ἡ προφητεία ἐκείνη ποὺ λέγει· «δὲν θὰ ἐκλείψει ἄρχοντας ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, οὔτε ἀρχηγὸς ἀπὸ τοὺς ἀπογόνους αὐτοῦ, μέχρι ποὺ νὰ ἔλθη ἐκεῖνος στὸν ὁποῖο ἀνήκει ἡ ἐξουσία», ἐννοώντας τὸν Χριστό. Γιατὶ ὅταν γεννήθηκε ταυτόχρονα γινόταν καὶ ἡ πρώτη ἀπογραφή, μετὰ τὴν ἐπικράτηση τῶν Ρωμαίων ἐπὶ τοῦ Ἰουδαϊκοῦ ἔθνους καὶ τὴν ὑποταγὴ αὐτῶν κάτω ἀπὸ τὸν ζυγὸ τῆς βασιλείας αὐτῶν. Ἔπειτα ὑποδηλώνει καὶ κάτι ἄλλο, λέγοντας· «καὶ αὐτὸς εἶναι ἡ προσδοκία τῶν ἐθνῶν»· γιατὶ ἐρχόμενος στὸν κόσμο προσέλκυσε ὅλα τὰ ἔθνη.

Ἐπρόκειτο ὁ Ἡρώδης, ζητώντας νὰ μάθη ποῦ γεννήθηκε, νὰ φονεύση τὰ παιδιὰ τῆς περιοχῆς ἐκείνης. Οὔτε καὶ αὐτὸ τὸ ἀποσιώπησαν οἱ προφῆτες, ἀλλὰ τὸ προεῖπαν πρὶν ἀπὸ πολλὰ χρόνια, λέγοντας· «φωνὴ θρήνου καὶ κλαυθμοῦ καὶ ὀδυρμοῦ μεγάλου ἀκούσθηκε στὴν Ραμά. Ἡ Ραχὴλ ἔκλαιε τὰ τέκνα της καὶ δὲν ἤθελε νὰ παρηγορηθῆ, γιατὶ αὐτὰ δὲν ὑπάρχουν»[14]. Ἐπρόκειτο νὰ ἐπανέλθη ἀπὸ τὴν Αἴγυπτο· καὶ αὐτὸ τὸ προεῖπαν, λέγοντας· «ἀπὸ τὴν Αἴγυπτο κάλεσα τὸν Υἱό μου»[15]. Ἀλλὰ καὶ μεταβαίνοντας σὲ ὡρισμένα μέρη ἐπρόκειτο νὰ διδάξη δημόσια καὶ νὰ ἐπιτελέση ἀμέσως θαύματα· καὶ αὐτὸ προλέχθηκε. Ἄκουσε λοιπὸν τί λέγει ὁ Ἡσαΐας· «χώρα τοῦ Ζαβουλὼν καὶ γῆ τοῦ Νεφθαλείμ, ὁ λαός σας ποὺ ζῆ μέσα στὸ σκοτάδι εἶδε φῶς μεγάλο καὶ ἀνέτειλε τὸ φῶς αὐτὸ γι' αὐτοὺς ποὺ ζοῦσαν μέσα στὸ σκοτάδι καὶ στὴ σκιὰ τοῦ θανάτου»[16]. Μὲ τὰ λόγια αὐτὰ φανερώνει τὴν ἐκεῖ παρουσία τοῦ Χριστοῦ, τὴν διδασκαλία του καὶ τὴν ἐπίγνωσή του ἀπὸ τὰ θαύματά του.

Ἔπειτα διηγούμενος ἄλλα θαύματα καὶ δείχνοντας πῶς θεράπευσε χωλούς, πῶς χάρισε τὸ φῶς σὲ τυφλούς, πῶς ἔδωσε τὴ

σκεύασε λαλεῖν, «τότε ἀνοιχθήσονται», φησίν, «ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκούσονται». Καὶ μεθ' ἕτερα· «τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων», ὅπερ οὐδέποτε γέγονεν, ἢ ἐπὶ τῆς παρουσίας αὐτοῦ. Ἐνίων δὲ σημείων καὶ ἰδικῶς ἐμνημόνευσαν. Εἰσῆλθε γοῦν ποτε εἰς τὸ ἱερὸν καὶ τὰ παιδία τὰ ἔτι ὑπομάζια καὶ ἀδιάρθρωτον τὴν φωνὴν ἔχοντα ᾖδον εἰς αὐτὸν ὕμνους ἱερούς, οὕτω λέγοντα· «ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου». Τοῦτο ἄνωθεν προεῖπεν ὁ προφήτης οὕτω λέγων· «ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν». Ὁρᾷς πῶς καθ' ἑαυτὴν ἡ φύσις ἀγωνιζομένη καὶ τὸν δημιουργὸν ἀνακηρύττουσα ἡ ἀπειρόκακος ἡλικία καὶ μήπω διαρθροῦν φωνὴν δυναμένη ἀποστολικὸν ἀνεδέξατο κήρυγμα;

4. Ἐπειδὴ δὲ διαλεγόμενος ἀλλαχοῦ τοῖς Ἰουδαίοις διὰ τὴν ἀγνωμοσύνην αὐτῶν συνεσκιασμένως τὰ πολλὰ διελέγετο, ὡς ἐν αἰνίγματι καὶ παραβολαῖς, καὶ τοῦτο ἄνωθεν προελέχθη· «φθέγξομαι προβλήματα ἀπὸ καταβολῆς κόσμου, ἐρεύξομαι κεκρυμμένα ἀπ' ἀρχῆς». Ἀλλὰ καὶ τὴν σοφίαν τὴν ἐν τῷ δημηγορεῖν ἄνωθεν προανακηρύττων ὁ προφήτης ἔλεγεν· «ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου»· καὶ ἕτερος προφήτης πάλιν· «ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξασθήσεται καὶ μετεωρισθήσεται σφόδρα». Και τῆς παρουσίας αὐτῆς τὰ κατορθώματα τὰ μετὰ τῶν σημείων γινόμενα ὡς ἐν βραχεῖ διηγούμενος, πάλιν αὐτὸς οὕτως ἔλεγε· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν». Ἐπειδὴ καὶ τὸν τοσαῦτα εὐεργετοῦντα αὐτοὺς ἔμελλον ἀποστρέφεσθαι εἰκῇ καὶ μάτην, οὐ μικρόν, οὐ μέγα ἔχοντες ἐγκα-

17. Ἡσ. 35,5–6.
18. Ματθ. 21. 9.
19. Ψαλμ. 8,3.
20. Ψαλμ. 77,2.
21. Ψαλμ. 44,3.

λαλιὰ σὲ ἀλάλους, λέγει· «τότε θ' ἀνοίξουν ὀφθαλμοὶ τυφλῶν καὶ θ' ἀκούσουν αὐτιὰ κωφῶν». Καὶ ἀμέσως μετὰ ἀπὸ αὐτά· «τότε ὁ χωλός, ἀφοῦ θεραπευθῆ θὰ πηδᾶ σὰν τὸ ἐλάφι, καὶ μεγαλόφωνα θ' ἀκούεται νὰ ὁμιλῆ ἡ γλῶσσα τῶν βουβῶν»[17], πρᾶγμα ποὺ ποτὲ ἄλλοτε δὲν συνέβηκε, παρὰ μόνο κατὰ τὴν παρουσία αὐτοῦ. Μερικὰ θαύματα αὐτοῦ τὰ μνημόνευσαν οἱ προφῆτες κατὰ ἐντελῶς εἰδικὸ τρόπο. Εἰσῆλθε λοιπὸν κάποτε στὸν ναὸ καὶ τὰ παιδιὰ ποὺ ἀκόμη θήλαζαν καὶ δὲν μποροῦσαν ν' ἀρθρώσουν λέξεις, ἔψαλλαν γι' αὐτὸν ὕμνους ἱερούς, λέγοντας τὰ ἑξῆς· «ἂς εἶναι δοξασμένος ὁ Ὕψιστος καὶ εὐλογημένος αὐτὸς ποὺ ἔρχεται ἐξ ὀνόματος τοῦ Κυρίου»[18]. Αὐτὸ τὸ εἶπε ἀπὸ πρὶν ὁ προφήτης μὲ αὐτὰ τὰ λόγια· «ἀπὸ τὸ στόμα τῶν νηπίων καὶ ποὺ θηλάζουν ἀκόμη ἐπέτρεψες ν' ἀκουσθῆ ὕμνος δοξολογίας, γιὰ νὰ κλείσουν τὰ στόματα τῶν ἐχθρῶν καὶ τῶν ἐκδικητῶν σου»[19]. Βλέπεις πῶς ἡ φύση αὐτὴ καθ' ἑαυτὴ ἀγωνίζεται νὰ διακηρύξη τὸν δημιουργό της, καὶ τὰ ἄκακα βρέφη, τὰ ἀνίκανα νὰ ἀρθρώσουν ἀκόμη λέξη, ἀνέλαβαν ἔργο ἀποστολικό;

4. Μιλώντας ἀλλοῦ πρὸς τοὺς Ἰουδαίους, ἐπειδὴ ἐξ αἰτίας τῆς ἀγνωμοσύνης τους ἔλεγε τὰ περισσότερα συγκαλυμμένα, ὑπὸ μορφὴ αἰνιγμάτων καὶ παραβολῶν, προφητεύθηκε καὶ αὐτὸ ἀπὸ πρίν· «θὰ μιλήσω γιὰ ἀλήθειες ἀπὸ καταβολῆς κόσμου, θ' ἀποκαλύψω πράγματα ποὺ ἦταν κρυμμένα ἀπὸ τὴν ἀρχή»[20]. Ἀλλὰ καὶ τὴ σοφία τοῦ κηρύγματός του προφητεύοντας ἀπὸ πρὶν ὁ προφήτης λέγει· «ξεχύθηκε ἀπὸ μέσα σου ἡ χάρη στὰ χείλη σου»[21]. Ἄλλος πάλι προφήτης λέγει· «νά, ὁ Υἱός μου θὰ γεμίση ἀπὸ σύνεση καὶ θὰ ὑψωθῆ καὶ θὰ δοξασθῆ καὶ θὰ μεγαλυνθῆ ὑπερβολικά»[22]. Διηγούμενος ἐπίσης πάλι αὐτὸς ὁ ἴδιος προφήτης μὲ συντομία τὰ κατορθώματα τῆς παρουσίας του στὴ γῆ τὰ συνοδευόμενα ἀπὸ θαύματα, λέγει τὰ ἑξῆς· «Πνεῦμα Κυρίου μένει σὲ μένα, μὲ τὸ ὁποῖο μὲ ἔχρισε καὶ μὲ ἔστειλε νὰ κηρύξω τὸ εὐαγγέλιο στοὺς φτωχούς, νὰ κηρύξω στοὺς αἰχμαλώτους τῆς ἁμαρτίας τὴν ἄφεση καὶ στοὺς τυφλοὺς ἀπὸ τὸ σκοτάδι τῆς ἁμαρτίας τὴν ἀνάβλεψη»[23]. Ἐπειδὴ ἐπρόκειτο νὰ ἀποστραφοῦν ἀδικαιολόγητα καὶ χωρὶς νὰ ἔχουν

22. Ἠσ. 52,13.
23. Ἠσ. 61,1.

λεῖν, καὶ τοῦτο προανεκηρύχθη. Ἄκουε γὰρ τοῦ Δαυὶδ τοῦτο αὐτὸ προθεσπίζοντος οὕτω καὶ λέγοντος· «μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν».

Ἔμελλε καὶ ἐπὶ ὄνου ὀχούμενος οὕτως εἰς τὴν πόλιν εἰσιέναι· καὶ τοῦτο ἄνωθεν προανεκηρύχθη ὑπὸ Ζαχαρίου λέγοντος οὕτω· «χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἰερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾳῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον». Ἐξέβαλε τοὺς πωλοῦντας τὰς περιστερὰς καὶ τοὺς κολλυβιστάς. Ἐποίει δὲ τοῦτο αὐτὸ ζήλῳ τῷ ὑπὲρ τοῦ οἴκου καὶ ἅμα δεικνὺς ὅτι οὐκ ἀντίθεός τίς ἐστιν, ἀλλὰ καὶ σύμφωνος τῷ Πατρί. Διὸ καὶ ἐξεδίκει τὸν οἶκον ὡς ἐν αὐτῷ καπηλείας τοσαύτης γινομένης. Οὐδὲ τοῦτο κατελείφθη ἀνεπισήμαντον, ἀλλὰ καὶ αὐτὸ ὁ προφήτης Δαυὶδ προαγορεύων καὶ τὴν γνώμην, μεθ' ἧς τὴν ἐκδίκησιν ἔπραττε, προαναφωνῶν λέγει· «ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με». Τί τούτου γένοιτ' ἂν ἐναργέστερον;

Ἔμελλε παραδίδοσθαι καὶ ὁ κοινωνῶν αὐτῷ τῆς τραπέζης τὴν προδοσίαν ἐργάζεσθαι. Ὅρα πῶς καὶ τοῦτο προηγόρευσεν ὁ αὐτὸς οὗτος προφήτης λέγων· «ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν». Σκόπει δὲ καὶ τοῦ εὐαγγελιστοῦ τὴν συμφωνίαν. «Ὁ ἐμβάψας», φησί, «μετ' ἐμοῦ τὴν χεῖρα αὐτοῦ ἐν τῷ τρυβλίῳ, οὗτός με παραδώσει». Ἔμελλεν ὁ παραδιδοὺς αὐτὸν οὐχ ἁπλῶς παραδιδόναι, ἀλλὰ πωλῶν τὸ αἷμα τὸ τίμιον καὶ χρήματα ὑπὲρ τούτου λαμβάνων. Οὐδὲ τοῦτο ἐσίγησεν ὁ προφήτης, ἀλλὰ καὶ τὰ ἀναίσχυντα συμβόλαια καὶ τοὺς λόγους, οὓς πρὸς ἀλλήλους ἐποιοῦντο, ἐμφαίνων, «ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς», ἔλεγεν, «ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη». Ὁ αὐτὸς προδότης μεταγνοὺς ὕστερον ὑπὲρ ὧν ἐτόλμησε, τά τε ἀργύρια ἔρριψε καὶ δραμὼν ἐπὶ βρόχον οὕτω τὸν βίον κα-

24. Ψαλμ. 119,7.
25. Ζαχ. 9,9.
26. Ψαλμ. 68,10.
27. Ψαλμ. 40,10.
28. Ματθ. 26,23.

καμμιὰ κατηγορία μικρὴ ἢ μεγάλη ἐναντίον του, ἐκεῖνον ποὺ τόσο πολὺ τοὺς εὐεργέτησε, καὶ αὐτὸ προλέχθηκε. Ἄκουσε λοιπὸν τὸν Δαυΐδ ποὺ προλέγει αὐτὸ ἀκριβῶς, λέγοντας τὰ ἑξῆς· «πρὸς ἐκείνους ποὺ μισοῦν τὴν εἰρήνη ἤμουν εἰρηνικός· ὅταν μιλοῦσα πρὸς αὐτούς, μὲ πολεμοῦσαν χωρὶς λόγο»[24].

Ἐπρόκειτο νὰ εἰσέλθη στὴν πόλη καθισμένος ἐπάνω σὲ ὄνο· καὶ αὐτὸ προλέχθηκε ἀπὸ πρὶν ἀπὸ τὸν Ζαχαρία, λέγοντας τὰ ἑξῆς· «νιῶσε ὑπερβολικὴ χαρά, θυγατέρα μου Σιών, καὶ κήρυξε, θυγατέρα μου Ἰερουσαλήμ· νά, ὁ βασιλεύς σου ἔρχεται σὲ σένα γεμᾶτος ἀπὸ πραότητα καὶ καθισμένος ἐπάνω σὲ ὑποζύγιο, ἐπάνω σὲ νέο πωλάρι»[25]. Ἐξεδίωξε ἀπὸ τὸν ναὸ ἐκείνους ποὺ πωλοῦσαν περιστέρια καθὼς καὶ τοὺς κολλυβιστές. Τὸ ἔκαμε αὐτὸ ἀπὸ ζῆλο πρὸς τὸν ναό, καὶ συγχρόνως γιὰ νὰ δείξη, ὅτι δὲν εἶναι κάποιος ἀντίθετος τοῦ Θεοῦ, ἀλλὰ καὶ σύμφωνος πρὸς τὸν Πατέρα. Γι' αὐτὸ καὶ ὑπεράσπισε τὸν ναὸ ἀπὸ τὶς ἀγοραπωλησίες ποὺ γίνονταν ἐκεῖ. Οὔτε αὐτὸ ἀφέθηκε ἀδήλωτο, ἀλλὰ προλέγοντάς το καὶ αὐτὸ ὁ προφήτης Δαυΐδ καὶ προερμηνεύοντας τὴ διάθεση μὲ τὴν ὁποία θὰ τὸ ἔκαμνε, λέγει· «ὁ ζῆλος μου γιὰ τὸν οἶκο σου μὲ κατέφαγε»[26]. Τί θὰ μποροῦσε νὰ ὑπάρξη πιὸ καθαρὸ ἀπὸ αὐτό;

Ἐπρόκειτο νὰ παραδοθῆ καὶ τὴν προδοσία νὰ τὴν κάμη ἐκεῖνος ποὺ καθόταν μαζί του στὸ τραπέζι. Πρόσεχε πῶς καὶ αὐτὸ τὸ προεῖπε αὐτὸς ὁ ἴδιος προφήτης, λέγοντας· «αὐτὸς ποὺ ἔτρωγε τοὺς ἄρτους μου, ὕψωσε πάρα πολὺ ψηλὰ τὴν πτέρνα του καὶ μὲ κλώτσησε»[27]. Πρόσεχε ὅμως καὶ τοῦ εὐαγγελιστοῦ τὴ συμφωνία. Γιατὶ λέγει· «ἐκεῖνος ποὺ βούτηξε τὸ χέρι μαζὶ μὲ μένα στὸ πιάτο, αὐτὸς θὰ μὲ παραδώση»[28]. Ἐπρόκειτο ἐκεῖνος ποὺ θὰ τὸν παρέδιδε, ὄχι ἁπλῶς νὰ τὸν παραδώση, ἀλλὰ νὰ πωλήση τὸ τίμιο αἷμα του καὶ νὰ πάρη γι' αὐτὴν τὴν πράξη του χρήματα[29]. Οὔτε αὐτὸ τὸ ἀποσιώπησε ὁ προφήτης, ἀλλὰ προλέγοντας καὶ τὶς ἀδιάντροπες συμφωνίες καὶ τὶς συνομιλίες ποὺ θὰ εἶχαν μεταξύ τους, ἔλεγε· «Θεέ μου, μὴ ἀποσιωπήσης τὴν μετὰ δοξολογίας δέησή μου· γιατὶ στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἄνοιξε ἐναντίον μου»[30]. Ὁ προδότης αὐτός, μετανοώντας γι' αὐτὸ ποὺ ἔκαμε, καὶ τὰ ἀργύρια

29. Ματθ. 26,15 ἑ.
30. Ψαλμ. 108,1.

τέλυσε, χηρείᾳ τὴν γυναῖκα καὶ ὀρφανείᾳ τὰ τέκνα παραδοὺς καὶ ἐρημίᾳ τὴν οἰκίαν. Ὅρα πῶς καὶ ταύτην ἐκτραγῳδεῖ τὴν συμφορὰν ὁ προφήτης οὕτω λέγων· «γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ καὶ ἡ γυνὴ αὐτοῦ χήρα, σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν». Ἀλλὰ καὶ ἀντ' ἐκείνου μετ' ἐκεῖνον γέγονέ τις ἀπόστολος ὁ Ματθίας. Καὶ τοῦτο πάλιν ὁ αὐτὸς προαναφωνεῖ λέγων· «τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος».

Προδοθέντος αὐτοῦ καὶ συλληφθέντος ἑκόντος, συνίσταται δικαστήριον πολλῆς γέμον παρανομίας, Ἰουδάων τε καὶ τῶν ἐξ ἐθνῶν. Ὅρα πῶς καὶ αὐτὸ προθεσπίζει ὁ προφήτης λέγων· «ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;». Οὐ ταῦτα δὲ μόνον προανεφώνησαν, ἀλλὰ καὶ τὴν σιγήν, ἣν πολλῶν μεταξὺ λόγων γενομένων καὶ κατηγοριῶν εἱστήκει σιγῶν, δηλῶν ὁ Ἡσαΐας ἔφη· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ». Εἶτα δεικνὺς τὸ διεφθαρμένον τῆς ψήφου ἐπήγαγεν· «ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη», τουτέστιν, οὐδεὶς αὐτῷ τὰ δίκαια ἐδίκασεν. Εἶτα καὶ τὴν αἰτίαν λέγει τῆς σφαγῆς. Ἐπειδὴ γὰρ ἁμαρτημάτων ἕνεκεν οὐκ ἔπασχεν, ἅπερ ἔπασχεν, ἄμωμος καὶ ἄληπτος ὤν, ὑπὲρ δὲ τῶν τῆς οἰκουμένης κακῶν παρεδίδοτο, σκόπει πῶς ἀμφότερα καὶ ταῦτα ᾐνίξατο εἰπών· «ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ». Διὰ γὰρ τούτου ἐδήλωσε, τίνος ἕνεκα ἀνῃρέθη. Εἶτα καὶ ἄλλη αἰτία· «ἐκ τῶν ἁμαρτιῶν», φησί, «τοῦ λαοῦ μου ἥκει εἰς θάνατον». Οὐ μόνον δὲ τὴν αἰτίαν τῆς σφαγῆς, ἀλλὰ καὶ τί κέρδος ἀπὸ τοῦ σταυροῦ καὶ τῆς σφαγῆς ἐκείνης γέγονε θέλων δεῖξαι, ὅρα πῶς προαναφωνεῖ τοῦτο λέγων·

31. Ματθ. 27,5.
32. Ψαλμ. 108,9–10.
33. Πράξ. 1,26.
34. Ψαλμ. 108,8.
35. Ψαλμ. 2,1.
36. Ἡσ. 53,7.

τὰ ἔρριψε καὶ πῆγε καὶ ἀπαγχονίσθηκε[31], τερματίζοντας ἔτσι τὴ ζωή του καὶ ἀφήνοντας χήρα τὴ γυναῖκα του, ὀρφανὰ τὰ παιδιά του καὶ ἔρημο τὸ σπίτι του. Πρόσεχε πῶς διεκτραγωδεῖ ὁ προφήτης καὶ αὐτὴ τὴν συμφορα, λέγοντας τὰ ἑξῆς· «ἂς γίνουν τὰ παιδιά του ὀρφανὰ καὶ ἡ γυναῖκα του χήρα, καὶ τὰ παιδιά του σαλευόμενα ἂς μεταναστεύσουν καὶ ἂς φύγουν ἀπὸ τὰ σπίτια τους»[32]. Ἀλλὰ καὶ μετὰ ἀπὸ ἐκεῖνον στὴ θέση του ἔγινε ἀπόστολος ὁ Ματθίας[33]. Καὶ αὐτὸ πάλι ὁ ἴδιος αὐτὸς προφήτης τὸ προλέγει, λέγοντας· «καὶ ἂς πάρη ἄλλος τὸ ἀξίωμα αὐτοῦ»[34].

Ἀφοῦ προδόθηκε καὶ συνελήφθηκε μὲ τὴ θέλησή του, συγκροτήθηκε δικαστήριο γεμᾶτο ἀπὸ πολλὴ παρανομία, ἀπὸ Ἰουδαίους καὶ ἐθνικούς. Πρόσεχε πῶς καὶ αὐτὸ τὸ προλέγει ὁ προφήτης, λέγοντας· «γιατί φρύαξαν οἱ εἰδωλολάτρες καὶ οἱ λαοὶ αὐτοὶ συνέλαβαν σχέδια ἀνόητα;»[35]. Καὶ δὲν προεῖπαν αὐτὰ μόνο, ἀλλὰ καὶ τὴν σιωπὴ ποὺ ἔδειξε, ὅταν ἐξεστομίζονταν κατηγορίες ἐναντίον του καὶ αὐτὸς στεκόταν ἀνάμεσά τους ἄφωνος, καὶ αὐτὴν γιὰ νὰ δηλώση ὁ Ἠσαΐας, εἶπε· «σὰν πρόβατο ὡδηγήθηκε στὴ σφαγὴ καὶ ὅπως ὁ ἀμνὸς μένει ἄφωνος μπροστὰ σ' ἐκεῖνον ποὺ τὸν κουρεύει, ἔτσι καὶ αὐτὸς δὲν ἀνοίγει τὸ στόμα του»[36]. Ἔπειτα, γιὰ νὰ δείξη τὸ διεφθαρμένο τῆς ἀποφάσεως, πρόσθεσε· «καὶ μέσα στὴν ὅλη ταπείνωσή του καταπατήθηκε τὸ δίκιο του στὸ δικαστήριο», δηλαδὴ κανένας δὲν τὸν δίκασε δίκαια. Στὴ συνέχεια λέγει καὶ τὴν αἰτία τῆς σφαγῆς του. Ἐπειδὴ δηλαδὴ δὲ τὰ πάθαινε ἐκεῖνα ποὺ πάθαινε γιὰ ἁμαρτήματά του, καθ' ὅσον ἦταν ἄμεμπτος καὶ ἀδιάβλητος, ἀλλὰ παραδινόταν γιὰ τὰ κακὰ τῶν ἀνθρώπων, πρόσεχε πῶς τὰ ὑπαινίχθηκε καὶ τὰ δύο αὐτά, λέγοντας· «ὁ ὁποῖος δὲν ἔκαμε ἁμαρτία οὔτε δόλος βρέθηκε στὸ στόμα του»[37]. Μ' αὐτὸ δηλαδὴ ἔδειξε γιὰ ποιό λόγο θανατώθηκε. Ἔπειτα προσθέτει καὶ ἄλλη αἰτία· «ἐξ αἰτίας τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου», λέγει, «ὡδηγήθηκα στὸν θάνατο»[38]. Καὶ ὄχι μόνο λέγει τὴν αἰτία τῆς σφαγῆς του, ἀλλὰ θέλοντας νὰ δείξη καὶ ποιό ὑπῆρξε τὸ κέρδος ἀπὸ τὸν σταυρὸ καὶ ἀπὸ τὴ σφαγὴ ἐκείνη, πρόσεχε πῶς τὸ προλέγει καὶ αὐτό, λέγοντας· «ὅλοι πλανηθήκαμε σὰν πρόβατα· ὁ ἄν-

37. Ἠσ. 53,9.
38. Ἠσ. 53,8.

«πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. Παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτῷ· τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν».

Εἶτα ἐπεὶ καὶ δίκας ἔμελλον διδόναι ὑπὲρ τῶν τολμημάτων τούτων οἱ Ἰουδαῖοι καὶ τοῦτο δηλοῖ ὁ αὐτὸς προφήτης ἐν οἷς λέγει· «δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ». Καὶ ὁ Δαυὶδ πάλιν εἰπών, «ἀπορρίψωμεν τὸν ζυγὸν αὐτοῦ ἀφ' ἡμῶν», ἐπήγαγεν, «ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς», τὴν πανταχοῦ τῆς οἰκουμένης διασπορὰν λέγων αὐτῶν. Ὃ καὶ αὐτὸς ὁ Χριστὸς ἐν τοῖς Εὐαγγελίοις δηλῶν ἔλεγε· «τοὺς δὲ μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτῶν ἀγάγετε ὧδε καὶ κατασφάξατε αὐτούς». Εἶτα ἐπειδὴ τὴν σφαγὴν εἶπον, οὐδὲ τὸν τρόπον τῆς σφαγῆς παρεσιώπησαν, ἀλλὰ καὶ αὐτὴν παρεδήλωσεν ὁ Δαυὶδ οὕτως εἰπών· «ὤρυξαν χεῖράς μου καὶ πόδας μου· ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου»· οὐδὲ τὴν μετὰ τὸν σταυρὸν παρανομίαν ἐσίγησε πάλιν εἰπών, «διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον».

5. Εἶτα καὶ ὅτι θάπτεσθαι ἔμελλε καὶ τοῦτο ἐδήλωσεν εἰπών, «ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου». Καὶ ὅτι ἀνίστασθαι ἔμελλεν, ὅρα πῶς καὶ τοῦτο προανεφώνησε λέγων· «οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν». Ἑτέρως δὲ ὁ Ἠσαΐας τὸ αὐτὸ τοῦτο πάλιν ἐμφαίνει λέγων· «καὶ Κύριος αὐτὸν βούλεται καθαρίσαι ἀπὸ τῆς πληγῆς, δεῖξαι αὐτῷ φῶς, δικαιῶσαι δίκαιον εὖ δουλεύσαντα πολλοῖς». Ὅτι τῶν ἁμαρτημάτων τῶν ἀνθρωπίνων λύσις γέγονεν αὐτοῦ ἡ σφαγὴ καὶ τοῦτο παρέστησε τῷ εἰπεῖν, «καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν». Ὅτι τῶν δαιμόνων ἀπήλλαξε

39. Ἡσ. 53,6.
40. Ψαλμ. 2,3–5.
41. Αὐτόθι.
42. Λουκᾶ 19,27.
43. Ψαλμ. 21,17–18.
44. Ψαλμ. 21,19.
45. Ψαλμ. 87,7.
46. Ψαλμ. 15,10.

θρωπος πλανήθηκε καὶ ἔχασε τὸν δρόμο του. Παιδαγωγικὴ τιμωρία τοῦ ἐπιβλήθηκε γιὰ τὴ δική μας εἰρήνη, καὶ μὲ τὴν πληγὴ ἐκείνου ἐμεῖς θεραπευθήκαμε»[39].

Ἔπειτα, ἐπειδὴ ἐπρόκειτο οἱ Ἰουδαῖοι καὶ νὰ τιμωρηθοῦν γιὰ τὰ τολμήματά τους αὐτά, καὶ αὐτὸ τὸ προλέγει ὁ ἴδιος αὐτὸς προφήτης μὲ αὐτὰ ποὺ λέγει· «θὰ παραδώσω σὲ τιμωρία τοὺς κακοὺς ἐξ αἰτίας τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἐξ αἰτίας τοῦ θανάτου του»[40]. Καὶ ὁ Δαυΐδ πάλι, ἀφοῦ εἶπε, «ἂς σπάσουμε καὶ ἂς πετάξουμε ἀπὸ πάνω μας τὸν ζυγὸ αὐτοῦ», πρόσθεσε· «αὐτὸς ποὺ κατοικεῖ στοὺς οὐρανοὺς θὰ γελάση σὲ βάρος τους. Τότε θὰ μιλήση ὠργισμένος πρὸς αὐτοὺς καὶ θὰ τοὺς συνταράξη μὲ τὸν θυμό του»[41], ἐννοώντας τὴ διασπορά τους σ' ὅλα τὰ μέρη τῆς γῆς. Αὐτὸ ἀκριβῶς δηλώντας καὶ ὁ Χριστὸς στὰ εὐαγέλια, λέγει· «ἐκείνους ποὺ δὲν θέλησαν νὰ εἶμαι βασιλεύς τους ἀπομακρύνατέ τους ἀπὸ ἐδῶ καὶ κατασφάξτε τους»[42]. Ἔπειτα, ἀφοῦ προεῖπαν τὸν θάνατό του, δὲν ἀποσιώπησαν καὶ τὸν τρόπο τοῦ θανάτου του, ἀλλὰ καὶ αὐτὸν τὸν προεῖπε ὁ Δαυΐδ λέγοντας τὰ ἑξῆς· «ἄνοιξαν τρύπες στὰ χέρια καὶ στὰ πόδια μου· καταμέτρησαν ὅλα τὰ ὀστᾶ μου»[43]. Δὲν ἀποσιώπησε οὔτε καὶ τὴν παρανομία ποὺ διέπραξαν μετὰ τὸν σταυρό, λέγοντας πάλι· «μοιράσθηκαν τὰ ροῦχα μου μεταξύ τους καὶ ἔβαλαν κλῆρο γιὰ τὰ ροῦχα μου»[44].

5. Ἔπειτα καὶ τὸ ὅτι ἐπρόκειτο νὰ ταφῆ καὶ αὐτὸ τὸ προεῖπε, λέγοντας· μὲ τοποθέτησαν σὲ λάκκο βαθύτατο, μέσα στὰ σκοτεινὰ καὶ στὴ σκιὰ τοῦ θανάτου»[45]. Καὶ τὸ ὅτι ἐπρόκειτο ν' ἀναστηθῆ, πρόσεχε πῶς καὶ αὐτὸ τὸ προεῖπε, λέγοντας· «δὲν θὰ ἀφήσης τὴν ψυχή μου στὸν ἄδη οὐδὲ θὰ παραδώσης τὸν ὅσιό σου στὴ φθορά»[46]. Τὸ ἴδιο πάλι προλέγει, κατὰ τρόπο διαφορετικό, καὶ ὁ Ἠσαΐας λέγοντας· «καὶ ὁ Κύριος θέλει νὰ τὸν καθαρίση ἀπὸ τὴν πληγή, νὰ δείξη αὐτὸν καὶ μέσω αὐτοῦ τὸ φῶς στὸν κόσμο, καὶ νὰ δικαιώση αὐτὸν ποὺ εἶναι δίκαιος καὶ ἔχει ὑπηρετήσει πολλούς»[47]. Τὸ ὅτι ὁ θάνατός του παρέσχε ἄφεση τῶν ἀνθρωπίνων ἁμαρτιῶν καὶ αὐτὸ τὸ προεῖπε, λέγοντας· «καὶ αὐτὸς πῆρε ἐπάνω του τὶς ἁμαρτίες πολλῶν»[48]. Ἐπίσης καὶ τὸ ὅτι ἀπάλλαξε τοὺς ἀνθρώπους

47. Ἠσ. 53,10–11.
48. Ἠσ. 53,12.

τοὺς ἀνθρώπους καὶ τοῦτο, «καὶ τοῦ ἰσχυροῦ», φησί, «μεριεῖται σκῦλα». Ὅτι διὰ τοῦ θανάτου τοῦτο ἐποίησεν, οὐδὲ αὐτὸ ἐσίγησεν, ἀλλὰ λέγει· «ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ». Ὅτι προστήσεσθαι ἔμελλε τῆς οἰκουμένης, καὶ τοῦτο ἐδήλωσε δι' ὧν ἔφη· «καὶ αὐτὸς κληρονομήσει πολλούς».

Εἶτα ἐπεὶ καταβὰς εἰς τὸν ᾅδην ἅπαντα διετάραξε, καὶ θορύβου καὶ ταραχῆς ἐνέπλησε, καὶ τὴν ἀκρόπολιν κατέλυσεν, οὐδὲ τοῦτο σιγῶσιν, ἀλλὰ νῦν μὲν ὁ Δαυὶδ οὕτω βοᾷ λέγων, «ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης», νῦν δὲ ἑτέρως ὁ Ἡσαΐας, «πύλας χαλκᾶς συνθλάσω καὶ μοχλοὺς σιδηροῦς συντρίψω καὶ ἀνοίξω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους, ἀοράτους ἀναδείξω σοι», τὸν ᾅδην οὕτω καλῶν. Εἰ γὰρ καὶ ᾅδης ἦν, ἀλλὰ ψυχὰς ἐκράτει ἁγίας καὶ σκεύη τίμια, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ. Διὸ καὶ θησαυροὺς ἐκάλεσε, σκοτεινοὺς δέ, ἐπειδὴ οὐδέπω ὁ τῆς δικαιοσύνης ἥλιος ἦν καταλάμψας αὐτόθι, οὐδὲ τοὺς περὶ ἀναστάσεως κηρύξας λόγους. Ὅτι δὲ ἀναστὰς ἔμελλεν οὐ μετὰ ἀγγέλων στήσεσθαι, οὐδὲ μετὰ ἀρχαγγέλων, οὐδὲ μετὰ ἄλλης τινὸς λειτουργικῆς δυνάμεως, ἀλλ' ἐπὶ τὸν θρόνον καθιεῖσθαι τὸν βασιλικόν, ἄκουσον τί φησι πάλιν ὁ Δαυίδ· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου».

Μετὰ ταῦτα ἔμελλεν ἀποστόλους πέμπειν· καὶ τοῦτο προανεφώνησεν Ἡσαΐας εἰπών, «ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά». Καὶ ὅρα ποῖον ἐπαινεῖ τοῦ σώματος μέρος, τοὺς πόδας, τοὺς πανταχοῦ αὐτοὺς διακομίζοντας. Εἶτα καὶ τὸν τρόπον τῆς κρατήσεως αὐτῶν ἐμφαίνων ὁ Δαυὶδ λέγει· «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ». Οὐ γὰρ δὴ ὅπλα κινήσαντες, οὐ χρήματα δαπανή-

49. Αὐτόθι.
50. Αὐτόθι.
51. Αὐτόθι.
52. Ψαλμ. 23,7.
53. Ἡσ. 45,2.
54. Ψαλμ. 109,1.

ἀπὸ τοὺς δαίμονες καὶ αὐτὸ τὸ εἶπε· «καὶ θὰ μοιράση τὰ λάφυρα τοῦ ἰσχυροῦ»[49]. Τὸ ὅτι αὐτὸ τὸ κατόρθωσε μὲ τὸν θάνατό του, οὔτε αὐτὸ τὸ ἀποσιώπησε, ἀλλὰ λέγει· «γιατὶ παρέδωσε τὴ ζωή του στὸν θάνατον»[50]. Ἐπίσης καὶ τὸ ὅτι ἐπρόκειτο νὰ κυριαρχήση τοῦ κόσμου, καὶ αὐτὸ τὸ δήλωσε μὲ αὐτὰ ποὺ εἶπε· «καὶ αὐτὸς θὰ ἀποκτήση πολλοὺς κληρονόμους»[51].

Ἔπειτα, ἐπειδὴ μὲ τὴν κατάβασή του στὸν ἅδη διετάραξε τὰ πάντα, τὰ γέμισε μὲ θόρυβο και ταραχὴ καὶ κατέστρεψε τὴν ἀκρόπολή του, οὔτε καὶ αὐτὸ τὸ ἀποσιωποῦν, ἀλλὰ ἄλλοτε ὁ Δαυῒδ κραυγάζει καὶ λέγει, «ἀνοῖξτε, ἄρχοντες, τὶς πύλες καὶ σεῖς πύλες αἰώνιες γίνετε πολὺ ὑψηλὲς γιὰ νὰ εἰσέλθη ὁ βασιλεὺς τῆς δόξης»[52], ἄλλοτε πάλι ὁ Ἠσαΐας κάπως διαφορετικά· «θὰ συνθλίψω πύλες χάλκινες καὶ θὰ συντρίψω μοχλοὺς σιδερένιους καὶ θὰ σοῦ ἀνοίξω καὶ θὰ σοῦ δείξω θησαυροὺς σκοτεινούς, ἀπόκρυφους καὶ ἀόρατους»[53], ὀνομάζοντας ἔτσι τὸν ἅδη. Γιατί, ἂν καὶ ἦταν ἅδης, ὅμως κρατοῦσε στὴν ἐξουσία του ψυχὲς ἅγιες καὶ σκεύη τίμια, τὸν Ἀβραάμ, τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ. Γι' αὐτὸ τοὺς ὠνόμασε θησαυρούς, ἀλλὰ σκοτεινούς, ἐπειδὴ δὲν εἶχε λάμψει ἀκόμη ἐκεῖ ὁ ἥλιος τῆς δικαιοσύνης, οὔτε κήρυξε τοὺς λόγους τῆς ἀναστάσεως. Τὸ ὅτι μετὰ τὴν ἀνάστασή του δὲν ἐπρόκειτο νὰ καθήση οὔτε μὲ τοὺς ἀγγέλους οὔτε μὲ τοὺς ἀρχαγγέλους οὔτε καὶ μὲ κάποια ἄλλη οὐράνια δύναμη, ἀλλὰ θὰ ἐκάθετο ἐπάνω σὲ θρόνο βασιλικό, ἄκουσε τί λέγει πάλι ὁ Δαυῒδ· «εἶπεν ὁ Κύριος στὸν Κύριό μου, κάθησε στὰ δεξιά μου, μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου»[54].

Στὴ συνέχεια ἐπρόκειτο νὰ στείλη ἀποστόλους· καὶ αὐτὸ τὸ προεῖπε ὁ Ἠσαΐας, λέγοντας· «πόσο ὡραῖα εἶναι τὰ πόδια ἐκείνων ποὺ κηρύσσουν τὸ εὐαγγέλιο τῆς εἰρήνης, ποὺ κηρύσσουν τὸ εὐαγγέλιο τῶν οὐράνιων ἀγαθῶν»[55]. Καὶ πρόσεχε ποιό μέρος τοῦ σώματος ἐπαινεῖ· ἐπαινεῖ τὰ πόδια, ποὺ τοὺς μεταφέρουν παντοῦ. Μετά, φανερώνοντας ὁ Δαυῒδ καὶ τὸν τρόπο τῆς ἐπικράτησης τῶν μαθητῶν, λέγει· «ὁ Κύριος θὰ δώση τὰ λόγια σ' ἐκείνους ποὺ κηρύσσουν τὸ εὐαγγέλιο γεμᾶτα ἀπὸ δύναμη μεγάλη»[56]. Γιατὶ δὲν

55. Ἠσ. 52,7.
56. Ψαλμ. 69,12.

σαντες, οὐδὲ ρώμῃ σώματος, οὐδὲ στρατοπέδων πλήθει, οὐδὲ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο, ἀλλὰ ρήματι ψιλῷ, ρήματι πολλὴν ἔχοντι δύναμιν, τὴν τῶν σημείων ἐπίδειξιν. Τὸν γὰρ ἐσταυρωμένον κηρύσσοντες καὶ σημεῖα ἐργαζόμενοι, οὕτω τῆς οἰκουμένης ἐκράτησαν. Διὰ τοῦτό φησι, «Κύριος δώσει ρῆμα τοῖς εὐαγγελιζομένης δυνάμει πολλῇ», τὰ σημεῖα ταύτῃ καλῶν. Καὶ γὰρ ἄφατος δύναμις ἦν, τὸν ἁλιέα καὶ τὸν τελώνην καὶ τὸν σκηνοποιὸν ἀπὸ ψιλῶν ἐπιταγμάτων νεκροὺς ἐγείρειν, δαίμονας ἀπελαύνειν, τὸν θάνατον ἀπωθεῖν, φιλοσόφων ἐπιστομίζειν γλῶσσαν, ρητόρων ἀπορράπτειν στόματα, βασιλέων καὶ ἀρχόντων περιγίνεσθαι, βαρβάρων, Ἑλλήνων, παντὸς γένους κρατεῖν. Καὶ καλῶς οὕτως εἶπε. Πάντα γὰρ ταῦτα ἤνυον ἐκείνῳ τῷ ρήματι καὶ τῇ πολλῇ δυνάμει μετετίθεσαν νεκροὺς εἰς ζῶντας, ἁμαρτωλοὺς εἰς δικαίους, πηροὺς εἰς βλέποντας, τὰ νοσήματα τῆς φύσεως καὶ τὴν κακίαν τῆς ψυχῆς ἀπελαύνοντες.

Εἶτα ἡ δύναμις αὕτη πόθεν αὐτοῖς παρεγένετο; Ὅτι ἀπὸ Πνεύματος ἁγίου, καὶ τοῦτο ἐντεῦθεν δηλοῦται. «Πνεύματος γὰρ ἦσαν πεπληρωμένοι», φησί, καὶ ἄνδρες ὁμοίως καὶ γυναῖκες προεφήτευον· πυρὸς ἐν εἴδει γλῶσσαι φανεῖσαι ἐκάθισαν ἐφ' ἕνα ἕκαστον αὐτῶν. Καὶ τοῦτο Ἰωὴλ ἄνωθεν προανεφώνησεν οὕτω λέγων· «ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται καὶ οἱ νεανίσκοι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐκχεῶ, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου, τὴν μεγάλην καὶ ἐπιφανῆ»· μεγάλην ἡμέραν καὶ ἐπιφανῆ καὶ ταύτην οὕτω δηλῶν τὴν τοῦ Πνεύματος καὶ τὴν μέλλουσαν ἐπὶ συντελείᾳ φανήσεσθαι. Ὁ αὐτὸς δὲ οὗτος προφήτης καὶ τὴν διὰ πίστεως σωτηρίαν προαναφωνῶν (οὐδὲ γὰρ τοῦτο ἐσιγήθη), «καὶ ἔσται», φησίν, «ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται».

57. Πράξ. 2,4.
58. Πράξ. 2,3 ἑ.
59. Ἰωὴλ 2,28.
60. Ἰωὴλ 2,32.

ἐπεκράτησαν μὲ τὰ ὅπλα οὔτε δαπανώντας χρήματα οὔτε μὲ τὴ σωματικὴ δύναμη οὔτε μὲ τὰ πλήθη τῶν στρατευμάτων ἢ μὲ κάτι ἄλλο παρόμοιο, ἀλλὰ μὲ τὸν ἁπλὸ λόγο, μὲ τὸν λόγο ποὺ περιεῖχε μεγάλη δύναμη, τὴν ὁποία μαρτυροῦσαν τὰ θαύματα ποὺ ἐπιτελοῦσαν. Γιατὶ ἐπεκράτησαν σ' ὅλη τὴν οἰκουμένη κηρύσσοντας τὸν Ἐσταυρωμένο καὶ ἐπιτελώντας θαύματα. Γι' αὐτὸ λέγει· «ὁ Κύριος θὰ δώση τὰ λόγια σ' ἐκείνους ποὺ κηρύσσουν τὸ εὐαγγέλιο γεμᾶτα ἀπὸ δύναμη μεγάλη», ἐννοώντας ὡς 'δύναμη' τὰ θαύματα. Πραγματικὰ δύναμη ἀπερίγραπτη ἦταν ὁ ψαρᾶς καὶ ὁ τελώνης καὶ ὁ σκηνοποιὸς μὲ ἕνα ἁπλὸ πρόσταγμα νὰ ἀνασταίνουν νεκρούς, νὰ ἐκδιώκουν δαίμονες, νὰ ἀπομακρύνουν τὸν θάνατο, νὰ ἀποστομώνουν τοὺς φιλοσόφους, νὰ κλείνουν τὰ στόματα τῶν ρητόρων, νὰ καταβάλλουν βασιλεῖς καὶ ἄρχοντες, καὶ νὰ ἐξουσιάζουν βαρβάρους καὶ Ἕλληνες καὶ κάθε ἄλλος ἔθνος. Καὶ σωστὰ μίλησε ἔτσι. Γιατὶ ὅλα αὐτὰ τὰ κατώρθωναν μὲ ἐκεῖνον τὸν λόγο, καὶ μὲ τὴ μεγάλη ἐκείνη δύναμη ἐπανέφεραν στὴ ζωὴ νεκρούς, κατέστησαν ἁμαρτωλοὺς σὲ δικαίους, χάρισαν σὲ τυφλοὺς τὴν ὅραση, καὶ ἀπάλλαξαν τὸ σῶμα ἀπὸ τὶς ἀσθένειες καὶ τὴν ψυχὴ ἀπὸ τὴν κακία.

Ἀπὸ ποῦ ὅμως δόθηκε σ' αὐτοὺς ἡ δύναμη αὐτή; Τὸ ὅτι δόθηκε ἀπὸ τὸ ἅγιο Πνεῦμα, καὶ αὐτὸ ἀποδεικνύεται ἀπὸ αὐτό· γιατὶ λέγει, «ἦταν γεμᾶτοι ἀπὸ Πνεῦμα»[57]. Καὶ προφήτευαν ἐξ ἴσου ἄνδρες καὶ γυναῖκες. Γλῶσσες ὑπὸ μορφὴ πυρὸς κάθισαν ἐπάνω στὸν καθένα ἀπὸ αὐτούς[58]. Καὶ αὐτὸ ὁ Ἰωὴλ τὸ εἶπε ἀπὸ πρίν, λέγοντας τὰ ἑξῆς· «θὰ ἐκχύσω τὶς δωρεὲς τοῦ Πνεύματός μου σὲ κάθε ἄνθρωπο καὶ θὰ προφητεύσουν οἱ υἱοί σας, οἱ θυγατέρες σας θὰ δοῦν ὁράσεις καὶ οἱ νεώτεροι ἀπὸ σᾶς θὰ λάβουν ἀποκαλύψεις μὲ τὰ ἐνύπνια· θὰ ἐκχύσω τὶς δωρεές μου καὶ στοὺς δούλους μου καὶ στὶς δοῦλες μου, προτοῦ νὰ ἔλθη ἡ μεγάλη καὶ ἐπιφανὴς ἡμέρα τοῦ Κυρίου»[59], ὀνομάζοντας «μεγάλη ἡμέρα καὶ ἐπιφανῆ» τὴν ἡμέρα τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος, καθὼς καὶ ἐκείνην τῆς συντέλειας ποὺ πρόκειται νὰ ἔλθη. Ὁ ἴδιος αὐτὸς προφήτης, προλέγοντας καὶ τὴν διὰ τῆς πίστεως σωτηρία (γιατὶ οὔτε καὶ αὐτὸ ἀποσιωπήθηκε), λέγει· «καὶ θὰ συμβῆ τότε νὰ σωθῆ ἐκεῖνος ποὺ θὰ ἐπικαλεσθῆ τὸ ὄνομα τοῦ Κυρίου»[60].

6. Πανταχοῦ τῆς οἰκουμένης κήρυκας ἀποστελεῖ καὶ οὐδεὶς ἀνήκοος ἔσται τοῦ κηρύγματος· καὶ τοῦτο προαναπεφώνηται. Ἄκουε γὰρ τοῦ Δαυὶδ λέγοντος τοῦτο καὶ προφητεύοντος· «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Εἶτα δεικνὺς καὶ ὅτι μετ' ἐξουσίας ἐκήρυττον καὶ τῶν τὰ διαδήματα περιβεβλημένων δυνατώτεροι ἦσαν, ἀλλαχοῦ πάλιν ὁ αὐτὸς λέγει· «καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν». Ὅτι δὲ καὶ βασιλέων μᾶλλον καὶ ἀρχόντων κρείττους ὑπῆρχον Πέτρος καὶ Παῦλος, δηλοῖ τὰ πράγματα. Οἱ γοῦν τῶν βασιλέων νόμοι καὶ ζώντων αὐτῶν καταλύονται, οἱ δὲ τῶν ἁλιέων ἐκείνων καὶ ἀποθανόντων πεπήγασι καὶ μένουσιν ἀκίνητοι, καὶ ταῦτα καὶ δαιμόνων καὶ συνηθείας χρονίου καὶ κακίας καὶ ἡδονῆς καὶ μυρίων ἑτέρων ἐπιχειρησάντων αὐτοὺς ἀναμοχλεῦσαι. Δηλῶν δὲ πάλιν ὅτι καταστάντες ἄρχοντες αὐτοὶ δὴ οὗτοι ἐπέραστοι πᾶσι καὶ ποθεινοὶ ἔσονται, ἐπήγαγε λέγων, «διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα», τοῦτ' ἔστιν, εὐχαριστήσουσί σοι καὶ χάριν εἴσονται πολλήν, ὅτι τοιούτους ἄρχοντας ἔδωκας.

Ὅτι δὲ καὶ τὸ κήρυγμα πανταχοῦ κρατήσει, προαναπεφώνηται. Ὅρα τὸν Δαυὶδ τοῦτό σοι παριστῶντα δι' ὧν λέγει· «αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς». Καὶ πάλιν ἀλλαχοῦ ἕτερος προφήτης φησὶ τὸ αὐτὸ δηλῶν· «πλησθήσεται ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας». Σκόπει καὶ τὸ εὔκολον τῆς ὑπακοῆς· «οὐ μὴ διδάξουσιν ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν». Τὸ ἀρραγὲς τῆς Ἐκκλησίας· «ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου καὶ ἐπ' ἄκρον τῶν ὀρέων ὁ οἶκος Κυρίου καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν καὶ ἥξουσιν ἐπ' αὐτὸ λαοὶ πολλοὶ καὶ

61. Ψαλμ. 18,5.
62. Ψαλμ. 44,17.
63. Ψαλμ. 44,18.
64. Ψαλμ. 2,8.

6. Θὰ ἀποστείλη κήρυκες σὲ ὅλο τὸν κόσμο καὶ δὲν θὰ ὑπάρξη κανεὶς ποὺ νὰ μὴ ἀκούση τὸ κήρυγμα· καὶ αὐτὸ ἔχει προλεχθῆ. Ἄκουσε λοιπὸν τὸν Δαυΐδ νὰ τὸ λέγη καὶ νὰ τὸ προφητεύη· «σ' ὅλη τὴ γῆ ἀκούσθηκε ὁ λόγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὸ κήρυγμα αὐτῶν»[61]. Ἔπειτα δείχνοντας καὶ ὅτι κήρυτταν ἔχοντας ἐξουσία καὶ ὅτι ἦταν καὶ ἀπὸ ἐκείνους ποὺ φοροῦν τὰ βασιλικὰ στέμματα πιὸ ἰσχυροί, λέγει πάλι ἀλλοῦ ὁ ἴδιος· «θὰ ἐγκαταστήσης αὐτοὺς ἄρχοντες σ' ὅλη τὴ γῆ»[62]. Καὶ ὅτι ὁ Πέτρος καὶ ὁ Παῦλος ἦταν καὶ ἀπὸ τοὺς βασιλεῖς καὶ ἀπὸ τοὺς ἄρχοντες ἀνώτεροι, τὸ φανερώνουν τὰ πράγματα. Οἱ νόμοι δηλαδὴ τὸν βασιλέων καταργοῦνται ἐνῶ αὐτοὶ ζοῦν ἀκόμη, ἐνῶ τῶν ψαράδων ἐκείνων καὶ μετὰ τὸ θάνατό τους εἶναι γερὰ θεμελιωμένοι καὶ παραμένουν ἀμετακίνητοι, ἂν καὶ οἱ δαίμονες καὶ ἡ μακροχρόνια συνήθεια καὶ ἡ κακία καὶ ἡ ἡδονὴ καὶ ἄπειρα ἄλλα ἐπιχείρησαν νὰ τοὺς ἀνατρέψουν. Γιὰ νὰ δείξη πάλι ὅτι, ἀφοῦ καταστοῦν αὐτοὶ ἄρχοντες τοῦ κόσμου, θὰ εἶναι ἀξιαγάπητοι σ' ὅλους καὶ ποθητοί, πρόσθεσε καὶ εἶπε· «γι' αὐτὸ οἱ λαοὶ θὰ σὲ δοξολογοῦν αἰώνια»[63]· δηλαδὴ θὰ σὲ εὐχαριστήσουν καὶ θὰ σοῦ χρεωστοῦν μεγάλη χάρη, γιὰ τὸ ὅτι τοὺς ἔδωσες τέτοιους ἄρχοντες.

Τὸ ὅτι ὅμως καὶ τὸ κήρυγμα θὰ ξαπλωνόταν παντοῦ, καὶ αὐτὸ προλέχθηκε. Πρόσεχε τὸν Δαυΐδ ποὺ σοῦ τὸ δηλώνει αὐτὸ μὲ τὰ ὅσα λέγει· «ζήτησε ἀπὸ ἐμένα καὶ θὰ σοῦ δώσω ὡς κληρονομιά σου ὅλα τὰ ἔθνη καὶ ἡ ἐξουσία σου θ' ἁπλωθῆ μέχρι τὰ πέρατα τῆς γῆς»[64]. Καὶ ἄλλος προφήτης ἐπίσης σὲ ἄλλο μέρος τὸ ἴδιο δηλώνει· «θὰ γεμίση ὅλη γενικὰ ἡ γῆ ἀπὸ τὴ γνώση τοῦ Κυρίου, σὰν τὸ πολὺ νερὸ ποὺ κατακαλύπτει τὶς θάλασσες»[65]. Πρόσεχε καὶ τὴν εὐκολία τῆς ὑπακοῆς σ' αὐτόν· «δὲν θὰ διδάξουν ὁ καθένας τὸν πλησίον του καὶ ὁ κάθε ἀδελφὸς τὸν ἀδελφό του, λέγοντας, 'γνώρισε τὸν Κύριο', γιατὶ ὅλοι θὰ μὲ γνωρίσουν ἀπὸ τὸν μικρὸ μέχρι τὸν μεγάλο»[66]. Ἀλλὰ καὶ τὸ ἀρραγὲς τῆς Ἐκκλησίας προλέχθηκε· «θὰ εἶναι κατὰ τὶς ἔσχατες ἡμέρες ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου καὶ ὁ οἶκος τοῦ Κυρίου θὰ εἶναι ὁρατὸς ἀπὸ πολὺ μακριὰ σὰν νὰ βρίσκεται ἐπάνω σὲ ὄρη, καὶ θὰ ὑψωθῆ ἐπάνω ἀπὸ τὰ

65. Ἠσ. 11,9.
66. Ἰερ. 31,34.

ἔθνη πολλά». *Καὶ ὅτι οὐ παγία ἔσται μόνον καὶ ἀκίνητος καὶ ἀρραγής, ἀλλὰ καὶ πολλὴν πρυτανεύσει τῇ οἰκουμένῃ εἰρήνην καὶ αἱ μὲν κατὰ πόλεις πολυαρχίαι καταλυθήσονται καὶ αἱ μοναρχίαι, μία δέ τις ἔσται βασιλεία εἰς πάντας ἀρθεῖσα καὶ τὸ πλέον αὐτῆς ἐν εἰρήνῃ ἔσται, οὐ καθάπερ ἔμπροσθεν· τὸ μὲν γὰρ παλαιὸν χειροτέχναι πάντες καὶ ῥήτορες ὅπλα ἐτίθεντο καὶ ἐπὶ παρατάξεως ἐστήκεσαν· τοῦ Χριστοῦ δὲ παραγενομένου πάντα ἐκεῖνα διελύθη καὶ εἰς μέρος διωρισμένον τὰ τῶν πολέμων περιέστη. Καὶ τοῦτο δὴ προφήτης δηλῶν τις ἔλεγε· «καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα καὶ οὐ λήψεται ἐπ' ἔθνος μάχαιραν καὶ μὴ μάθωσιν ἔτι πολεμεῖν». Πρότερον μὲν γὰρ ἐν τούτοις ἔζων ἅπαντες, νυνὶ δὲ καὶ τῆς τέχνης αὐτῆς ἐπελάθοντο, μᾶλλον δὲ οἱ πλείους οὐδὲ ἐγεύσαντο τὴν ἀρχήν· εἰ δέ τινες καὶ εἶεν, ὀλίγοι καὶ οὐ συνεχεῖς οὐδὲ πολλοί, ὥσπερ ἐν ἀρχῇ κατὰ πᾶν ἔθνος μυρίων ἐπαναστάσεων γινομένων.*

Εἶτα δεικνὺς καὶ πόθεν συστήσεται ἡ Ἐκκλησία, προλέγει. Ἐπειδὴ γὰρ οὐκ ἐπιεικεῖς ἄνθρωποι μόνον, οὐδὲ ἥμεροι καὶ χρηστοί, ἀλλὰ καὶ ἄγριοι καὶ ἀπάνθρωποι καὶ οἷόν τινες λύκοι καὶ λέοντες καὶ ταῦροι κατὰ τὸν τρόπον ἔμελλον συναγελάζεσθαι αὐτοῖς καὶ πάντες Ἐκκλησία γίνεσθαι μία, ἄκουσον πῶς τὸ ποικίλον τῆς ἀγέλης ταύτης ὁ προφήτης ἐδήλωσεν εἰπών· «τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνός», τὸ λιτὸν διὰ τούτου τῆς διαίτης τῶν βασιλέων ἐμφαίνων. Ὅτι δὲ οὐ περὶ θηρίων ἐστὶ ταῦτα, εἰπάτω Ἰουδαῖος πότε τοῦτο γέγονεν· οὐδέ ποτε γὰρ λύκος μετὰ ἀρνὸς ἐβοσκήθη· εἰ δὲ καὶ ἔμελλε βόσκεσθαι, τί τοῦτο τὸ τῶν ἀνθρώπων ὠφέλει γένος; Ἀλλὰ περὶ τῶν ἀγρίων τὸν τρόπον ἀνθρώπων λέγει, περὶ Σκυθῶν, περὶ Θρᾳκῶν, περὶ Μαύρων, περὶ Ἰνδῶν, περὶ Σαυροματῶν, περὶ Περσῶν. Ὅτι δὲ ταῦτα πάντα τὰ ἔθνη ὑπὸ ἕνα ἄγεται ζυγὸν καὶ ἄλλος προφήτης δηλῶν ἔλεγε· «καὶ δουλεύσουσιν

67. Ἠσ. 2,2.
68. Ἠσ. 2,4.
69. Ἠσ. 11,6.

βουνὰ καὶ θὰ προστρέξουν σ' αὐτὸ λαοὶ πολλοὶ καὶ ἔθνη πολλά»[67]. Καὶ ὅτι ἡ Ἐκκλησία δὲν θὰ εἶναι μόνο σταθερὴ καὶ ἀμετακίνητη καὶ ἀρραγής, ἀλλὰ καὶ θὰ συντελέση στὸ νὰ βασιλεύση στὸν κόσμο ἡ εἰρήνη, καὶ ὅτι θὰ καταλυθοῦν στὶς πόλεις οἱ πολυαρχίες καὶ οἱ μοναρχίες καὶ θὰ ἱδρυθῆ μία βασιλεία, ποὺ θὰ τοὺς περιλάβη ὅλους καὶ θὰ ἐπικρατῆ στὸ μεγαλύτερο μέρος της εἰρήνη καὶ ὄχι ὅπως προηγουμένως. Γιατὶ πρωτύτερα ὅλοι οἱ χειροτέχνες καὶ οἱ ρήτορες ἔπαιρναν τὰ ὅπλα καὶ ἦταν ἕτοιμοι νὰ πολεμήσουν, ὅταν ὅμως ἦλθε ὁ Χριστὸς διελύθηκαν ὅλα ἐκεῖνα καὶ περιωρίσθηκε ὁ πόλεμος σὲ ὡρισμένα μέρη. Καὶ αὐτὸ λοιπὸν δηλώνοντάς το κάποιος προφήτης ἔλεγε· «καὶ θὰ μετατρέψουν τὰ μαχαίρια τους σὲ ἄροτρα καὶ τὰ δόρατά τους σὲ δρεπάνια καὶ δὲν θὰ λάβη πλέον μάχαιρα ἕνα ἔθνος ἐναντίον ἄλλου καὶ δὲν θὰ μαθαίνουν πιὰ νὰ πολεμοῦν»[68]. Γιατὶ πιὸ μπροστὰ ζοῦσαν ὅλοι μέσα στοὺς πολέμους, ἐνῶ τώρα ξέχασαν καὶ αὐτὴν ἀκόμη τὴν πολεμικὴ τέχνη, ἢ καλύτερα οἱ περισσότεροι ἄνθρωποι οὔτε κἂν γνώρισαν αὐτήν. Ἂν ὅμως καὶ τώρα γίνωνται πόλεμοι, εἶναι λίγοι καὶ ὄχι διαρκεῖς οὔτε καὶ πολλοί, ὅπως παλαιότερα ποὺ ξεσποῦσαν σὲ κάθε ἔθνος μύριες ἐπαναστάσεις.

Ἔπειτα γιὰ νὰ δείξη καὶ ἀπὸ ποῦ θὰ συσταθῆ ἡ Ἐκκλησία, τὸ προλέγει καὶ αὐτό. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ ἀποτελέσουν μία ἀγέλη ὄχι μόνο ἄνθρωποι ἤπιοι στὸν χαρακτῆρα καὶ ἥμεροι καὶ ἐνάρετοι, ἀλλὰ καὶ ἄγριοι καὶ ἀπάνθρωποι καὶ σὰν λύκοι μερικοὶ καὶ λιοντάρια καὶ ταῦροι στὸν χαρακτῆρα, καὶ ὅλοι αὐτοὶ νὰ ἀποτελέσουν μία Ἐκκλησία, ἄκουσε πῶς ὁ προφήτης δήλωσε τὸ ποικίλο τῆς ἀγέλης αὐτῆς λέγοντας· «τότε θὰ βοσκήση ὁ λύκος μαζὶ μὲ τὸ ἀρνί»[69], ἐννοώντας μὲ αὐτὸ τὴ λιτότητα τῆς ζωῆς τῶν βασιλέων. Τὸ ὅτι αὐτὰ δὲν λέγονται γιὰ τὰ ζῶα, ἂς μᾶς πῆ ὁ Ἰουδαῖος, πότε ἔγινε αὐτό· γιατὶ ποτὲ ὁ λύκος δὲν βόσκησε μαζὶ μὲ τὸ ἀρνί· ἀλλὰ καὶ ἂν ἀκόμη ἐπρόκειτο νὰ βοσκήση, σὲ τί θὰ ὠφελοῦσε αὐτὸ τὴν ἀνθρωπότητα; Ἑπομένως ἐννοεῖ μ' αὐτὸ τὸν χαρακτῆρα τῶν ἀγρίων ἀνθρώπων, τοὺς Σκῦθες δηλαδή, τοὺς Θρᾶκες, τοὺς Μαύρους, τοὺς Ἰνδούς, τοὺς Σαυρομάτες καὶ τοὺς Πέρσες. Καὶ ὅτι ὅλα αὐτὰ τὰ ἔθνη θὰ ζοῦσαν κάτω ἀπὸ τὴν ἴδια ἐξουσία, καὶ ἕνας ἄλλος προφήτης τὸ δήλωσε λέγοντας· «καὶ θὰ δουλεύσουν σ' αὐ-

αὐτῷ ὑπὸ ζυγὸν ἕνα καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ»· οὐκέτι, φησίν, ἐν Ἱεροσολύμοις μόνον, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης· οὐκέτι γὰρ εἰς Ἱεροσόλυμα κελεύονται ἄνθρωποι ἀπιέναι, ἀλλ' ἕκαστος οἴκοι μένων, τὴν λατρείαν ταύτην ἐπιτελεῖ.

7. Ὅτι ἔμελλον Ἰουδαῖοι ἐκβάλλεσθαι, οὐδὲ τοῦτο σεσίγηται· καὶ ὅρα πῶς καὶ τοῦτο προεῖπεν ὁ προφήτης, «ἰδοὺ ἐν ὑμῖν συγκλεισθήσονται θύραι καὶ οὐκ ἀνάψετε τὸ θυσιαστήριόν μου δωρεάν». Καί τινες μέλλουσι θεραπεύειν, καὶ αὐτὸ προαναπεφώνηται. «Ἀπὸ ἀνατολῶν ἡλίου», φησί, «μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι»· καὶ πάλιν, «ἐν παντὶ τόπῳ θυμίαμα προσάγεταί μοι καὶ θυσία καθαρά». Εἶδες πῶς τῆς λατρείας τὴν εὐγένειαν παρεδήλωσε; πῶς τὸ ἐξαίρετον καὶ παρηλλαγμένον; καὶ ὅτι οὐκ ἐν τόπῳ, ἀλλ' ἐν τρόπῳ, οὐδὲ ἐν κνίσσῃ καὶ καπνῷ, ἀλλ' ἐν ἑτέρᾳ λατρείᾳ ἔσται τὰ τῆς θεραπείας;

Καὶ πῶς τούτους, φησίν, ἅπαντας ἐπεσπάσαντο οἱ ἀπόστολοι; Ὁ μίαν γλῶτταν ἔχων τὴν ἰουδαϊκήν, πῶς τὸν Σκύθην καὶ τὸν Ἰνδὸν καὶ τὸν Σαυρομάτην καὶ τὸν Θρᾷκα ἔπεισε; Λαβὼν παρὰ τῆς τοῦ Πνεύματος δωρεᾶς τὴν χάριν τῆς πολυφωνίας ταύτης. Καὶ τοῦτο μὲν περὶ τῶν ἐθνῶν· περὶ δὲ τοῦ Ἰσραήλ, τὸ τῶν γλωσσῶν χάρισμα· καὶ ὅτι οὐδὲ τοῦτο ἐπεσπάσατο τοὺς Ἰουδαίους, ἄκουε πῶς δείκνυσιν ὁ προφήτης λέγων· «ἐν ἑτερογλώσσοις γὰρ καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος». Τί τούτου σαφέστερον ἴδοι τις ἄν;

Ἔμελλον Ἰουδαῖοι ἀπιστεῖν, τὰ δὲ ἔθνη προστρέχειν· καὶ τοῦτο προεκηρύχθη. Ἄκουε τοῦ Ἡσαΐου τοῦτο δηλοῦντος καὶ λέγοντος· «εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. Εἶπον, ἰδού εἰμι, τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ

70. Σοφ. 3,9.
71. Ἰω. 4,20 ἑ.
72. Μαλαχ. 1,10.
73. Μαλαχ. 1,11.
74. Ἰω. 4,23–24.

τὸν κάτω ἀπὸ ἕνα ζυγὸ καὶ θὰ προσκυνήσουν αὐτὸν ὁ καθένας στὸν τόπο του»[70]. Ὄχι πιὰ μόνο στὰ Ἱεροσόλυμα, ἀλλὰ σὲ ὅλο τὸν κόσμο. Γιατὶ δὲν προτρέπονται πιὰ οἱ ἄνθρωποι νὰ μεταβαίνουν στὰ Ἱεροσόλυμα, ἀλλ' ὁ καθένας ἐπιτελεῖ τὴν λατρεία τοῦ Θεοῦ στὴν πατρίδα του[71].

7. Τὸ ὅτι ἐπρόκειτο οἱ Ἰουδαῖοι νὰ στερηθοῦν τὶς ἐπαγγελίες, οὔτε αὐτὸ ἔχει ἀποσιωπηθῆ. Καὶ πρόσεχε πῶς καὶ αὐτὸ τὸ προεῖπε ὁ προφήτης· «νά, θὰ κλεισθοῦν οἱ θύρες τοῦ ναοῦ καὶ δὲν θ' ἀνάψετε πλέον ἄσκοπα τὸ θυσιαστήριό μου»[72]. Ἀλλὰ καὶ ποιοί πρόκειται νὰ τὸν λατρεύσουν, καὶ αὐτὸ ἔχει προλεχθῆ. «Ἀπὸ τὰ μέρη ποὺ ἀνατέλλει ὁ ἥλιος», λέγει, «καὶ μέχρι ἐκεῖ ποὺ δύει θὰ δοξάζεται τὸ ὄνομά μου μεταξὺ τῶν ἐθνικῶν» καὶ πάλι· «σὲ κάθε τόπο μοὺ προσφέρεται θυμίαμα καὶ θυσία καθαρή»[73]. Εἶδες πῶς ἔδειξε τὴν εὐγένεια τῆς λατρείας; πῶς τὸ ἐξαίρετο καὶ διαφορετικὸ αὐτῆς; καὶ ὅτι ἡ προσκύνηση τοῦ Θεοῦ δὲν θὰ προσδιορίζεται ἀπὸ τὸν τόπο, ἀλλὰ ἀπὸ τὸν τρόπο, οὔτε θὰ γίνεται μὲ κνίσσες καὶ καπνούς, ἀλλὰ μὲ κάποιον ἄλλο τρόπο λατρείας;[74].

Καὶ πῶς, λέγει, οἱ Ἀπόστολοι τοὺς προσέλκυσαν ὅλους αὐτούς; Αὐτὸς ποὺ γνώριζε μία μόνο γλῶσσα, τὴν ἰουδαϊκή, πῶς ἔπεισε τὸν Σκύθη καὶ τὸν Ἰνδὸ καὶ τὸν Σαυρομάτη καὶ τὸν Θρᾶκα; Λαμβάνοντας ἀπὸ τὴ δωρεὰ τοῦ ἁγίου Πνεύματος τὸ χάρισμα τῆς πολυγλωσσίας αὐτῆς[75]. Καὶ αὐτὸ βέβαια προκειμένου γιὰ τοὺς ἐθνικούς· ὅσον ἀφορᾶ τὸν Ἰσραήλ, ἔλαβε τὸ χάρισμα τῶν γλωσσῶν. Καὶ ὅτι οὔτε αὐτὸ προσέλκυσε τοὺς Ἰουδαίους, ἄκουσε πῶς τὸ δείχνει ὁ προφήτης, λέγοντας· «μὲ διαφορετικὲς γλῶσσες καὶ μὲ ἄλλα χείλη θὰ μιλήσω πρὸς τὸν λαὸ αὐτὸν καὶ οὔτε ἔτσι θὰ μὲ ἀκούσουν, λέγει Κύριος»[76]. Τί θὰ μποροῦσε νὰ ὑπάρξη σαφέστερο ἀπ' αὐτό;

Ἐπρόκειτο νὰ ἀπιστήσουν οἱ Ἰουδαῖοι καὶ νὰ πιστέψουν οἱ Ἐθνικοί· καὶ αὐτὸ προλέχθηκε. Ἄκουε τὸν Ἠσαΐα ποὺ τὸ δηλώνει αὐτὸ καὶ λέγει· «βρέθηκα ἀπὸ ἐκείνους ποὺ δὲν μὲ ζητοῦν· ἔγινα φανερὸς σ' ἐκείνους ποὺ δὲν μὲ ἐρωτοῦν. Εἶπα· νά, ἐγὼ βρίσκομαι ἀνάμεσα στὸ ἔθνος ἐκεῖνο ποὺ δὲν ἐπικαλέσθηκε

75. Πράξ. 2,3 ἑ.
76. Ἠσ. 28,11.

ὄνομά μου». Περὶ δὲ τοῦ Ἰσραήλ, «ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα»· καὶ πάλιν, «ἀνηγγείλαμεν αὐτῷ ὡς παιδί, ὡς ρίζα ἐν γῇ διψώσῃ»· καὶ πάλιν, «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;» Οὐκ εἶπε, 'τῇ διδασκαλίᾳ ἡμῶν', ἐνταῦθα δεικνύς, ὅτι οὐκ οἴκοθέν τι ἐφθέγγοντο, ἀλλ' ἅπερ ἤκουσαν παρὰ τοῦ Θεοῦ, ταῦτα ἀπήγγειλαν.

Ὅτι προτιμᾶσθαι δεῖ πάλιν τὰ ἡμέτερα τῶν ἐκείνων καὶ πολλῷ τιμιώτερα γίνεσθαι, καὶ τοῦτο παρεδήλωσε Μωϋσῆς εἰπών· «παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς», τὴν προτέραν εὐτέλειαν τοῦ λαοῦ λέγων διὰ τοῦ «ἐπ' οὐκ ἔθνει» εἰπεῖν· οὐδὲ γὰρ ἔθνος εἶναι ἐνομίζετο διὰ τὴν πολλὴν εὐτέλειαν, διὰ τὴν μωρίαν, διὰ τὴν ἄνοιαν· ἀλλ' ἀπὸ τῆς πίστεως τοσαύτη γέγονεν ἡ μεταβολή, ὡς ἐκείνων τῶν τιμωμένων πολλῷ τιμιωτέρους φανῆναι. Ὅτι ἔμελλε δάκνειν Ἰουδαίους τοῦτο αὐτὸ καὶ ἐκ τούτου βελτίους γίνεσθαι καὶ τοῦτο ἐντεῦθεν δηλοῦται. Οὐ γὰρ ἁπλῶς εἶπε, προτιμήσω, ἀλλ' ὁμοῦ καὶ τοῦτο δηλῶν καὶ τὴν ἐκ παραζηλώσεως γενησομένην αὐτοῖς ὅπως δήποτε διόρθωσιν, «παραζηλώσω ὑμᾶς», φησίν, «ἐπ' οὐκ ἔθνει»· ὡσεὶ ἔλεγε, τοσαῦτα δώσω αὐτοῖς ἀγαθά, ὡς ὑμᾶς ζηλοτυπῆσαι, ὡς ὑμᾶς δηχθῆναι. Τοῦτο γοῦν αὐτοὺς βελτίους ἐποίησεν. Οἱ γὰρ θάλατταν σχιζομένην, πέτρας ρηγνυμένας, ἀέρα μεταβαλλόμενον καὶ τοσαῦτα τεράστια θεωροῦντες, μᾶλλον δὲ οἱ τὰ ἑαυτῶν τέκνα θύοντες καὶ τῷ Βεελφεγὼρ τελούμενοι καὶ μαγγανείαις πολλαῖς προσχόντες, οὗτοι, ἐπειδὴ προσήλθομεν ἡμεῖς καὶ πολλῷ προτιμότερα τὰ ἡμέτερα ἐκείνων γέγονεν, οὕτως ὑπὸ τῆς ζηλοτυπίας ἐδήχθησαν καὶ βελτίους ἐγένοντο καὶ συνεστάλησαν, ὥστε ὅσα μὴ κατώρθωσαν προφητῶν ἀκούοντες καὶ τεράστια βλέποντες, ταῦτα ἐκ τῆς πρὸς ἡμᾶς ζηλοτυπίας κατορθῶσαι. Οὐδεὶς γοῦν αὐτῶν οὐ τέκνα σφάζει νῦν,

77. Ἡσ. 65,1–2.
78. Ἡσ. 53,2.
79. Ἡσ. 53,1.
80. Δευτ. 32,21.
81. Πρόκειται γιὰ τὴ Μωαβιτικὴ θεότητα Βάαλ, ποὺ λατρευόταν ἐπάνω στὸ ὄρος Φογὼρ καὶ μάλιστα ἀπὸ πολλοὺς Ἰσραηλῖτες. Βλ. Ἀριθμ. 25,1–9. 31,16. Δευτ. 4,3, Ἰησ. Ναυῆ 22,17.

τὸ ὄνομά μου». Ἐνῶ γιὰ τὸν Ἰσραὴλ λέγει· «ὅλη τὴν ἡμέρα ἅπλωσα τὰ χέρια μου πρὸς λαὸ ποὺ δὲν ὑπακούει καὶ ἀντιλέγει»[77]· καὶ πάλι· «ἀναγγείλαμε αὐτὸν σὰν παιδί, σὰν ρίζα σὲ γῆ διψασμένη»[78]· καὶ πάλι· «Κύριε, ποιός πίστεψε στὰ ὅσα ἀκούσαμε ἀπὸ σένα; καὶ ἡ δύναμη τοῦ Κυρίου σὲ ποιόν φανερώθηκε;»[79]. Δὲν εἶπε, 'στὴ διδασκαλία μας', ἀλλὰ σ' αὐτὰ ποὺ ἀκούσαμε ἀπὸ τὸν Θεό, γιὰ νὰ δείξη μὲ αὐτὸ ὅτι δὲν κήρυτταν κάτι δικό τους.

Τὸ ὅτι πάλι ἔπρεπε νὰ προτιμηθοῦν τὰ δικά μας παρὰ τὰ δικά τους καὶ νὰ γίνουν πολὺ πιὸ τιμιώτερα, καὶ αὐτὸ τὸ προεῖπε ὁ Μωϋσῆς λέγοντας· «θὰ σᾶς κάνω νὰ ζηλοτυπήσετε γιὰ ἄλλο ἔθνος, καὶ θὰ σᾶς κάνω νὰ ἀγανακτήσετε γιὰ τὸ ἔθνος αὐτό[80], ἐννοώντας μὲ τὸ «ἐπ' οὐκ ἔθνει» τὴν προηγούμενη εὐτέλεια τῶν ἐθνικῶν· γιατὶ οὔτε κἂν ἔθνος θεωροῦνταν ἐξ αἰτίας τῆς μεγάλης εὐτέλειάς τους, τῆς μωρίας τους καὶ τῆς ἀνοησίας τους. Ἀπὸ τότε ὅμως ποὺ πίστεψαν τόση μεγάλη μεταβολὴ ἔγινε, ὥστε νὰ καταστοῦν πολὺ πιὸ τιμιώτεροι ἀπὸ ἐκείνους ποὺ τιμοῦνταν προηγουμενως. Τὸ ὅτι αὐτὸ ἐπρόκειτο νὰ πληγώση τοὺς Ἰουδαίους καὶ νὰ γίνουν ἐξ αἰτίας αὐτοῦ καλύτεροι, καὶ αὐτὸ δηλώνεται ἀπὸ τὰ λεγόμενα αὐτά. Γιατὶ δὲν εἶπε ἁπλῶς θὰ σᾶς προτιμήσω, ἀλλὰ δηλώνοντας συγχρόνως καὶ αὐτό, τὴ διόρθωση δηλαδὴ ποὺ θὰ γινόταν σ' αὐτοὺς ἐξ αἰτίας αὐτῆς τῆς ζήλειας, «θὰ σᾶς κάμω νὰ ζηλοτυπήσετε», λέγει, «πρὸς ἄλλο ἔθνος ποὺ δὲν τὸ θεωρεῖτε ἔθνος». Σὰν νὰ ἔλεγε· 'Θὰ τοὺς δώσω τόσα πολλὰ ἀγαθά, ὥστε νὰ ζηλέψετε, ὥστε νὰ πληγωθῆτε'. Αὐτὸ βέβαια τοὺς ἔκαμε καὶ καλύτερους. Αὐτοὶ δηλαδὴ ποὺ εἶδαν τὴ θάλασσα νὰ σχίζεται, τὶς πέτρες νὰ σπᾶνε, τὸν ἀέρα νὰ μεταβάλλεται καὶ τόσα ἄλλα παράδοξα, ἢ καλύτερα ἐκεῖνοι ποὺ θυσίαζαν τὰ ἴδια τους τὰ παιδιὰ καὶ λάτρευαν τὸν Βεελφεγὼρ[81] καὶ εἶχαν προσκληθῆ σὲ μαγεῖες πολλές, αὐτοί, ἐπειδὴ προσήλθαμε ἐμεῖς στὸν Χριστὸ καὶ τὰ πράγματα τὰ δικά μας ἔγιναν προτιμώτερα ἀπὸ τὰ ἰδικά τους, τόσο πολὺ πληγώθηκαν ἀπὸ τὴ ζηλοτυπία τους καὶ ἔγιναν καλύτεροι καὶ περιωρίσθηκαν, ὥστε, ὅσα δὲν κατώρθωσαν νὰ κάμουν ἀκούοντας τοὺς προφῆτες καὶ βλέποντας θαύματα, αὐτὰ νὰ τὰ ἐπιτύχουν ἐξ αἰτίας τῆς ζηλοτυπίας τους πρὸς ἐμᾶς. Γιατὶ κανεὶς πιὰ ἀπ' αὐτοὺς δὲν σφάζει τὰ παιδιά του οὔτε καὶ τρέχει στὰ εἴδωλα,

οὐκ εἰδώλοις προστρέχει, οὐ μόσχον προσκυνεῖ. Τὸ τῆς παρθενίας σεμνὸν ἐπὶ μὲν τῆς Παλαιᾶς οὐδὲ μέχρις ὀνόματος ἦν· ἐπὶ δὲ τῆς Καινῆς ἐπεὶ ἔμελλε διαλάμπειν, ὅρα πῶς καὶ τοῦτο προλέγει ὁ Δαυὶδ οὕτω λέγων· «ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, ἀχθήσονται εἰς ναὸν βασιλέως». Ἀλλ' οὐδὲ αὐτὸ τὸ τῶν ἱερέων ὄνομα ἀπεσιώπησε, τὸ τῶν ἐπισκόπων λέγω. «Καταστήσω γὰρ τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ», φησί, «καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ».

8. Ἔμελλε παραγίνεσθαι καὶ εὐθύνας ἀπαιτεῖν τὸ τῶν ἀνθρώπων γένος καὶ μετὰ τῶν ἄλλων καὶ Ἰουδαίους. Ὅρα πῶς καὶ αὐτὸ προλέγει ὅ τε Δαυίδ, ὅ τε Μαλαχίας· ὁ μὲν οὕτω λέγων· «καὶ εἰσῆλθεν ὡς χωνευτήριον, ὡς ποιὰ πλυνόντων, καὶ διακαθαριεῖ τὸ ἀργύριον καὶ τὸ χρυσίον», συγγενῆ τοῖς Παύλου εἰπὼν γράφοντος οὕτως· «ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται»· ὁ δὲ Δαυίδ, «ὁ Θεὸς ἐμφανῶς ἥξει», πάλιν τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀνακηρύττων. Ἡ μὲν γὰρ προτέρα πολλὴν εἶχε τὴν συγκατάβασιν, ἡ δὲ δευτέρα οὐχ οὕτως, ἀλλὰ φρίκης γέμουσα καὶ καταπλήξεως, ἐκ τῶν προτρεχόντων ἀγγέλων, τῆς παρουσίας αὐτοῦ δίκην ἀστραπῆς πάντα καταλαμβανούσης. «Ὥσπερ γὰρ ἡ ἀστραπή», φησίν, «ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου»· τὸ περιφανὲς ταύτῃ δηλῶν, τὸ αὐτοάγγελτον· οὐ γὰρ δεῖται τοῦ κηρύξαντος, ἀλλ' αὐτὴ ἑαυτὴν δείκνυσι. Τοῦτο τοίνυν καὶ ὁ Δαυὶδ ἐμφαίνων ἔλεγεν· «ὁ Θεὸς ἐμφανῶς ἥξει». Εἶτα καὶ τὸ δικαστήριον ὑπογράφων τὸ μέλλον, ἐπάγει καὶ λέγει· «πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά». Εἶπε τὰς τιμωρίας, λέγει καὶ τὸ λαμπρόν· «προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ δια-

82. Ψαλμ. 44,16.
83. Ἠσ. 60,17.
84. Μαλαχ. 3,3.
85. Α' Κορ. 3,13.
86. Ψαλμ. 49,3.
87. Ματθ. 24,27.
88. Ψαλμ. 49,3.

οὔτε μοσχάρι προσκυνᾶ. Τὸ σέμνωμα τῆς παρθενίας στὴν Παλαιὰ Διαθήκη οὔτε κατ' ὄνομα ὑπῆρχε, ἐνῶ στὴν Καινὴ Διαθήκη, ἐπειδὴ ἐπρόκειτο νὰ διαλάμψη, πρόσεχε πῶς καὶ αὐτὸ τὸ προλέγει ὁ Δαυΐδ, λέγοντας τὰ ἑξῆς· «θὰ προσαχθοῦν στὸν βασιλέα παρθένοι ἀκολουθώντας πίσω ἀπὸ αὐτόν, καὶ θὰ ὁδηγηθοῦν στὸν ναὸ τοῦ βασιλέως»[82]. Ἀλλ' οὔτε καὶ τὸ ὄνομα τῶν ἱερέων ἀποσιώπησε, ἐννοῶ τὸ ὄνομα τῶν ἐπισκόπων. Γιατὶ λέγει· «θὰ σοῦ δώσω ἄρχοντες ποὺ θὰ σὲ καθοδηγοῦν μὲ εἰρήνη καθὼς καὶ ἐπισκόπους ποὺ θὰ κρίνουν μὲ δικαιοσύνη»[83].

8. Ἐπρόκειτο νὰ ἔλθη καὶ νὰ ζητήση εὐθύνες ἀπὸ τοὺς ἀνθρώπους καὶ μαζὶ μὲ τοὺς ἄλλους καὶ ἀπὸ τοὺς Ἰουδαίους. Πρόσεχε πῶς καὶ αὐτὸ τὸ προλέγουν καὶ ὁ Δαυΐδ καὶ ὁ Μαλαχίας. Ὁ Μαλαχίας λέγοντας τὰ ἑξῆς· «καὶ εἰσῆλθε σὰν τὸ πῦρ τοῦ χωνευτηρίου, σὰν τὸ σταχτόνερο ἐκείνων ποὺ πλένουν, καὶ θὰ καθαρίση τὸν ἄργυρο καὶ τὸν χρυσό»[84]. Οἱ λόγοι αὐτοὶ εἶναι συγγενεῖς πρὸς τοὺς λόγους τοῦ Παύλου, ποὺ λέγει· «ἡ ἡμέρα θὰ τὸ φανερώση, γιατὶ ἡ ἡμέρα αὐτὴ ἀποκαλύπτεται μὲ φωτιά»[85]. Ἐνῶ ὁ Δαυΐδ ἔλεγε· «ὁ Θεὸς θὰ ἔλθη μὲ δόξα καὶ βλεπόμενος ἀπὸ παντοῦ»[86], διακηρύσσοντας πάλι τὴν δευτέρα παρουσία του. Γιατὶ ἡ πρώτη παρουσία συνωδευόταν ἀπὸ πολλὴ συγκατάβαση, ἡ δεύτερα ὅμως δὲν θὰ εἶναι τέτοια, ἀλλὰ θὰ εἶναι γεμάτη ἀπὸ φρίκη καὶ τρόμο, καθ' ὅσον αὐτὴ θὰ ξαπλωθῆ σ' ὁλόκληρο κόσμο σὰν ἀστραπή, ἔχοντας προπορευόμενους τοὺς ἀγγέλους. Γιατὶ λέγει, «ὅπως ἀκριβῶς ἡ ἀστραπὴ βγαίνει ἀπὸ τὴν ἀνατολὴ καὶ φαίνεται μέχρι τὴ δύση, ἔτσι θὰ συμβῆ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου»[87], δείχνοντας μὲ αὐτὸ ὅτι θὰ εἶναι ὁρατὴ ἀπὸ παντοῦ καὶ θὰ ἀναγγελθῆ ἀπὸ μόνη της· δὲν χρειάζεται δηλαδὴ κήρυκα, ἀλλ' ἡ ἴδια παρουσιάζει τὸν ἑαυτό της. Αὐτὸ γιὰ νὰ δείξη καὶ ὁ Δαυΐδ ἔλεγε· «ὁ Θεὸς θὰ ἔλθη μὲ δόξα καὶ βλεπόμενος ἀπὸ παντοῦ»[88]. Ἔπειτα παριστάνοντας καὶ τὸ μελλοντικὸ δικαστήριο προσθέτει καὶ λέγει· «φωτιὰ θὰ καίγη ἐνώπιόν του καὶ γύρω του καταιγίδα τρομερή»[89]. Εἶπε τὶς τιμωρίες, λέγει καὶ τὴ λαμπρότητα αὐτοῦ· «θὰ προσκαλέση τὸν οὐρανὸ ἀπὸ πάνω καὶ τὴν γῆ γιὰ νὰ κρίνη

89. Αὐτόθι.

κρίναι τὸν λαὸν αὐτοῦ», γῆν ἐνταῦθα τὸ γένος τῶν ἀνθρώπων λέγων. Εἶτα μετὰ τοῦ παντὸς γένους καὶ τὸ ἰουδαϊκὸν ἀριθμῶν (πρὸς γὰρ αὐτοὺς καὶ ἀποτείνεται), πάλιν ἐπάγει λέγων· «συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις· καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν».

Ἔμελλε παραγινόμενος τὴν διὰ θυσιῶν λατρείαν ἐκβάλλειν καὶ μὴ προσίεσθαι, ταύτην δὲ τὴν ἡμετέραν δέχεσθαι. Ἄκουσον πῶς καὶ περὶ τούτων προανεφωνήθη· «θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι». Ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγε· «λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου»· τοῦτ᾽ ἔστιν, οὐ θάλατταν ὁρῶν σχιζομένην, οὐ πέτρας ῥηγνυμένας, ἀλλ᾽ ἀκούσας τῶν ἀποστόλων τῶν ἐμῶν. Καὶ ἐνταῦθα πάλιν, «σῶμα δὲ κατηρτίσω μοι»· εἰπὼν δὲ τοῦτο, ἔτι προστίθησι καὶ λέγει· «τότε εἶπον, ἰδοὺ ἥκω· ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ». Δύο γὰρ δὴ ταῦτα ἐντεῦθεν δηλοῦται, καὶ ὅτι παρέσται καὶ ὅτι τότε, ὅταν ἐκβληθῶσιν αἱ θυσίαι· ὃ καὶ γέγονε τῆς ἀρχῆς μεταπεσούσης τῆς ἰουδαϊκῆς ἐπὶ τὴν ῥωμαϊκήν. Εὕρομεν δὲ καὶ τὸν Βαροὺχ περὶ τῆς παρουσίας αὐτοῦ λέγοντα οὕτως· «ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Λέγει δὲ καὶ ὁ Μωϋσῆς, «προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα. Καὶ ἔσται, πᾶσα ψυχή, ἥτις οὐκ ἀκούσει τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς». Ὁρᾷς τοῦτο ἐπ᾽ οὐδενὸς συμβάν, ἢ ἐπ᾽ αὐτοῦ μόνου; Καὶ γὰρ πολλοὶ προφῆται ἀνέστησαν καὶ πάντων παρήκουσαν, ἀλλ᾽ οὐδὲν ἔπαθον· τούτου δὲ παρακούσαντες οἱ Ἰουδαῖοι, ἀλῆται καὶ πλάνητες, φυγάδες καὶ μετανάσται περιέρχονται πανταχοῦ. Ὅρα γάρ· πολιτείας ἠλλοτριώθησαν, ἐθῶν πατρῴων καὶ νό-

90. Ψαλμ. 49,4.
91. Ψαλμ. 49,5.
92. Ψαλμ. 39,7.
93. Ψαλμ. 17,45.
94. Ψαλμ. 39,10.

τὸν λαό του»[90], ὀνομάζοντας «γῆ» τοὺς ἀνθρώπους. Ἔπειτα ἀπαριθμώντας μαζὶ μὲ ὅλους τοὺς ἀνθρώπους καὶ τοὺς Ἰουδαίους (γιατὶ πρὸς αὐτοὺς ἀπευθύνεται), προσθέτει πάλι καὶ λέγει· «συναθροίσατε ἐνώπιόν του τοὺς ἀφωσιωμένους σ' αὐτόν, ποὺ μὲ τὶς θυσίες τους ἔδειξαν ὅτι ἀποδέχθηκαν τὴ διαθήκη του καὶ θὰ ἀναγγείλουν οἱ οὐρανοὶ τὴν δικαιοσύνη αὐτοῦ, γιατὶ ὁ Θεὸς εἶναι ὁ δίκαιος κριτής»[91].

Ἐπρόκειτο ἐρχόμενος νὰ καταργήση τὴ λατρεία μέσω τῶν θυσιῶν καὶ νὰ μὴν τὴν δέχεται πιά, ἀλλὰ νὰ δέχεται μόνο τὴ δική μας. Ἄκουσε πῶς τὰ προεῖπαν καὶ αὐτα· «θυσία αἱματερὴ καὶ προσφορὰ καρπῶν δὲν θέλησες, ἀλλὰ μοῦ ἔδωσες σῶμα τέλειο»[92]. Αὐτὸ ἀκριβῶς δηλώνοντας καὶ ἀλλοῦ ἔλεγε· «λαός, ποὺ δὲν τὸν γνώριζα, μὲ ὑπηρέτησε μὲ ὑπακοή, ἀμέσως μόλις ἔφτασε ἡ εἴδηση στὰ αὐτία του ὑπάκουσε σὲ μένα»[93]· δηλαδὴ πίστεψε χωρὶς νὰ δῆ τὴ θαλασσα νὰ σχίζεται, οὔτε τὶς πέτρες νὰ ραγίζουν, ἀλλ' ἀκούοντας μόνο τὸ κήρυγμα τῶν Ἀποστόλων μου. Καὶ ἐδῶ πάλι· «μοῦ ἔδωσες σῶμα τέλειο». Κι ἀφοῦ εἶπε αὐτό, προσθέτει καὶ πάλι καὶ λέγει· «τότε εἶπα· νά, ἔρχομαι· στὴν ἐπικεφαλίδα τοῦ βιβλίου ἔχει γραφῆ αὐτὸ γιὰ μένα»[94]. Δύο δηλαδὴ πράγματα δηλώνονται μὲ αὐτά· καὶ ὅτι θὰ ἔλθη, καὶ ὅτι θὰ ἔλθη τότε, ὅταν θὰ καταργηθοῦν οἱ θυσίες, πρᾶγμα ποὺ ἔγινε μὲ τὴν ὑποταγὴ τῶν Ἰουδαίων στοὺς Ρωμαίους. Βρήκαμε ἐπίσης καὶ τὸν Βαροὺχ νὰ ὁμιλῆ γιὰ τὴν ἐνανθρώπησή του λέγοντας τὰ ἑξῆς· «φανερώθηκε στὴ γῆ καὶ συναναστράφηκε μὲ τους ἀνθρώπους[95]. Ἀλλὰ καὶ ὁ Μωϋσῆς λέγει· «προφήτη θὰ ἀναστήση ὁ Κύριος ὁ Θεὸς ἀπὸ τοὺς ἀδελφούς σας σὰν καὶ μένα· σ' ὅλα τὰ λεγόμενα αὐτοῦ νὰ ὑπακούσετε. Καὶ κάθε ψυχὴ ποὺ δὲν θὰ ἀκούση τοὺς προφῆτες ἐκείνου θὰ ἐξολοθρευθῆ καὶ θὰ χαθῆ ἀπὸ τὸ λαό της»[96]. Βλέπεις πῶς αὐτὸ δὲν συνέβηκε γιὰ κανένα ἀπὸ τοὺς προφῆτες, παρὰ μόνο γιὰ τὸν Χριστό; Καθ' ὅσον πολλοὶ προφῆτες ἐμφανίστηκαν καὶ ὅλους τοὺς παρήκουσαν, ἀλλὰ δὲν ἔπαθαν τίποτε· ὅταν ὅμως οἱ Ἰουδαῖοι παρήκουσαν τὸν Χριστό, ἀπὸ τότε περιέρχονται παντοῦ σὰν ἀλῆτες καὶ περιπλανώμενοι, σὰν φυγάδες καὶ μετανάστες. Γιατὶ πρόσεχε· στερήθηκαν τὴν πατρίδα τους καθὼς καὶ τὰ πατρικά τους ἤθη καὶ τοὺς νόμους τους, καὶ ζοῦν τώρα

95. Βαροὺχ 3,38.
96. Δευτ. 18,18.

μων, ἐν ἀτιμίᾳ καὶ αἰσχύνῃ καὶ κολάσει καὶ τιμωρίᾳ. Ἃ δὲ ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου πεπόνθασιν, οὐδὲ εἰπεῖν ἔνι· οὕτω πᾶσαν συμφορὰν ὑπερέβη ἡ τραγῳδία ἐκείνη καὶ τὸ προφητικὸν ἐπληροῦτο, ὅτι «πᾶς, ὃς ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται». Διά τοι τοῦτο τὰ ἐκείνων ἠρήμωται, ἐπειδὴ τοῦ προφήτου παρήκουσαν ἐκείνου.

Ὅτι ἀναστήσει πάντας, καὶ τοῦτο ἐδήλωσεν Ἠσαΐας εἰπών· «ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν». Οὐ μόνον δὲ ταῦτα, ἀλλ' ὅτι καὶ μετὰ τὸν σταυρόν, μετὰ τὴν σφαγὴν λαμπρότερα ἔσται τὰ κατ' αὐτόν, ὅτι μετὰ τὴν ἀνάστασιν μᾶλλον ἐπιδώσει τὸ κήρυγμα. Ἐπειδὴ γὰρ ἐδέθη, προεδόθη ὑπὸ μαθητοῦ, ἐνεπτύσθη, ἐλοιδορήθη, ἐμαστιγώθη, ἀνεσκολοπίσθη, οὐδ' εἰς τάφον, τό γε εἰς ἐκείνους ἧκον, ἠξιώθη τεθῆναι· τὰ ἱμάτια αὐτοῦ διεμερίσαντο οἱ στρατιῶται· ἐπὶ ὑποψίᾳ τυραννίδος τὸν βίον κατέλυσεν, ὡς βλάσφημος, ὡς τύραννος. «Πᾶς γὰρ ὁ ποιῶν ἑαυτόν», φησί, «βασιλέα, ἀντιλέγει τῷ Καίσαρι»· καὶ πάλιν, «ἴδε, ὑμεῖς ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ». Ἐπεὶ τοίνυν ταῦτα πάντα ἔμελλε συμβαίνειν, διεγείρων τὸν ἀκροατὴν καὶ θαρρεῖν παρασκευάζων, μὴ φοβηθῇς, φησί, τούτων ἕνεκα· τοῦ γὰρ σταυρωθέντος, τοῦ μαστιγωθέντος, τοῦ ὑπὸ λῃστῶν λοιδορηθέντος, τοῦ ἐπὶ ὑπολήψει βλασφημίας ἀναιρεθέντος τοιαῦτα ἔσται τὰ πράγματα μετὰ τὴν τελευτήν, μετὰ τὴν ἀνάστασιν, ὡς μηδένα ἀντειπεῖν, ὅτι οὐ πολλῆς ἐμπέπλησται τῆς τιμῆς. Τοῦτο γοῦν καὶ ἐγένετο. Ὅπερ δὴ καὶ πόρρωθεν προαναφωνῶν ὁ προφήτης ἔλεγεν· «ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή». Ὡσεὶ ἔλεγεν· αὐτὸ τὸ εἶδος τῆς τελευτῆς δια-

97. Τίτος· Ρωμαῖος στρατηγός, ὁ ὁποῖος τὸ 70 μ. Χ κατέστρεψε ἐκ θεμελίων τὰ Ἱεροσόλυμα. Βλ. Ἰωσήπου *Ἰουδαϊκὸς πόλεμος*, βιβλ. 5ον καὶ 6ον. Ὁ δὲ Βεσπασιανὸς ἦταν πατέρας τοῦ Τίτου καὶ αὐτόκρατορας τῆς Ρώμης.

1. Ἠσ. 26,19.
2. Ἰω. 19,12.

μέσα στὴν ἀτιμία, στὴ ντροπή, τὶς κολάσεις καὶ τὶς τιμωρίες. Ὅσα μάλιστα ἔχουν πάθει ἐπὶ Βεσπασιανοῦ καὶ Τίτου[97], δὲν εἶναι δυνατὸ οὔτε νὰ τὰ πῆ κανείς· τόσο πολὺ ἡ τραγωδία ἐκείνη ξεπέρασε κάθε συμφορὰ καὶ ἔτσι ἐκπληρωνόταν ὁ προφητικὸς λόγος· «ὁ καθένας ποὺ δὲν θ' ἀκούση τὸν προφήτη ἐκεῖνον, θὰ ἐξολοθρευθῆ». Γι' αὐτὸ λοιπὸν ἐρημώθηκαν ὅλα τὰ δικά τους, ἐπειδὴ παρήκουσαν τὸν προφήτη ἐκεῖνον.

Τὸ ὅτι θὰ τοὺς ἀναστήση ὅλους, καὶ αὐτὸ τὸ δήλωσε ὁ Ἠσαΐας, λέγοντας· «θ' ἀναστηθοῦν οἱ νεκροὶ καὶ θὰ ἐγερθοῦν οἱ εὑρισκόμενοι στὰ μνημεῖα. Γιατὶ ἡ δροσιὰ ἡ δική σου θὰ εἶναι φάρμακο ἰαματικὸ γι' αὐτούς»[1]. Καὶ ὄχι μόνο αὐτά, ἀλλ' ὅτι καὶ μετὰ τὴ σταύρωση, μετὰ τὸν θάνατό του θὰ συμβοῦν πιὸ θαυμαστὰ πράγματα, ὅτι δηλαδὴ μετὰ τὴν ἀνάσταση ἡ διάδοση τοῦ κηρύγματος θὰ εἶναι πολὺ μεγάλη. Ἐπειδὴ δηλαδὴ δέθηκε, προδόθηκε ἀπὸ τὸν μαθητή, φτύσθηκε, περιπαίχθηκε, μαστιγώθηκε, καρφώθηκε στὸ σταυρό, δὲν ἀξιώθηκε νὰ τεθῆ σὲ τάφο, ὅσο βέβαια ἐξαρτῶνταν ἀπὸ ἐκείνους, διεμοίρασαν τὰ ἐνδύματά του οἱ στρατιῶτες, τελείωσε τὴ ζωή του κατηγορούμενος σὰν ἐπαναστάτης, σὰν βλάσφημος καὶ σὰν τύραννος, γιατὶ λέγει «ὁ καθένας ποὺ κάμνει τὸν ἑαυτό του βασιλέα, ἀντιτίθεται στὸν Καίσαρα»[2], καὶ πάλι, «νά, σεῖς ἀκούσατε τὴν βλασφημία του»[3]. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο νὰ συμβοῦν ὅλα αὐτά, θέλοντας νὰ διεγείρη τὸν ἀκροατὴ καὶ νὰ τὸν προετοιμάση νὰ ἔχη θάρρος, 'Μὴ φοβηθῆς', λέγει, 'ἐξ αἰτίας αὐτῶν· γιατὶ τέτοια θὰ εἶναι ὅλα ἐκεῖνα ποὺ θὰ ἔχουν σχέση μὲ ἐκεῖνον ποὺ σταυρώθηκε, ποὺ μαστιγώθηκε, ποὺ κακολογήθηκε ἀπὸ τοὺς ληστές, ποὺ φονεύθηκε μὲ τὴν κατηγορία τῆς βλασφημίας καὶ ποὺ θὰ συμβοῦν μετὰ τὸν θάνατο καὶ τὴν ἀνάσταση του, ὥστε κανεὶς νὰ μὴ μπορῆ νὰ πῆ, ὅτι δὲν εἶναι αὐτὰ γεμᾶτα ἀπὸ πολλὴ τιμή'. Αὐτὸ λοιπὸν καὶ ἔγινε. Καὶ ἀκριβῶς αὐτὸ προλέγοντας ὁ προφήτης ἀπὸ πολὺ πρίν, ἔλεγε· «καὶ θὰ συμβῆ τότε ἡ ρίζα αὐτὴ τοῦ Ἰεσσαὶ νὰ ἀναστηθῆ μὲ μεγάλη τιμή»[4]. Σὰν νὰ ἔλεγε· Ὁ τρόπος αὐτὸς τοῦ θανάτου εἶναι τιμιώτε-

3. Ματθ. 26,65.
4. Ἠσ. 11,10.

δήματός ἐστι τιμιώτερον. Οἱ γοῦν βασιλεῖς διαδήματα ἀποτιθέμενοι, τὸν σταυρὸν ἀναλαμβάνουσι, τὸ σύμβολον αὐτοῦ τῆς τελευτῆς· ἐν πορφυρίσι σταυρός, ἐν διαδήμασι σταυρός, ἐπὶ εὐχῶν σταυρός, ἐπὶ ὅπλων σταυρός, ἐπὶ τῆς τραπέζης τῆς ἱερᾶς σταυρός, καὶ πανταχοῦ τῆς οἰκουμένης ὁ σταυρὸς ὑπὲρ τὸν ἥλιον διαλάμπει. «Καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή».

9. Ἀλλ' οὐ τὰ ἀνθρώπινα τοιαῦτα, ἀλλ' ἀπεναντίας εἴωθε γίνεσθαι. Ζώντων μὲν γὰρ τῶν εὐδοκιμούντων, καὶ τὰ ἐκείνων ἀνθεῖ· τελευτησάντων δέ, συγκαταλύεται καὶ τὰ ἐκείνων. Καὶ τοῦτο οὐκ ἐπὶ πλουσίου, οὐκ ἐπ' ἄρχοντος, ἀλλ' ἐπ' αὐτοῦ τοῦ βασιλέως ἴδοι τις ἄν. Καὶ γὰρ καὶ οἱ νόμοι αὐτῶν καταλύονται καὶ αἱ εἰκόνες ἀμαυροῦνται καὶ ἡ μνήμη αὐτῶν σβέννυται καὶ τὸ ὄνομα αὐτῶν ἐν λήθῃ καὶ οἱ προσήκοντες ἐν καταφρονήσει, ἐκείνων τῶν ὅπλα κινούντων, τῷ νεύματι μετατιθέντων δήμων καὶ πόλεων καὶ πραγμάτων καταστάσεις, τῶν ἀναιρεῖν κυρίων, τῶν ἀπαγομένους ἀνακαλεῖσθαι δυναμένων. Ἀλλ' ὅμως ἅπαντα καταλύεται, εἰ καὶ πρὸ τούτου εὐδοκίμει. Ἐπὶ δὲ τοῦ Χριστοῦ πᾶν τοὐναντίον. Πρὸ μὲν γὰρ σταυροῦ ἐν κατηφείᾳ τὰ πράγματα ἦν, Ἰούδας προέδωκε, Πέτρος ἠρνήσατο, οἱ λοιποὶ φυγάδες ἐγένοντο, μόνος μεταξὺ τῶν ἐχθρῶν ἀπελαμβάνετο, πολλοὶ πιστεύσαντες ἀπῆλθον εἰς τὰ ὀπίσω. Ἐπειδὴ δὲ ἐσφάγη καὶ ἐτελεύτησεν, ἵνα μάθῃς ὅτι οὐ ψιλὸς ἄνθρωπός τις ἦν ὁ σταυρωθεὶς καὶ λαμπρότερα καὶ φαιδρότερα γέγονε καὶ ὑψηλότερα πολλῷ. Ὁ μὲν οὖν κορυφαῖος τῶν ἀποστόλων πρὸ τοῦ σταυροῦ οὐδὲ θυρωροῦ ἀπειλὴν ἤνεγκεν, ἀλλὰ μετὰ τοσαύτην μυσταγωγίαν ἔφησεν αὐτὸν μὴ εἰδέναι· μετὰ δὲ τὸν σταυρὸν τὴν οἰκουμένην περιέδραμεν· ἐντεῦθεν μυρίοι δῆμοι μαρτύρων ἐσφάγησαν, ἑλόμενοι μᾶλλον ἀποθανεῖν, ἢ φθέγξασθαι ἅπερ ἐφθέγξατο ὁ κορυφαῖος τῶν ἀποστόλων, μιᾶς θυρωροῦ δείσας ἀπειλήν. Οὕτως ἐξ ἐκείνου πᾶσαι χῶραι καὶ πᾶσαι πόλεις καὶ ἔρη-

ρος καὶ ἀπὸ τὸ βασιλικὸ στέμμα'. Πραγματικὰ οἱ βασιλεῖς, βγάζοντας τὰ στέμματά τους, τοποθετοῦν στὴ θέση τους τὸν σταυρό, τὸ σύμβολο τοῦ θανάτου τοῦ Χριστοῦ. Ὁ σταυρὸς τοποθετεῖται στὶς πορφύρες τῶν βασιλέων, ὁ σταυρὸς στὰ στέμματα, ὁ σταυρὸς συνοδεύει τὶς προσευχές, ὁ σταυρὸς τοποθετεῖται στὰ ὅπλα, ὁ σταυρὸς στὴν ἁγία Τράπεζα, καὶ σ' ὁλόκληρη τὴν οἰκουμένη ὁ σταυρὸς λάμπει πιὸ πολὺ καὶ ἀπὸ τὸν ἥλιο. «Καὶ θὰ εἶναι ὁ θρόνος τῆς ἀναπαύσεώς του γεμᾶτος ἀπὸ τιμή».

9. Ὅμως τὰ ἀνθρώπινα πράγματα δὲν εἶναι τέτοια, ἀλλὰ συνήθως συμβαίνουν ἀντίθετα. Ὅσο δηλαδὴ ζοῦν ἐκεῖνοι ποὺ εὐδοκιμοῦν, ἀνθοῦν καὶ τὰ πράγματα αὐτῶν, ὅταν ὅμως πεθάνουν, μαζί τους καταλύονται καὶ ἐκεῖνα. Καὶ αὐτὸ μπορεῖ νὰ τὸ δῆ κανεὶς ὄχι μόνο στὴν περίπτωση τοῦ πλουσίου, οὔτε μόνο τοῦ ἄρχοντα, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἴδιου τοῦ βασιλέως. Καθ' ὅσον καὶ οἱ νόμοι τους καταργοῦνται, καὶ οἱ εἰκόνες ἀμαυρώνονται, καὶ ἡ ἀνάμνησή τους σβήνει, καὶ τὸ ὄνομά τους λησμονεῖται, καὶ οἱ δικοί τους ἄνθρωποι περιφρονοῦνται, καὶ ὅλα αὐτὰ σ' ἐκείνους ποὺ κινητοποιοῦσαν στρατεύματα, ποὺ μὲ ἕνα νεῦμα τους μετέβαλλαν καταστάσεις δήμων καὶ πόλεων καὶ πραγμάτων, ποὺ ἦταν στὴν ἐξουσία τους νὰ φονεύουν καὶ νὰ ἀνακαλοῦν ἀπὸ τὴν ἐξορία καταδίκους. Ἀλλ' ὅμως ὅλα καταλύονται, κι ἂν ἀκόμη προηγουμένως εὐδοκιμοῦσαν. Στὴν περίπτωση ὅμως τοῦ Χριστοῦ συνέβηκε ἐντελῶς τὸ ἀντίθετο. Πρὶν δηλαδὴ ἀπὸ τὸν σταυρὸ ὅλα ὅσα εἶχαν σχέση μὲ αὐτὸν ἦταν ἀπογοητευτικά. Ὁ Ἰούδας τὸν πρόδωσε, ὁ Πέτρος τὸν ἀρνήθηκε, οἱ ἄλλοι μαθητές του ἔφυγαν, αὐτὸς ἀπέμεινε μόνος ἀνάμεσα στοὺς ἐχθροὺς καὶ πολλοὶ ποὺ εἶχαν πιστέψει, ἀποτραβήχθηκαν. Μετὰ τὴ σφαγὴ ὅμως καὶ τὸν θάνατό του, γιὰ νὰ μάθης, ὅτι ἐκεῖνος ποὺ σταυρώθηκε δὲν ἦταν ἕνας ἁπλὸς ἄνθρωπος, κατέστησαν λαμπρότερα καὶ φαιδρότερα καὶ ὑψηλότερα τὰ πράγματα τὰ σχετικὰ μ' αὐτόν. Ὁ κορυφαῖος τῶν Ἀποστόλων ποὺ δὲν ἄντεξε πρὶν ἀπὸ τὸν σταυρὸ οὔτε τὴν ἀπειλὴ τῆς θυρωροῦ, ἀλλ' ἰσχυρίσθηκε ὕστερα ἀπὸ τόσο μαστύγωμα, ὅτι δὲν τὸν γνώριζε, μετὰ τὸν σταυρὸ περιῆλθε ὁλόκληρη τὴν οἰκουμένη. Ἀπὸ ἐκεῖ καὶ πέρα ἀκολούθησαν ἄπειρα πλήθη μαρτύρων, προτιμώντας νὰ πεθάνουν μᾶλλον, παρὰ νὰ ποῦν ἐκεῖνο ποὺ εἶπε ὁ κορυφαῖος τῶν Ἀποστόλων, φοβούμενος τὴν ἀπειλὴ μιᾶς θυρωροῦ. Ἔτσι λοιπὸν ἀπὸ τὴν ἐποχὴ τοῦ Πέτρου

μος καὶ οἰκουμένη καὶ ἀοίκητος τὸν ἐσταυρωμένον ἀνακηρύττομεν· καὶ βασιλεῖς καὶ στρατηγοὶ καὶ ἄρχοντες καὶ ὕπατοι καὶ δοῦλοι καὶ ἐλεύθεροι καὶ ἰδιῶται καὶ σοφοὶ καὶ ἄσοφοι καὶ βάρβαροι καὶ τὰ ποικίλα τῶν ἀνθρώπων γένη καὶ λοιπὸν ὅσην ἥλιος ἐφορᾷ γῆν, ταύτην δὴ τὴν τοσαύτην ἐπέδραμε τὸ ὄνομα καὶ ἡ προσκύνησις, ἵνα μάθῃς τί ἐστιν, «ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή». Ὁ δὲ τὸ σῶμα δεξάμενος ἐκεῖνο τὸ σφαγὲν τόπος, σμικρὸς ὢν καὶ σφόδρα βραχύς, μυρίων αὐλῶν βασιλικῶν ἐστι σεμνότερος καὶ αὐτοῖς τοῖς βασιλεῦσι τιμιώτερος· «καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή». Τὸ δὲ παράδοξον, οὐκ ἐπ' αὐτοῦ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν μαθητῶν αὐτοῦ τὸ αὐτὸ τοῦτο δὴ γέγονεν. Οἱ γὰρ ἀγόμενοι καὶ περιαγόμενοι, οἱ καταφρονούμενοι καὶ δεσμούμενοι, οἱ τα μυρία πάσχοντες δεινά, τελευτήσαντες αὐτῶν εἰσι τῶν βασιλέων τιμιώτεροι. Καὶ πῶς, σκόπει ἐντεῦθεν.

Ἐν τῇ βασιλικωτάτῃ πόλει Ρώμῃ, πάντα ἀφιέντες, ἐπὶ τοὺς τάφους τοῦ ἁλιέως καὶ τοῦ σκηνοποιοῦ τρέχουσι καὶ βασιλεῖς καὶ ὕπατοι καὶ στρατηγοί· καὶ ἐν τῇ Κωνσταντινουπόλει δὲ οὐδὲ πρὸς τοὺς ἀποστόλους ἐγγύς, ἀλλὰ παρ' αὐτὰ τὰ πρόθυρα ἔξω ἀγαπητὸν εἶναι ἐνόμισαν οἱ τὰ διαδήματα περικείμενοι τὰ σώματα αὐτῶν κατορύττεσθαι, καὶ γεγόνασι θυρωροὶ λοιπὸν τῶν ἁλιέων οἱ βασιλεῖς καὶ ἐν τῇ τελευτῇ οὐκ αἰσχύνονται, ἀλλὰ καὶ ἐγκαλλωπίζονται, οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ἔκγονοι ἐκείνων. «Καὶ ἔσται», φησίν, «ἡ ἀνάπαυσις αὐτοῦ τιμή». Τότε τῆς τιμῆς τὸ μέγεθος ὄψει, ὅτε καταμάθῃς αὐτοῦ τοῦ θανάτου τοῦ πάντων θανάτων αἰσχίστου. Τοῦτο γὰρ μόνον τῆς τελευτῆς τὸ εἶδος ὑπὸ ἀρὰν ἔκειτο. Οἷόν τι λέγω· τῶν ἁμαρτανόντων τὸ παλαιὸν οἱ μὲν ἐκαίοντο, οἱ δὲ ἐλιθάζοντο, οἱ δὲ ἑτέρῳ τρόπῳ τιμωρίας τὸν βίον κατέλυον· ὁ δὲ ἀνεσκολοπισμένος καὶ ἐπὶ ξύλου κρεμέμενος, οὐ τοῦτο μόνον ὑπέμεινε τὸ χαλεπόν, ὅτι τοιαύτῃ ἐκολάζετο καταδίκῃ, ἀλλ' ὅτι καὶ ἐπάρατος ὁ τοιοῦτος ἦν. «Ἐπικατάρατος», γὰρ φησί, «πᾶς ὁ κρεμάμενος ἐπὶ

5. Ἡ ἐπιθυμία αὐτὴ τῶν βασιλέων ἦταν τιμητικὴ γιὰ τοὺς Ἀποστόλους, ἐπάνω στοὺς τάφους τῶν ὁποίων, κατὰ τοὺς πρωτοχριστιανικοὺς χρόνους, κτίζονταν πρὸς τιμή τους περικαλλεῖς ναοί.

ὅλες οἱ πόλεις καὶ ἡ ἔρημος καὶ ἡ κατοικούμενη καὶ ἡ ἀκατοίκητη γῆ ἀνακηρύττουμε τὸν Ἐσταυρωμένο. Ἀκόμη καὶ βασιλεῖς καὶ στρατηγοὶ καὶ ἄρχοντες καὶ ὕπατοι καὶ δοῦλοι καὶ ἐλεύθεροι καὶ ἰδιῶτες καὶ σοφοὶ καὶ ἄσοφοι καὶ βάρβαροι καὶ ὅλες οἱ φυλὲς τῶν ἀνθρώπων καὶ γενικὰ σ' ὅλη τὴ γῆ ποὺ βλέπει ὁ ἥλιος, τόσο πολὺ διαδόθηκε τὸ ὄνομα καὶ ἡ προσκύνηση τοῦ Χριστοῦ, γιὰ νὰ μάθης τί σημαίνει, «θὰ εἶναι ἡ ἀνάπαυσή του γεμάτη ἀπὸ τιμή». Ὁ τόπος πάλι ποὺ δέχθηκε τὸ σῶμα ἐκεῖνο τὸ σφαγιασμένο, ἐνῶ ἦταν μικρὸς καὶ πάρα πολὺ ἄσημος, τώρα εἶναι σεμνότερος ἀπὸ πολλὲς βασιλικὲς αὐλὲς καὶ τιμιώτερος καὶ ἀπ' αὐτοὺς ἀκόμη τοὺς βασιλεῖς. «Καὶ θὰ εἶναι ἡ ἀνάπαυσή του γεμάτη ἀπὸ τιμή». Καὶ τὸ παράδοξο αὐτὸ δὲν συνέβηκε μόνο στὸν ἴδιο, ἀλλὰ τὸ ἴδιο ἀκριβῶς συνέβηκε καὶ στοὺς μαθητές του. Ἐκεῖνοι δηλαδὴ ποὺ καταδιώκονταν καὶ ὡδηγοῦνταν στὰ δικαστήρια, ποὺ περιφρονοῦνταν καὶ φυλακίζονταν, ἐκεῖνοι ποὺ ἔπασχαν τὰ μύρια δεινά, μετὰ τὸ θάνατό τους εἶναι πιὸ τίμιοι καὶ ἀπὸ τοὺς ἴδιους τοὺς βασιλεῖς. Καὶ πῶς εἶναι; πρόσεχε αὐτὰ ποὺ θὰ πῶ.

Στὴ Ρώμη, τὴ βασίλισσα τῶν πόλεων, ἐγκαταλείποντας οἱ πιστοὶ τὰ πάντα, τρέχουν στοὺς τάφους τοῦ ψαρᾶ καὶ τοῦ σκηνοποιοῦ καὶ βασιλεῖς ἀκόμη καὶ ὕπατοι καὶ στρατηγοί. Στὴν Κωνσταντινούπολη πάλι οἱ βασιλεῖς ζήτησαν νὰ ταφοῦν ὄχι κοντὰ στοὺς τάφους τῶν Ἀποστόλων, ἀλλὰ ἔξω ἀπὸ τοὺς ναοὺς καὶ δίπλα στὰ πρόθυρα αὐτῶν καὶ ἔγιναν ἔτσι οἱ βασιλεῖς θυρωροὶ τῶν ἁλιέων[5], καὶ γιὰ τὴν ταφή τους αὐτὴ ὄχι μόνο δὲν ντρέπονται, ἀλλὰ καὶ τὸ ἔχουν σὰν καύχημά τους, ὄχι μόνο αὐτοί, ἀλλὰ καὶ οἱ ἀπόγονοί τους. «Καὶ θὰ εἶναι», λέγει, «ἡ ἀνάπαυση αὐτοῦ γεμάτη ἀπὸ τιμή». Τότε θ' ἀντιληφθῆς τὸ μέγεθος τῆς τιμῆς, ὅταν μάθης τὸ σύμβολο αὐτοῦ τοῦ θανάτου, τοῦ θανάτου τοῦ καταραμένου, τοῦ θανάτου τοῦ πιὸ αἰσχροῦ ἀπ' ὅλους. Γιατὶ αὐτὸ μόνο τὸ εἶδος τοῦ θανάτου θεωροῦνταν καταραμένο. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Ἀπὸ ἐκείνους ποὺ ἁμάρταναν τὴν παλαιὰ ἐποχὴ ἄλλοι καίγονταν, ἄλλοι λιθοβολοῦνταν καὶ ἄλλοι τερμάτιζαν τὴ ζωή τους μὲ ἄλλον τρόπο. Ὅποιος ὅμως καρφωνόταν στὸ ξύλο καὶ κρεμῶταν πάνω σ' αὐτό, δὲν ὑπέμενε αὐτὸ μόνο τὸ κακό, τὸ ὅτι τιμωροῦνταν μὲ μιὰ τέτοια καταδίκη, ἀλλὰ καὶ θεωροῦνταν αὐτὸς καταραμένος. Γιατὶ λέγει· «καταραμένος νὰ εἶ-

ξύλου». Ἀλλ' ὅμως τὸ ἐπάρατον τοῦτο, τὸ ἀπευκτόν, τὸ τῆς ἐσχάτης τιμωρίας σύμβολον, νῦν γέγονε ποθεινὸν καὶ ἐπέραστον. Οὐδὲ γὰρ οὕτω στέφανος βασιλικὸς καλλωπίζει κεφαλήν, ὡς σταυρὸς παντὸς κόσμου τιμιώτερος ὤν· καὶ ὃ ἅπαντες ἐπεφρίκεσαν πρώην, τούτου νῦν τὸ σχῆμα οὕτως ἐστὶν ἅπασι περιμάχητον, ὡς πανταχοῦ τοῦτο εὑρίσκεσθαι παρὰ ἄρχουσι, παρὰ ἀρχομένοις, παρὰ γυναιξί, παρὰ ἀνδράσι, παρὰ παρθένοις, παρὰ γεγαμημέναις, παρὰ δούλοις, παρὰ ἐλευθέροις. Καὶ γὰρ συνεχῶς αὐτὸ ἅπαντες ἐγχαράττουσιν ἐπὶ τοῦ τῶν μελῶν ἡμῶν ἐπισημοτέρου μέρους καὶ ὥσπερ ἐν στήλῃ ἐπὶ τοῦ μετώπου καθ' ἑκάστην ἡμέραν διατυπούμενον περιφέρουσιν.

Οὗτος ἐν τῇ ἱερᾷ τραπέζῃ, οὗτος ἐν ταῖς τῶν ἱερέων χειροτονίαις, οὗτος πάλιν μετὰ τοῦ σώματος τοῦ Χριστοῦ ἐπὶ τὸ μυστικὸν δεῖπνον διαλάμπει. Τοῦτον πανταχοῦ χορεύοντα ἴδοι τις ἄν, ἐν οἰκίαις, ἐν ἀγοραῖς, ἐν ἐρημίαις, ἐν ὁδοῖς, ἐν ὄρεσιν, ἐν νάπαις, ἐν βουνοῖς, ἐν θαλάττῃ καὶ πλοίοις καὶ νήσοις, ἐν κλίναις, ἐν ἱματίοις, ἐν ὅπλοις, καὶ ἐν παστάσιν, ἐν συμποσίοις, ἐν σκεύεσιν ἀργυροῖς, ἐν χρυσέοις, ἐν μαργαρίταις, ἐν τοίχων γραφαῖς, ἐν σώμασιν ἀλόγων πολλὰ πεπονηκότων, ἐν σώμασιν ὑπὸ δαιμόνων πολιορκουμένων, ἐν πολέμοις, ἐν εἰρήνῃ, ἐν ἡμέραις, ἐν νυξίν, ἐν τρυφώντων χορείαις, ἐν σκληραγωγουμένων φρατρίαις. Οὕτω περιμάχητον ἅπασι γέγονε τὸ θαυμαστὸν τοῦτο δῶρον, ἡ ἄφατος αὕτη χάρις. Οὐδεὶς αἰσχύνεται, οὐκ ἐγκαλύπτεται ἐννοῶν, ὅτι θανάτου τοῦ ἐπαράτου τοῦτο σύμβολον, ἀλλὰ πάντες τούτῳ καλλωπιζόμεθα μᾶλλον, ἢ στεφάνοις καὶ διαδήμασι καὶ μυρίαις μαργαριτῶν περιβολαῖς. Οὕτως οὐ μόνον οὐκ ἔστι φευκτός, ἀλλὰ καὶ ποθεινὸς καὶ ἐπέραστος καὶ περισπούδαστος ἅπασι, καὶ πανταχοῦ διαλάμπων καὶ διεσπαρμένος ἐν τοίχοις οἴκων, ἐν ὀροφῇ, ἐν βίβλοις, ἐν πόλεσιν, ἐν κώμαις, ἐν ταῖς ἀοικήτοις, ἐν ταῖς οἰκουμέναις. Ἡδέως ἂν οὖν ἐροίμην τὸν Ἕλληνα λοιπόν, πόθεν τῆς καταδίκης ταύτης, τοῦ θανάτου τοῦ ἐπαράτου τούτου τὸ σύμβολον ἅπασι ποθεινόν, περισπούδαστον, εἰ μὴ μεγάλη τοῦ σταυρωθέντος ἡ δύναμις;

6. Δευτ. 21,23.

ναι ὁ καθένας ποὺ κρεμᾶται ἐπάνω σὲ ξύλο»[6]. Ἀλλ' ὅμως τὸ καταραμένο αὐτό, ποὺ εὐχόταν κανεὶς νὰ μὴ τοῦ συμβῆ, τὸ σύμβολο τῆς πιὸ χειρότερης τιμωρίας, τώρα ἔγινε ποθητὸ καὶ ἀξιαγάπητο. Γιατὶ δὲν στολίζει τὸ κεφάλι τόσο πολὺ τὸ βασιλικὸ στεφάνι, ὅσο ὁ σταυρός, ποὺ εἶναι ἀπὸ κάθε κόσμημα τιμιότερος. Καὶ ἐκεῖνο ποὺ προηγουμένως τὸ ἀπέφευγαν ὅλοι μὲ φρίκη, τόσο περιζήτητο εἶναι σήμερα ἀπὸ ὅλους τὸ σχῆμα αὐτοῦ, ὥστε νὰ βρίσκεται αὐτὸ παντοῦ, στοὺς ἄρχοντες, στοὺς ὑπηκόους, στὶς γυναῖκες, στοὺς ἄνδρες, στὶς παρθένες, στὶς ἔγγαμες γυναῖκες, στοὺς δούλους, στοὺς ἐλεύθερους. Καθ' ὅσον ὅλοι συνεχῶς τὸ σχῆμα αὐτοῦ κάμνουν στὸ ἐπισημότερο μέρος τοῦ σώματος καὶ τὸ μεταφέρουν μαζί τους καθημερινὰ τυπωμένο σὰν σὲ στήλη, πάνω στὸ μέτωπό τους.

Ὁ σταυρὸς ὑπάρχει στὴν ἱερὴ Τράπεζα, αὐτὸς στὶς χειροτονίες τῶν ἱερέων, αὐτὸς πάλι διαλάμπει στὴ θεία εὐχαριστία μαζὶ μὲ τὸ σῶμα τοῦ Χριστοῦ. Θὰ μποροῦσε κανεὶς νὰ τὸν δῆ νὰ ὑπάρχη παντοῦ, στὰ σπίτια, στὶς ἀγορές, στὶς ἐρημιές, στοὺς δρόμους, στὰ βουνά, στὶς κοιλάδες, στοὺς λόφους, στὶς θάλασσες καὶ στὰ πλοῖα καὶ στὰ νησιά, στὰ κρεββάτια καὶ στὰ ἐνδύματα, στὰ ὅπλα, στοὺς γάμους, στὰ συμπόσια, στὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, στὰ μαργαριτάρια, στὶς τοιχογραφίες, στὰ σώματα τῶν πολὺ ἀρρώστων ζώων, στὰ σώματα ἐκείνων ποὺ ἐνοχλοῦνται ἀπὸ δαίμονες, στοὺς πολέμους, στὴν εἰρήνη, στὴ διάρκεια τῆς ἡμέρας καὶ τῆς νύχτας, στὶς ὁμάδες ἐκείνων ποὺ διασκεδάζουν καὶ στοὺς συλλόγους τῶν ἀθλουμένων. Τόσο περιπόθητο σ' ὅλους ἔγινε τὸ θαυμαστὸ αὐτὸ δῶρο, ἡ ἀνέκφραστη αὐτὴ χάρη. Κανεὶς δὲν ντρέπεται, δὲν νιώθει ἄσχημα, σκεπτόμενος, ὅτι ὁ σταυρὸς εἶναι σύμβολο τοῦ πιὸ καταραμένου θανάτου, ἀλλ' ὅλοι μὲ αὐτὸν στολιζόμαστε πολὺ περισσότερο, παρὰ μὲ τὰ στεφάνια καὶ τὰ στέμματα καὶ τὶς ἄπειρες σειρὲς τῶν μαργαριταριῶν. Ἔτσι ὄχι μόνο δὲν εἶναι ἀποφευκτός, ἀλλ' εἶναι καὶ ποθητὸς καὶ ἀγαπητὸς καὶ περιζήτητος ἀπ' ὅλους, διαλάμπει παντοῦ, καὶ βρίσκεται στοὺς τοίχους τῶν οἰκιῶν, στὴν ὀροφή, στὰ βιβλία, στὶς πόλεις, στὰ χωριά, στὰ ἀκατοίκητα καὶ στὰ κατοικημένα μέρη. Εὐχαρίστως λοιπὸν θὰ ἐρωτοῦσα τὸν εἰδωλολάτρη· ἀπὸ ποῦ ὁ σταυρός, τὸ σύμβολο αὐτὸ τῆς καταδίκης καὶ τοῦ καταραμένου θανάτου, ἔγινε σ' ὅλους ποθητὸς καὶ περιζήτητος, ἂν δὲν ἦταν μεγάλη ἡ δύναμη ἐκείνου ποὺ σταυρώθηκε;

10. Εἰ γὰρ μηδὲν ἦν, καὶ τοῦτο σὺ νομίζεις καὶ ἀναισχυντεῖς ἔτι καὶ πρὸς τὴν ἀλήθειαν ἀντιβλέπεις καὶ πρὸς τὸ φῶς τυφλώττεις, φέρε σοι δείξωμεν καὶ ἐξ ἄλλης ὑποθέσεως ἡλίκον τοῦτό ἐστι. Ποίας δὴ ταύτης; Ἔστι τοῖς δικάζουσι πολλὰ βασανιστηρίων εἴδη, ξύλον, ἱμάντες, ὄνυχες, μολιβδίδες, δι' ὧν ξέουσι τὰ σώματα καὶ διασχίζουσι τὰ μέλη καὶ ἐξαρτῶσι. Τίς γοῦν ἂν ἕλοιτο ταῦτα εἰς οἰκίαν ἀγαγεῖν; Τίς δ' ἂν καταδέξαιτο χειρὸς ἅψασθαι τῶν ταῦτα ἐργαζομένων δημίων, ἢ πλησίον γενέσθαι ἰδεῖν; Οὐχὶ μυσάττονται οἱ πλείους, ἔνιοι δὲ καὶ οἰωνίζονται, καὶ οὐδὲ τῆς ἀφῆς, οὐδὲ τῆς ὄψεως ἀνέχονται; Οὐ πόρρω φεύγουσιν; οὐκ ἀποστρέφουσι τὸ ὄμμα; Τοιοῦτον δή τι καὶ ὁ σταυρὸς ἦν τὸ παλαιόν, μᾶλλον δὲ τούτων πολὺ χαλεπώτερος. Ὅπερ γὰρ ἔφθην εἰπών, οὐχ ἁπλῶς θανάτου, ἀλλὰ θανάτου τοῦ ἐπαράτου τοῦτο σύμβολον ἦν. Πόθεν οὖν, εἰπέ μοι, πᾶσιν οὕτω νῦν περισπούδαστος, πᾶσιν οὕτω ποθεινὸς γέγονε, πάντων προτιμότερος; Αὐτὸ δὲ τὸ ξύλον ἐκεῖνο, ἔνθα τὸ ἅγιον ἐτάθη σῶμα καὶ ἀνεσκολοπίσθη, πῶς ἐστι περιμάχητον ἅπασι; Καὶ μικρόν τι λαμβάνοντες ἐξ ἐκείνου πολλοὶ καὶ χρυσῷ κατακλείοντες καὶ ἄνδρες καὶ γυναῖκες τῶν τραχήλων ἐξαρτῶσι τῶν ἑαυτῶν καλλωπιζόμενοι, καίτοι καταδίκης σύμβολον τὸ ξύλον ἦν, καίτοι τιμωρίας; Ἀλλ' ὁ πάντα ποιῶν καὶ μετασκευάζων αὐτά, ὁ τὴν οἰκουμένην ἐκ τοσαύτης κακίας μεταθεὶς καὶ τὴν γῆν οὐρανὸν ἐργασάμενος, οὗτος καὶ τὸ πρᾶγμα τοῦτο ἐπονείδιστον ὂν καὶ πάντων θανάτων αἴσχιστον, ὑπὲρ τῶν οὐρανῶν ἀνήγαγε. Ταῦτ' οὖν ἅπαντα προορῶν ὁ προφήτης ἔλεγε· «καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή».

Τοῦτο γὰρ τὸ τοῦ θανάτου σύμβολον (οὐ γὰρ παύσομαι συνεχῶς τοῦτο λέγων) ἐγένετο εὐλογίας ὑπόθεσις πολλοῖς καὶ παντοδαπῆς ἀσφαλείας τεῖχος, διαβόλου καιρία πληγή, δαιμόνων χαλινός, κημὸς τῆς τῶν ἀντικειμένων δυνάμεως· τοῦτο θάνατον ἀνεῖλε, τοῦτο τοῦ ᾅδου τὰς χαλκᾶς πύλας συνέκλασε, τοὺς σιδηροῦς μοχλοὺς συνέθλασε, τοῦ διαβόλου τὴν ἀκρόπολιν κατέλυσε, τῆς

10. Γιατί, ἂν δὲν ἦταν τίποτε καὶ αὐτὸ νομίζεις σὺ καὶ φέρεσαι ἀδιάντροπα ἀκόμη καὶ κλείνεις τὰ μάτια μπροστὰ στὴν ἀλήθεια καὶ παραμένεις τυφλὸς μπροστὰ στὸ φῶς, ἐμπρὸς νὰ σοῦ ἀποδείξω καὶ κατ' ἄλλον τρόπο πόσο σπουδαῖο εἶναι αὐτό. Ποιά λοιπὸν εἶναι ἡ ἀπόδειξη; Ὑπάρχουν πολλὰ εἴδη βασανιστηρίων στὴ διάθεση τῶν δικαστῶν, ὅπως τὸ ξύλο, τὰ μαστίγια, οἱ ὄνυχες, οἱ μολιβδίδες, μὲ τὰ ὁποῖα ξύνουν τὰ σώματα καὶ ξεσχίζουν τὰ μέλη καὶ τὰ ἐξαρθρώνουν. Ποιός λοιπὸν θὰ ἤθελε τὰ ὄργανα αὐτὰ νὰ τὰ βάλη στὸ σπίτι του; Καὶ ποιός θὰ καταδεχόταν νὰ ἀγγίξη μὲ τὸ χέρι τὰ ὄργανα αὐτὰ τῶν δημίων ἢ νὰ τὰ δῆ νὰ βρίσκωνται δίπλα του; Δὲν τὰ συχαίνονται οἱ περισσότεροι, καὶ μερικοὶ μάλιστα τὰ θεωροῦν καὶ σὰν μαντικὰ ὄργανα καὶ δὲν ἀνέχονται οὔτε νὰ τὰ ἀγγίσουν οὔτε καὶ νὰ τὰ δοῦν; Δὲν φεύγουν μακριὰ ἀπ' αὐτά; δὲν ἀποστρέφουν τὸ βλέμμα τους; Κάτι τέτοιο λοιπὸν ἦταν παλαιὰ καὶ ὁ σταυρός, ἢ καλύτερα πολὺ πιὸ φοβερὸς ἀπ' αὐτά. Γιατί, ὅπως εἶπα προηγουμένως, αὐτὸς ἦταν σύμβολο ὄχι ἁπλῶς θανάτου, ἀλλὰ τοῦ καταραμένου θανάτου. Πές μου λοιπόν, ἀπὸ ποῦ ἔγινε τώρα τόσο περιπόθητος ἀπὸ ὅλους, τόσο ἀγαπητὸς σὲ ὅλους καὶ προτιμότερος ἀπ' ὅλα; Ἐκεῖνο ἀκριβῶς τὸ ξύλο, πάνω στὸ ὁποῖο τεντώθηκε τὸ ἅγιο σῶμα καὶ καρφώθηκε, πῶς εἶναι ἀπ' ὅλους περιπόθητο; Καὶ πολλοὶ ἄνθρωποι, παίρνοντας ἕνα μικρὸ τεμάχιο ἀπὸ ἐκεῖνον καὶ ἐπιχρυσώνοντάς το, τὸ κρεμοῦν καὶ ἄνδρες καὶ γυναῖκες ἀπὸ τὸν λαιμό τους καὶ τὸ θεωροῦν στολίδι τους, ἂν καὶ τὸ ξύλο αὐτὸ ἦταν σύμβολο καταδίκης; Ἀλλ' αὐτὸς ποὺ δημιουργεῖ τὰ πάντα καὶ μεταβάλλει αὐτά, αὐτὸς ποὺ ἀπάλλαξε τὴν οἰκουμένη ἀπὸ μιὰ τόση κακία καὶ κατέστησε τὴ γῆ οὐρανό, αὐτὸς καὶ τὸ πρᾶγμα αὐτό, ποὺ ἦταν ἐπονείδιστο καὶ τὸ πιὸ αἰσχρὸ ὄργανο ὅλων τῶν θανάτων, τὸ ὕψωσε πιὸ πάνω ἀπὸ τοὺς οὐρανούς. Ὅλα αὐτὰ λοιπὸν προβλέποντας ὁ προφήτης ἔλεγε· «καὶ θὰ εἶναι ἡ ἀνάπαυση αὐτοῦ γεμάτη μὲ τιμή».

Αὐτὸ δηλαδὴ τὸ σύμβολο τοῦ θανάτου (γιατὶ δὲν θὰ παύσω νὰ τὸ λέγω συνεχῶς αὐτὸ) ἔγινε γιὰ πολλοὺς μέσο εὐλογίας καὶ τεῖχος παντὸς εἴδους ἀσφάλειας, θανατηφόρα πληγὴ τοῦ διαβόλου, χαλινάρι τῶν δαιμόνων, φίμωτρο τῆς δυνάμεως τῶν ἐχθρῶν τοῦ Χριστοῦ. Αὐτὸ κατάργησε τὸν θάνατο, αὐτὸ συνέτριψε τὶς χάλκινες πύλες τοῦ ἅδη καὶ συνέθλιψε τοὺς σιδερένιους μοχλούς, αὐτὸ κατέστρεψε τὴν ἀκρόπολη τοῦ διαβόλου, αὐτὸ ἀπέκοψε τῆς ἁμαρτίας τὰ

ἁμαρτίας τὰ νεῦρα ἐξέκοψεν, ὑπὸ καταδίκην κειμένην τὴν οἰκουμένην ἅπασαν ἐξήρπασε, θεήλατον φερομένην κατὰ τῆς φύσεως τῆς ἡμετέρας πληγὴν ἀνέστειλε. Τί λέγω; Ἅπερ οὐκ ἴσχυσε θάλασσα σχιζομένη, πέτραι ρηγνύμεναι, ἀὴρ μεταβαλλόμενος καὶ μάννα ἐπὶ τεσσαράκοντα ἔτεσι τοσαύταις χιλιάσι διαδιδόμενον καὶ νόμος καὶ ἕτερα σημεῖα καὶ ἐν ἐρήμῳ καὶ ἐν Παλαιστίνῃ γενόμενα, ταῦτα ἴσχυσεν ὁ σταυρός, οὐκ ἐν ἑνὶ ἔθνει, ἀλλ' ἐν πάσῃ τῇ οἰκουμένῃ, σταυρὸς τὸ ἐπάρατον σύμβολον, τὸ πᾶσι φευκτόν, τὸ πᾶσιν ἀπευκτόν, τὸ ἐπονείδιστον, ἴσχυσε, μετὰ τὸ τελευτῆσαι τὸν σταυρωθέντα, πάντα εὐκόλως ἐργάσασθαι. Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα δείκνυσιν αὐτοῦ τὴν ἰσχύν. Τὴν γὰρ οἰκουμένην ἄγονον οὖσαν κατὰ τὸν τῆς ἀρετῆς λόγον καὶ ἐρήμου γῆς οὐδὲν ἄμεινον διακειμένην, οὐδὲ εἰς τὸ τεκεῖν τι χρηστὸν προσδοκῶσαν, ἀθρόον παράδεισον καὶ μητέρα πολύπαιδα πεποίηκε. Καὶ τοῦτο ἄνωθεν προεδήλωσεν ὁ προφήτης οὕτω λέγων· «εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ρῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα».

Ὅτι τοιαύτην ἐργασάμενος, νόμον ἔδωκεν αὐτῇ πολλῷ τοῦ προτέρου βελτίονα, οὐδὲ τοῦτο ἐσίγησαν οἱ προφῆται· καὶ ὅρα τί προαναφωνοῦντες εἰρήκασι· «διαθήσομαι αὐτοῖς διαθήκην καινὴν οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος· ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι αὐτοῖς, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς». Εἶτα καὶ τὴν ἀθρόαν μεταβολὴν καὶ τὴν μετ' εὐκολίας διδασκαλίαν παραδηλῶν ἔλεγε· «καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν». Ὅτι ἁμαρτημάτων ἔμελλε διδόναι συγχώρησιν ἅπασι παραγενόμενος καὶ τοῦτο πάλιν προανεφώνησεν ὁ προφήτης οὕτως εἰπών· «αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν

7. Ἡσ. 54,1.
8. Ἰερ. 31,32.

νεῦρα, αὐτὸ λύτρωσε ὅλη τὴν οἰκουμένη ποὺ ἦταν καταδικασμένη, καὶ τερμάτισε τὴν θεία τιμωρία ποὺ καταφερόταν ἐναντίον τῆς φύσεώς μας. Ἀλλὰ τί λέγω; Ἐκεῖνα ποὺ δὲν μπόρεσαν νὰ κατορθώσουν ἡ σχιζόμενη θάλασσα καὶ οἱ ραγιζόμενες πέτρες, ἡ μεταβολὴ τοῦ ἀνέμου καὶ τὸ μάννα, ποὺ ἐπὶ σαράντα χρόνια χορηγοῦνταν σὲ τόσες χιλιάδες Ἰουδαίων, καὶ ὁ νόμος καὶ τὰ τόσα ἄλλα θαύματα ποὺ ἔγιναν καὶ στὴν ἔρημο καὶ στὴν Παλαιστίνη, αὐτὰ τὰ κατώρθωσε ὁ σταυρός, ὄχι σὲ ἕνα ἔθνος, ἀλλὰ σ' ὁλόκληρο τὸν κόσμο, ὁ σταυρός, τὸ καταραμένο αὐτὸ σύμβολο, ποὺ ὅλοι τὸ ἀπέφευγαν καὶ εὔχονταν νὰ μὴ τοὺς συμβῆ, καὶ τὸ πιὸ ἐπονείδιστο, αὐτὸς κατώρθωσε, μετὰ τὸν θάνατο ἐκείνου ποὺ σταυρώθηκε ἐπάνω σ' αὐτόν, νὰ τὰ κάμη ὅλα μὲ εὐκολία. Καὶ ὄχι μόνο αὐτά, ἀλλὰ καὶ τὰ ὅσα ἐπακολούθησαν δείχνουν τὴ δύναμή του. Γιατὶ ὁλόκληρη τὴν οἰκουμένη, ποὺ ἦταν ἄγονη σὲ ἔργα ἀρετῆς καὶ δὲν βρισκόταν σὲ καθόλου καλύτερη κατάσταση ἀπὸ τὴν ἔρημη γῆ καὶ δὲν περίμενε νὰ παράγη κάτι τὸ καλό, τὴν κατέστησε μέσα σὲ μιὰ στιγμὴ παράδεισο καὶ μητέρα πολύτεκνη. Καὶ αὐτὸ τὸ εἶπε ὁ προφήτης ἀπὸ πρὶν λέγοντας τὰ ἑξῆς· «γέμισε ἀπὸ εὐφροσύνη, σὺ στεῖρα ποὺ δὲν γεννοῦσες· βγάλε μεγάλη φωνὴ καὶ βροντοφώναξε, σὺ ποὺ δὲν γνώρισες τὶς ὠδῖνες τοῦ τοκετοῦ, γιατὶ σήμερα εἶναι πολὺ περισσότερα τὰ τέκνα τῆς στείρας γῆς, παρὰ ἐκείνης ποὺ εἶχε ἄνδρα»[7].

Καὶ ἀφοῦ τὴν ἔκαμε τέτοια, τῆς ἔδωσε νόμο, ποὺ ἦταν πολὺ πιὸ καλύτερος ἀπὸ τὸν προηγούμενο, πρᾶγμα ποὺ καὶ αὐτὸ δὲν τὸ ἀποσιώπησαν οἱ προφῆτες. Καὶ πρόσεχε τί προφήτεψαν καὶ εἶπαν· «θὰ συνάψω μὲ αὐτοὺς νέα διαθήκη, ὄχι σὰν τὴ διαθήκη ποὺ εἶχα συνάψει μὲ τοὺς πατέρες τους κατὰ τὴν ἡμέρα ποὺ τοὺς ἔπιασα ἀπὸ τὸ χέρι καὶ τοὺς ἔβγαλα ἀπὸ τὴ γῆ τῆς Αἰγύπτου, γιατὶ αὐτοὶ δὲν ἔμειναν πιστοὶ στὴ διαθήκη μου ἐκείνη, καὶ γι' αὐτὸ καὶ ἐγὼ τοὺς παραμέλησα, λέγει ὁ Κύριος. Καὶ εἶναι αὐτὴ ἡ διαθήκη ποὺ θὰ συνάψω μὲ αὐτούς· θὰ τοὺς δώσω νόμους κατανοητοὺς στὴ διάνοιά τους καὶ θὰ τοὺς γράψω ἐπάνω στὴν καρδιά τους»[8]. Ἔπειτα, προλέγοντας καὶ τὴν αἰφνίδια καὶ μαζικὴ μεταβολὴ καθὼς καὶ τὴν εὔκολη διάδοση τοῦ κηρύγματος, ἔλεγε· «καὶ δὲν θὰ διδάξουν ὁ καθένας πιὰ τὸν πλησίον του καὶ ὁ κάθε ἀδελφὸς τὸν ἀδελφό του, λέγοντας 'γνώρισε τὸν Κύριο', γιατὶ ὅλοι θὰ μὲ γνωρίσουν, ἀπὸ τὸν πιὸ μικρὸ μέχρι τὸν πιὸ μεγάλο τους»[9]. Τὸ ὅτι ἐπρόκειτο ἐρχόμενος νὰ συγχωρήση τὶς ἁμαρτίες ὅλων καὶ αὐτὸ τὸ προεῖπε ὁ προφήτης πάλι,

ἀφέλωμαι τὰς ἀνομίας αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι». Τί τούτου σαφέστερον γένοιτ' ἄν; Τὴν κλῆσιν γὰρ τῶν ἐθνῶν, τὴν ὑπεροχὴν τοῦ καινοῦ πρὸς τὸν παλαιὸν νόμον, τὴν εὐκολίαν τῆς προσαγωγῆς, τῶν πιστευσάντων τὴν χάριν καὶ τὴν δωρεὰν τὴν διὰ τοῦ βαπτίσματος γενομένην διὰ τούτων ἐνέφηνε τῶν προρρήσεων.

11. Ὅτι αὐτὸς οὗτος ὁ ταῦτα ἐργασάμενος, αὐτὸς παρέσται καὶ κριτὴς μετὰ ταῦτα, ὅρα πῶς καὶ αὐτὸ προαναφωνοῦσι· καὶ γὰρ οὐδὲ τοῦτο παρέδραμον, οἱ μὲν ὁρῶντες αὐτὸν ἐν αὐτῷ τῷ σχήματι, ᾧ μέλλει παραγίνεσθαι, οἱ δὲ διὰ ρημάτων αὐτῶν προαναφωνοῦντες. Ὁ μὲν γὰρ Δανιήλ, καὶ ταῦτα ἐν μέσῳ βαρβάρων τῶν Βαβυλωνίων, ὁρᾷ αὐτὸν ἐπὶ τῶν νεφελῶν καὶ ἄκουε τῶν ρημάτων αὐτῶν τοῦ προφήτου· «ἐθεώρουν», φησί, «καὶ ἰδοὺ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν καὶ ἔφθασεν ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ βασιλεία καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, αὐτῷ δουλεύσουσι». Καὶ τὸ κριτήριον δὲ αὐτοῦ ὑπογράφων φησίν· «ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν καὶ βίβλοι ἀνεῴχθησαν καὶ ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ». Οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν τιμὴν δείκνυσιν, ἣν μέλλουσιν ἔχειν οἱ δίκαιοι, λέγων· «καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις Ὑψίστου καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι». Ὁ δὲ Μαλαχίας καὶ ὅτι διὰ πυρὸς ἔσται τὸ δικαστήριον ἐκεῖνο, παρίστησι λέγων· «ἰδοὺ αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς ποιὰ πλυνόντων». Εἶδες ἀκρίβειαν προφητῶν, πῶς ἅπαντα προλαβόντες ἀνεκήρυξαν τὰ συμβήσεσθαι μέλλοντα; Πῶς οὖν ἔτι τολμᾷς ἀπιστεῖν, τοιαύτας λαβὼν αὐτοῦ ἀποδείξεις τῆς δυνάμεως, ρήματα πρὸ τοσούτου χρόνου ἀναφωνηθέντα καὶ πράγματα τοῖς ρήμασι συμβαίνοντα βλέπων καὶ οὐδὲν ὅλως διαπεσόν;

Καὶ ὅτι οὐ πλάσματα ἡμέτερα μαρτυροῦσιν οἱ τὰ βιβλία καὶ πρῶτοι δεξάμενοι καὶ νῦν κατέχοντες, ἐχθροί τε ὄντες καὶ τῶν ἐσταυρωκότων ἔκγονοι καὶ νῦν αὐτὰ κατέχοντες καὶ διατηροῦντες.

9. Ἱερ. 31,34.
10. Αὐτόθι.
11. Δαν. 7,13.
12. Μαλαχ. 3,2.

λέγοντας τὰ ἑξῆς· «αὐτὴ εἶναι ἡ διαθήκη μου μὲ αὐτούς, ὅταν θὰ συγχωρήσω τὶς ἀνομίες τους καὶ δὲν θὰ θυμηθῶ πιὰ τὶς ἁμαρτίες τους»[10]. Τί θὰ μποροῦσε νὰ ὑπάρξη σαφέστερο ἀπ' αὐτό; Γιατὶ μὲ τὶς προφητεῖες αὐτὲς φανέρωσε τὴν κλήση τῶν ἐθνῶν, τὴν ὑπεροχὴ τοῦ νέου νόμου ἔναντι του παλαιοῦ, τὴν εὐκολία τῆς ἀποδοχῆς τοῦ κηρύγματος, τὴ χάρη ἐκείνων ποὺ πίστεψαν καὶ τὴ δωρεὰ ποὺ δόθηκε μὲ τὸ βάπτισμα.

11. Τὸ ὅτι αὐτὸς τὰ ἔκαμε ὅλα αὐτὰ καὶ ὅτι αὐτὸς ὁ ἴδιος θὰ ἔλθη ἀργότερα ὡς κριτής, πρόσεχε πῶς καὶ αὐτὸ τὸ προλέγουν· γιατὶ οὔτε καὶ αὐτὸ τὸ παρέβλεψαν, παρουσιάζοντας ἄλλοι τὴ μορφὴ μὲ τὴν ὁποία πρόκειται νὰ ἔλθη, καὶ ἄλλοι προφητεύοντας τὴν ἔλευσή του μὲ λόγια μόνο. Ὁ Δανιὴλ δηλαδή, ζώντας ἀνάμεσα στοὺς βαρβάρους Βαβυλωνίους, τὸν βλέπει νὰ ἔρχεται ἐπὶ τῶν νεφελῶν· ἄκουε τὰ ἴδια τὰ λόγια τοῦ προφήτη· «ἔβλεπα», λέγει, «καὶ νά, βλέπω νὰ ἔρχεται ὡς υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῶν νεφελῶν καὶ ἔφθασε μέχρι τὸν παλαιὸ τῶν ἡμερῶν, ὡδηγήθηκε ἐνώπιον αὐτοῦ καὶ τοῦ δόθηκε ἡ ἐξουσία καὶ ἡ βασιλεία καὶ ὅλοι οἱ λαοί, οἱ φυλές, καὶ γλῶσσες θὰ ὑπηρετήσουν αὐτόν». Παριστάνοντας καὶ τὸ δικαστήριό του λέγει· «ἔβλεπα μέχρι ποὺ τοποθετήθηκαν θρόνοι καὶ ἀνοίχθηκαν τὰ βιβλία καὶ ποταμὸς πυρὸς ἔτρεχε μπροστά του· χίλιες χιλιάδες ἀγγέλων τὸν ὑπηρετοῦσαν καὶ μύριες μυριάδες ἀγγέλων στέκονταν δίπλα του». Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ δείχνει καὶ τὴν τιμὴ ποὺ πρόκειται νὰ ἔχουν οἱ δίκαιοι, λέγοντας· «καὶ ἡ ἀπόφαση βγῆκε γιὰ τοὺς ἁγίους τοῦ Ὑψίστου καὶ ἔλαβαν τὴν βασιλεία οἱ ἅγιοι»[11]. Ὁ Μαλαχίας πάλι προφητεύει ὅτι τὸ δικαστήριο ἐκεῖνο θὰ γίνη ὑπὸ μορφὴ πυρός, λέγοντας· «νά, θὰ παρουσιασθῆ αὐτὸς μπροστὰ στοὺς ἀνθρώπους σὰν τὸ πῦρ τοῦ χωνευτηρίου καὶ σὰν τὸ σταχτόνερο ἐκείνων ποὺ πλένουν»[12]. Εἶδες ἀκρίβεια προφητῶν, πῶς διεκήρυξαν ἀπὸ πρὶν ὅλα ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν; Πῶς λοιπὸν τολμᾶς ἀκόμη νὰ ἀπιστῆς, ἔχοντας τόσες μεγάλες ἀποδείξεις τῆς δυνάμεως αὐτοῦ, προφητεῖες ποὺ λέχθηκαν πρὶν ἀπὸ τόσα χρόνια, καὶ βλέποντας τὰ γεγονότα νὰ συμφωνοῦν μὲ αὐτές, χωρὶς καθόλου νὰ ἀστοχοῦν;

Καὶ ὅτι οἱ προφητεῖες αὐτὲς δὲν ἀποτελοῦν κατασκευάσματα δικά μας τὸ μαρτυροῦν ἐκεῖνοι, ποὺ καὶ πρῶτοι δέχθηκαν τὰ βιβλία τῶν προφητῶν καὶ τὰ ἔχουν μέχρι σήμερα, ποὺ ἂν καὶ εἶναι ἐχθροί

Καὶ πῶς οὐ πιστεύουσι, φησίν, ἔχοντες τὰ βιβλία; Ὅτι καὶ τότε θαυματουργοῦντα βλέποντες οὐκ ἐπίστευον. Ἀλλὰ τοῦτο οὐ τοῦ ἀπιστουμένου ἔγκλημα, ἀλλὰ τῶν ἐν μεσημβρίᾳ μέσῃ τυφλωττόντων· ἐπεὶ καὶ τὸν κόσμον τοῦτον εἰς μέσον προέθηκε, παναρμόνιον ὄργανον, φωνὰς πανταχόθεν ἀφιέντα καὶ τὸν δημιουργὸν ἀνακηρύττοντα· καὶ ὅμως τινὲς τῶν ἀνθρώπων εἰσίν, οἱ μὲν αὐτόματα πάντα λέγοντες, οἱ δὲ ἀγέννητα τὰ ὁρώμενα, οἱ δὲ δαίμοσιν ἐπιγράφοντες τὴν τούτων δημιουργίαν καὶ πρόνοιαν, ἄλλοι τύχῃ καὶ εἱμαρμένῃ καὶ γενέσει καὶ ἄστρων περιφοραῖς. Ἀλλ' οὐδέπω τοῦτο τοῦ δημιουργοῦ ἔγκλημα, ἀλλ' ἡ κατηγορία τῶν μετὰ τοσαῦτα φάρμακα ἐν ἐσχάταις κειμένων νόσοις. Ὥσπερ γὰρ ὅταν εὐγνώμων ᾖ ψυχή, τὸ δέον συνορᾷ, οὐ πολλῶν δεομένη βοηθημάτων εἰς τοῦτο, οὕτω δὴ καὶ ὅταν ἀγνώμων καὶ ἀναίσθητος, κἂν μυρίους ἔχῃ τοὺς χειραγωγοῦντας, προκατειλημμένη πάθεσι, μένει τυφλώττουσα.

Ὅρα γοῦν τοῦτο πανταχοῦ συμβαῖνον, οὐκ ἐπὶ τῆς ὑποθέσεως ταύτης, ἀλλὰ καὶ ἀλλαχοῦ. Πόσοι γοῦν νόμων οὐκ ἀκούσαντες, ἐννομώτατον διετέλεσαν ἐπιδεικνύμενοι βίον; Ἄλλοι δὲ ἐκ πρώτης ἡλικίας αὐτοῖς συντραφέντες εἰς ἔσχατον γῆρας τοῖς νόμοις, οὐκ ἐπαύσαντο αὐτοὺς παραβαίνοντες. Ταῦτα καὶ ἐπὶ τῶν παλαιῶν συνέβαινε. Καὶ γὰρ οἱ μὲν Ἰουδαῖοι καὶ σημείων καὶ θαυμάτων μυρίων ἀπολαύσοντες, οὐκ ἐγένοντο βελτίους· Νινευῖται δὲ μιᾶς μόνης φωνῆς ἀκούσαντες μετεβάλλοντο καὶ τῆς κακίας ἀπηλλάγησαν. Τοῦτο καὶ ἐπ' ἀνδρῶν ἴδοι τις ἂν συμβαῖνον εὐτελῶν, οὐκ ἐπισήμων μόνον. Πόσης διδασκαλίας οὐκ ἀπέλαυσεν ὁ Ἰούδας, καὶ ὅμως προδότης ἐγένετο; Ποίας δὲ παραινέσεως ἀπέλαυσεν ὁ λῃστής; Ἀλλὰ ἐν σταυρῷ αὐτὸν ὡμολόγησε καὶ τὴν βασιλείαν ἀνεκήρυξε τὴν ἐκείνου. Μὴ τοίνυν ἀπὸ τῶν διεφθαρμένων τὰς γνώμας τὰς κρίσεις ποιοῦ τῶν πραγμάτων, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων ἀληθείας τὴν προσήκουσαν ψῆφον ἔκφερε περὶ τῶν ὀρθῶς βουλευσαμένων.

Οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι, οἱ ἐξ ἐθνῶν ἐπίστευσαν. Καὶ οὐδὲ τοῦτο σεσίγηται, ἀλλ' ἔνθεν μὲν ὁ Δαυὶδ προφητεύων βοᾷ·

μας καὶ ἀπόγονοι ἐκείνων ποὺ τὸν σταύρωσαν, τὰ ἔχουν καὶ σήμερα καὶ τὰ διατηροῦν. Καὶ πῶς δὲν πιστεύουν, λέγει, ἀφοῦ ἔχουν τὰ βιβλία; Ὅπως καὶ τότε ἀπιστοῦσαν, ἂν καὶ τὸν ἔβλεπαν νὰ θαυματουργῇ. Ἀλλ' αὐτὸ δὲν ἀποτελεῖ κατηγορία ἐκείνου ποὺ δὲν γίνεται πιστευτό, ἀλλ' ἐκείνων ποὺ παραμένουν τυφλοὶ μέσα στὸ καταμεσήμερο· γιατὶ καὶ τὸν κόσμο αὐτὸν τὸν ἔθεσε μπροστά μας σὰν ὄργανο ἁρμονικώτατο, ποὺ ἀφήνει ἀπὸ παντοῦ φωνὲς καὶ διακηρύσσει τὸν δημιουργό· κι ὅμως ὑπάρχουν μερικοί, ἀπὸ τοὺς ὁποίους ἄλλοι λένε ὅτι ὅλα ἔγιναν αὐτόματα, ἄλλοι ὅτι εἶναι ἀγέννητα τὰ ὅσα βλέπουμε, ἄλλοι ἀποδίδουν τὴ δημιουργία καὶ τὴν πρόνοιά τους στοὺς δαίμονες καὶ ἄλλοι στὴν τύχη καὶ στὴν εἱμαρμένη καὶ στὶς περιφορὲς τῶν ἄστρων. Αὐτὸ ὅμως δὲν ἀποτελεῖ κατηγορία τοῦ δημιουργοῦ, ἀλλ' ἡ κατηγορία βαρύνει αὐτούς, ποὺ μετὰ ἀπὸ τόσα φάρμακα ἐξακολουθοῦν νὰ εἶναι βαρύτατα ἀσθενεῖς. Ὅπως δηλαδή, ὅταν μία ψυχὴ εἶναι εὐγνώμων, γνωρίζει τὸ πρέπον χωρὶς νὰ ἔχῃ ἀνάγκη ἀπὸ πολλὰ βοηθήματα, ἔτσι λοιπὸν καὶ ὅταν εἶναι ἀγνώμων καὶ ἀναίσθητη, κι ἂν ἀκόμη ἔχῃ ἄπειρους καθοδηγητές, κυριευμένη ἀπὸ τὰ πάθη, παραμένει τυφλή.

Πρόσεχε λοιπὸν ὅτι αὐτὸ συμβαίνει παντοῦ, ὄχι μόνο στὴν περίπτωση αὐτή, ἀλλὰ καὶ σὲ ἄλλες. Πόσοι δηλαδή, ἐνῶ δὲν ἄκουσαν νόμους, κάμνουν μιὰ ζωὴ ἀπόλυτα σύμφωνη μὲ τοὺς νόμους; Κι ἄλλοι, ποὺ ἀνατράφηκαν μὲ τοὺς νόμους ἀπὸ τὴν παιδική τους ἡλικία μέχρι τὰ βαθιὰ γεράματα, δὲν ἔπαψαν νὰ τοὺς παραβαίνουν. Τὰ ἴδια συνέβαιναν καὶ παλαιότερα. Γιατὶ οἱ Ἰουδαῖοι, ἂν καὶ ἀπόλαυσαν ἄπειρα σημεῖα καὶ θαύματα, δὲν ἔγιναν καλύτεροι· ἐνῶ οἱ Νινευῖτες, ἀκούοντας ἕνα μόνο κήρυγμα, μετέβαλαν τρόπο ζωῆς καὶ ἀπαλλάχθηκαν ἀπὸ τὴν κακία. Αὐτὸ μπορεῖ κανεὶς νὰ τὸ δῇ νὰ συμβαίνῃ καὶ σὲ ἁπλοϊκοὺς ἀνθρώπους καὶ ὄχι μόνο σὲ διάσημους. Πόση διδασκαλία δὲν ἀπόλαυσε ὁ Ἰούδας, κι ὅμως ἔγινε προδότης; Ποιά παραίνεση ἀπόλαυσε ὁ ληστής; Κι ὅμως ὡμολόγησε ἐπάνω στὸν σταυρὸ τὸν Χριστὸ καὶ διακήρυξε τὴ βασιλεία ἐκείνου. Μὴ λοιπὸν κρίνῃς τὰ πράγματα στηριζόμενος στὶς διεφθαρμένες γνῶμες τῶν ἄλλων, ἀλλὰ μὲ βάση τὴν ἀλήθεια τῶν πραγμάτων νὰ ἐκφέρῃς τὴν πρέπουσα γνώμη γιὰ ἐκείνους ποὺ σκέφθηκαν ὀρθά.

Δὲν πίστεψαν οἱ Ἰουδαῖοι, πίστεψαν ὅμως οἱ Ἐθνικοί. Καὶ οὔτε αὐτὸ ἀποσιωπήθηκε, ἀλλ' ἄλλοτε ὁ Δαυῒδ προφητεύοντας

«υἱοὶ ἀλλότριοι ἐψεύσαντό με, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν». Ἔνθεν δὲ ὁ Ἠσαΐας λέγων, «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;» Καὶ πάλιν, «εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι». Καὶ ἐν αὐτῇ δὲ τῇ παρουσίᾳ αὐτοῦ Χαναναία καὶ Σαμαρεῖτις γυνὴ ἐπίστευσαν· ἱερεῖς δὲ καὶ ἄρχοντες ἐπολέμουν καὶ ἐπεβούλευον καὶ τοὺς ἄλλους ἀπεῖργον καὶ ἀποσυναγώγους ἐποίουν πιστεύοντας εἰς αὐτόν. Μηδὲν τοίνυν ξενιζέτω σε ταῦτα. Πολλῶν ἐμπέπλησται τοιούτων ὑποδειγμάτων ὁ βίος ἡμῶν καὶ ἐν τῷ καθ' ἡμᾶς χρόνῳ καὶ ἐν τοῖς ἔμπροσθεν οὖσιν· ἄλλως δέ, εἰ καὶ μὴ πάντες, ἀλλὰ πολλοὶ καὶ ἐξ Ἰουδαίων καὶ τότε καὶ νῦν ἐπίστευσαν· εἰ δὲ μὴ πάντες, οὐδὲν καινὸν οὐδὲ παράδοξον. Τοιοῦτον γὰρ ἡ ἀγνωμοσύνη, τοιοῦτον ἡ ἀλόγιστος διάνοια, τοιοῦτον ἡ ὑπὸ παθῶν κρατουμένη ψυχή.

Ἀλλ' ἐπειδὴ τὰς περὶ αὐτοῦ προφητείας παρὰ τῶν προφητῶν εἰρημένας καὶ πρὸ τοσούτων χρόνων ἀνακηρυχθείσας εἰρήκαμεν, φέρε καὶ τὰς ὑπ' αὐτοῦ ἡνίκα περιεπόλει τὴν γῆν καὶ τοῖς ἀνθρώποις συνανεστρέφετο, περὶ μελλόντων εἰρημένας εἰς μέσον ἀγάγωμεν, ἵνα κἀντεῦθεν αὐτοῦ μάθῃς τὴν ἰσχύν. Παραγενόμενος γὰρ τότε καὶ τὴν τῶν ἀνθρώπων πραγματευόμενος σωτηρίαν, τῶν τε κατ' ἐκείνους ὄντων τοὺς χρόνους, τῶν τε ὕστερον ἐσομένων, ποικίλως αὐτὴν μεταχειρίζει. Καὶ ὅρα τί ποιεῖ. Θαύματα ἐργάζεται καὶ προλέγει τινὰ τῶν μακροῖς ὕστερον χρόνοις ἐκβησομένων· διὰ μὲν τῶν τότε γινομένων τὴν ἀλήθειαν τῶν μετὰ πολὺν χρόνον ἐκβησομένων ἐγγυώμενος παρὰ τοῖς τότε ἀκροαταῖς, τοῖς τε μετὰ ταῦτα ἐσομένοις ἐκ τῶν εἰρημένων ἐκβάσεων ἀξιόπιστα δεικνὺς καὶ τὰ ἐν ἐκείνῳ τῷ χρόνῳ γεγενημένα θαύματα, καὶ ἀπὸ τῆς διπλῆς ταύτης ἀποδείξεως καὶ τὰ περὶ τῆς βασιλείας πιστούμενος.

12. Καὶ γὰρ διπλαῖ αὐτοῦ αἱ προρρήσεις ἦσαν, αἱ μὲν κατὰ τὸν

13. Ψαλμ. 17,46.
14. Ἠσ. 53,1.
15. Ἠσ. 65,1.
16. Ματθ. 15,21–28. Μάρκ. 7,24–30.

βροντοφωνάζει, «υἱοὶ ἀλλογενεῖς μοῦ εἶπαν ψέματα, υἱοὶ ἀλλοεθνεῖς κατέστησαν ἄχρηστοι σὰν τὰ παλιὰ πράγματα καὶ βάδιζαν κουτσαίνοντας στοὺς δρόμους τους»[13], καὶ ἄλλοτε ὁ Ἠσαΐας λέγει· «Κύριε, ποιός πίστεψε σ' αὐτὰ ποὺ ἀκούσαμε ἀπὸ σένα καὶ ἡ δύναμη τοῦ Κυρίου σὲ ποιόν φανερώθηκε;»[14]. Καὶ πάλι· «βρέθηκα ἀπὸ ἐκείνους ποὺ δὲν μὲ ζητοῦν, ἔγινα φανερὸς σ' ἐκείνους ποὺ δὲν μὲ ἐρωτοῦν»[15]. Ἀλλὰ καὶ κατὰ τὴν παρουσία του στὴ γῆ πίστεψαν σ' αὐτὸν ἡ Χαναναία[16] καὶ ἡ Σαμαρείτιδα[17], ἐνῶ οἱ ἱερεῖς καὶ οἱ ἄρχοντες τὸν πολεμοῦσαν καὶ τὸν ἐπιβουλεύονταν καὶ ἐμπόδιζαν καὶ τοὺς ἄλλους καὶ ἀπομάκρυναν ἀπὸ τὴ συναγωγὴ ἐκείνους ποὺ πίστευαν σ' αὐτόν. Ἂς μὴ σὲ ξενίζουν λοιπὸν καθόλου αὐτά. Ἡ ζωή μας εἶναι γεμάτη ἀπὸ πολλὰ τέτοια παραδείγματα, ποὺ συνέβηκαν καὶ κατὰ τὶς ἡμέρες μας καὶ παλαιότερα. Ἄλλωστε, ἂν ὄχι ὅλοι, ὁπωσδήποτε ὅμως πολλοὶ καὶ ἀπὸ τοὺς Ἰουδαίους πίστεψαν καὶ τότε καὶ τώρα, ἂν ὅμως δὲν πίστεψαν ὅλοι, δὲν εἶναι οὔτε πρωτάκουστο οὔτε παράδοξο. Γιατὶ τέτοια εἶναι ἡ ἀγνωμοσύνη, τέτοια ἡ ἀπερίσκεπτη διάνοια, τέτοια ἡ ψυχὴ ποὺ κυριαρχεῖται ἀπὸ πάθη.

Ἀλλ' ἀφοῦ ἀναφέραμε τὶς προφητεῖες ποὺ πρὶν ἀπὸ τόσα χρόνια ἔχουν λεχθῆ καὶ διακηρυχθῆ ἀπὸ τοὺς προφῆτες, ἐμπρὸς ἂς ἐξετάσουμε καὶ ἐκεῖνες ποὺ λέχθηκαν ἀπὸ τὸν ἴδιο γιὰ τὰ ὅσα πρόκειται νὰ συμβοῦν στὸ μέλλον, ὅταν περιερχόταν τὴ γῆ καὶ συναναστρεφόταν τοὺς ἀνθρώπους, ὥστε νὰ μάθης καὶ ἀπὸ αὐτὲς τὴ δύναμή του. Ὅταν λοιπὸν ἦλθε τότε στὴ γῆ καὶ πραγματοποιοῦσε τὸ ἔργο τῆς σωτηρίας τῶν ἀνθρώπων, τόσο ἐκείνων ποὺ ζοῦσαν τότε, ὅσο καὶ τῶν μελλοντικῶν γενεῶν, χρησιμοποίησε διαφόρους τρόπους πρὸς ἐπιτυχία τοῦ σκοποῦ του αὐτοῦ. Καὶ πρόσεχε τί κάνει. Ἐνεργεῖ θαύματα καὶ προλέγει ὡρισμένα γεγονότα ποὺ θὰ συνέβαιναν μετὰ ἀπὸ πολλὰ χρόνια. Καὶ ἔτσι μὲ ἐκεῖνα ποὺ γίνονταν τότε παρεῖχε στοὺς ἀκροατὲς τὴν ἐγγύηση γιὰ ὅλα ἐκεῖνα ποὺ θὰ συνέβαιναν μελλοντικά, ἐνῶ στὶς μελλοντικὲς γενεὲς ἀποδεικνύει μὲ τὸ ὅτι πραγματοποιήθηκαν ὅλα ἐκεῖνα ποὺ προεῖπε, ὅτι τὰ θαύματα ποὺ ἔγιναν κατὰ τὴν ἐποχὴ ἐκείνη εἶναι ἀξιόπιστα, καὶ μὲ τὴ διπλῆ αὐτὴ ἀπόδειξη κάνει πιστευτὰ καὶ τὰ περὶ τῆς βασιλείας.

12. Καὶ πράγματι οἱ προφητεῖες του ἦταν διπλές· ἄλλες ἐπρόκειτο

17. Ἰω. 4,5 ἑ.

παρόντα ἐκβήσεσθαι μέλλουσαι βίον, αἱ δὲ μετὰ τὴν συντέλειαν αὐτήν· καὶ θατέρα τὴν θατέραν συνίστη καὶ ἐδείκνυ μετὰ πολλῆς τῆς περιουσίας ἀληθεύουσαν. Οἷόν τι λέγω· καὶ γὰρ ἀσαφὴς ὁ λόγος, διὸ καὶ σαφέστερον αὐτὸν ποιῆσαι πειράσομαι· δώδεκα ἦσαν ἑπόμενοι αὐτῷ μαθηταί· Ἐκκλησίας δὲ πρᾶγμα οὐδὲ εἰς νοῦν τις ἐλάμβανε τότε, ἀλλ' οὐδὲ ὄνομα· ἡ γὰρ συναγωγὴ ἦν ἀνθοῦσα ἔτι. Τί οὖν εἶπε καὶ προεφώνησε τῆς οὐκουμένης σχεδὸν ἁπάσης ὑπὸ ἀσεβείας κατεχομένης; «Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Ὡς βούλει τοῦτο βασάνιζε τὸ ρῆμα καὶ ὄψει διαλάμπουσαν αὐτοῦ τὴν ἀλήθειαν. Οὐ γὰρ δὴ τοῦτο θαυμαστόν ἐστι μόνον, ὅτι ᾠκοδόμησεν αὐτὴν κατὰ τὴν οἰκουμένην ἅπασαν, ἀλλ' ὅτι καὶ ἀχείρωτον εἰργάσατο, καὶ ἀχείρωτον ὑπὸ τοσούτων ἐνοχλουμένην πολέμων· τὸ γάρ, «πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς», κίνδυνοί ἐστιν εἰς ᾅδην κατάγοντες. Εἶδες προρρήσεως ἀλήθειαν; εἶδες ἐκβάσεως ἰσχύν; εἶδες ρήματα ἐπὶ τῶν πραγμάτων διαλάμποντα καὶ δύναμιν ἄμαχον πάντα ποιοῦσαν εὐκόλως;

Μὴ γὰρ ἐπειδὴ ρῆμά ἐστι βραχύ, τό, «οἰκοδομήσω μου τὴν Ἐκκλησίαν», παραδράμῃς ἁπλῶς, ἀλλ' ἀνάπτυξον τῇ διανοίᾳ καὶ ἐννόησον ἡλίκον ἐστὶ τὴν ὑφ' ἡλίῳ κειμένην ἅπασαν Ἐκκλησιῶν ἐν χρόνῳ βραχεῖ τοσούτων ἐμπλῆσαι, ἔθνη μεταθεῖναι τοσαῦτα, μεταπεῖσαι δήμους, ἔθη καταλῦσαι πατρῷα, συνήθειαν ἐρριζωμένην ἀνασπάσαι, ἡδονῆς τυραννίδα, κακίας ἰσχύν, ὥσπερ κόνιν ἀπελάσαι καὶ βωμοὺς καὶ ναοὺς καὶ ξόανα καὶ τελετὰς καὶ τὰς ἐναγεῖς ἑορτὰς καὶ τὴν ἀκάθαρτον κνίσσαν ὥσπερ καπνόν τινα ἀφανίσαι, καὶ πανταχοῦ θυσιαστήρια ἀναστῆσαι, ἐν τῇ Ρωμαίων χώρᾳ, ἐν τῇ Περσῶν, ἐν τῇ Σκυθῶν, ἐν τῇ Μαύρων, ἐν τῇ Ἰνδῶν· τί λέγω; ὑπὲρ τὴν οἰκουμένην τὴν καθ' ἡμᾶς. Καὶ γὰρ αἱ Βρεττανικαὶ νῆσοι, αἱ τῆς θαλάττης ἐκτὸς κείμεναι ταύτης καὶ ἐν αὐτῷ οὖσαι τῷ ὠκεανῷ, τῆς δυνάμεως τοῦ ρήματος ᾔσθοντο· καὶ γὰρ κἀκεῖ Ἐκκλη-

18. Ματθ, 16,18.
19. Ὡς «Οἰκουμένη» ἐδῶ ὁ ἱερὸς Χρυσόστομος ἐννοεῖ μᾶλλον τὴν ἐπικράτεια τῆς Βυζαντινῆς Αὐτοκρατορίας.

νὰ ἐκπληρωθοῦν κατὰ τὴν παροῦσα ζωή, καὶ ἄλλες μετὰ τὴ συντέλεια τοῦ κόσμου, καὶ μὲ τὸ ἕνα εἶδος τῶν προφητειῶν ἔκαμνε πιστευτὸ τὸ ἄλλο καὶ ἔδειχνε μὲ μεγάλη βεβαιότητα ὅτι θὰ ἐπαληθευθοῦν αὐτές. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· γιατὶ πραγματικὰ ὁ λόγος εἶναι ἀσαφής, γι' αὐτὸ θὰ ἐπιχειρήσω νὰ τὸν κάμω πιὸ σαφῆ. Δώδεκα ἦταν τότε οἱ μαθητὲς ποὺ τὸν ἀκολουθοῦσαν, καὶ κανεὶς τότε δὲν μποροῦσε νὰ σκεφθῆ τῆς Ἐκκλησίας τὴν πραγματικότητα, ἀλλ' οὔτε καὶ τὸ ὄνομα, γιατὶ τότε ἡ συναγωγὴ ἀνθοῦσε ἀκόμη. Τί λοιπὸν εἶπε καὶ προανήγγειλε τὴ στιγμὴ ἐκείνη ποὺ ὅλη σχεδὸν ἡ οἰκουμένη ἦταν κυριευμένη ἀπὸ τὴν ἀσέβεια; «Ἐπάνω σ' αὐτὴ τὴν πέτρα θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου καὶ οἱ πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς»[18]. Ὅπως θέλεις ἐξέτασε τὸν λόγο αὐτόν, καὶ θὰ δῆς παντοῦ νὰ διαλάμπη ἡ ἀλήθειά του. Καὶ δὲν εἶναι θαυμαστὸ αὐτὸ μόνο, τὸ ὅτι οἰκοδόμησε τὴν Ἐκκλησία σ' ὁλόκληρη τὴν οἰκουμένη, ἀλλὰ καὶ τὸ ὅτι τὴν κατέστησε ἀκατανίκητη, ἂν καὶ ἐνοχλοῦνταν ἀπὸ τόσους πολέμους. Γιατὶ τό, «πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς», σημαίνει τοὺς κινδύνους ἐκείνους ποὺ ὁδηγοῦν στὸν ἅδη. Εἶδες ἀλήθεια προρρήσεως; εἶδες δύναμη ἐκπληρώσεως; εἶδες λόγους ποὺ διαλάμπουν ἐπάνω στὰ γεγονότα, δύναμη ἀκαταμάχητη ποὺ τὰ κατορθώνει ὅλα μὲ εὐκολία; Μὴ δηλαδή, ἐπειδὴ ὁ λόγος «θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου» εἶναι σύντομος, τὸν προσπεράσης ἐπιπόλαια, ἀλλ' ἀνάπτυξέ τον στὸν νοῦ σου, καὶ σκέψου πόσο μεγάλο πρᾶγμα εἶναι τὸ νὰ γεμίση τὴν Ἐκκλησία, ποὺ εἶχε ἐξαπλωθῆ μέσα σὲ σύντομο χρονικὸ διάστημα σ' ὅλη τὴν ὑφήλιο, ἀπὸ τόσους πιστούς, νὰ μεταβάλη τὴν πίστη τόσων ἐθνῶν, νὰ μεταπείση λαούς, νὰ καταργήση πατρικὰ ἔθιμα, νὰ ξερριζώση συνήθειες βαθιὰ ριζωμένες, νὰ διαλύση σὰν σκόνη τὴν τυραννικὴ ἐξουσία τῆς ἡδονῆς καὶ τὴ δύναμη τῆς κακίας, νὰ ἐξαφανίση σὰν καπνὸ τοὺς βωμοὺς καὶ τοὺς ναοὺς καὶ τὰ εἴδωλα καὶ τὶς τελετὲς καὶ τὶς βέβηλες ἑορτὲς καὶ τὴν ἀκάθαρτη κνίσσα τῶν θυσιῶν, καὶ νὰ ἀνεγείρη παντοῦ θυσιαστήρια, στὴ χώρα τῶν Ρωμαίων καὶ τῶν Περσῶν καὶ τῶν Σκυθῶν καὶ τῶν Μαύρων καὶ τῶν Ἰνδῶν· τί λέγω; πιὸ πέρα καὶ ἀπὸ τὰ σύνορα τῆς δικῆς μας αὐτοκρατορίας[19]. Γιατὶ καὶ τὰ βρεττανικὰ νησιά, ποὺ εἶναι ἔξω ἀπὸ αὐτὴ τὴ θάλασσα[20] καὶ βρίσκονται μέσα στὸν ὠκεανό, γνώρισαν τὴ δύναμη τοῦ λόγου αὐ-

20. Ἐννοεῖ τὴ Μεσόγειο θάλασσα.

σία καὶ θυσιαστήρια πεπήγασιν. Ἐκεῖνο τὸ ῥῆμα, ὅπερ ἐφθέγξατο τότε, τοῦτο ἐν ταῖς ἁπάντων πεφύτευται ψυχαῖς, ἐν τοῖς ἁπάντων στόμασι κεῖται. Καὶ πᾶσα, ὡς εἰπεῖν, ἡ γῆ ἐξεκαθάρθη ἀκανθῶν πεπληρωμένη καὶ καθαρὰ γέγονεν ἄρουρα καὶ τὰ σπέρματα τῆς εὐσεβείας ἐδέξατο.

Μέγα μὲν οὖν ὄντως, μέγα, μᾶλλον δὲ μέγεθος ὑπερβολῆς καὶ θείας δυνάμεως ἀπόδειξιν ἔχον, τὸ καὶ μηδενὸς ἐνοχλοῦντος, ἀλλ' εἰρήνης οὔσης καὶ πολλῶν τῶν συνταραττόντων κειμένων, ἐναντιουμένου δὲ μηδενός, δυνηθῆναι τοσαύτην οἰκουμένην ἀθρόον ἀπαλλάξαι μὲν τῆς ἐν τοσούτῳ χρόνῳ προκατειληφυίας αὐτὴν πονηρᾶς συνηθείας, μεταθεῖναι δὲ εἰς ἑτέραν πολὺ δυσκολωτέραν. Οὐ γὰρ συνηθείᾳ μόνον ἠναντιοῦτο, ἀλλὰ καὶ ἡδονὴν κατεῖχε, δύο τυραννικὰ πράγματα. Ἃ γὰρ ἀπὸ πολλῶν ἐτῶν παρὰ πατέρων καὶ πάππων καὶ ἐπιπάππων καὶ τῶν ἀνωτέρω προγόνων καὶ φιλοσόφων καὶ ῥητόρων ἦσαν παρειληφότες, ταῦτα ἐπείθοντο ἀποπτύειν· καίπερ ἦν δυσκολώτατον καὶ ἑτέραν δέχεσθαι συνήθειαν καινὴν ἐπεισελθοῦσαν, καὶ τὸ δὴ χαλεπώτερον, πολὺ τὸ ἐπίπονον ἔχουσαν. Ἀπῆγε γὰρ τρυφῆς καὶ ἐνῆγεν εἰς νηστείαν· ἀπῆγε φιλοχρηματίας καὶ ἐνῆγεν εἰς ἀκτημοσύνην· ἀπῆγε ἀσελγείας καὶ ἐνῆγεν εἰς σωφροσύνην· ἀπῆγε θυμοῦ καὶ ἐνῆγεν εἰς πρᾳότητα· ἀπῆγε φθόνου καὶ ἐνῆγεν εἰς φιλοφροσύνην· ἀπῆγε τῆς πλατείας ὁδοῦ καὶ εὐρυχώρου καὶ ἐνῆγεν εἰς τὴν στενὴν καὶ τεθλιμμένην καὶ ἀπόκρημνον, καὶ ἐνῆγεν ὡς τραφέντας τῇ πλατείᾳ. Οὐ γὰρ δὴ ἄλλους ἀνθρώπους λαβὼν ἔξω τῆς οἰκουμένης καὶ τῆς συνηθείας ταύτης, ἀλλ' αὐτοὺς ἐκείνους τοὺς ἐν τούτοις κατασαπέντας καὶ πηλοῦ γενομένους μαλακωτέρους, τούτους ἐκέλευσε τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύειν ὁδόν, τὴν τραχεῖαν καὶ σκληράν, καὶ ἔπειθε. Καὶ πόσους ἔπειθεν; Οὐ δύο καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατόν, ἀλλὰ πάντας σχεδὸν τοὺς τὴν ὑφ' ἥλιον οἰκοῦντας. Καὶ διὰ τίνων ἔπειθε; Διὰ ἀνθρώπων ἐν-

21. Βλ. Ματθ. 7,13–14.

τοῦ, καθ' ὅσον καὶ ἐκεῖ ἔχουν ἱδρυθῆ Ἐκκλησίες καὶ στήθηκαν θυσιαστήρια. Ὁ λόγος ἐκεῖνος, ποὺ τὸ εἶπε τότε, αὐτὸς ἔχει φυτευθῆ στὶς ψυχὲς ὅλων καὶ βρίσκεται στὰ στόματα ὅλων. Καὶ ὅλη ἡ γῆ πού, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, ἦταν γεμάτη ἀγκάθια, καθαρίσθηκε καὶ ἔγινε καθαρὴ καὶ καλλιεργήσιμη γῆ καὶ δέχθηκε τὰ σπέρματα τῆς εὐσέβειας.

Εἶναι μεγάλο πραγματικά, πολὺ μεγάλο, ἢ καλύτερα δείχνει σὲ ὑπερβολικὸ βαθμὸ τὸ μέγεθος τῆς θείας δυνάμεως, τὸ ὅτι μπόρεσαν, κι ἂν ἀκόμη κανεὶς δὲν τοὺς ἐνωχλοῦσε, ἀλλ' ἐπικρατοῦσε εἰρήνη, καὶ πολλοὶ ποὺ τοὺς ἐμπόδιζαν ἦταν νικημένοι καὶ δὲν ὑπῆρχε ἐχθρὸς κανείς, τόσον πολὺν κόσμο νὰ τὸν ἀπαλλάξουν ἀπὸ τὴ μιὰ στιγμὴ στὴν ἄλλη ἀπὸ συνήθεια κακὴ μὲ τὴν ὁποία ζοῦσε ἐπὶ τόσα χρόνια, καὶ νὰ τὸν μεταθέσουν σὲ ἄλλη, πολὺ πιὸ δύσκολη. Καὶ δὲν εἶχαν ἀντίπαλο μόνο τὴ συνήθεια, ἀλλὰ καὶ τὴν ἡδονή, δυὸ πράγματα τυραννικά. Γιατὶ ἐκεῖνα ποὺ τὰ εἶχαν παραλάβει πρὶν ἀπὸ πολλὰ χρόνια ἀπὸ τοὺς πατέρες καὶ τοὺς πάππους καὶ τοὺς προπάππους καὶ τοὺς πρὶν ἀπὸ αὐτοὺς ἀκόμη, καθὼς καὶ ἀπὸ τοὺς φιλοσόφους καὶ τοὺς ρήτορες, αὐτὰ πείθονταν νὰ τὰ ἀρνηθοῦν, ἂν καὶ ἦταν πάρα πολὺ δύσκολο νὰ δεχθοῦν μιὰ νέα συνήθεια ποὺ εἶχε μπεῖ στὸν κόσμο, καὶ τὸ χειρότερο βέβαια ἀπὸ ὅλα, ποὺ ἦταν πολὺ ἐπίπονη. Γιατὶ τοὺς ἀπομάκρυνε ἀπὸ τὴν τρυφὴ καὶ τοὺς ὡδηγοῦσε στὴ νηστεία· τοὺς ἀπομάκρυνε ἀπὸ τὴ φιλοχρηματία καὶ τοὺς ὡδηγοῦσε στὴν ἀκτημοσύνη· τοὺς ἀπομάκρυνε ἀπὸ τὴν ἀσέλγεια καὶ τοὺς ὡδηγοῦσε στὴ σωφροσύνη· τοὺς ἀπομάκρυνε ἀπὸ τὸν θυμὸ καὶ τοὺς ὡδηγοῦσε στὴν πραότητα· τοὺς ἀπομάκρυνε ἀπὸ τὸν φθόνο καὶ τοὺς ὡδηγοῦσε στὴν φιλοφροσύνη· τοὺς ἀπομάκρυνε ἀπὸ τὴν πλατειὰ καὶ εὐρύχωρη ὁδὸ καὶ τοὺς ὡδηγοῦσε στὴ στενὴ καὶ θλιμμένη καὶ ἀπόκρημνη, ὡδηγοῦσε ἐκείνους ποὺ εἶχαν ἀνατραφῆ γιὰ νὰ βαδίσουν τὴν πλατειὰ ὁδό[21]. Γιατὶ βέβαια δὲν πῆρε ἄλλους ἀνθρώπους, ποὺ ζοῦσαν ἔξω ἀπὸ τὸν κόσμο καὶ τὴ συνήθεια αὐτή, ἀλλ' ἐκείνους τοὺς ἴδιους, ποὺ εἶχαν κατασαπίσει ἀπὸ τὶς συνήθειες αὐτὲς κι εἶχαν γίνει καὶ ἀπὸ τὸν πηλὸ μαλακώτεροι, αὐτοὺς πρόσταξε νὰ βαδίσουν τὴ στενὴ καὶ γεμάτη θλίψεις ὁδό, τὴν τραχεῖα καὶ δύσκολη, καὶ τοὺς ἔπειθε. Καὶ πόσους ἔπειθε; Ὄχι δύο καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατό, ἀλλ' ὅλους σχεδὸν τοὺς ἀνθρώπους ποὺ κατοικοῦσαν στὴν ὑφήλιο. Καὶ μὲ ποιούς τοὺς ἔπειθε; Μὲ ἕνδεκα

δεκα, ἀγραμμάτων, ἰδιωτῶν, ἀγλώττων, ἀσήμων, πενήτων, οὐ πατρίδας ἐχόντων, οὐ περιουσίας χρημάτων, οὐ σώματος δύναμιν, οὐ δόξης περιφάνειαν, οὐ προγόνων λαμπρότητα, οὐ λόγων ἰσχύν, οὐ ρητορείας δεινότητα, οὐ τὴν ἀπὸ γνώσεως προστασίαν, ἀλλὰ ἁλιέων, σκηνοποιῶν, ἑτερογλώσσων. Οὐδὲ γὰρ ὁμόφωνοι τοῖς πειθομένοις ἦσαν, ἀλλὰ ξένην τινὰ καὶ παραλλαγμένην παρὰ πάσας τὰς γλώττας κεκτημένοι φωνήν, τὴν Ἑβραΐδα λέγω, καὶ δι' αὐτῶν ᾠκοδόμησε τὴν Ἐκκλησίαν ταύτην, τὴν ἀπὸ περάτων εἰς πέρατα τεταμένην.

13. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι οἱ ἰδιῶται δὴ οὗτοι καὶ πένητες καὶ ὀλίγοι καὶ ἄσημοι καὶ ἀγράμματοι καὶ εὐτελεῖς καὶ ἑτερόφωνοι καὶ εὐκαταφρόνητοι, τῆς οἰκουμένης ἁπάσης τὴν διόρθωσιν ἐγχειρισθέντες καὶ ἐπὶ τὰ πολλῷ δυσκολώτερα πράγματα ἄγειν αὐτὴν κελευσθέντες, οὐδὲ ἐν εἰρήνῃ ταῦτα ἔπραττον, ἀλλὰ μυρίων πανταχόθεν πολέμων αὐτοῖς ἐγειρομένων. Κατὰ γὰρ ἔθνος ἕκαστον, καὶ κατὰ πόλιν· τί λέγω κατὰ ἔθνος καὶ κατὰ πόλιν; Κατὰ οἰκίαν ἑκάστην πόλεμος αὐτοῖς ἀνερριπίζετο. Εἰσιοῦσα γὰρ ἡ διδασκαλία καὶ ἀποσχίζουσα παῖδα πολλάκις πατρὸς καὶ νύμφην πενθερᾶς καὶ ἀδελφὸν ἀδελφοῦ καὶ δοῦλον δεσπότου καὶ ἀρχόμενον ἄρχοντος καὶ ἄνδρα γυναικὸς καὶ γυναῖκα ἀνδρὸς καὶ πατέρα παίδων, οὐ γὰρ ἀθρόον πάντες ἐπείθοντο, καθημερινὰς ἀπεχθείας, συνεχεῖς πολέμους, μυρίους αὐτοῖς ἐπῆγε θανάτους καὶ ὡς κοινοὺς ἐχθροὺς καὶ πολεμίους ἀποστρέφεσθαι παρεσκεύασε. Καὶ γὰρ πάντες αὐτοὺς ἤλαυνον, βασιλεῖς, ἄρχοντες, ἰδιῶται, ἐλεύθεροι, δοῦλοι, δῆμοι, πόλεις· καὶ οὐκ αὐτοὺς μόνον, ἀλλὰ τὸ δὴ χαλεπώτερον, τοὺς ἔτι νεοπαγεῖς ἐν τῇ πίστει, τοὺς ὑπ' αὐτῶν κατηχουμένους. Κοινὸς γὰρ πόλεμος καὶ τοῖς μαθηταῖς καὶ τοῖς διδασκάλοις ἐγένετο, ἅτε τῆς διδασκαλίας ἀπεναντίας καὶ διατάγμασι βασιλικοῖς καὶ συνηθείᾳ καὶ ἔθεσι πατρῴοις φαινομένης. Παρήνουν γὰρ εἰδώλων ἀπέχεσθαι, καταφρονεῖν βωμῶν, οὓς οἱ πατέρες αὐτῶν καὶ οἱ πρόγονοι πάντες ἐθεράπευσαν, ἀφίστασθαι τῶν

ἀνθρώπους, ἀγράμματους, ἰδιῶτες, ποὺ δὲν ἤξεραν γλῶσσες, ποὺ ἦταν ἄσημοι καὶ φτωχοί, ποὺ δὲν εἶχαν πατρίδα, δὲν εἶχαν χρήματα πολλά, οὔτε δύναμη σωματική, οὔτε παρελθὸν ἔνδοξο, οὔτε προγονικὴ λαμπρότητα, οὔτε δύναμη λόγου, οὔτε ρητορικὴ δεινότητα, οὔτε τὴν προστασία ποὺ προσφέρει ἡ γνώση, ἀλλ' ἦταν ἄνθρωποι ἁλιεῖς, σκηνοποιοί, ἀλλόγλωσσοι. Γιατὶ δὲν εἶχαν τὴν ἴδια γλῶσσα μὲ ἐκείνους ποὺ πίστευαν, ἀλλὰ μιλοῦσαν ξένη γλῶσσα καὶ διαφορετικὴ ἀπὸ ὅλες τὶς ἄλλες, ἐννοῶ τὴν ἑβραϊκὴ γλῶσσα, καὶ μὲ αὐτοὺς οἰκοδόμησε τὴν Ἐκκλησία, ποὺ ἐκτείνεται ἀπὸ τὸ ἕνα ἄκρο μέχρι τὸ ἄλλο ἄκρο τῆς γῆς.

13. Καὶ δὲν εἶναι αὐτὸ μόνο θαυμαστό, ἀλλὰ καὶ τὸ ὅτι οἱ λίγοι αὐτοὶ ἰδιῶτες καὶ φτωχοὶ καὶ ἄσημοι καὶ ἀγράμματοι καὶ ταπεινοὶ καὶ ἀλλόγλωσσοι καὶ εὐκαταφρόνητοι, ποὺ τοὺς ἀνατέθηκε ἡ διόρθωση ὅλης τῆς οἰκουμένης καὶ πῆραν ἐντολὴ νὰ τὴν ὁδηγήσουν σὲ πολὺ δυσκολώτερα πράγματα, δὲν τὰ ἔκαμναν αὐτὰ σὲ κατάσταση εἰρήνης, ἀλλὰ μέσα στοὺς ἄπειρους πολέμους ποὺ ἐξεγείρονταν ἐναντίον τους ἀπὸ παντοῦ. Πραγματικὰ σὲ κάθε ἔθνος καὶ σὲ κάθε πόλη· τί λέγω σὲ κάθε ἔθνος καὶ σὲ κάθε πόλη; Σὲ κάθε σπίτι ξεσποῦσε ἐναντίον τους πόλεμος. Γιατὶ γενόμενη ἀποδεκτὴ ἡ διδασκαλία χώριζε πολλὲς φορὲς τὸ παιδὶ ἀπὸ τὸν πατέρα, τὴ νύφη ἀπὸ τὴν πεθερά, τὸν ἀδελφὸ ἀπὸ τὸν ἀδελφό, τὸν δοῦλο ἀπὸ τὸν κύριο, τὸν ἀρχόμενο ἀπὸ τὸν ἄρχοντα, τὸν ἄνδρα ἀπὸ τὴ γυναῖκα, τὴ γυναῖκα ἀπὸ τὸν ἄνδρα, καὶ τὸν πατέρα ἀπὸ τὰ παιδιά, γιατὶ δὲν πείθονταν ὅλα ἀμέσως, δημιουργοῦσε καθημερινὲς ἔχθρες καὶ συνεχεῖς πολέμους, προξενοῦσε σ' αὐτοὺς ἄπειρους θανάτους, καὶ γινόταν αἰτία νὰ τοὺς ἀποφεύγουν σὰν ἐχθροὺς καὶ πολέμιους ὅλων. Καθ' ὅσον ὅλοι τοὺς καταδίωκαν, βασιλεῖς, ἄρχοντες, ἰδιῶτες, ἐλεύθεροι, δοῦλοι, δῆμοι, πόλεις· καὶ ὄχι μόνο αὐτούς, ἀλλὰ (τὸ πιὸ φοβερὸ βέβαια) καὶ ἐκείνους ποὺ μόλις εἶχαν ἀσπασθῆ τὴν πίστη, ποὺ λάμβαναν τὴν κατήχηση ἀπ' αὐτούς. Εἶχε δηλαδὴ κηρυχθῆ ἕνας κοινὸς πόλεμος ἐναντίον καὶ τῶν μαθητῶν καὶ τῶν διδασκάλων, ἐπειδὴ ἡ διδασκαλία φαινόταν ἀντίθετη καὶ πρὸς τὰ βασιλικὰ διατάγματα καὶ πρὸς τὶς συνήθειες καὶ πρὸς τὰ πατρικὰ ἔθιμα. Γιατὶ τοὺς προέτρεπαν νὰ μὴ προσκυνοῦν τὰ εἴδωλα, νὰ καταφρονοῦν τοὺς βωμούς, τοὺς ὁποίους οἱ πατέρες τους καὶ ὅλοι οἱ πρόγονοί τους λάτρευσαν, νὰ ἀποφεύγουν τὰ βδελυρὰ δόγματα, νὰ περιφρο-

μυσαρῶν δογμάτων, καταγελᾶν ἑορτῶν, διαπτύειν τὰς τελετάς· ἃ φρικωδέστατα ἐδόκει εἶναι ἐκείνοις καὶ φοβερώτατα καὶ ὑπὲρ ὧν ἂν καὶ τὴν ψυχὴν προήκαντο, ἢ αἱρεῖσθαι τὰ παρ' αὐτῶν λεγόμενα καὶ πιστεύειν εἰς τὸν ἀπὸ Μαρίας τεχθέντα, τὸν ἐν ἡγεμονικῷ δικαστηρίῳ παραστάντα, τὸν ἐμπτυσθέντα, τὸν μυρία παθόντα δεινά, τὸν θάνατον ἐπάρατον ὑπομείναντα, τὸν ταφέντα, τὸν ἀναστάντα.

Καὶ τὸ παράδοξον, ὅτι τὰ μὲν τῶν παθῶν δῆλα πᾶσιν ἦν, αἱ μάστιγες, αἱ ἐπὶ κόρρης πληγαί, αἱ εἰς πρόσωπον ὕβρεις διὰ τῶν ἐμπτυσμάτων γινόμεναι, τὰ ῥαπίσματα, ὁ σταυρός, ἡ πολλὴ χλευασία, ἡ παρὰ πάντων κωμῳδία, ὁ τάφος ὁ ἐν μέρει χάριτος γενόμενος· τὰ δὲ τῆς ἀναστάσεως οὐκέτι· αὐτοῖς γὰρ μόνοις ἀναστὰς ἐφάνη· ἀλλ' ὅμως καὶ ταῦτα λέγοντες ἔπειθον καὶ οὕτῳ τὴν Ἐκκλησίαν ᾠκοδόμουν. Πῶς καὶ τίνι τρόπῳ; Τῇ δυνάμει τοῦ ταῦτα κελεύσαντος. Αὐτὸς γὰρ προοδοποιῶν ἦν, αὐτὸς πάντα καὶ τὰ δύσκολα ῥᾴδια ποιῶν. Εἰ γὰρ μὴ θεία τις δύναμις ἦν ἡ ταῦτα κατορθοῦσα, οὐδ' ἂν προοίμιον, οὐδ' ἂν ἀρχὴν ταῦτα ἔλαβε. Πῶς γάρ; Ἀλλ' ἐκεῖνος ὁ εἰπών, «γενηθήτω οὐρανός» καὶ δείξας τὸ ἔργον, καὶ «θεμελιωθήτω ἡ γῆ» καὶ παραγαγὼν τὴν οὐσίαν, καὶ «λαμπέτω ἥλιος» καὶ δείξας τὸ ἄστρον καὶ πάντα ἐργασάμενος λόγῳ, οὗτος καὶ τὰς Ἐκκλησίας ταύτας ἐφύτευσε· καὶ τὸ ῥῆμα ἐκεῖνο, τό, «οἰκοδομήσω μου τὴν Ἐκκλησίαν», τοῦτο πάντα εἰργάσατο. Τοιοῦτοι γὰρ οἱ τοῦ Θεοῦ λόγοι, ἔργων δημιουργοί, ἔργων θαυμαστῶν καὶ παραδόξων.

Ὥσπερ γὰρ εἶπε, «βλαστησάτω ἡ γῆ βοτάνην χόρτου» καὶ πάντα ἀθρόον παράδεισος ἦν καὶ πάντα λειμῶνες καὶ μυρίοις ἀκόμα φυτοῖς ἡ δεξαμένη τὸ ἐπίταγμα γῆ, οὕτω καὶ νῦν εἶπεν, «οἰκοδομήσω μου τὴν Ἐκκλησίαν», καὶ μετὰ πολλῆς εὐκολίας τοῦτο ἐγίνετο· καὶ τυράννων κατ' αὐτῆς ὁπλιζομένων καὶ στρατιωτῶν ὅπλα κινούντων καὶ δήμων πυρὸς σφοδρότερον μαινομένων καὶ συνηθείας ἀντιπαραταττομένης καὶ ῥητόρων καὶ σοφιστῶν καὶ πλουτούντων καὶ ἰδιωτῶν καὶ ἀρχόντων ἀνισταμένων, πυρὸς σφο-

22. Γεν. 1,11.

νοῦν τὶς ἑορτὲς καὶ νὰ ἀποστρέφωνται τὶς τελετές, πράγματα ποὺ θεωροῦνταν ἀπὸ ἐκείνους καὶ γεμᾶτα ἀπὸ πολλὴ φρίκη καὶ πάρα πολὺ φοβερὰ καὶ γιὰ τὰ ὁποῖα θὰ ἔδιναν ἀκόμη καὶ τὴν ἴδια τὴ ζωή τους, παρὰ ν' ἀποδεχθοῦν τοὺς λόγους αὐτῶν καὶ νὰ πιστέψουν σ' ἐκεῖνον ποὺ γεννήθηκε ἀπὸ τὴ Μαρία, σ' ἐκεῖνον ποὺ ὡδηγήθηκε στὸ ἡγεμονικὸ δικαστήριο, ποὺ δέχθηκε ἐμπτυσμοὺς καὶ ἔπαθε μύρια δεινά· σ' ἐκεῖνον ποὺ ὑπέμεινε θάνατο καταραμένο, ποὺ τάφηκε καὶ ἀναστήθηκε.

Καὶ τὸ παράδοξο εἶναι, ὅτι τὰ πάθη του ἦταν γνωστὰ σὲ ὅλους, ὅπως τὰ μαστιγώματα, οἱ πληγὲς στὰ μάτια, οἱ ὕβρεις ποὺ συνωδεύονταν ἀπὸ τοὺς ἐμπτυσμοὺς στὸ πρόσωπο, τὰ ραπίσματα, ὁ σταυρός, τὰ πολλὰ χλευάσματα, ἡ διακωμώδηση ἀπὸ ὅλους, ἡ ταφὴ ποὺ ἐπιτράπηκε νὰ γίνη σὰν χάρη, ἐνῶ τὰ σχετικὰ μὲ τὴν Ἀνάσταση δὲν ἦταν ἀκόμη γνωστὰ (γιατὶ μετὰ τὴν ἀνάστασή του φανερώθηκε μόνο σ' αὐτούς)· ἀλλ' ὅμως λέγοντάς τους αὐτά, τοὺς ἔπειθαν, καὶ ἔτσι οἰκοδομοῦσαν τὴν Ἐκκλησία. Πῶς καὶ μὲ ποιόν τρόπο; Μὲ τὴ δύναμη ἐκείνου ποὺ τοὺς ἔδωσε αὐτὴν τὴν ἐντολή. Γιατὶ αὐτὸς ἦταν ποὺ βάδιζε μπροστὰ ἀπὸ αὐτούς, αὐτὸς ἔκαμνε ὅλα τὰ δύσκολα εὔκολα. Γιατί, ἂν δὲν ἦταν κάποια θεία δύναμη ποὺ κατώρθωνε αὐτά, δὲν θὰ ἦταν δυνατὸ οὔτε ἀρχὴ νὰ λάβουν. Πῶς δηλαδὴ θὰ ἦταν δυνατό; Ἀλλ' ἐκεῖνος ποὺ εἶπε, «ἂς γίνη ὁ οὐρανός», καὶ ἔγινε ὁ λόγος ἔργο, καὶ «ἂς θεμελιωθῆ ἡ γῆ», καὶ παρήγαγε τὴν ὕλη, καὶ «ἂς λάμψη ὁ ἥλιος», καὶ παρουσίασε τὸ ἄστρο, καὶ ὅλα τὰ ἔκαμε μὲ τὸν λόγο του, αὐτὸς φύτευσε καὶ τὶς ἐκκλησίες αὐτές· καὶ ὁ λόγος του ἐκεῖνος, «θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου», αὐτὸς δημιούργησε τὸ πᾶν. Γιατὶ τέτοιοι εἶναι οἱ λόγοι τοῦ Θεοῦ, δημιουργοὶ ἔργων, ἔργων θαυμαστῶν καὶ παραδόξων.

Ὅπως ἀκριβῶς δηλαδὴ εἶπε, «ἂς βλαστήση ἡ γῆ βοτάνη χόρτου»[22] καὶ ὅλα ἀμέσως ἔγιναν παράδεισος, ὅλα ἔγιναν λειβάδια καὶ γέμισε ἀπὸ φυτὰ ἡ γῆ ποὺ δέχθηκε τὸ πρόσταγμα, ἔτσι καὶ τώρα εἶπε, «θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου» καὶ μὲ μεγάλη εὐκολία ἔγινε αὐτό. Καὶ ἐνῶ ὡπλίζονταν ἐναντίον της τύραννοι, οἱ στρατιῶτες πρόβαλλαν κατ' αὐτῆς τὰ ὅπλα τους, τὰ πλήθη τοῦ λαοῦ μαίνονταν μὲ σφοδρότητα μεγαλύτερη ἐκείνης τοῦ πυρός, ἡ συνήθεια ἀντιπαρατασσόταν, καὶ οἱ ρήτορες καὶ οἱ σοφιστὲς καὶ οἱ πλούσιοι καὶ οἱ ἰδιῶτες καὶ οἱ ἄρχοντες ξεσηκώνονταν ἐναντίον της, ἐρχόμε-

δρότερον ἐπιὼν ὁ λόγος τὰς ἀκάνθας ἀνήλωσε, τὰς ἀρούρας ἐξεκάθηρεν, ἔσπειρε τοῦ κηρύγματος τὸν λόγον· καὶ τῶν πιστευσάντων, τῶν μὲν δεσμωτήριον οἰκούντων, τῶν δὲ εἰς τὴ ὑπερορίαν μεθισταμένων, τῶν δὲ τὰ χρήματα ἀφαιρουμένων, τῶν δὲ ἀναιρουμένων καὶ κατακοπτομένων, τῶν δὲ πυρὶ παραδιδομένων, τῶν δὲ καταποντιζομένων καὶ πᾶν εἶδος τιμωρίας ὑπομενόντων, ἀτιμουμένων, ἐλαυνομένων, ὡς κοινῶν ἐχθρῶν διωκομένων πάντοθεν, ἕτεροι πλείους προσῄεσαν, οὐ μόνον οὐδέν, ἀφ' ὧν ἔπασχον ἕτεροι, εἰς τὸ πεισθῆναι ὀκνηρότεροι γινόμενοι, ἀλλὰ καὶ προθυμότεροι καὶ μᾶλλον ἐπιπηδῶντες τῇ καλῇ ταύτῃ θήρᾳ· καὶ οὕτως ἡλιεύοντο, οὐκ ἀναγκαζόμενοι, οὐ βιαζόμενοι, ἀλλὰ προστρέχοντες, χάριν εἰδότες τοῖς ἐπὶ τοῦτο ἄγουσι καὶ χειμάρρους αἱμάτων ὁρῶντες ἀπὸ τῶν ἤδη πεπιστευκότων ἀπορρέοντας, θερμότεροι καὶ περὶ τὴν πίστιν ἐγίνοντο καὶ θαρσαλεώτεροι· καὶ οὐχὶ τῶν μαθητῶν μόνον, ἀλλὰ καὶ τῶν διδασκάλων, τῶν μὲν δεδεμένων, τῶν δὲ ἐλαυνομένων, τῶν δὲ μαστιζομένων, τῶν δὲ ἕτερα μυρία πασχόντων κακά, πλείους οἱ μαθητευόμενοι καὶ σπουδαιότεροι μᾶλλον ἐγίνοντο. Καὶ βοᾷ Παῦλος λέγων· «ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν». Καὶ ἀλλαχοῦ πάλιν, «ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. Ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων, καὶ ἡμᾶς κωλυόντων τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν». Ἑτέροις δὲ πάλιν γράφων οὕτως ἔλεγεν· «ἀναμιμνήσκεσθε τὰς προτέρας ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, γινώσκοντες ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν.

Εἶδες δυνάμεως ὑπερβολὴν τοῦ ταῦτα ἐργασαμένου; Οὐ γὰρ μόνον οὐκ ἠθύμουν, οὐδὲ μόνον οὐκ ἐθλίβοντο ταῦτα πάσχοντες, ἀλλὰ καὶ ἔχαιρον, ἐσκίρτων, ἐπήδων. Καὶ περὶ μὲν τούτων οὗτος ταῦτα λέγει, ὅτι τὴν δήμευσιν τῆς οὐσίας μεθ' ἡδονῆς ἐδέξαντο·

23. Φιλιπ. 1,14.
24. Α' Θεσ. 2,14–15.
25. Ἑβρ. 10,32–34.

νος ὁ λόγος τοῦ Θεοῦ μὲ σφοδρότητα μεγαλύτερη τῆς φωτιᾶς κατέκαυσε τὰ ἀγκάθια, καθάρισε τοὺς ἀγροὺς καὶ ἔσπειρε τὸν λόγο τοῦ κηρύγματος. Καὶ ἐνῶ ἄλλοι ἀπὸ τοὺς πιστοὺς ρίχνονταν στὴ φυλακή, ἄλλοι ἐξωρίζονταν ἐκτὸς τῆς πατρίδος, ἄλλων δημευόταν ἡ περιουσία τους, ἄλλοι φονεύονταν καὶ κατασφάζονταν, ἄλλοι ρίχνονταν στὴ φωτιά, ἄλλοι καταποντίζονταν στὴ θάλλασα καὶ ὑπέμεναν κάθε εἶδος τιμωρίας, ἀτιμαζόμενοι, ἀπομακρυνόμενοι ἀπὸ τὰ σπίτια τους καὶ διωκόμενοι ἀπὸ παντοῦ σὰν κοινοὶ ἐχθροί, ἐν τούτοις ἄλλοι ὅλο καὶ περισσότεροι προσέρχονταν, ποὺ ὄχι μόνο δὲν ἔδειχναν ἀπροθυμία στὸ νὰ πιστέψουν ἐξ αἰτίας τῶν ὅσων ἔπασχαν ἄλλοι, ἀλλὰ καὶ προθυμότεροι γίνονταν, καὶ πολὺ περισσότερο πηδοῦσαν μέσα σ' αὐτὰ τὰ καλὰ δίχτυα, καὶ ἔτσι ψαρεύονταν ὄχι ἐξαναγκαζόμενοι οὔτε ἐκβιαζόμενοι, ἀλλὰ προστρέχοντας μόνοι τους καὶ νιώθοντας εὐγνωμοσύνη πρὸς ἐκείνους ποὺ τοὺς ὡδηγοῦσαν στὸν Χριστό· καὶ ἐνῶ ἔβλεπαν χειμάρρους αἱμάτων νὰ τρέχουν ἀπὸ ἐκείνους ποὺ εἶχαν ἤδη πιστέψει, γίνονταν πιὸ θερμοὶ στὴν πίστη καὶ πιὸ θαρραλέοι. Καὶ ὄχι μόνο οἱ μαθητές, ἀλλὰ καὶ οἱ διδάσκαλοι, ἂν καὶ ἄλλοι ἀπὸ αὐτοὺς φυλακίζονταν, ἄλλοι διώκονταν, ἄλλοι μαστιγώνονταν καὶ ἄλλοι ἔπασχαν μύρια ἄλλα κακά, καθημερινὰ οἱ μαθητὲς γίνονταν περισσότεροι καὶ πολὺ πιὸ σπουδαιότεροι. Καὶ βροντοφωνάζει ὁ Παῦλος λέγοντας· «ὥστε οἱ περισσότεροι ἀπὸ τοὺς ἀδελφοὺς ἐν Κυρίω, παίρνοντας θάρρος ἀπὸ τὴ φυλάκισή μου, τολμοῦν ἀκόμη περισσότερο ἄφοβα νὰ κηρύττουν τὸν λόγο τοῦ εὐαγγελίου»[23]. Καὶ ἀλλοῦ πάλι· «γιατὶ σεῖς γίνατε μιμητὲς τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ ποὺ ὑπάρχουν στὴν Ἰουδαία. Γιατὶ καὶ σεῖς πάθετε τὰ ἴδια ἀπὸ τοὺς ὁμοεθνεῖς σας, ὅπως καὶ αὐτοὶ ἀπὸ τοὺς Ἰουδαίους, οἱ ὁποῖοι καὶ τὸν Κύριο φόνευσαν καὶ ἐμᾶς ἐμποδίζουν νὰ κηρύττουμε στοὺς ἐθνικούς, γιὰ νὰ σωθοῦν»[24]. Γράφοντας πάλι σὲ ἄλλους ἔλεγε τὰ ἑξῆς· «νὰ θυμᾶσθε τὶς προηγούμενες ἡμέρες, κατὰ τὶς ὁποῖες, ἀφοῦ βαπτισθήκατε, ὑπομείνατε μεγάλο ἀγῶνα παθημάτων, γιατὶ γνωρίζατε ὅτι ἐπιφυλάσσεται γιὰ σᾶς στὸν οὐρανὸ κάτι τὸ ἀνώτερο καὶ μόνιμο»[25].

Εἶδες τὴν ὑπερβολικὴ δύναμη ἐκείνου ποὺ ἐνήργησε αὐτά; Ὄχι μόνο δηλαδὴ δὲν λυποῦνταν, ὄχι μόνο δὲν θλίβονταν παθαίνοντας αὐτά, ἀλλὰ καὶ χαίρονταν καὶ σκιρτοῦσαν καὶ πηδοῦσαν ἀπὸ χαρά. Καὶ γιὰ αὐτὰ λοιπὸν ὁ Παῦλος λέγει αὐτά, ὅτι δηλαδὴ τὴν

περὶ δὲ τῶν διδασκάλων ὁ Λουκᾶς ἐν τῇ τῶν Πράξεων βίβλῳ, ὅτι «ὑπέστρεφον ἐκ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι». Περὶ δὲ ἑαυτοῦ πάλιν ὁ Παῦλος· «χαίρω ἐν τοῖς παθήμασί μου καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου». Καὶ τί θαυμάζεις, εἰ καὶ ἐπὶ παθήμασιν ἔχαιρεν, ὅπου γε καὶ θάνατον μέλλων ὑπομένειν οὐ μόνον ἔχαιρεν, ἀλλὰ καὶ τοὺς μαθητὰς εἰς κοινωνίαν τῆς εὐφροσύνης ἐκάλει, ὅπερ ἦν ὑπερβαλλόντως εὐφραινομένης ψυχῆς, οὕτω λέγων· «χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν, τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι». Τί γέγονεν, εἰπέ, ὅτι τοσαύτης ἐνεπλήσθης χαρᾶς; «Ἐγώ», φησίν, «ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν».

14. Οὕτω τοίνυν ᾠκοδόμουν τὴν πανταχοῦ Ἐκκλησίαν. Καίτοι γε τοῖχον ἕνα οὐδεὶς ἂν δυνηθείη οἰκοδομῆσαι, διὰ λίθου καὶ ἀσβέστου συντιθεὶς τὴν οἰκοδομήν, ἐλαυνόμενος, κωλυόμενος· οὗτοι δὲ Ἐκκλησίας τοσαύτας πανταχοῦ τῆς οἰκουμένης ᾠκοδόμησαν, κατακοπτόμενοι, δεσμούμενοι, διωκόμενοι, φυγαδευόμενοι, δημευόμενοι, μαστιγούμενοι, σφαττόμενοι, καιόμενοι, καταποντιζόμενοι μετὰ τῶν μαθητῶν· καὶ ᾠκοδόμησαν οὐ διὰ λίθων, ἀλλὰ διὰ ψυχῶν καὶ προαιρέσεων, ὅπερ δυσκολώτερον πολλῷ τοῦ διὰ λίθων οἰκοδομῆσαι. Οὐ γάρ ἐστιν ἴσον συνθεῖναι τοῖχον καὶ ψυχὴν ἐπὶ τοσούτοις χρόνοις ὑπὸ δαιμόνων ἐκβακχευθεῖσαν πεῖσαι μεταστῆναι καὶ τῆς μανίας ἀποστῆναι ἐκείνης καὶ πρὸς τοσαύτην ἐλθεῖν σωφροσύνην. Ἀλλ' ὅμως ἴσχυσαν γυμνοὶ καὶ ἀνυπόδετοι, μονοχίτωνες τὴν οἰκουμένην περιιόντες ἅπασαν· εἶχον γὰρ σύμμαχον καὶ βοηθὸν τὴν ἄμαχον δύναμιν τοῦ εἰρηκότος, «ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς».

Ἀρίθμησον γοῦν πόσοι τύραννοι ἐξ ἐκείνου παρετάξαντο πρὸς αὐτήν, πόσοι διωγμοὺς ἐκίνησαν χαλεπωτάτους, πῶς τὸν ἔμπροσθεν ἅπαντα διέκειτο χρόνον ὅτε νεόφυτος ἦν ἡ πίστις, ὅτε

26. Αὐτόθι.
27. Πράξ. 5,41.
28. Κολ. 1,24.
29. Φιλιπ. 2,17–18.
30. Β' Τιμ. 4,6.
31. Ματθ. 16,18.

δήμευση τῆς περιουσίας τὴν δέχθηκαν μὲ εὐχαρίστηση[26], ἐνῶ ὁ Λουκᾶς στὸ βιβλίο τῶν Πράξεων, μιλώντας γιὰ τοὺς διδασκάλους, λέγει ὅτι «ἔφευγαν ἀπὸ τὸ συνέδρειο χαρούμενοι, γιατὶ καταξιώθηκαν νὰ κακοποιηθοῦν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ»[27]. Γιὰ τὸν ἑαυτό του πάλι ὁ Παῦλος λέγει· «χαίρομαι γιὰ τὰ παθήματά μου καὶ συμπληρώνω στὸ σῶμα μου τὸ ὑπόλοιπο τῶν θλίψεων τοῦ Χριστοῦ»[28]. Καὶ γιατί θαυμάζεις ποὺ χαιρόταν γιὰ τὰ παθήματά του, τὴ στιγμὴ ποὺ καὶ ὅταν ἐπρόκειτο νὰ ὑποστῆ τὸν θάνατο ὄχι μόνο χαιρόταν, ἀλλὰ καλοῦσε καὶ τοὺς μαθητὲς νὰ πάρουν μέρος στὴν εὐφροσύνη, πρᾶγμα ποὺ δείχνει ψυχὴ ὑπερβολικὰ εὐφραινόμενη, λέγοντας τὰ ἑξῆς· «χαίρομαι καὶ συμμετέχω στὴ χαρὰ ὅλων σας, τὸ ἴδιο καὶ σεῖς χαίρεσθε καὶ συμμετέχετε στὴ χαρά μου»[29]. Πές μας λοιπόν, τί συνέβηκε καὶ γέμισες ἀπὸ τόση χαρά; «Ἐγώ», λέγει, «εἶμαι ἕτοιμος πιὰ νὰ χύσω σὰν σπονδὴ τὸ αἷμα μου καὶ ὁ καιρὸς τοῦ θανάτου μου ἔφθασε»[30].

14. Ἔτσι λοιπὸν οἰκοδομοῦσαν σ' ὅλα τὰ μέρη τῆς γῆς τὴν Ἐκκλησία. Ἂν καὶ βέβαια κανεὶς δὲν θὰ μποροῦσε διωκόμενος καὶ ἐμποδιζόμενος νὰ κτίση οὔτε ἕνα τοῖχο μὲ λίθους καὶ ἀσβέστη, ὅμως αὐτοὶ οἰκοδόμησαν τόσες Ἐκκλησίες σ' ὁλόκληρη τὴν οἰκουμένη καταπιεζόμενοι, φυλακιζόμενοι, διωκόμενοι, ἐξοριζόμενοι, δημευόμενοι, μαστιγούμενοι, σφαγιαζόμενοι, καιόμενοι, καταποντιζόμενοι μαζὶ μὲ τοὺς μαθητές τους. Καὶ τὶς οἰκοδόμησαν ὄχι μὲ λίθους, ἀλλὰ μὲ ψυχὲς καὶ προαιρέσεις, πρᾶγμα ποὺ εἶναι πολὺ πιὸ δύσκολο ἀπὸ τοῦ νὰ κτίζη κανεὶς μὲ λίθους. Γιατὶ δὲν εἶναι ἴσο τὸ νὰ κτίσης ἕνα τοῖχο καὶ τὸ νὰ πείσης ν' ἀλλάξη τρόπο ζωῆς μιὰ ψυχή, ποὺ ἐπὶ τόσα χρόνια εἶχε διαφθαρῆ ἀπὸ τοὺς δαίμονες καὶ νὰ ἀπομακρυνθῆ ἀπὸ τὴν μανία ἐκείνη καὶ νὰ ὁδηγηθῆ σὲ μιὰ τόσο μεγάλη σωφροσύνη. Ἀλλ' ὅμως αὐτὸ τὸ κατώρθωσαν γυμνοὶ καὶ ἀνυπόδητοι, περιερχόμενοι μὲ ἕνα μόνο χιτῶνα ὅλη τὴν οἰκουμένη, γιατὶ εἶχαν σύμμαχο καὶ βοηθὸ τὴν ἀκαταμάχητη δύναμη Ἐκείνου ποὺ εἶπε, «ἐπάνω στὴν πέτρα αὐτὴ θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου καὶ οἱ πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς»[31].

Ἀπαρίθμησε λοιπὸν πόσοι τύραννοι ἀπὸ τότε παρατάχθηκαν ἐναντίον της, πόσοι ὑπεκίνησαν φοβερώτατους διωγμούς, σὲ ποιά κατάσταση βρίσκονταν παλαιότερα ὅλα, τότε δηλαδὴ ποὺ μόλις

ἀπαλώτεραι αἱ διάνοιαι τῶν ἀνθρώπων. Ἕλληνες ἦσαν βασιλεῖς, Αὔγουστος, Τιβέριος, Γαΐος, Νέρων, Οὐεσπασιανός, Τῖτος καὶ μετ' ἐκεῖνον ἅπαντες ἕως τῶν τοῦ μακαρίου Κωνσταντίνου χρόνων τοῦ βασιλέως· καὶ πάντες οὗτοι οἱ μὲν ἔλαττον, οἱ δὲ σφοδρότερον ἐπολέμουν τὴν Ἐκκλησίαν· ἐπολέμουν δ' οὖν ὅμως ἅπαντες. Εἰ δέ τινες αὐτῶν καὶ ἡσυχάζειν ἔδοξαν, αὐτὸ τοῦτο τὸ τοὺς βασιλεύοντας καταδήλους εἶναι ἐπὶ ἀσεβείᾳ, ὑπόθεσις πολέμων ἐγίνετο, τῶν ἄλλων κολακευόντων αὐτούς, θεραπευόντων ἐν τῷ τῆς Ἐκκλησίας πολέμῳ· ἀλλ' ὅμως πᾶσαι αὗται αἱ ἐπιβουλαὶ καὶ ἔφοδοι ἀράχνης εὐκολώτερον διεσπάσθησαν, καπνοῦ θᾶττον διελύθησαν, κονιορτοῦ ταχύτερον παρῆλθον. Δι' ὧν γὰρ ἐπεβούλευσαν, πολὺν μαρτύρων χορὸν ἐργασάμενοι καὶ τοὺς ἀθανάτους ἐκείνους τῆς Ἐκκλησίας ἀφέντες θησαυρούς, τοὺς στύλους, τοὺς πύργους, οὐχὶ ζῶντες μόνον, ἀλλὰ καὶ τελευτήσαντες μεγάλης ὠφελείας τοῖς ὕστερον ὑπόθεσις ἐγένοντο.

Εἶδες προρρήσεως ἰσχύν; «Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Ἀπὸ τούτων πίστευε περὶ τῶν μελλόντων καὶ ὅτι οὐδεὶς αὐτῶν περιέσται. Εἰ γὰρ ὅτε ἐξ ὀλίγων συνεστήκει, ὅτε καινοτομίας ἐδόκει εἶναι τὸ πρᾶγμα, ὅτε νεοπαγὴς ἡ διδασκαλία, ὅτε τοιοῦτοι οἱ πόλεμοι καὶ τοσαῦται αἱ πανταχόθεν ἀναρριπιζόμεναι μάχαι, οὐκ ἴσχυσαν, οὐ περιεγένοντο, πολλῷ μᾶλλον τὴν οἰκουμένην ἅπασαν καταλαβούσης αὐτῆς καὶ τόπον ἅπαντα καὶ ὄρη καὶ νάπας καὶ βουνούς· καὶ γὰρ καὶ θάλατταν καὶ τὰ ὑφ' ἡλίῳ κείμενα ἔθνη πάντα κατέλαβε καὶ τῆς ἀσεβείας εἰς ὀλίγους προβάσης λοιπὸν καὶ βωμῶν καὶ ναῶν καὶ εἰδώλων καὶ πάντων ἀνῃρημένων καὶ ἑορτῶν καὶ τελετῶν καὶ καπνοῦ καὶ κνίσσης καὶ πανηγύρεων ἐναγῶν. Πῶς οὖν τοσοῦτον καὶ τηλικοῦτον πρᾶγμα, μετὰ τοσούτων κωλυμάτων καὶ πέρας ἔσχεν οὕτω λαμπρὸν καὶ ἔκβασιν μαρτυροῦσαν τῇ ἀληθείᾳ, εἰ μὴ θεία τις καὶ ἄμαχος δύναμις ἦν τοῦ ταῦτα προειπόντος καὶ τελέσαντος; Οὐδεὶς ἂν πρὸς ταῦτα ἀντείποι, εἰ μὴ σφό-

εἶχε φυτευθῆ ἡ πίστη, τότε ποὺ οἱ διάνοιες τῶν ἀνθρώπων ἦταν πιὸ ἁπαλές. Εἰδωλολάτρες βασιλεῖς τότε ἦταν ὁ Αὔγουστος, ὁ Τιβέριος, ὁ Γάϊος, ὁ Νέρωνας, ὁ Οὐεσπασιανός, ὁ Τῖτος καὶ ὅλοι οἱ μετέπειτα μέχρι τοὺς χρόνους τοῦ μακαρίου Κωνσταντίνου. Καὶ ὅλοι αὐτοί, ἄλλοι λιγώτερο, καὶ ἄλλοι περισσότερο, πολεμοῦσαν τὴν Ἐκκλησία, ὁπωσδήποτε ὅμως ὅλοι τὴν πολεμοῦσαν. Ἂν μερικοὶ ἀπὸ αὐτοὺς φάνηκαν νὰ ἡσυχάζουν ἐναντί τους, αὐτὸ ἀκριβῶς τὸ γεγογός, τὸ ὅτι ἦταν οἱ βασιλεῖς γνωστοὶ γιὰ τὴν ἀσέβειά τους, γινόταν ἀφορμὴ διωγμῶν, γιατὶ ἄλλοι τοὺς κολάκευαν καὶ τοὺς ὑπηρετοῦσαν στὸν πόλεμο κατὰ τῆς Ἐκκλησίας. Ἀλλ' ὅμως ὅλες αὐτὲς οἱ ἐπιβουλὲς καὶ οἱ ἐπιθέσεις ἔσπασαν πιὸ εὔκολα καὶ ἀπὸ τὸν ἱστὸ τῆς ἀράχνης, διαλύθηκαν πιὸ γρήγορα καὶ ἀπὸ τὸν καπνὸ καὶ ἐξαφανίσθηκαν καὶ ἀπὸ τὴ σκόνη ταχύτερα. Γιατὶ μὲ τὰ ὅσα κακὰ διέπραξαν, δημιούργησαν ἕνα πλῆθος μαρτύρων καὶ ἄφησαν στὴν Ἐκκλησία τοὺς ἀθανάτους ἐκείνους θησαυρούς, τοὺς στύλους, τοὺς πύργους, καὶ ἔγιναν γιὰ τοὺς μεταγενεστέρους πρόξενοι μεγάλης ὠφέλειας, ὄχι μόνο ὅσο ζοῦσαν, ἀλλὰ καὶ μετὰ τὸ θάνατό τους.

Εἶδες δύναμη προρρήσεως; «Καὶ οἱ πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς». Ἀπ' αὐτὰ πίστευε καὶ γιὰ τὰ μελλοντικά, ὅτι δηλαδὴ κανεὶς δὲν θὰ μπορέση νὰ τὴν νικήση. Γιατί, ἂν δὲν κατώρθωσαν νὰ τὴν νικήσουν τότε ποὺ ἀποτελοῦνταν ἀπὸ λίγους καὶ θεωροῦνταν τὸ πρᾶγμα σὰν καινοτομία, τότε ποὺ ἡ διδασκαλία μόλις εἶχε παγειωθῆ καὶ τόσοι πόλεμοι καὶ τόσες μάχες ἐξεγείρονταν ἀπὸ παντοῦ ἐναντίον της, πολὺ περισσότερο δὲν θὰ μπορέσουν νὰ τὴ νικήσουν τώρα ποὺ κατέλαβε αὐτὴ ὁλόκληρη τὴν οἰκουμένη καὶ κάθε τόπο καὶ τὰ βουνὰ καὶ τὰ λαγγάδια καὶ τοὺς λόφους, καὶ αὐτὴν ἀκόμη τὴ θάλασσα καὶ ὅλα τὰ ὑπὸ τὸν ἥλιο ἔθνη, καὶ ἡ ἀσέβεια περιωρισθηκε σὲ λίγους πλέον, ἀφοῦ ἐξαφανίσθηκαν καὶ οἱ βωμοὶ καὶ οἱ ναοὶ καὶ τὰ εἴδωλα καὶ οἱ ἑορτὲς καὶ οἱ τελετὲς καὶ ὁ καπνὸς καὶ ἡ κνίσσα καὶ τὰ βδελυρὰ πανηγύρια. Πῶς λοιπὸν ἕνα τόσο μεγάλο καὶ τέτοιου εἴδους πρᾶγμα μετὰ ἀπὸ τόσα ἐμπόδια, καὶ τόσο λαμπρὸ τέλος εἶχε, καὶ εἶχε ἔκβαση τέτοια ποὺ ἐπιβεβαιώνει τὴν ἀλήθεια τῆς προρρήσεως, ἂν δὲν ὑπῆρχε κάποια θεία καὶ ἀκαταμάχητη δύναμη σ' ἐκεῖνον ποὺ τὰ προεῖπε αὐτὰ καὶ τὰ πραγματοποίησε; Κανεὶς δὲν θὰ μπορέση νὰ φέρη ἀντίρρηση σ' αὐτά, ἐκτὸς ἂν κά-

δρα τις τῶν μαινομένων καὶ ἐξεστηκότων εἴη καὶ τῶν κατὰ φύσιν ἀπεστερημένος φρενῶν.

Οὐχ αὗται δὲ μόνον, ἀλλὰ καὶ ἕτεροι προρρήσεις ἀνακηρύττουσιν αὐτοῦ τὴν ἄμαχον δύναμιν. Καὶ γὰρ προεῖπε τὰ μέλλοντα μετὰ ἀληθείας ἀπάσης καὶ εἰς τέλος ἤγαγε καὶ ἀμήχανόν τι διαπεσεῖν τῶν παρ' ἐκείνου λεχθέντων. Ἀλλ' εὐκολώτερον τὴν γῆν ἀφανισθῆναι καὶ τὸν οὐρανόν, ἢ τῶν ρημάτων τι τῶν ἐκείνου καὶ τῶν προρρήσεων ἐλεγχθῆναι ψευδῶς εἰρημένον. Διὸ καὶ αὐτὸς καὶ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως τοῦτο αὐτὸ δηλῶν, οὕτω σαφῶς ἀπεφήνατο περὶ τῶν εἰρημένων παρ' αὐτοῦ, λέγων· «ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι». Καὶ μάλα εἰκότως. Οὐ γὰρ λόγοι εἰσίν, ἀλλὰ Θεοῦ λόγοι, ἔργων δημιουργοί· οὕτω τὸν οὐρανὸν ἐποίησεν, οὕτω τὴν γῆν, οὕτω τὴν θάλασσαν, οὕτω τὸν ἥλιον, οὕτω τοὺς τῶν ἀγγέλων δήμους, οὕτω τὰς ἄλλας ἀοράτους δυνάμεις. Καὶ τοῦτο σαφὲς ποιῶν ὁ προφήτης ἔλεγεν· «αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν», περὶ πάσης ὁμοῦ τῆς κτίσεως, τῆς ἄνω, τῆς κάτω, τῆς αἰσθητῆς, τῆς νοερᾶς, τῆς ἐν σώματι, τῆς ἀσωμάτου ταῦτα λέγων. Ἔδειξε μὲν οὖν, ὅπερ ἔφθην εἰπών, καὶ ἡ περὶ τῆς Ἐκκλησίας προαναφώνησις τῆς ἀληθείας αὐτοῦ, τῆς προνοίας, τῆς ἀγαθότητος, τῆς κηδεμονίας τὸ μέγεθος, τὸν ὄγκον, τὴν ὑπερβολήν.

15. Φέρε οὖν καὶ ἑτέραν πρόρρησιν μεταχειρισώμεθα τοῦ ἡλίου μᾶλλον διαλάμπουσαν καὶ τῆς ἀκτῖνος φανερωτέραν οὖσαν καὶ πρὸ τῆς ἁπάντων κειμένην ὄψεως καὶ πάσαις ταῖς μετὰ ταῦτα γενεαῖς παρεκτεινομένην, ὥσπερ καὶ τὴν προτέραν· τοιαῦται γὰρ αὐτοῦ αἱ πρόρρήσεις αἱ πλείους. Οὐ χρόνῳ γὰρ περατοῦνται βραχεῖ, οὐδὲ εἰς μίαν συντελοῦνται γενεάν, ἀλλὰ πᾶσι τοῖς ἀνθρώποις τοῖς τε οὖσι, τοῖς τε ἐσομένοις αὖθις, τοῖς μετ' ἐκείνους καὶ τοῖς μετὰ τούτους πάλιν καὶ ἕως τῆς συντελείας παρεκτεινομένοις πᾶσι παρέχουσι καταμανθάνειν τῆς οἰκείας ἀληθείας τὴν ἰσχύν, ὥσπερ οὖν καὶ ἡ προτέρα. Καὶ γὰρ ἀπὸ τῆς ἡμέρας, ἧς ἐρρήθη, μέχρι τῆς συντελείας τοῦ αἰῶνος, ἕστηκε βεβαία καὶ ἀκίνητος, ἀνθοῦσα, λάμπουσα, καθ' ἑκάστην ἀκμάζουσα τὴν ἡμέραν, αὐξανομένη, πρὸς μείζονα ἐπιδι-

32. Ματθ. 24,35.

ποιος εἶναι ὑπερβολικὰ μανιακὸς καὶ παράφρονας, καὶ στερεῖται καὶ τὸ φυσικὸ ἀκόμη λογικό.

Καὶ ὄχι μόνο αὐτές, ἀλλὰ καὶ ἄλλες προρρήσεις ἀνακηρύττουν τὴν ἀκαταμάχητη δύναμη αὐτοῦ. Καθ' ὅσον προεῖπε τὰ μέλλοντα μὲ ὅλη τὴν ἀλήθεια καὶ τὰ πραγματοποίησε, καὶ εἶναι ἀδύνατο νὰ μὴ πραγματοποιηθῆ κάτι ἀπὸ ἐκεῖνα ποὺ λέχθηκαν ἀπὸ αὐτόν. Εἶναι πιὸ εὔκολο νὰ καταστραφῆ ἡ γῆ καὶ ὁ οὐρανός, παρὰ νὰ φανῆ, ὅτι κάτι ἀπὸ τοὺς λόγους του ἢ τὶς προρρήσεις του λέχθηκε ψευδῶς. Γι' αὐτὸ καὶ αὐτός, δηλώντας αὐτὸ ἀκριβῶς προτοῦ ἀκόμη ἐκπληρωθοῦν οἱ προρρήσεις του, μὲ τόση σαφήνεια ἀποφάνθηκε γιὰ τὰ ὅσα λέχθηκαν ἀπὸ αὐτόν, ὥστε νὰ πῆ· «ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παρέλθουν, οἱ λόγοι μου ὅμως δὲν θὰ παρέλθουν»[32]. Καὶ πολὺ εὔλογα. Γιατὶ δὲν εἶναι ἁπλᾶ λόγια, ἀλλὰ λόγια τοῦ Θεοῦ, δημιουργοὶ ἔργων. Ἔτσι δημιούργησε τὸν οὐρανό, ἔτσι τὴ γῆ, ἔτσι τὴ θάλασσα, ἔτσι τὸν ἥλιο, ἔτσι τὰ πλήθη τῶν ἀγγέλων, ἔτσι τὶς ἄλλες ἀόρατες δυνάμεις. Καὶ αὐτὸ διασαφηνίζοντας ὁ προφήτης ἔλεγε· «αὐτὸς εἶπε καὶ ἔγιναν, αὐτὸς πρόσταξε καὶ κτίσθηκαν», λέγοντας αὐτὰ γιὰ ὅλη τὴν κτίση, τὴν ἄνω, τὴν κάτω, τὴν αἰσθητή, τὴ νοερή, τὴ σωματική, τὴν ἀσώματη. Ἀπέδειξε λοιπόν, ὅπως καὶ προηγουμένως εἶπα, ἡ πρόρρησή του γιὰ τὴν Ἐκκλησία, τὸ μέγεθος, τὸν ὄγκο καὶ τὴν ὑπερβολὴ τῆς ἀλήθειας, τῆς πρόνοιας, τῆς ἀγαθότητας καὶ τῆς κηδεμονίας αὐτοῦ.

15. Ἐμπρὸς λοιπὸν καὶ ἄλλη πρόρρηση ἂς ἐξετάσουμε ποὺ διαλάμπει περισσότερο καὶ ἀπὸ τὸν ἥλιο καὶ εἶναι καὶ ἀπὸ τὴν ἀκτῖνα φανερώτερη, ποὺ βρίσκεται μπροστὰ στὰ μάτια ὅλων καὶ ἐπεκτείνεται σ' ὅλες τὶς ἐπερχόμενες γενεές, ὅπως ἀκριβῶς καὶ ἡ προηγούμενη. Γιατὶ τέτοιες εἶναι οἱ περισσότερες προρρήσεις αὐτοῦ. Δὲν τελειώνουν δηλαδὴ σὲ σύντομο χρόνο οὔτε πραγματοποιοῦνται σὲ μιὰ μόνο γενεά, ἀλλ' ἐπεκτείνονται σὲ ὅλους τοὺς ἀνθρώπους, καὶ σ' αὐτοὺς ποὺ ζοῦν τώρα καὶ σ' ἐκείνους ποὺ θ' ἔλθουν ἀμέσως καὶ στοὺς μετὰ ἀπὸ ἐκείνους καὶ στοὺς μετὰ ἀπὸ αὐτοὺς πάλι καὶ μέχρι τὴ συντέλεια τοῦ κόσμου καὶ παρέχουν σ' ὅλους τὴ δυνατότητα νὰ ἀντιληφθοῦν τὴ δύναμη τῆς ἀλήθειας τους, ὅπως ἀκριβῶς καὶ ἡ προηγούμενη. Γιατὶ ἀπὸ τὴν ἡμέρα ποὺ λέχθηκε μέχρι τὴ συντέλεια τοῦ αἰῶνος παραμένει σταθερὴ καὶ ἀμετακίνητη, ἀνθεῖ καὶ λάμπει καὶ καθημερινὰ ἀκμάζει καὶ αὐξάνεται καὶ ἀποκτᾶ μεγαλύτερη δύ-

δοῦσα δύναμιν, πᾶσι παρέχουσα τοῖς ἐξ ἐκείνου μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας ἐσομένοις τὰ μέγιστα καρποῦσθαι ἐξ αὐτῆς ἀγαθὰ καὶ ἄφατον δρέπεσθαι τὴν ὠφέλειαν. Καὶ γὰρ καὶ οἱ πρὸ ἡμῶν καὶ οἱ πρὸ ἐκείνων καὶ οἱ πρὸ τούτων ἀνωτέρω ἐπέγνωσαν αὐτῆς τὴν δύναμιν, τοὺς μὲν πολέμους ὁρῶντες ἐπιόντας αὐτῇ καὶ τοὺς κινδύνους καὶ τὰς ταραχάς, τοὺς θορύβους καὶ τὰ κύματα καὶ τοὺς χειμῶνας· αὐτὴν δὲ ὁρῶντες οὐ καταποντιζομένην, οὐ νικωμένην, οὐ κρατουμένην, οὐ σβεννυμένην, ἀλλὰ ἀνθοῦσαν, αὐξανομένην, πρὸς μεῖζον ὕψος ἐγειρομένην.

Καὶ αὕτη δέ, ἣν μέλλω νῦν ἐρεῖν, τοιαύτη τίς ἐστιν εἰς τὸ δεῖξαι αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν ἀλήθειαν τῶν εἰρημένων. Τίς δέ ἐστιν αὕτη; Εἰσελθὼν ποτε εἰς τὸν ναὸν τὸν ἰουδαϊκόν, ἀνθοῦντα τότε καὶ πολλῷ πάντοθεν καταλαμπόμενον τῷ χρυσίῳ καὶ κάλλει καὶ μεγέθει οἰκοδομῶν, ἔχοντα καὶ τὴν ἄλλην ἅπασαν πολυτέλειαν, τὴν ἀπὸ τῆς τέχνης, τὴν ἀπὸ τῆς ὕλης καὶ τῶν μαθητῶν ἐκπληττομένων, τί φησιν; «Οὐχ ὁρᾶτε ταῦτα πάντα; Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ μείνῃ ὧδε λίθος ἐπὶ λίθον», τὴν μετὰ ταῦτα αὐτοῦ κατασκαφὴν δηλῶν, τὴν πανωλεθρίαν, τὴν ἐρημίαν, τὸ ἐρείπιον τὸ νῦν ἐν Ἱεροσολύμοις· καὶ γὰρ ἐρείπιον ἐκεῖνα τὰ λαμπρὰ καὶ περιφανῆ γέγονεν οἰκοδομήματα ἅπαντα. Εἶδες ἐν ἑκατέρῳ μεγάλην αὐτοῦ καὶ ἄφατον τὴν ἰσχύν, ἐν τῷ τοὺς θεραπεύοντας αὐτὸν οἰκοδομεῖν καὶ αὔξειν; ἐν τῷ τοὺς προσκεκρουκότας εἰς αὐτὸν ταπεινοῦν καὶ ὀλλύειν καὶ προρρίζους ἀνασπᾶν; Οὐδὲ γὰρ ἦν οὐδαμῶς ὁ ναὸς τοιοῦτος, οὐδὲ οὕτως ἀοίδιμος καὶ τοσαύτης ἀπολαύων θεραπείας. Οἱ γὰρ πανταχοῦ γῆς οἰκοῦντες Ἰουδαῖοι καὶ πρὸς αὐτὰ τῆς γῆς τὰ πέρατα, ἐκεῖσε ἀφικνοῦντο τὸ παλαιόν, δῶρα καὶ θυσίας καὶ προσφορὰς καὶ ἀπαρχὰς καὶ πολλὰ ἕτερα φέροντες καὶ τῷ τῆς οἰκουμένης πλούτῳ καλλωπίζοντες τὸν ναόν· καὶ πάντες ἐκεῖ συνέρρεον οἱ πανταχόθεν Ἰουδαῖοι προσήλυτοι καὶ πολὺ ἦν τὸν ὄνομα τοῦ τόπου, πρὸς αὐτὰς τῆς οἰκουμένης τὰς ἐσχατιὰς φθάνον. Ἀλλ' ἓν ῥῆμα τοῦ Χριστοῦ πάντα ἐκεῖνα ἠφάνισε καὶ ἀπώλεσε καὶ ὥσπερ κονιορτὸν ἐκ μέσου γενέσθαι ἐποίησε· καὶ ἔνθα οὐδὲ Ἰουδαίοις

33. Ματθ. 24,2.

ναμη, δίνοντας τὴ δυνατότητα σὲ ὅλους, ἀπὸ τὴν ἐποχὴ ἐκείνου μέχρι τὴ δευτέρα παρουσία τοῦ Χριστοῦ, νὰ καρπώνωνται ἀπὸ αὐτὴν ἀγαθὰ καὶ νὰ δρέπουν ἀπερίγραπτη ὠφέλεια. Πράγματι καὶ οἱ πρὶν ἀπὸ μας καὶ οἱ πρὶν ἀπὸ ἐκείνους καὶ ὅλοι οἱ πρὶν ἀπὸ ἐκείνους γνώρισαν τὴ δύναμή της, βλέποντας ἀπὸ τὸ ἕνα μέρος τοὺς πολέμους νὰ ξεσποῦν ἐναντίον της καὶ τοὺς κινδύνους καὶ τὶς ταραχὲς καὶ τοὺς θορύβους καὶ τὰ κύματα καὶ τὶς κακοκαιρίες, καὶ ἀπὸ τὸ ἄλλο προσέχοντας αὐτὴν νὰ μὴ καταποντίζεται, νὰ μὴ νικιέται, νὰ μὴ ὑποτάσσεται, νὰ μὴ σβήνη, ἀλλὰ νὰ ἀνθῆ, νὰ αὐξάνεται καὶ νὰ φθάνη σὲ μεγαλύτερο ὕψος.

Ἀλλὰ καὶ αὐτὴ ποὺ πρόκειται νὰ σᾶς πῶ τώρα, εἶναι τέτοια, ποὺ μπορεῖ νὰ δείξη τὴ δύναμη καὶ τὴν ἀλήθεια τῶν ὅσων λέχθηκαν ἀπὸ ἐκεῖνον. Ποιά εἶναι ὅμως αὐτή; Κάποτε, ἀφοῦ μπῆκε στὸν ναὸ τῶν Ἰουδαίων, ποὺ ἀνθοῦσε τότε καὶ ἔλαμπε πάρα πολὺ ἀπὸ παντοῦ ἐξ αἰτίας τοῦ χρυσοῦ καὶ τοῦ κάλλους καὶ τοῦ μεγέθους τῶν οἰκοδομῶν, ἔχοντας καὶ ὅλη τὴν ἄλλη πολυτέλεια ἀπὸ τὴν τέχνη καὶ τὰ ὑλικά, καὶ ἐνῶ οἱ μαθητὲς τὰ θαύμαζαν αὐτά, τί λέγει αὐτός; «Δὲν τὰ βλέπετε ὅλα αὐτά; Ἀλήθεια σᾶς λέγω, δὲν θὰ μείνη ἐδῶ λίθος ἐπάνω σὲ λίθο»[33], ἐννοώντας τὴν καταστροφὴ αὐτοῦ ἀργότερα, τὴν πανωλεθρία, τὴν ἐρήμωση, τὰ ἐρείπια τοῦ ναοῦ ποὺ ὑπάρχουν σήμερα στὰ Ἰεροσόλυμα. Πραγματικὰ ὅλα ἐκεῖνα τὰ λαμπρὰ καὶ περιφανῆ οἰκοδομήματα ἔχουν γίνει ἐρείπια. Εἶδες καὶ μὲ τὰ δύο τὴ μεγάλη καὶ ἀπερίγραπτη δύναμή του, καὶ μὲ τὸ ὅτι οἰκοδομεῖ καὶ αὐξάνει ἐκείνους ποὺ τὸν ὑπηρετοῦν πιστά, καὶ μὲ τὸ ὅτι ταπεινώνει καὶ καταστρέφει καὶ ξερριζώνει ἐκείνους ποὺ ἀντιτίθενται σ' αὐτόν; Γιατὶ πουθενὰ δὲν ὑπῆρχε τέτοιος ναὸς οὔτε τόσο φημισμένος καὶ ποὺ νὰ ἀπολάμβανε τόση τιμή. Καθ' ὅσον ὅλοι οἱ Ἰουδαῖοι ποὺ κατοικοῦσαν σ' ὅλα τὰ μέρη τῆς γῆς καὶ στὰ πέρατα ἀκόμη τοῦ κόσμου, ἐκεῖ κατέφθαναν τὴν παλαιὰ ἐποχή, φέροντας δῶρα καὶ θυσίες καὶ προσφορὲς καὶ ἀπαρχὲς καὶ ἄλλα πολλὰ καὶ μὲ τὸν πλοῦτο ὅλου τοῦ κόσμου καλλώπιζαν τὸν ναό. Καὶ οἱ προσήλυτοι ἀκόμη Ἰουδαῖοι ἀπὸ ὅλα τὰ μέρη τῆς γῆς ἐκεῖ συνέρρεαν, καὶ ἦταν πολὺ ξακουστὸ τὸ ὄνομα τοῦ τόπου, φθάνοντας μέχρι τὰ ἔσχατα τῆς γῆς. Ἀλλ' ὅμως ἕνας λόγος τοῦ Χριστοῦ τὰ κατέστρεψε ὅλα ἐκεῖνα καὶ τὰ ἐξαφάνισε καὶ τὰ ἔκανε νὰ φύγουν ἀπὸ τὴ μέση σὰν σκόνη· καὶ ἐκεῖ ποὺ δὲν ἐπιτρεπόταν σὲ ὅλους τοὺς Ἰουδαίους νὰ εἰσέλθουν, ἢ κα-

ἅπασι, μᾶλλον δὲ οὐδὲ τοῖς ἱερεῦσι πᾶσιν, ἀλλ' ἑνὶ μόνῳ τῷ τὴν ἀρχιερωσύνην λαχόντι εἰσιέναι ἐξῆν καὶ τοῦτο ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον μετὰ στολῆς καὶ στεφάνων καὶ μίτρας καὶ ἑτέρας τινὸς ἐσθῆτος ἱερᾶς, νῦν καὶ πόρνοις καὶ μαλακοῖς καὶ ἡταιρηκόσι καὶ μοιχοῖς ἔξεστιν ἐπιβαίνειν καὶ ὁ κωλύων οὐδείς· τὸ γὰρ ῥῆμα ἐκεῖνο ἐπελθὸν πάντα ἠφάνισε καὶ κατέλυσε· καὶ τοσοῦτον μένει τοῦ ναοῦ, ὅσον δεῖξαι ἔνθα ἦν ὁ ναὸς τὸ παλαιόν.

Ἐννόησον τοίνυν πόσης καὶ τοῦτο δυνάμεως. Οἱ γὰρ τοσαῦτα δυνηθέντες, καὶ ἐθνῶν καὶ βασιλέων περιγενόμενοι καὶ ἀναιμωτὶ πολλαχοῦ πολέμων κρατήσαντες καὶ τρόπαια μυρία στήσαντες καινὰ καὶ παράδοξα, οὗτοι ναὸν ἕνα ἐξ ἐκείνου μέχρι τῆς σήμερον οἰκοδομῆσαι οὐκ ἴσχυσαν· καὶ ταῦτα τοσούτων βασιλέων γενομένων καὶ συμπραττόντων αὐτοῖς καὶ πλήθους τοσούτου κατὰ τὴν οἰκουμένην κεχυμένου καὶ χρημάτων τοσούτων αὐτοῖς παρόντων. Εἶδες πῶς ἅπερ ᾠκοδόμησεν οὐδεὶς καθεῖλε, καὶ ἅπερ καθεῖλεν οὐδεὶς ᾠκοδόμησεν; Ὠκοδόμησε τὴν Ἐκκλησίαν καὶ οὐδεὶς αὐτὴν καθελεῖν δύναιτ' ἄν· κατέλυσε τὸν ναὸν καὶ οὐδεὶς αὐτὸν ἀναστῆσαι δύναται, καὶ ταῦτα ἐν οὕτω χρόνῳ μακρῷ. Καίτοι καὶ ταύτην καθελεῖν ἐπεχείρησαν, ἀλλ' οὐκ ἴσχυσαν· κἀκεῖνον ἀναστῆσαι ἐσπούδασαν, ἀλλ' οὐκ ἐδυνήθησαν. Συνεχωρήθη δὲ καὶ τοῦτο, ἵνα μηδεὶς ἔχῃ λέγειν, ὅτι, εἰ ἐπεχείρησαν, ἴσχυσαν ἄν. Ἰδοὺ γοῦν καὶ ἐπεχείρησαν καὶ οὐδὲν ἠδυνήθησαν. Καὶ γὰρ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας ὁ πάντας εἰς ἀσέβειαν νικήσας βασιλεὺς καὶ ἔδωκεν ἐξουσίαν τότε καὶ συνέπραξε καὶ τοῦ ἔργου ἥψαντο καὶ οὐδὲ μικρὸν προσελθεῖν ἠδυνήθησαν, ἀλλὰ πῦρ ἀπὸ τῶν θεμελίων ἐκπηδῆσαν πάντας αὐτοὺς ἀπήλασεν.

Ὅτι δὲ ἠβουλήθησαν, καὶ τούτου δεῖγμά ἐστιν ἕως τοῦ νῦν τὰ θεμέλια γυμνωθέντα, ἵνα εἰδῇς, ὅτι ἐπεχείρησαν μὲν διασκάπτειν, οἰκοδομῆσαι δὲ οὐκ ἴσχυσαν, τῆς ἀποφάσεως ταύτης ἀντι-

34. Πρόκειται μᾶλλον γιὰ τὸν αὐτοκράτορα Ἰουλιανὸ τὸν Παραβάτη.
35. Ἡ ἐπιχείρηση αὐτὴ ἔγινε τὸν χειμῶνα τῶν ἐτῶν 362–363 μ.Χ.

λύτερα οὔτε καὶ σ' ὅλους τοὺς ἱερεῖς, ἀλλὰ σὲ ἕναν μόνο, στὸν ἀρχιερέα, καὶ σ' αὐτὸν μιὰ φορὰ μόνο τὸ ἔτος, μὲ στολὴ καὶ στεφάνια καὶ μίτρα καὶ μὲ ὅλη τὴν ἄλλη ἱερὴ ἀμφίεσή του, τώρα μποροῦν νὰ μπαίνουν καὶ πόρνοι καὶ κίναιδοι καὶ φίλοι τῶν παλλακίδων καὶ μοιχοί, χωρὶς κανεὶς νὰ τοὺς ἐμποδίζῃ· γιατὶ πέφτοντας ὁ λόγος ἐκεῖνος ὅλα τὰ κατέστρεψε καὶ τὰ ἐξαφάνισε, καὶ τόσο μόνο μέρος μένει ἀπὸ τὸν ναό, ὅσο γιὰ νὰ δείχνῃ ποῦ ἦταν ὁ ναὸς τὴν παλαιὰ ἐποχή.

Σκέψου λοιπὸν πόση δύναμη δείχνει καὶ αὐτό. Γιατί, ἐκεῖνοι ποὺ τόσα πολλὰ κατώρθωσαν, ποὺ νίκησαν ἔθνη καὶ βασιλεῖς καὶ σὲ πολλὲς περιπτώσεις ἐπεκράτησαν ἐντελῶς ἀναίμακτα, ποὺ ἔστησαν τρόπαια ἀμέτρητα πρωτάκουστα καὶ παράδοξα, αὐτοὶ ἀπὸ τότε μέχρι σήμερα δὲν μπόρεσαν νὰ οἰκοδομήσουν ἕνα ναό, καὶ ὅλα αὐτὰ ἂν καὶ ὑπῆρξαν πολλοὶ βασιλεῖς ποὺ τοὺς συμπαραστάθηκαν καὶ εἶναι αὐτοὶ ἕνα τόσο μεγάλο πλῆθος διασκορπισμένο σ' ὅλη τὴ γῆ καὶ ἔχουν τόσα πολλὰ χρήματα στὴ διάθεσή τους. Εἶδες πῶς ἐκεῖνα ποὺ τὰ οἰκοδόμησε αὐτὸς κανεὶς δὲν τὰ κατέστρεψε, καὶ ἐκεῖνα ποὺ τὰ κατέστρεψε κανεὶς δὲν μπόρεσε νὰ τὰ οἰκοδομήσῃ; Οἰκοδόμησε τὴν Ἐκκλησία καὶ κανεὶς δὲν μπορεῖ νὰ τὴν καταστρέψῃ. Κατέστρεψε τὸν ναὸ καὶ κανεὶς δὲν μπορεῖ νὰ τὸν ἀνοικοδομήσῃ, καὶ μάλιστα μέσα σὲ τόσα πολλὰ χρόνια. Ἂν καὶ βέβαια ἐπεχείρησαν καὶ αὐτὴν νὰ τὴν καταστρέψουν, ἀλλὰ δὲν μπόρεσαν· καὶ ἐκεῖνον προσπάθησαν νὰ τὸν ἀνοικοδομήσουν, ἀλλὰ δὲν μπόρεσαν. Καὶ ἐπετράπηκε καὶ αὐτό, γιὰ νὰ μὴ μπορῆ κανεὶς νὰ λέγῃ, ὅτι, ἂν ἐπιχειροῦσαν νὰ τὸν ξανακτίσουν, θὰ μποροῦσαν. Νὰ λοιπὸν καὶ ἐπεχείρησαν καὶ τίποτε δὲν μπόρεσαν νὰ κάμουν. Πραγματικὰ στὶς ἡμέρες μας ὁ βασιλεὺς ἐκεῖνος ποὺ ξεπέρασε ὅλους τοὺς ἄλλους στὴν ἀσέβεια[34], καὶ τοὺς ἔδωσε τὴν ἄδεια νὰ τὸν κτίσουν καὶ τοὺς βοήθησε οἰκονομικὰ καὶ ἄρχισαν τὸ ἔργο τῆς ἀνοικοδομήσεως, ἀλλ' ὅμως δὲν μπόρεσαν οὔτε στὸ ἐλάχιστο νὰ προχωρήσουν, γιατὶ φωτιὰ ξεπήδησε ἀπὸ τὰ θεμέλια τοῦ ναοῦ καὶ τοὺς ἀπομάκρυνε ὅλους[35].

Τὸ ὅτι θέλησαν νὰ τὸν ἀνοικοδομήσουν ἀπόδειξη αὐτοῦ εἶναι τὸ ὅτι μέχρι σήμερα ὑπάρχουν τὰ θεμέλια ἀπογυμνωμένα, γιὰ νὰ μάθῃς, ὅτι ἐπεχείρησαν νὰ σκάψουν, δὲν μπόρεσαν ὅμως νὰ τὸν

πραττούσης αὐτοῖς. Καίτοι γε καὶ ἤδη κατελύθη ὁ ναὸς οὗτος καὶ μετὰ ἑβδομήκοντα ἔτη ἐπανελθόντων, εὐθέως ἀνέστη καὶ λαμπρότερος τοῦ προτέρου γέγονε· καὶ λέγουσι τοῦτο καὶ προαναφωνοῦσι πρὶν γενέσθαι οἱ προφῆται. Νῦν δὲ τετρακοσιοστὸν ἔτος ὑπερέβη καὶ οὐδὲ ἔννοιά τις, οὐδὲ προσδοκία, οὐδὲ ἐλπὶς τοῦ φανεῖσθαι πάλιν αὐτόν. Καίτοι τί τὸ κωλῦον ἦν, εἰ μὴ θεία δύναμις ἦν ἡ ἀντιπίπτουσα; Οὐ χρημάτων περιουσία πολλὴ παρ' αὐτοῖς; οὐ τοὺς ἁπάντων πανταχόθεν φόρους συνάγων ὁ πατριάρχης, ἀπείρους κέκτηται θησαυρούς; οὐκ ἰταμὸν τὸ ἔθνος, οὐκ ἀναίσχυντον, οὐ φιλόνεικον, οὐ προπετές, οὐ πολεμοποιόν; Οὐ πολλοὶ κατὰ τὴν Παλαιστίνην; οὐ πολλοὶ κατὰ τὴν Φοινίκην; οὐ πολλοὶ πανταχοῦ; Πῶς οὖν οὐκ ἴσχυσαν ἕνα ἀναστῆσαι ναὸν καὶ ταῦτα ὁρῶντες τὴν λατρείαν αὐτοῖς ἐντεῦθεν πανταχοῦ πεπεδημένην καὶ τὰ ἰουδαϊκὰ ἔθη ἠφανισμένα καὶ τὰ τῶν θυσιῶν καὶ τὰ τῶν προσφορῶν καὶ τὰ τῶν ἄλλων τῶν τοιούτων νομίμων ἀνῃρημένα, πεπαυμένα; Οὔτε γὰρ στῆναι βωμόν, οὔτε θυσίαν ἀνενεγκεῖν, οὐ σπεῖσαι, οὐ πρόβατον ἐπιθεῖναι, οὐ θυμίαμα, οὐκ ἀναγνῶναι νόμον, οὐχ ἑορτὴν ἐπιτελέσαι, οὐκ ἄλλο τι τῶν τοιούτων αὐτοῖς ἐκτὸς τῶν προθύρων ἐκείνων ἐξῆν.

16. Ἀλλὰ καὶ ἐν Βαβυλῶνί ποτε γενόμενοι καὶ ἀναγκαζόμενοι παρὰ τῶν πολεμίων ψάλλειν, οὐκ εἶξαν οὐδὲ ὑπήκουσαν, αἰχμάλωτοι καὶ δοῦλοι ὄντες τοῖς δεσπόταις κακοποιοῦσιν αὐτούς· ἀλλὰ καὶ πατρίδος ἐκπεσόντες καὶ ἐλευθερίας καὶ περὶ τὸ ζῆν αὐτὸ κινδυνεύοντες καὶ ὡς ἐν μέσῃ παγίδι ταῖς χερσὶ τῶν λαβόντων ἀπειλημμένοι, κελευόμενοι τὴν ᾠδὴν ᾄδειν ἐκείνην τὴν διὰ τῶν ὀργάνων, οὕτως ἔλεγον· «ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν, ὅτι ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν. Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;». Καὶ οὐδὲ ἔχει τις εἰπεῖν, ὅτι διὰ τὴν ἀπορίαν τῶν ὀργάνων

36. Ψαλμ. 136,1–4.

κτίσουν, γιατὶ ἡ ἀπόφαση αὐτὴ τοῦ Χριστοῦ ἀντιστρατευόταν στὴν ἐνέργειά τους αὐτή. Ἂν καὶ βέβαια ὁ ναὸς αὐτὸς εἶχε καταστραφῆ καὶ ἐνωρίτερα, ἀλλὰ κτίσθηκε μετὰ ἑβδομήντα χρόνια ἀμέσως μετὰ τὴν ἐπιστροφή τους ἀπὸ τὴν αἰχμαλωσία, καὶ ἔγινε πιὸ λαμπρὸς ἀπὸ τὸν προηγούμενο, καὶ αὐτὸ τὸ εἶπαν οἱ προφῆτες καὶ τὸ προεῖπαν προτοῦ νὰ γίνη. Τώρα ὅμως ἔχουν περάσει πάνω ἀπὸ τετρακόσια χρόνια καὶ οὔτε καμμιὰ σκέψη ὑπάρχει οὔτε προσδοκία οὔτε ἐλίδα ὅτι θ' ἀνοικοδομηθῆ πάλι ὁ ναός. Καὶ βέβαια τί ἄλλο θὰ μποροῦσε νὰ τοὺς ἐμποδίση, ἐκτὸς ἀπὸ τὴ θεία δύναμη ποὺ ἀντιτίθεται; Δὲν ὑπάρχει ἀφθονία χρημάτων σ' αὐτούς; Δὲν ἔχει ἀμέτρητους θησαυροὺς ὁ πατριάρχης τους εἰσπράττοντας φόρους ἀπὸ ὅλους ὅπου καὶ ἂν βρίσκονται αὐτοί; Δὲν εἶναι τὸ ἔθνος τους θρασύ, ἀδιάντροπο, φιλόνεικο, γεμᾶτο αὐθάδεια καὶ φιλοπόλεμο; Δὲν ὑπάρχουν πολλοὶ Ἰουδαῖοι στὴν Παλαιστίνη, δὲν ὑπάρχουν πολλοὶ στὴν Φοινίκη, δὲν ὑπάρχουν πολλοὶ σ' ὅλα τὰ μέρη τοῦ κόσμου; Πῶς λοιπὸν δὲν κατώρθωσαν νὰ ἀνοικοδομήσουν ἕνα ναό, τὴ στιγμὴ ποὺ ἔβλεπαν ὅτι ἐξ αἰτίας αὐτοῦ τοῦ πράγματος ἡ λατρεία τους ἦταν παντοῦ δεσμευμένη, τὰ ἰουδαϊκὰ ἔθιμα εἶχαν ἐξαφανισθῆ, καὶ οἱ θυσίες καὶ οἱ προσφορὲς καὶ ὅλα τὰ ἄλλα τὰ σχετικὰ μὲ αὐτὰ ποὺ διέτασσε ὁ νόμος εἶχαν καταργηθῆ καὶ εἶχαν παύσει; Γιατὶ δὲν ἐπιτρεπόταν οὔτε βωμὸ νὰ στήσουν οὔτε θυσία νὰ προσφέρουν οὔτε σπονδὲς νὰ κάνουν οὔτε πρόβατο νὰ θυσιάσουν οὔτε θυμίαμα νὰ προσφέρουν οὔτε ἀνάγνωση τοῦ νόμου νὰ κάμουν, οὔτε ἑορτὴ νὰ ἐπιτελέσουν οὔτε καὶ τίποτε ἄλλο παρόμοιο νὰ κάμουν ἔξω ἀπὸ τὰ πρόθυρα τοῦ ναοῦ.

16. Ἀλλὰ καὶ ὅταν βρέθηκαν κάποτε στὴ Βαβυλῶνα αἰχμάλωτοι καὶ ἀναγκάζονταν ἀπὸ τοὺς ἐχθροὺς νὰ ψάλλουν, δὲν ὑποχώρησαν, οὔτε καὶ ὑπάκουσαν, ἂν καὶ ἦταν αἰχμάλωτοι καὶ δοῦλοι σὲ κυρίους ποὺ τοὺς κακοποιοῦσαν· ἀλλὰ καὶ ὅταν ἔχασαν τὴν πατρίδα τους καὶ τὴν ἐλευθερία τους καὶ κινδύνευε καὶ αὐτὴ ἀκόμη ἡ ζωή τους καὶ βρίσκονταν ἐγκαταλειμμένοι στὰ χέρια τῶν κατακτητῶν σὰν σὲ κάποια παγίδα καὶ προτρέπονταν νὰ ψάλλουν μὲ τὰ ὄργανα τὴν ᾠδὴ ἐκείνη, ἔλεγαν τὰ ἑξῆς· «στὶς ὄχθες τῶν ποταμῶν τῆς Βαβυλῶνος ἐκεῖ καθίσαμε καὶ κλάψαμε, γιατὶ ἐκεῖ μᾶς ζήτησαν ἐκεῖνοι ποὺ μᾶς εἶχαν αἰχμαλώτους νὰ ψάλουμε τὰ λόγια τῶν ᾠδῶν. Πῶς νὰ ψάλουμε τὴν ᾠδὴ τοῦ Κυρίου σὲ ξένη γῆ;»[36]. Καὶ δὲν μπορεῖ νὰ πῆ κανείς,

τοῦτο οὐκ ἐποίουν· καὶ γὰρ αὐτοὶ τεθείκασι τὴν αἰτίαν εἰπόντες· «πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;». Καὶ τὰ ὄργανα δὲ μετ' αὐτῶν ἦν. «Ἐν γὰρ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῶν ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν», φησίν, ἀλλ' οὐδὲ νηστείαν νυστεύειν ἐξῆν. Καὶ τοῦτο δηλῶν αὐτοῖς ὁ προφήτης ἔλεγε· «μὴ νηστείαν νενηστεύκατέ μοι ἔτη ἑβδομήκοντα, λέγει Κύριος;». Ὅτι δὲ οὐδὲ θύειν, οὐδὲ σπένδειν ἐξῆν, ἄκουσον τῶν τριῶν παίδων λεγόντων, «οὐκ ἔστιν ἄρχων, οὐδὲ προφήτης, οὐδὲ ἡγούμενος, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος». Οὐκ εἶπεν, 'οὐκ ἔστιν ἱερεύς', παρῆσαν γὰρ ἱερεῖς, ἀλλ' ἵνα μάθῃς ὅτι τὸ πᾶν τοῦ τόπου ἦν καὶ ἡ νομοθεσία πᾶσα ἐκεῖ συνεδέδετο, εἶπον, «οὐκ ἔστι τόπος».

Καί τί λέγω θύειν καὶ σπένδειν; Οὐδὲ ἁπλῶς ἀναγνῶσαι τὸν νόμον ἐξῆν αὐτοῖς· καὶ τοῦτό ποτε ἐγκαλῶν ἕτερος προφήτης ἔλεγε· «καὶ ἀνέγνωσαν ἔξω νόμον καὶ ἐπεκαλέσαντο ὁμολογίαν»· οὐ πάσχα, οὐ πεντηστήν, οὐ σκηνοπηγίαν, οὐκ ἄλλο τῶν τοιούτων ἐπιτελέσαι οὐδέν. Ἀλλ' ὅμως εἰδότες, ὅτι ταῦτα πάντα ἀπέκλεισεν αὐτοῖς ἡ τοῦ τόπου ἐρήμωσις, κἂν ἐπιχειρῶσί τισι, παρανομοῦντες ἐπιχειροῦσι καὶ δίκην τούτου διδόασιν, οὐκ ἴσχυσαν τὸν τόπον ἐν ᾧ ταῦτα πάντα ἐξῆν κατὰ νόμον πράττεσθαι, ἀναστῆσαι καὶ στῆσαι. Ἡ γὰρ δύναμις τοῦ Χριστοῦ ἡ τὴν Ἐκκλησίαν οἰκοδομήσασα, αὕτη καὶ τοῦτον καθεῖλε. Καὶ παροεῖπε καὶ τοῦτο ὁ προφήτης, ὅτι καὶ παρέσται ὁ Χριστὸς καὶ ταῦτα ἐργάσεται, καίτοι μετὰ τὴν αἰχμαλωσίαν γενόμενος. Ἄκουε δὲ καὶ τί φησι· «καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι καὶ οὐκ ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεάν. Οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι καὶ ἐν παντὶ τόπῳ θυμίαμά μοι προσάγεται καὶ θυσία καθαρά». Εἶδες πῶς σαφῶς καὶ τὸν Ἰουδαϊσμὸν ἐξέβαλε καὶ τὸν Χριστιανισμὸν ἔδειξε διαλάμποντα καὶ πανταχοῦ τῆς γῆς ἐκτεταμένον;

37. Αὐτόθι.
38. Ζαχ. 7,5.
39. Δαν. 3,38.
40. Ἀμὼς 4,5.

ὅτι δὲν τὸ ἔκαμναν, ἐπειδὴ δὲν εἶχαν τὰ ὄργανα· γιατὶ οἱ ἴδιοι εἶπαν τὴν αἰτία, λέγοντας· «πῶς νὰ ψάλουμε τὴν ᾠδὴ τοῦ Κυρίου σὲ ξένη γῆ;». Ἀλλὰ καὶ τὰ ὄργανα τὰ εἶχαν μαζί τους. Γιατὶ λέγει, «ἐπάνω στὶ ἰτιές, ποὺ ὑψώνονται δίπλα στὰ ποτάμια, κρεμάσαμε τὰ ὄργανά μας»[37]. Ἀκόμη οὔτε καὶ νὰ νηστεύουν τοὺς ἐπιτρεπόταν. Καὶ αὐτὸ γιὰ δηλώση ὁ προφήτης ἔλεγε· «μήπως ἐπὶ ἑβδομήντα χρόνια νηστεύσατε γιὰ μένα; λέγει ὁ Κύριος»[38]. Τὸ ὅτι ὅμως δὲν ἐπιτρεπόταν οὔτε νὰ θυσιάζουν οὔτε νὰ κάμνουν σπονδὲς ἄκουσε τοὺς τρεῖς παῖδες ποὺ λέγουν· «δὲν ὑπάρχει ἄρχοντας οὔτε προφήτης οὔτε ἡγούμενος οὔτε τόπος γιὰ νὰ μοῦ προσφέρης τοὺς καρπούς σου καὶ νὰ βρῆς ἔλεος»[39]. Δὲν εἶπε, 'δὲν ὑπάρχει ἱερεύς', γιατὶ ὑπῆρχαν ἱερεῖς, ἀλλὰ γιὰ νὰ μάθης ὅτι τὸ πᾶν ἐξαρτῶνταν ἀπὸ τὸν τόπο καὶ ὅτι ὅλη ἡ νομοθεσία συνδεόταν μὲ αὐτόν, εἶπε, «δὲν ὑπάρχει τόπος».

Καὶ γιατί λέγω δὲν ἐπιτρεπόταν νὰ θυσιάζουν καὶ νὰ προσφέρουν σπονδές; Δὲν τοὺς ἐπιτρεπόταν οὔτε τὸν νόμο ἁπλῶς νὰ ἀναγνώσουν, πρᾶγμα γιὰ τὸ ὁποῖο κατηγορώντας τους κάποτε ἕνας ἄλλος προφήτης, ἔλεγε, «καὶ ἀνέγνωσαν ἔξω τὸν νόμο καὶ ἐπικαλέσθηκαν ὁμολογία»[40]· ἀλλ' οὔτε τὸ Πάσχα οὔτε τὴν Πεντηκοστὴ οὔτε τὴν Σκηνοπηγία οὔτε καὶ κανένα ἄλλο παρόμοιο μποροῦσαν νὰ ἐπιτελέσουν. Ἔτσι λοιπόν, ἂν καὶ γνώριζαν ὅτι ὅλα αὐτὰ τοὺς τὰ ἀπέκλεισε ἡ ἐρήμωση τοῦ τόπου, καὶ ὅτι ἐπιχειρώντας νὰ κάμουν κάτι ἀπὸ ὅλα αὐτά, τὸ ἐπιχειροῦν παράνομα καὶ γι' αὐτὸ καὶ τιμωροῦνται, ὅμως δὲν μπόρεσαν νὰ ἀνοικοδομήσουν τὸν ναό, μέσα στὸν ὁποῖο ἐπιτρεπόταν νὰ ἐπιτελοῦν ὅλα αὐτὰ σύμφωνα μὲ τὸν νόμο. Γιατὶ ἡ δύναμη τοῦ Χριστοῦ ποὺ οἰκοδόμησε τὴν Ἐκκλησία, αὐτὴ κατέστρεψε καὶ αὐτόν. Καὶ αὐτὸ τὸ προεῖπε ὁ προφήτης, ὅτι δηλαδὴ θὰ ἔλθη ὁ Χριστὸς καὶ θὰ τὰ κάμη ὅλα αὐτά, ἂν καὶ ἔζησε μετὰ τὴν αἰχμαλωσία. Ἄκουσε λοιπὸν καὶ τί λέγει· «ἐξ αἰτίας σας θὰ κλεισθοῦν οἱ θύρες τοῦ ναοῦ καὶ δὲν θὰ ἀνάψη πιὰ τὸ θυσιαστήριό μου ἄσκοπα. Δὲν εὐαρεστοῦμαι πλέον μὲ σᾶς, γιατὶ ἀπὸ ἐκεῖ ποὺ ἀνατέλλει ὁ ἥλιος καὶ μέχρι ἐκεῖ ποὺ δύει θὰ δοξάζεται τὸ ὄνομά μου μεταξὺ τῶν ἐθνικῶν καὶ σὲ κάθε τόπο θὰ μοῦ προσφέρεται θυμίαμα καὶ θυσία καθαρή»[41]. Εἶδες μὲ πόση σαφήνεια καὶ τὸν Ἰουδαϊσμὸ ἀπέρριψε, καὶ ἔδειξε τὸν Χριστιανισμὸ νὰ διαλάμπη καὶ νὰ ἐπεκτείνεται σὲ ὅλη τὴ γῆ;

41. Μαλαχ. 1,10–11.

Καὶ τὸν τρόπον δὲ τῆς λατρείας ἐδήλωσεν ἕτερος πάλιν· «καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ καὶ δουλεύσουσιν αὐτῷ ὑπὸ ζυγὸν ἕνα»· καὶ ἕτερος πάλιν· «παρθένος τοῦ Ἰσραὴλ ἔσφαλλεν, οὐ μὴ ἀναστῇ ἔτι». Καὶ ὁ Δανιὴλ δὲ σαφῶς ἅπαντα ταῦτα διηγεῖται, ὅτι πάντα ἀρθήσεται καὶ θυσία καὶ σπονδὴ καὶ χρίσμα καὶ κρίμα. Ἀλλὰ ταῦτα μέν, ἡνίκα ἂν πρὸς Ἰουδαίους λέγωμεν, σαφέστερον καὶ εὐρύτερον ἀναπτύξομεν· τέως δὲ τῆς προκειμένης ἐχώμεθα ὁδοῦ, τῶν ἀνοήτων Ἑλλήνων τὴν φιλονεικίαν διορθοῦντες. Οὔτε σοὶ νεκροὺς εἶπον ἐγερθέντας, οὔτε λεπροὺς καθαρισθέντας, ἵνα μὴ λέγῃς, ψευδῆ ταῦτα, κόμπος, μῦθος, τίς εἶδε; τίς ἤκουσεν; Οἱ εἰπόντες ὅτι ἐσταυρώθη, καὶ ἐπὶ κόρρης πληγὰς ἔλαβεν, οὗτοι ταῦτα εἰρήκασι. Πῶς οὖν ἐν ἐκείνοις ἀξιοπίστους εἶναι νομίζων, ἐν τούτοις ἐπιλαμβάνῃ τῶν εἰρημένων, ὡς οὐ γεγενημένων; Καίτοι γε εἰ πρὸς χάριν τοῦ διδασκάλου ταῦτα ἔγραφον εἰκῇ καὶ μάτην κομπάζοντες, τὰ σκυθρωπὰ ἂν ἐσιώπησαν καὶ τὰ πολλοῖς δοκοῦντα ἐποδείδιστα εἶναι· νῦν δὲ δεικνύντες αὐτῶν τὴν ἀλήθειαν, ἐν ἐκείνοις μάλιστα ἐνδιέτριψαν καὶ πάντα μετὰ ἀκριβείας καὶ πολλῆς εἶπον τῆς δαψιλείας· οὐ μικρόν, οὐ μέγα παραδραμόντες, ἀλλ' ἐν μὲν τοῖς παθήμασι καὶ τοῖς δοκοῦσιν ἐπονειδίστοις, τούτοις ἐνδιατρίβοντες, πάντα πάντες μετὰ ἀκριβείας εἰρήκασιν.

Ἀλλ' ἐγὼ τούτων πρὸς σὲ οὐδὲν εἰρηκώς, τῶν θαυμάτων λέγω καὶ τῶν σημείων, ἵνα ἐκ περιουσίας πᾶσαν ἀναίσχυντον ἐμφράξω γλῶσσαν, τὰ νῦν φαινόμενα, τὰ νῦν πρὸ ὀφθαλμῶν κείμενα, τὰ τοῦ ἡλίου φανερώτερα, τὰ πανταχοῦ τῆς οἰκουμένης διεσπαρμένα, τὰ πᾶσαν καταλαβόντα τὴν οἰκουμένην καὶ ἀνθρωπίνην ὑπερβαίνοντα φύσιν κατορθούμενα καὶ ἃ Θεοῦ μόνον ἦν, ταῦτα εἰς μέσον ἤγαγον. Τί λέγεις; Οὐκ ἀνέστησε νεκρούς; Μὴ καὶ τοῦτο ἔχεις εἰπεῖν, ὅτι αἱ Ἐκκλησίαι οὔκ εἰσι κατὰ τὴν οἰκουμένην; οὐδ' ὅτι οὐκ ἐπεβουλεύθησαν; οὐδ' ὅτι κρατοῦσι καὶ περιγίνονται; Ἀλλ'

42. Σοφ. 3,10.
43. Ἀμὼς 5,2

Ἀλλὰ καὶ τὸν τρόπο τῆς λατρείας δήλωσε ἕνας ἄλλος προφήτης· «καὶ θὰ προσκυνήσουν αὐτὸν ὁ καθένας στὸν τόπο ποὺ βρίσκεται καὶ θὰ τὸν ὑπηρετήσουν κάτω ἀπὸ ἕνα ζυγό»[42]· καὶ ἄλλος πάλι λέγει· «παρθένος τοῦ Ἰσραὴλ ἔσφαλλε, καὶ δὲν θὰ σηκωθῆ πιά»[43]. Ἀλλὰ καὶ ὁ Δανιὴλ τὰ διηγεῖται ὅλα αὐτὰ μὲ σαφήνεια, ὅτι δηλαδὴ ὅλα θὰ καταργηθοῦν καὶ ἡ θυσία καὶ ἡ σπονδὴ καὶ τὸ χρίσμα καὶ οἱ ἐντολές. Ἀλλ' αὐτά, ὅταν θὰ μιλήσω πρὸς τοὺς Ἰουδαίους θὰ τὰ ἀναπτύξω σαφέστερα καὶ ἐκτενέστερα· τώρα ὅμως ἂς συνεχίσουμε τὸν δρόμο ποὺ βαδίζουμε, διορθώνοντας τὴν φιλονεικία τῶν ἀνοήτων εἰδωλολατρῶν. Δὲν σοῦ μίλησα οὔτε γιὰ τὶς ἀναστάσεις τῶν νεκρῶν οὔτε γιὰ τοὺς λεπροὺς ποὺ καθαρίσθηκαν, γιὰ νὰ μὴ λές, 'ὅλα αὐτὰ εἶναι ψευδῆ, κομπασμὸς καὶ μυθεύματα. Ποιός τὰ εἶδε; ποιός τὰ ἄκουσε; Ἐκεῖνοι ποὺ εἶπαν ὅτι σταυρώθηκε καὶ ὅτι δέχθηκε πλήγματα στὰ μάτια, αὐτοὶ τὰ εἶπαν αὐτά. Πῶς λοιπὸν γιὰ ἐκεῖνα τοὺς θεωρεῖς ἀξιόπιστους, ἐνῶ γι' αὐτὰ ἀπορρίπτεις τὰ λεγόμενα σὰν νὰ μὴ ἔγιναν τάχα; Ἂν καὶ βέβαια, ἂν αὐτὰ τὰ ἔγραφαν γιὰ χάρη τοῦ διδασκάλου, ὑπερηφανευόμενοι χωρὶς λόγο καὶ ἄσκοπα, θ' ἀποσιωποῦσαν τὰ θλιβερὰ γεγονότα καὶ ἐκεῖνα ποὺ θεωροῦνται ἀπὸ τοὺς πολλοὺς ἐπονείδιστα. Τώρα ὅμως γιὰ νὰ δείξουν τὴν ἀλήθεια αὐτῶν, μίλησαν πολὺ ἐκτεταμένα γιὰ ἐκεῖνα καὶ τὰ διηγήθηκαν ὅλα μὲ ἀκρίβεια καὶ πολλὴ λεπτομέρεια, χωρὶς νὰ παρατρέξουν τίποτε τὸ ἀσήμαντο ἢ σπουδαῖο· καὶ τὰ σημεῖα βέβαια καὶ τὰ θαύματα τὰ περισσότερα τὰ παρέλειψαν, τὰ παθήματα ὅμως καὶ ἐκεῖνα ποὺ θεωροῦνται ἐπονείδιστα, μὲ τὰ ὁποῖα ἀσχολοῦνται κυρίως, ὅλα τὰ διηγήθηκαν ὅλοι μὲ ἀκρίβεια.

Ὅμως ἐγὼ δὲν ἀνέφερα τίποτε ἀπὸ αὐτά, ἐννοῶ τὰ θαύματα καὶ τὰ σημεῖα, γιὰ νὰ φράξω ὅσο τὸ δυνατὸ καὶ περισσότερο κάθε ἀδιάντροπη γλῶσσα, ἀλλ' ἐκεῖνα ποὺ εἶναι φανερὰ τώρα, ἐκεῖνα ποὺ βρίσκονται τώρα πρὸ τῶν ὀφθαλμῶν μας, ἐκεῖνα ποὺ εἶναι φανερώτερα καὶ ἀπὸ τὸν ἥλιο, ἐκεῖνα ποὺ εἶναι διεσπαρμένα σ' ὁλόκληρη τὴν οἰκουμένη, ποὺ κυρίευσαν ὁλόκληρο τὸν κόσμο καὶ ποὺ κατορθούμενα ὑπερβαίνουν κάθε ἀνθρώπινη φύση καὶ τὰ ὁποῖα εἶναι ἔργα μόνο τοῦ Θεοῦ, αὐτὰ μόνο ἀνέφερα. Τί λές; Δὲν ἀνέστησε νεκρούς; Μήπως μπορεῖς νὰ πῆς καὶ αὐτό, ὅτι δὲν ὑπάρχουν οἱ Ἐκκλησίες σὲ κάθε μέρος τῆς γῆς; Μήπως, ὅτι δὲν ἐπιβουλεύθηκαν; μήπως ὅτι δὲν κυριαρχοῦν καὶ δὲν ὑπερισχύουν παντοῦ; Ἀλλ' ὅπως

ὥσπερ οὐκ ἔστιν εἰπεῖν ὅτι οὐκ ἔστιν ἥλιος, οὕτως οὐδὲ ταῦτα. Τί δέ; Τὴν κατασκαφὴν τοῦ ἰουδαϊκοῦ ναοῦ οὐχ ὁρᾷς πρὸ ὀφθαλμῶν κειμένην τῆς οἰκουμένης ἁπάσης; Διὰ τί μὴ λογίζῃ πρὸς σευατόν· εἰ μὴ Θεὸς ἦν καὶ Θεὸς ἰσχυρός, πόθεν ἂν οἱ μὲν θεραπεύοντες αὐτὸν οὕτως ηὔξαντο καὶ ἐνοχλούμενοι, οἱ δὲ ἐσταυρωκότες αὐτὸν καὶ προσκεκρουκότες οὕτως ἐταπεινώθησαν, ὡς καὶ πολιτείας ἐκπεσεῖν ἁπάσης καὶ ἀλῆται καὶ πλάνοι καὶ φυγάδες περιέρχονται καὶ χρόνος οὐδεὶς οὐδέτερον ἔλυσε; Καίτοι γε πρὸς τὴν Ρωμαίων ἀρχὴν οὗτοι δή, οὗτοι οἱ Ἰουδαῖοι καὶ πόλεμον εἵλοντο καὶ ὅπλα ἐκίνησαν καὶ μακρῷ χρόνῳ παραταττόμενοι διετέλεσαν καί που καὶ ἐκράτησαν καὶ πράγματα παρέσχον τοῖς τότε Αὐγούστοις οὐ τὰ τυχόντα· τοσαύτη ἦν αὐτῶν ἡ δύναμις. Ἀλλ᾽ ὅμως οἱ καὶ πολεμήσαντες τοσούτοις βασιλεῦσι καὶ παραταξάμενοι καὶ χρημάτων ἰσχὺν τοσαύτην καὶ ὅπλων καὶ στρατιωτῶν ἔχοντες καὶ στρατηγοὺς καὶ μυρίους ἐλάσαντες, ἕνα οὐκ ἴσχυσαν ἀναστῆσαι ναόν· ἀλλὰ συναγωγὰς μὲν πολλαχοῦ τῶν πόλεων ᾠκοδόμησαν, τὸν δὲ τόπον τὸν παρεσχηκότα αὐτοῖς τῆς οἰκείας πολιτείας τὸ κῦρος καὶ ἔνθα πάντα τελεῖν εἰώθασι καὶ ὅθεν ὁ Ἰουδαϊσμὸς συγκεκρότητο, τοῦτον μόνον οὐκ ἴσχυσαν ἀναστῆσαι.

δὲν μπορεῖς νὰ πῆς ὅτι δὲν ὑπάρχει ἥλιος, ἔτσι οὔτε αὐτὰ μπορεῖς νὰ τ' ἀρνηθῆς. Τί λοιπόν; Τὴν καταστροφὴ τοῦ ἰουδαϊκοῦ ναοῦ δὲν τὴν βλέπεις ποὺ βρίσκεται μπροστὰ στὰ μάτια ὅλης τῆς οἰκουμένης; Γιατί δὲν κάνεις τὴ σκέψη· 'ἂν δὲν ὑπῆρχε Θεὸς καὶ μάλιστα Θεὸς ἰσχυρός, πῶς θὰ αὐξάνονταν τόσο πολύ, παρὰ τὶς ἐνοχλήσεις, αὐτοὶ ποὺ πιστεύουν σ' αὐτόν, ἐνῶ ἐκεῖνοι ποὺ τὸν σταύρωσαν καὶ τὸν πολέμησαν, τόσο πολὺ ταπεινώθηκαν, ὥστε νὰ στερηθοῦν καὶ τὴν πατρίδα τους, καὶ περιφέρονται σήμερα παντοῦ σὰν ἀλῆτες καὶ φυγάδες καὶ πλανόδιοι, καὶ κανένας χρόνος δὲν τοὺς ἀπάλλαξε ἀπὸ κανένα ἀπὸ αὐτά;' Ἂν καὶ βέβαια αὐτοί, αὐτοὶ οἱ Ἰουδαῖοι, καὶ πόλεμο κήρυξαν ἐναντίον τῶν Ρωμαίων καὶ τὰ ὅπλα σήκωσαν ἐναντίον τους καὶ γιὰ μακρὸ χρονικὸ διάστημα συνέχισαν τὴν πολεμική τους ἀντιπαράθεση καὶ γιὰ κάποιο χρόνο ἐπεκράτησαν καὶ δημιούργησαν στοὺς τότε αὐτοκράτορες πολλὰ καὶ μεγάλα προβλήματα· τόσο μεγάλη ἦταν ἡ δύναμή τους. Ἀλλ' ὅμως αὐτοὶ ποὺ πολέμησαν ἐναντίον τόσων βασιλέων καὶ παρατάχθηκαν ἐναντίον τους, ποὺ διέθεταν τόση χρηματικὴ δύναμη καὶ ὅπλα καὶ στρατιῶτες, καὶ ἐξεδίωξαν καὶ στρατηγοὺς καὶ μύριους ἄλλους, δὲν μπόρεσαν νὰ ἀνοικοδομήσουν ἕνα ναό. Συναγωγὲς βέβαια ἔκτισαν σὲ πολλὲς πόλεις, τὸν ναὸ ὅμως, ποὺ ἔδινε τὸ κῦρος στὸ πολίτευμά τους καὶ στὸν ὁποῖο συνήθιζαν νὰ ἐπιτελοῦν τὰ πάντα, καὶ ἀπὸ τὸν ὁποῖο συγκροτοῦνταν ὁ Ἰουδαϊσμός, αὐτὸν μόνο δὲν μπόρεσαν νὰ τὸν ἀνοικοδομήσουν.

ΛΟΓΟΙ

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

(Α'–Η')

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

1. Ἐβουλόμην ὑμῖν ἀποδοῦναι τὰ λείψανα σήμερον τῆς ὑποθέσεως, περὶ ἧς καὶ πρώην ἡμῖν διελέχθην, καὶ δεῖξαι σαφέστερον, πῶς ἀκατάληπτός ἐστιν ὁ Θεός. Περὶ γὰρ αὐτοῦ τῇ παρελθούσῃ Κυριακῇ τοὺς πολλοὺς ἐκείνους καὶ μακροὺς ἐποιησάμεθα λόγους, ὅτε καὶ μάρτυρας παρηγάγομεν τόν τε Ἠσαΐαν καὶ τὸν Δαυὶδ καὶ τὸν Παῦλον. Ὁ μὲν γὰρ ἐβόα, «τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;», ὁ δὲ ηὐχαρίστει αὐτῷ ὑπὲρ τῆς ἀκαταληψίας λέγων· «ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης, θαυμάσια τὰ ἔργα σου»· καὶ πάλιν, «ἐθαυμαστώθη ἡ γνῶσις σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν». Ὁ δὲ Παῦλος οὐκ εἰς αὐτὴν τῆς οὐσίας τὴν ἔρευναν διακύψας, ἀλλ' εἰς τὴν πρόνοιαν αὐτοῦ μόνην, μᾶλλον δὲ καὶ αὐτῆς τῆς προνοίας μέρος μικρὸν ἀπολαβών, ὃ περὶ τὴν τῶν ἐθνῶν κλῆσιν ἐπεδείξατο, ὥσπερ πέλαγος ἀχανὲς καὶ ἀκατάληπτον ἰδών, οὕτως ἐβόησεν· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ».

Καὶ ἦν μὲν ἱκανὴ ἡ διὰ τούτων ἀπόδειξις· ἐγὼ δὲ οὐκ ἠρκέσθην τοῖς προφήταις, οὐκ ἔστην μέχρι τῶν ἀποστόλων, ἀλλ' ἀνέβην εἰς τὸν οὐρανόν, ἔδειξα ὑμῖν τὸν χορὸν τῶν ἀγγέλων λέγοντα, «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία». Ἠκούσατε τῶν Σεραφεὶμ πάλιν ἐκπληττομένων καὶ μετὰ φρίκης

1. Ἠσ. 53,8.
2. Ψαλμ. 138,14.
3. Ρωμ. 11,33.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

1. Εἶχα σκοπὸ σήμερα νὰ σᾶς προσφέρω ὅλα ἐκεῖνα ποὺ εἶχαν ἀπομείνει ἀπὸ τὴν ὑπόθεση, γιὰ τὴν ὁποία καὶ πρωτύτερα σᾶς εἶχα μιλήσει, καὶ νὰ σᾶς δείξω σαφέστερα, ὅτι ὁ Θεὸς εἶναι ἀκατάληπτος καὶ ἀσύλληπτος ἀπὸ τὸν νοῦ τοῦ ἀνθρώπου. Γι' αὐτὸ ἀκριβῶς τὸ θέμα ἐκφωνήσαμε τὴν περασμένη Κυριακὴ τοὺς πολλοὺς καὶ μακροὺς ἐκείνους λόγους, κατὰ τοὺς ὁποίους παρουσιάσαμε σὰν μάρτυρες καὶ τὸν Ἠσαΐα καὶ τὸν Δαυΐδ καὶ τὸν Παῦλο. Ἀπὸ αὐτοὺς ὁ Ἠσαΐας κραύγαζε, «τὴν γενεὰ αὐτοῦ ποιός θὰ τὴν διηγηθῆ;»[1], ἐνῶ ὁ Δαυΐδ εὐχαριστοῦσε τὸν Θεὸ γιὰ τὴν ἀκαταληψία του, λέγοντας· «θὰ σὲ εὐχαριστήσω καὶ θὰ σὲ δοξολογήσω, γιατὶ φάνηκες πολὺ θαυμαστός. Εἶναι πολὺ θαυμαστὰ τὰ ἔργα σου»[2]· ἐπίσης· «θαύμασα ὑπερβολικὰ τὴ γνώση σου, ἀποδείχθηκε πανίσχυρη καὶ δὲν μπορῶ νὰ τὴν κατανοήσω»[2a]. Καὶ ὁ Παῦλος, χωρὶς ν' ἀσχοληθῆ μὲ τὴν ἔρευνα τῆς θείας οὐσίας, ἀλλὰ μὲ τὴν πρόνοια τοῦ Θεοῦ, ἀφοῦ ἀπόλαυσε μικρὸ μέρος αὐτῆς, ἐκεῖνο δηλαδὴ ποὺ φανέρωσε κατὰ τὴν κλήση τῶν Ἐθνῶν, βλέποντας αὐτὸ μπροστά του σὰν ἕνα ἀχανὲς καὶ ἀκατάληπτο πέλαγος, ἔκπληκτος ἀνεφώνησε· «πὼ πὼ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· πόσο ἀνεξερεύνητες εἶναι οἱ βουλές του καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του»[3].

Καὶ θὰ ἦταν βέβαια ἱκανοποιητικὴ ἡ ἀπόδειξη μὲ αὐτά, πλὴν ὅμως ἐγὼ δὲν ἀρκέσθηκα στοὺς προφῆτες καὶ δὲν περιωρίσθηκα στὶς μαρτυρίες τῶν Ἀποστόλων, ἀλλ' ἀνέβηκα στὸν οὐρανὸ καὶ ἔδειξα σὲ σᾶς τὸν χορὸ τῶν ἀγγέλων νὰ λέγη, «δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία»[4]. Ἀκούσατε πάλι τὰ

4. Λουκᾶ 2,14.

κραζόντων, «ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ». Προσέθηκα καὶ τὰ Χερουβεὶμ βοῶντα· «εὐλογημένη ἡ δόξα αὐτοῦ ἐκ τοῦ τόπου αὐτοῦ». Κάτω τρεῖς μάρτυρες, ἄνω τρεῖς μάρτυρες, τὸ ἀπρόσιτον τῆς τοῦ Θεοῦ δόξης δηλοῦντες. Ἀναμφισβήτητος λοιπὸν ἡ ἀπόδειξις καὶ πολὺς ὁ κρότος ἐγίνετο καὶ διεθερμαίνετο τὸ θέατρον καὶ ἐπυροῦτο ὁ σύλλογος. Ἐγὼ δὲ ἔχαιρον, οὐχ ὅτι αὐτὸς ἐπῃνούμην, ἀλλ' ὅτι ὁ Δεσπότης ὁ ἐμὸς ἐδοξάζετο. Ὁ γὰρ κρότος ἐκεῖνος καὶ ὁ ἔπαινος τὸ φιλόθεον τῆς ὑμετέρας ψυχῆς ἐνεδείκνυτο. Καὶ καθάπερ οἰκέται φιλόστοργοι, ἐπειδὰν ἀκούσωσί τινος τὸν ἑαυτῶν ἐπαινοῦντος δεσπότην, ἐκκαίονται τῷ πόθῳ περὶ τὸν λέγοντα διὰ τὸ πρὸς τὸν δεσπότην φίλτρον, οὕτω καὶ ὑμεῖς ἐποιήσατε τότε· τῇ τῶν κρότων ὑπερβολῇ τὴν πολλὴν περὶ τὸν Δεσπότην ἐπεδείκνυσθε εὔνοιαν. Ἐβουλόμην μὲν οὖν καὶ σήμερον ἐπαγωνίσασθαι τοῖς παλαίσμασι τούτοις. Εἰ γὰρ οἱ ἐχθροὶ τῆς ἀληθείας κόρον οὐ λαμβάνουσι βλασφημοῦντες τὸν εὐεργέτην, πολλῷ μᾶλλον ἡμᾶς ἀκορέστως ἔχειν δεῖ πρὸς εὐφημίαν τοῦ τῶν ὅλων Θεοῦ. Ἀλλὰ τί πάθω; Ἕτερον νόσημα χαλεπώτατον τὴν ἡμετέραν γλῶσσαν πρὸς ἰατρείαν καλεῖ, νόσημα ἐν τῷ σώματι τῆς Ἐκκλησίας πεφυτευμένον. Δεῖ δὲ πρότερον τοῦτο ἀνασπάσαντας, τότε φροντίσαι τῶν ἔξωθεν· πρότερον τοὺς οἰκείους θεραπεῦσαι καὶ τότε τῶν ἀλλοτρίων ἐπιμελήσασθαι. Τί δέ ἐστι τὸ νόσημα;

Ἑορταὶ τῶν ἀθλίων καὶ ταλαιπώρων Ἰουδαίων μέλλουσι προσελαύνειν συνεχεῖς καὶ ἐπάλληλοι, αἱ σάλπιγγες, αἱ σκηνοπηγίαι, αἱ νηστεῖαι· καὶ πολλοὶ τῶν μεθ' ἡμῶν τεταγμένων καὶ τὰ ἡμέτερα λεγόντων φρονεῖν, οἱ μὲν ἐπὶ τὴν θέαν ἀπαντῶσι τῶν ἑορ-

5. Ἠσ. 6,3.

6. Ἰεζ. 3,12.

7. Ἡ ἑορτὴ τῶν Σαλπίγγων ἦταν ἡ ἑορτὴ τοῦ Νέου Ἔτους καὶ τελοῦνταν κατὰ τὶς δυὸ πρῶτες ἡμέρες τοῦ μηνὸς Τισρεί, ποὺ ἦταν ὁ πρῶτος πολιτικὸς μήνας τῶν Ἑβραίων καὶ ὁ ἕβδομος θρησκευτικός· ἀντιστοιχοῦσε στὸν δικό μας Σεπτέμβριο.

8. Ἡ ἑορτὴ τῆς Σκηνοπηγίας ἑωρταζόταν στὶς 15 τοῦ μηνὸς Τισρεί καὶ διαρκοῦσε ἑπτὰ ἡμέρες. Ἦταν ἀγροτικὴ ἑορτή, ἀφιερωμένη στὴ συγκομιδὴ τῶν καρπῶν καὶ τὸν τρυγητό.

ἔκπληκτα Σεραφὶμ νὰ κράζουν μὲ φρίκη, «ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· ὅλη ἡ γῆ εἶναι γεμάτη ἀπὸ τὴ δόξα αὐτοῦ»[5]. Κοντὰ ὅμως στὰ Σεραφὶμ ἔβαλα καὶ τὰ Χερουβὶμ νὰ φωνάζουν, «εἶναι εὐλογημένη ἡ δόξα αὐτοῦ στὸν ἱερὸ αὐτὸ τόπο»[6]. Ἔχουμε λοιπὸν τρεῖς μάρτυρες ἐδῶ κάτω στὴ γῆ καὶ τρεῖς μάρτυρες ἐκεῖ πάνω στὸν οὐρανὸ νὰ καταθέτουν γιὰ τὴν ἀπρόσιτη δόξα τοῦ Θεοῦ. Ἐπομένως ἡ ἀπόδειξη ἦταν ἀναμφισβήτητη καὶ δικαιολογημένα τὰ πυκνὰ χειροκροτήματα, καθὼς καὶ ἡ θερμὴ ἀτμόσφαιρα καὶ ὁ πυρετὸς ποὺ κυριαρχοῦσαν ἀνάμεσά σας. Κι ἐγὼ χαιρόμουν, ὄχι γιατὶ ἐλάμβανα ἐγὼ τοὺς ἐπαίνους, ἀλλὰ γιατὶ δοξαζόταν ὁ Κύριος ὁ δικός μου. Γιατὶ τὰ χειροκροτήματα ἐκεῖνα καὶ οἱ ἔπαινοι φανέρωναν τὴν ἀγάπη σας στὸν Θεό. Κι ὅπως οἱ φιλόστοργοι ὑπηρέτες, ὅταν ἀκούσουν κάποιον νὰ ἐπαινῆ τὸν κύριό τους, φλέγονται ἀπὸ τὸν πόθο νὰ τὸν ἀκούουν συνέχεια, λόγω τῆς ἀγάπης τους πρὸς τὸν κύριό τους, ἔτσι καὶ σεῖς ἐνεργήσατε τότε. Φανερώσατε δηλαδὴ μὲ τὰ πολλὰ χειροκροτήματά σας τὴν ὑπερβολική σας ἀγάπη πρὸς τὸν Δεσπότη Χριστό. Γι' αὐτὸ καὶ ἤθελα νὰ συνεχίσω σήμερα τοὺς ἴδιους ἀγῶνες, τὰ ἴδια πνευματικὰ παλαίσματα. Γιατί, ἂν οἱ ἐχθροὶ τῆς ἀλήθειας δὲν ἀποκάμνουν νὰ βλασφημοῦν τὸν εὐεργέτη, πολὺ περισσότερο ἐμεῖς πρέπει νὰ εὐλογοῦμε ἀκούραστα τὸν Θεὸ τῶν ὅλων. Τί νὰ κάμω ὅμως; Μιὰ ἄλλη ἀσθένεια, πολὺ πιὸ βαρειά, ποὺ προσβάλλει τὸ σῶμα τῆς Ἐκκλησίας, καλεῖ τὸν δικό μου λόγο νὰ τὴ θεραπεύση. Ἐπιβάλλεται λοιπὸν νὰ σταματήσουμε τὴν ἐξέλιξη τῆς ἀσθένειας αὐτῆς καὶ στὴ συνέχεια νὰ στρέψουμε τὴν προσοχή μας πρὸς τοὺς ἐκτὸς τῆς Ἐκκλησίας. Εἶναι ἀνάγκη νὰ θεραπεύσουμε πρῶτα τοὺς δικούς μας καὶ μετὰ ν' ἀσχοληθοῦμε μὲ τὰ πράγματα τῶν ἄλλων. Ποιά ὅμως εἶναι ἡ ἀσθένεια;

Πλησιάζουν οἱ ἑορτὲς τῶν ἄθλιων καὶ ταλαίπωρων Ἰουδαίων, ποὺ θὰ τὶς ἑορτάσουν τὴ μιὰ κατόπιν τῆς ἄλλης, δηλαδὴ ἡ ἑορτὴ τῶν Σαλπίγγων[7], ἡ ἑορτὴ τῆς Σκηνοπηγίας[8], καὶ ἐκείνη τῶν Νηστειῶν[9]. Ἀπὸ αὐτοὺς ποὺ ἀνήκουν στὶς τάξεις μας καὶ λένε ὅτι

9. Ἡ ἑορτὴ τῶν Νηστειῶν ἢ ἑορτὴ τοῦ Ἐξιλασμοῦ ἑωρταζόταν στὶς 10 τοῦ μηνὸς Τισρεὶ μὲ ἐκδηλώσεις μετανοίας καὶ προσευχῆς.

τῶν, οἱ δὲ καὶ συνεορτάζουσι καὶ τῶν νηστειῶν κοινωνοῦσι· καὶ τοῦτο τὸ πονηρὸν ἔθος βούλομαι τῆς Ἐκκλησίας ἀπελάσαι νῦν. Οἱ μὲν γὰρ πρὸς Ἀνομοίους λόγοι καὶ ἐν ἑτέρῳ δύνανται γενέσθαι καιρῷ καὶ οὐδεμία ἀπὸ τῆς ἀναβολῆς γένοιτ' ἂν βλάβη· τοὺς δὲ τὰ ἰουδαϊκὰ νοσοῦντας, εἰ μὴ νῦν θεραπεύσαιμεν, ὅτε ἐγγὺς καὶ ἐπὶ θύραις εἰσὶν αἱ τῶν Ἰουδαίων ἑορταί, δέδοικα μή ποτε ὑπὸ τῆς ἀκαίρου συνηθείας καὶ τῆς πολλῆς ἀγνοίας μετάσχωσί τινες τῆς παρανομίας ἐκείνων καὶ μάταιοι λοιπὸν οἱ περὶ τούτων ἡμῖν γένωνται λόγοι. Ἂν γὰρ μηδὲν ἀκούσαντες σήμερον νηστεύσωσι μετ' ἐκείνων, μετὰ τὸ τελεσθῆναι τὴν ἁμαρτίαν, εἰκῇ λοιπὸν τὸ φάρμακον ἐπιθήσομεν. Διόπερ ἐπείγομαι προκαταλαβεῖν. Οὕτω καὶ ἰατροὶ ποιοῦσι· πρὸς τὰ κατεπείγοντα καὶ ὀξύτατα τῶν νοσημάτων ἵστανται πρότερον· πάντως δὲ συγγενὴς καὶ οὗτος ὁ ἀγὼν τῷ προτέρῳ. Ἐπειδὴ γὰρ συγγενῆ τὰ τῆς ἀσεβείας Ἀνομοίοις καὶ Ἰουδαίοις, συγγενῆ καὶ τὰ ἀγωνίσματα ἡμῖν γίνεται τοῖς πρότερον τὰ νῦν. Καὶ γὰρ ὅπερ ἐνεκάλουν Ἰουδαῖοι, τοῦτο ἐγκαλοῦσι καὶ Ἀνόμοιοι. Τί δὲ ἐνεκάλουν ἐκεῖνοι; Ὅτι Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ· τοῦτο ἐγκαλοῦσι καὶ οὗτοι, μᾶλλον δὲ οὐκ ἐγκαλοῦσιν, ἀλλ' ἐξαλείφουσι τὸ ῥητὸν μετὰ τῆς διανοίας, εἰ καὶ μὴ τῇ χειρί, ἀλλὰ τῇ γνώμῃ.

2. Μηδὲ θαυμάσητε, εἰ ἀθλίους ἐκάλεσα Ἰουδαίους. Ὄντως γὰρ ἄθλιοι καὶ ταλαίπωροι, τοσαῦτα ἀπὸ τῶν οὐρανῶν ἀγαθὰ εἰς τὰς χεῖρας αὐτῶν ἐλθόντα ἀπωσάμενοι καὶ ῥίψαντες μετὰ πολλῆς τῆς σπουδῆς. Ἀνέτειλεν ἐκείνοις πρωϊμος ὁ τῆς δικαιοσύνης ἥλιος· κάκεῖνοι μὲν ἀπώσαντο τὴν ἀκτῖνα καὶ ἐν σκότῳ κάθηνται, ἡμεῖς δὲ οἱ σκότῳ συντραφέντες, πρὸς ἑαυτοὺς ἐπεσπασάμεθα τὸ φῶς καὶ τοῦ ζόφου τῆς πλάνης ἀπηλλάγημεν. Ἐκεῖνοι τῆς ῥίζης τῆς ἁγίας

10. Κατὰ τῶν Ἀνομοίων ὁ ἱερὸς πατὴρ ἐξεφώνησε δώδεκα λόγους. Δημοσιεύονται στὸν 35ο τόμο τῆς σειρᾶς αὐτῆς.

11. Ἰω. 5,18.

φρονοῦν τὰ ἴδια μὲ μᾶς, πολλοὶ παρακολουθοῦν τὸ θέαμα τῶν ἑορτῶν καὶ ἄλλοι ἑορτάζουν μαζὶ μὲ τοὺς Ἰουδαίους καὶ συμμετέχουν στὶς νηστεῖες τους. Αὐτὴν τὴν κακὴ συνήθεια ἐπιθυμῶ τώρα ν' ἀποβάλω ἀπὸ τὴν Ἐκκλησία. Γιατὶ οἱ λόγοι μου ἐναντίον τῶν Ἀνομοίων[10] εἶναι δυνατὸ νὰ ἐκφωνηθοῦν σὲ χρόνο πιὸ κατάλληλο, χωρὶς νὰ ὑπάρχῃ βέβαια κίνδυνος νὰ προκληθῇ ἀπὸ τὴν ἀναβολὴ βλάβη. Ὅσοι ὅμως ὑποφέρουν ἀπὸ τὴν Ἰουδαϊκὴ ἀσθένεια, ἂν δὲν καταστῇ δυνατὸ νὰ τοὺς θεραπεύσουμε τώρα ποὺ πλησιάζουν οἱ ἑορτὲς τῶν Ἰουδαίων, φοβοῦμαι μήπως, λόγω τῆς ἀνάρμοστης συνήθειας καὶ τῆς πολλῆς καὶ μεγάλης ἄγνοιας, λάβουν μερικοὶ μέρος στὴν παρανομία τους, ὁπότε καὶ θὰ ἀποβοῦν μάταιοι οἱ λόγοι ποὺ θὰ τοὺς ἀφοροῦν. Γιατὶ ἂν, χωρὶς νὰ ἀκούσουν τίποτε, νηστεύσουν σήμερα μὲ τοὺς Ἰουδαίους, μάταια τότε θὰ προσφέρουμε τὸ φάρμακο, ἀφοῦ καὶ ἡ ἁμαρτία θὰ ἔχῃ πιὰ διαπραχθῇ. Γι' αὐτὸ ἀκριβῶς καὶ βιάζομαι μήπως καὶ προλάβω, πρᾶγμα ποὺ κάνουν βέβαια καὶ οἱ ἰατροί. Καταπιάνονται δηλαδὴ πρῶτα μὲ τὶς ἀσθένειες ποὺ εἶναι καὶ βαρειὲς καὶ ἐπείγουσες. Ὁπωσδήποτε ὅμως καὶ ὁ ἀγώνας αὐτὸς εἶναι συγγενὴς πρὸς τὸν πρῶτο, ἀφοῦ καὶ ἡ ἀσέβεια τῶν Ἀνομοίων συγγενεύει πρὸς ἐκείνην τῶν Ἰουδαίων καὶ οἱ ἀγῶνες ποὺ διεξάγουμε σήμερα σχετίζονται μὲ τοὺς προηγουμένους. Ἀλλὰ καὶ ἡ κατηγορία ποὺ μᾶς ἀπηύθυναν οἱ Ἰουδαῖοι εἶναι στ' ἀλήθεια ὅμοια μ' αὐτὴ ποὺ μᾶς ἀπευθύνουν οἱ Ἀνόμιοι. Τί μᾶς κατηγοροῦσαν ἐκεῖνοι; Ὅτι ὁ Χριστὸς ὠνόμαζε Πατέρα του τὸν Θεό, ἐξισώνοντας ἔτσι τὸν ἑαυτό του μὲ τὸν Θεό[11]. Τὸ ἴδιο μᾶς κατηγοροῦν καὶ οἱ Ἀνόμοιοι, ἢ καλύτερα δὲν μᾶς κατηγοροῦν, ἀλλὰ παραγράφουν τὸ ρητό, ἂν ὄχι μὲ τὸ χέρι, ὁπωσδήποτε ὅμως μὲ τὴ σκέψη τους.

2. Οὔτε νὰ ἐκπλήττεσθε ποὺ ἀποκάλεσα ἄθλιους τοὺς Ἰουδαίους. Γιατὶ πράγματι καὶ ἄθλιοι εἶναι καὶ ταλαίπωροι, ἀφοῦ περιφρόνησαν καὶ ἀπέρριψαν μὲ πολλὴ ἀπερισκεψία τὰ τόσα ἀγαθὰ ποὺ δέχθηκαν τὰ χέρια τους ἀπὸ τὸν οὐρανό, ἀφοῦ πιὸ νωρὶς ἐνέτειλε σ' ἐκείνους ὁ ἥλιος τῆς δικαιοσύνης. Ὅμως ἐκεῖνοι ἀποστράφηκαν τὴν ἀκτῖνα του καὶ βρίσκονται τώρα στὸ σκοτάδι. Ἀντίθετα ἐμεῖς, ποὺ ἄλλοτε ζούσαμε στὸ σκοτάδι, προσελκύσαμε τώρα πρὸς τὸν ἑαυτό μας τὸ φῶς κι ἀπαλλαχθήκαμε ἀπὸ τὸ σκοτάδι τῆς πλάνης. Ἐκεῖνοι ἦταν οἱ κλάδοι τῆς ἁγίας ρίζας ἀλλὰ κόπηκαν, ἐνῶ ἐμεῖς

ἦσαν κλάδοι, ἀλλ' ἐξεκλάσθησαν· ἡμεῖς οὐ μετείχομεν τῆς ρίζης καὶ καρπὸν εὐσεβείας ἠνέγκαμεν. Ἐκεῖνοι τοὺς προφήτας ἀνέγνωσαν ἐκ πρώτης ἡλικίας καὶ τὸν προφητευθέντα ἐσταύρωσαν· ἡμεῖς οὐκ ἠκούσαμεν θείων λογίων καὶ τὸν προφητευθέντα προσεκυνήσαμεν. Διὰ τοῦτο ἄθλιοι, ὅτι τὰ πεμφθέντα αὐτοῖς ἀγαθὰ ἁρπαζόντων ἑτέρων καὶ πρὸς ἑαυτοὺς ἐπισπωμένων, αὐτοὶ διεκρούσαντο. Κἀκεῖνοι μὲν εἰς υἱοθεσίαν καλούμενοι πρὸς τὴν τῶν κυνῶν συγγένειαν ἐξέπεσον· ἡμεῖς δὲ κύνες ὄντες ἰσχύσαμεν διὰ τὴν τοῦ Θεοῦ χάριν ἀποθέσθαι τὴν προτέραν ἀλογίαν καὶ πρὸς τὴν τῶ υἱῶν ἀναβῆναι τιμήν. Πόθεν τοῦτο δῆλον; «Οὐκ ἔστι καλόν», φησί, «λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις», πρὸς τὴν Χαναναίαν ὁ Χριστὸς ἔλεγεν, ἐκείνους μὲν τέκνα καλῶν, κύνας δὲ τοὺς ἐξ ἐθνῶν. Ἀλλ' ὅρα πῶς ἀνεστράφη μετὰ ταῦτα ἡ τάξις, κἀκεῖνοι μὲν ἐγένοντο κύνες, τέκνα δὲ ἡμεῖς. «Βλέπετε τοὺς κύνας», Παῦλός φησι περὶ αὐτῶν, «βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν· ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή».

Εἶδες πῶς κύνες ἐγένοντο οἱ πρότερον ὄντες τέκνα; Βούλει μαθεῖν πῶς οἱ πρότερον ὄντες κύνες ἡμεῖς ἐγενόμεθα τέκνα; «Ὅσοι δὲ ἔλαβον αὐτόν», φησίν, «ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι». Οὐδὲν ἀθλιώτερον ἐκείνων, τῶν πανταχοῦ κατὰ τῆς ἑαυτῶν σωτηρίας τρεχόντων. Καὶ γὰρ ὅτε ἔδει τὸν νόμον τηρεῖν, κατεπάτησαν· καὶ νῦν ὅτε ἀναπέπαυται ὁ νόμος, τότε φιλονεικοῦσιν αὐτὸν τηρεῖν. Τί γένοιτ' ἂν αὐτῶν ἐλεεινότερον, οἳ μὴ τῇ παραβάσει τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῇ φυλακῇ τοῦ νόμου τὸν Θεὸν παροξύνουσι; Διὰ τοῦτο, φησί, «σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε»· οὐ τῷ παραβαίνειν τὰ νόμιμα μόνον, ἀλλὰ καὶ τῷ φυλάττειν ἐθέλειν ἀκαίρως. «Σκληροτράχηλοι»· καὶ καλῶς εἶπε, «σκληροτράχηλοι»· οὐ γὰρ ἤνεγκαν τὸν ζυγὸν τοῦ Χριστοῦ, καίτοι χρηστὸς ἦν καὶ οὐ-

12. Β' Κορ. 6,18. Ρωμ. 8,16–17 κ,ἄ.
13. Ματθ. 15,26.
14. Φιλιπ. 3,2–3.
15. Ἰω. 1,12.
16. Πράξ. 7,51.

πού δὲν εἴχαμε καμμιὰ συμμετοχὴ στὴ ρίζα κατωρθώσαμε νὰ παράγουμε καρπὸ εὐσέβειας. Ἐκεῖνοι ἀπὸ τὰ παιδικά τους ἀκόμα χρόνια μελέτησαν τοὺς προφῆτες, κι ὅμως σταύρωσαν ἐκεῖνον, γιὰ τὸν ὁποῖον μιλοῦσαν οἱ προφητεῖες, ἐνῶ ἐμεῖς δὲν ἀκούσαμε τὸν λόγο τοῦ Θεοῦ κι ὅμως προσκυνήσαμε ἐκεῖνον ποὺ προφήτευσαν οἱ προφῆτες. Γι' αὐτὸ καὶ εἶναι ἄθλιοι, γιατὶ ἀπέκρουσαν ὅλα ἐκεῖνα τὰ ἀγαθὰ ποὺ δόθηκαν σ' αὐτούς, καὶ μάλιστα τὰ ἀπέκρουσαν τὴν στιγμὴ ποὺ τὰ ἁρπάζουν ἄλλοι καὶ τὰ ἀποσποῦν πρὸς τὸ μέρος τους. Κι ἐνῶ ἐκεῖνοι κλήθηκαν νὰ γίνουν τέκνα τοῦ Θεοῦ, ξέπεσαν στὴν συγγένεια τῶν σκύλων, ἀντίθετα ἐμεῖς, ποὺ ἄλλοτε ἤμασταν σκυλιά, πετύχαμε μὲ τὴ χάρη τοῦ Θεοῦ ν' ἀποβάλουμε τὰ ζωώδη ἔνστικτά μας καὶ νὰ βαδίσουμε καὶ νὰ κατακτήσουμε τὴ χάρη καὶ τὴν τιμὴ τῆς υἱοθεσίας[12]. Κι ἀπὸ ποῦ γίνεται αὐτὸ φανερό; «Δὲν εἶναι σωστό», λέγει, νὰ πάρη κανεὶς τὸν ἄρτο τῶν τέκνων καὶ νὰ τὸν ρίξη στὰ σκυλάκια»[13]. Τὰ λόγια αὐτὰ εἶναι ἐκεῖνα ποὺ εἶπε ὁ Χριστὸς στὴ Χαναναία, ἀποκαλώντας τοὺς Ἰουδαίους τέκνα καὶ τοὺς ἐθνικοὺς σκυλιά. Ἀλλὰ πρόσεχε πῶς στὴ συνέχεια ἄλλαξε ἡ θέση τῶν πραγμάτων καὶ ἔτσι ἐκεῖνοι ὡδηγήθηκαν στὴ θέση τῶν σκύλων, ἐνῶ ἐμεῖς γίναμε τέκνα τοῦ Θεοῦ. Γι' αὐτοὺς καὶ ὁ Παῦλος λέγει· «προσέχετε ἀπὸ τοὺς σκύλους, προσέχετε ἀπὸ τοὺς κακοὺς ἐργάτες, προσέχετε ἀπὸ ἐκείνους ποὺ περιτέμνουν τὴ σάρκα· γιατὶ ἐμεῖς εἴμαστε ἡ ἀληθινὴ περιτομή»[14].

Εἶδες πῶς ἔγιναν σκυλιὰ ἐκεῖνοι ποὺ ἦταν στὴν ἀρχὴ τέκνα; Θέλεις νὰ μάθης πῶς ἐμεῖς, ποὺ πρῶτα ἤμασταν σκυλιά, γίναμε τέκνα τοῦ Θεοῦ; «Ὅσοι δέχθηκαν», λέγει, «αὐτὸν τοὺς ἔδωσε τὴν ἐξουσία νὰ γίνουν τέκνα τοῦ Θεοῦ»[15]. Τίποτε δὲν εἶναι ἀθλιώτερο ἀπὸ τοὺς Ἰουδαίους, ποὺ πάντοτε βαδίζουν ἀντίθετα πρὸς τὴ σωτηρία τους. Ὅταν δηλαδὴ ἔπρεπε νὰ τηροῦν τὸν νόμο, αὐτοὶ τὸν καταπάτησαν, ἐνῶ τώρα, ποὺ ὁ νόμος ἔπαψε νὰ ἰσχύη, κάμνουν τὸ πᾶν νὰ τὸν τηρήσουν. Τί θὰ μποροῦσε νὰ ὑπάρξη ἐλεεινότερο ἀπ' αὐτούς, οἱ ὁποῖοι ἐξοργίζουν τὸν Θεὸ ὄχι μόνο μὲ τὴν παράβαση τοῦ νόμου, ἀλλὰ καὶ μὲ τὴν τήρησή του; Γι' αὐτὸ λέγει, «σκληροτράχηλοι καὶ ἀπερίτμητοι στὴν καρδιά, πάντοτε σεῖς ἀντιτίθεσθε στὸ ἅγιο Πνεῦμα»[16]. Ὄχι μόνο παραβαίνετε τὰ νόμιμα, ἀλλὰ καὶ παράκαιρα θέλετε νὰ τὰ τηρῆτε. «Σκληροτράχηλοι»· σωστὰ εἶπε «σκληροτράχηλοι»· γιατὶ δὲ θέλησαν νὰ σηκώσουν στοὺς ὤμους

δὲν φορτικὸν εἶχεν οὔτε ἐπαχθές. «Μάθετε» γὰρ φησίν, «ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ»· καί, «ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, ὅτι ὁ ζυγός μου χρηστός ἐστι καὶ τὸ φορτίον μου ἐλαφρόν». Ἀλλ' ὅμως οὐκ ἤνεγκαν· διὰ τὴν σκηρότητα τοῦ αὐχένος· καὶ οὐ μόνον οὐκ ἤνεγκαν, ἀλλὰ καὶ συνέτριψαν καὶ διέρρηξαν. «Ἀπ' αἰῶνος» γὰρ φησί, «συνέτριψας τὸν ζυγόν σου, διέρρηξας τὸν δεσμόν σου». Οὐχὶ Παῦλος λέγει ταῦτα, ἀλλ' ὁ προφήτης βοᾷ, ζυγὸν καὶ δεσμὸν τὰ σύμβολα τῆς ἀρχῆς λέγων, ὅτι παρῃτήσαντο τὴν δεσποτείαν τοῦ Χριστοῦ λέγοντες· «ἡμεῖς οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα». Συνέτριψας τὸν ζυγόν, διέρρηξας τὸν δεσμόν, ἐξέβαλες σαυτὸν τῆς οὐρανίου βασιλείας καὶ ὑπέθηκας ἀνθρωπίναις ἀρχαῖς.

Σὺ δέ μοι σκόπει, πῶς ἀκριβῶς αὐτῶν ὁ προφήτης τὸ δυσήνιον ᾐνίξατο. Οὐ γὰρ εἶπεν, 'ἀπέθου τὸν ζυγόν', ἀλλὰ «συνέτριψας τὸν ζυγόν», ὅπερ σκιρτώντων ἀλόγων ἐστὶν ἁμάρτημα, ἀφηνιώντων, παραιτουμένων τὴν ἀρχήν. Ἀλλὰ πόθεν αὕτη γέγονεν ἡ σκληρότης; Ἀπὸ ἀδηφαγίας καὶ μέθης. Τίς τοῦτό φησιν; Αὐτὸς ὁ Μωϋσῆς· «ἔφαγεν Ἰσραὴλ καὶ ἐνεπλήσθη καὶ ἐλιπάνθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος». Καθάπερ γὰρ τὰ ἄλογα, ἐπειδὰν δαψιλοῦς ἀπολαύσῃ φάτνης, εἰς πολυσαρκίαν ἐκβάντα, φιλονεικότερα καὶ δυσκάθεκτα γίνεται καὶ οὔτε ζυγοῦ, οὔτε ἡνίας, οὔτε ἡνιόχου χειρὸς ἀνέχεται, οὕτω καὶ ὁ τῶν Ἰουδαίων δῆμος, ὑπὸ τῆς μέθης καὶ πολυσαρκίας εἰς κακίαν ἐσχάτην κατενεχθέντες, ἐσκίρτησαν καὶ οὐκ ἐδέξαντο τὸν ζυγὸν τοῦ Χριστοῦ, οὐδὲ τὸ ἄροτρον τῆς διδασκαλίας εἵλκυσαν. Ὅπερ οὖν καὶ ἄλλος προφήτης αἰνιττόμενος ἔλεγεν, «ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ»· ἕτερος δὲ αὐτὸν «μόσχον ἀδίδακτον» ἐκάλει. Τὰ δὲ τοιαῦτα ἄλογα, πρὸς ἐργασίαν οὐκ ὄντα ἐπιτήδεια, πρὸς σφαγὴν ἐπιτήδεια γίνεται· ὅπερ οὖν καὶ οὗτοι πεπόνθασι, καὶ πρὸς ἐργασίαν ἀχρήστους ἑαυτοὺς καταστήσαντες, πρὸς σφαγὴν ἐπιτήδειοι γεγόνασι. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· «τοὺς ἐχθρούς μου, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτῶν, ἀγάγετε ὧδε καὶ κατασφάξατε αὐτούς».

17. Ματθ. 11,29–30.
18. Ἰερ, 2,20.
19. Ἰω. 19,15.
20. Δευτ. 32,15.
21. Ὠσ. 4,16.
22. Ἰερ. 31,18.
23. Λουκᾶ 19,27.

τους τὸν ζυγὸ τοῦ Χριστοῦ, ἂν καὶ ἦταν χρηστὸς καὶ δὲν εἶχε τίποτε τὸ φορτικὸ καὶ δυσβάστακτο· γιατὶ λέγει, «μάθετε ἀπὸ μένα, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς στὴν καρδιά»· καί, «σηκῶστε τὸν ζυγό μου ἐπάνω σας, γιατὶ ὁ ζυγός μου εἶναι ἁπαλὸς καὶ τὸ φορτίο μου ἐλαφρό»[17]. Ἀλλ' ὅμως ἐξ αἰτίας τῆς σκληροτραχηλίας τους δὲν τὸν δέχθηκαν· καὶ ὄχι μόνο δὲν τὸν δέχθηκαν, ἀλλὰ καὶ τὸν συνέτριψαν καὶ τὸν κομμάτιασαν. Γιατὶ λέγει, «ἀπὸ πολὺ παλιὰ συνέτριψες τὸν ζυγό σου καὶ διέσπασες τὰ δεσμά σου»[18]. Καὶ δὲν τὰ λέγει αὐτὰ ὁ Παῦλος, ἀλλὰ τὸ βροντοφωνάζει ὁ προφήτης, ὀνομάζοντας «ζυγὸ» καὶ «δεσμὸ» τὰ σύμβολα τῆς βασιλικῆς ἐξουσίας, γιατὶ οἱ Ἰουδαῖοι ἀπαρνήθηκαν τὴν ἐξουσία τοῦ Χριστοῦ, λέγοντας, «ἐμεῖς δὲν ἔχομε ἄλλον βασιλέα, παρὰ τὸν Καίσαρα»[19]. Ναί, συνέτρεψες τὸν ζυγό, ἔσπασες τὸν δεσμό, ἀπέκλεισες τὸν ἑαυτό σου ἀπὸ τὴν οὐράνια βασιλεία καὶ τὸν ὑπέταξες στὶς κοσμικὲς ἐξουσίες.

Σὺ ὅμως σὲ παρακαλῶ πρόσεχε, μὲ πόση ἀκρίβεια ὁ προφήτης ὑπαινίχθηκε τὸν σκληρὸ χαρακτῆρα τους. Γιατὶ δὲν εἶπε, 'ἀπέθεσες τὸν ζυγό', ἀλλὰ «συνέτριψες τὸν ζυγό», πρᾶγμα ποὺ εἶναι βίαια ἐνέργεια τῶν ἀλόγων ζώων, ποὺ λακτίζουν καὶ ἀφηνιάζουν καὶ δὲν ὑπακούουν στὸν κύριό τους. Ἀλλ' ἀπὸ ποῦ προῆλθε ἡ σκληρότητα αὐτή; Ἀπὸ τὴ λαιμαργία καὶ τὴ μέθη. Ποιός τὸ λέγει αὐτό; Ὁ ἴδιος ὁ Μωϋσῆς· «ἔφαγε ὁ Ἰσραὴλ καὶ χόρτασε καὶ παχύνθηκε καὶ κλώτσησε ὁ ἀγαπημένος»[20]. Πραγματικά, ὅπως τὰ ἄλογα ζῶα, ἀφοῦ ἀπολαύσουν πλούσια τροφὴ στὸ παχνὶ καὶ παχύνουν, γίνονται πιὸ ἄγρια καὶ δυσκολοχαλίνωτα καὶ δὲν ἀνέχονται οὔτε ζυγὸ οὔτε χαλινάρια οὔτε τὸ χέρι τοῦ ἡνιόχου, ἔτσι ἀκριβῶς καὶ ὁ λαὸς τῶν Ἰουδαίων, ἀφοῦ ὡδηγήθηκε ἀπὸ τὴ μέθη τῆς πολυσαρκίας στὴν πιὸ χειρότερη κακία, κλώτσησε καὶ δὲν δέχθηκε τὸν ζυγὸ τοῦ Χριστοῦ, ἀλλ' οὔτε καὶ τὸ ἄροτρο τῆς διδασκαλίας του ἔσυρε. Αὐτὸ ἀκριβῶς ὑπαινισσόμενος καὶ ἕνας ἄλλος προφήτης ἔλεγε· «σὰν δαμάλα ἀφηνιασμένη ἀφηνίασε ὁ Ἰσραήλ»[21]. Ἄλλος πάλι τὸν ἀποκαλοῦσε «μόσχο ἀδίδακτο»[22]. Τὰ τετράποδα αὐτά, χωρὶς νὰ εἶναι κατάλληλα γιὰ ἐργασία, γίνονται κατάλληλα γιὰ σφαγή, πρᾶγμα ποὺ ἔπαθαν καὶ οἱ Ἰουδαῖοι, οἱ ὁποῖοι, ἀφοῦ κατέστησαν τοὺς ἑαυτούς τους ἄχρηστους γιὰ ἐργασία, ἔγιναν κατάλληλοι γιὰ σφαγή. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε· «τοὺς ἐχθρούς μου, ποὺ δὲ θέλησαν νὰ βασιλεύσω σ' αὐτούς, ὁδηγῆστε τους ἐδῶ καὶ κατασφάξετε τους»[23].

Τότε ἔδει σε νηστεύειν, ὦ Ἰουδαῖε, ὅτε ἡ μέθη ταῦτά σε εἰργάζετο τὰ δεινά, ὅτε ἀσέβειαν ἔτεκεν ἡ ἀδηφαγία, οὐχὶ νῦν· νῦν γὰρ ἄκαιρος ἡ νηστεία καὶ βδελυκτή. Τίς ταῦτά φησιν; Αὐτὸς Ἠσαΐας ὁ μεγαλοφώνως βοῶν· «οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην». Διά τί; Ὅτι «εἰς κρίσεις καὶ μάχας νηστεύετε καὶ τύπτετε πυγμαῖς τοὺς ὑποχειρίους». Εἰ δὲ ὅτε τοὺς συνδούλους ἔτυπτες, βδελυκτή σου ἦν ἡ νηστεία, ὅτε τὸν Δεσπότην κατέσφαξας, τότε σου προσδεκτὴ ἡ νηστεία γίνεται; Καὶ πῶς ἂν ἔχοι λόγον; Τὸν νηστεύοντα κατεσταλμένον εἶναι χρή, συντετριμμένον, τεταπεινωμένον, οὐχὶ μεθύειν ὑπὸ τῆς ὀργῆς· σὺ δὲ τύπτεις τοὺς συνδούλους; Τότε μὲν οὖν εἰς κρίσεις καὶ μάχας ἐνήστευον· νῦν δὲ εἰς ἀσελγείας καὶ τὴν ἐσχάτην ἀκολασίαν, γυμνοῖς τοῖς ποσὶν ἐπὶ τῆς ἀγορᾶς ὀρχούμενοι, καὶ ἡ μὲν ὑπόθεσις νηστευόντων, τὸ δὲ σχῆμα μεθυόντων. Ἄκουσον πῶς κελεύει νηστεύειν ὁ προφήτης· «ἁγιάσατε νηστείαν», φησίν· οὐκ εἶπε, 'πομπεύσατε νηστείαν'· «Κηρύξατε θεραπείαν, συναγάγετε πρεσβυτέρους». Οὗτοι δὲ χοροὺς μαλακῶν συναγαγόντες καὶ πολὺν πεπορνευμένων γυναικῶν συρφετόν, τὸ θέατρον ἅπαν καὶ τοὺς ἀπὸ τῆς σκηνῆς εἰς τὴν συναγωγὴν ἐπισύρουσι· θεάτρου γὰρ καὶ συναγωγῆς οὐδὲν τὸ μέσον. Καὶ οἶδα μὲν ὅτι τινὲς τόλμαν καταγινώσκουσι τοῦ λόγου, ὅτι εἶπον, θεάτρου καὶ συναγωγῆς οὐδὲν τὸ μέσον· ἐγὼ δὲ αὐτῶν τόλμαν καταγινώσκω, ἐὰν μὴ οὕτω νομίζωσιν. Εἰ μὲν γὰρ οἴκοθεν ἀποφαίνομαι, κατάγνωθι· εἰ δὲ τοῦ προφήτου λέγω τὰ ῥήματα, δέξαι τὴν ἀπόφασιν.

3. Οἶδα ὅτι πολλοὶ αἰδοῦνται Ἰουδαίους καὶ σεμνὴν νομίζουσιν εἶναι τὴν ἐκείνων πολιτείαν νῦν· δι' ὃ τὴν ὀλεθρίαν ὑπόληψιν πρόρριζον ἀνασπάσαι ἐπείγομαι. Εἶπον ὅτι θεάτρου ἡ συναγωγὴ οὐδὲν ἄμεινον διάκειται καὶ ἀπὸ τοῦ προφήτου παράγω τὴν μαρτυρίαν· οὐκ εἰσὶν Ἰουδαῖοι τῶν προφητῶν ἀξιοπιστότεροι. Τί οὖν ὁ προφήτης φησίν; «Ὄψις πόρνης ἐγένετό σοι· ἀπηναισχύντησας πρὸς

24. Ἡσ. 58,4–5.
25. Ἰω. 1,14.

Τότε ἔπρεπε, Ἰουδαῖε, νὰ νηστεύης, ὅταν ἡ μέθη σοῦ προξενοῦσε αὐτὰ τὰ κακά, ὅταν ἡ λαιμαργία γεννοῦσε ἀσέβεια καὶ ὄχι τώρα· γιατὶ τώρα ἡ νηστεία σου εἶναι παράκαιρη καὶ βδελυκτή. Ποιός τὰ λέγει αὐτά; Ὁ ἴδιος ὁ Ἠσαΐας, ποὺ μεγαλόφωνα κραυγάζει· «δὲ θέλησα ἐγὼ αὐτὴ τὴ νηστεία σου». Γιατί; Ἐπειδὴ «ἐκτρέπεσθε σὲ φιλονεικίες καὶ διαμάχες καὶ χτυπᾶτε μὲ γροθιὲς ἐκείνους ποὺς τοὺς ἔχετε κάτω ἀπὸ τὴν ἐξουσία σας»[24]. Ἂν λοιπὸν ἡ νηστεία σου ἦταν βδελυκτὴ τότε ποὺ ἔδερνες τοὺς συνδούλους σου, πῶς εἶναι δυνατὸ νὰ γίνη εὐπρόσδεκτη τώρα ποὺ κατέσφαξες τὸν Δεσπότη; Καὶ πῶς θὰ μποροῦσε νὰ γίνη αὐτό; Ἐκεῖνος ποὺ νηστεύει πρέπει νὰ εἶναι συνεσταλμένος, συντριμμένος καὶ ταπεινωμένος καὶ ὄχι νὰ μεθᾶ ἀπὸ ὀργή, καὶ σὺ χτυπᾶς τοὺς συνδούλους σου; Τότε λοιπὸν νήστευαν γιὰ λόγους διαμάχης καὶ φιλονεικίας καὶ τώρα νηστεύουν γιὰ λόγους κραιπάλης καὶ ἀκολασίας, χορεύοντας μὲ γυμνὰ τὰ πόδια στὴν πλατεῖα· κι ἐνῶ ἡ ὑπόθεση ἀφορᾶ ἀνθρώπους ποὺ νηστεύουν, ὅμως ἡ συμπεριφορά τους εἶναι ὅμοια μὲ ἐκείνη τῶν μεθυσμένων. Ἄκουσε λοιπὸν πῶς λέγει ὁ προφήτης νὰ νηστεύουμε· «ἁγιάσατε νηστεία», λέγει· δὲν εἶπε, 'πομπεύσατε νηστεία'. «Κηρύξατε θεραπεία, συγκεντρῶστε ὅλους τοὺς πρεσβυτέρους»[25]. Ἀλλ' αὐτοί, ἀφοῦ ὠργάνωσαν συμμορίες ἀπὸ μαλθακοὺς τύπους καὶ συγκέντρωσαν ἕνα μεγάλο συρφετὸ πορνευομένων γυναικῶν, ὁδηγοῦν ὅλο τὸ θέατρο καὶ τοὺς μίμους τῆς σκηνῆς στὴ συναγωγή. Γιατὶ μεταξὺ τοῦ θεάτρου καὶ τῆς συναγωγῆς δὲν ὑπάρχει καμμιὰ διαφορά. Καὶ γνωρίζω, ὅτι μερικοὶ θεωροῦν πολὺ τολμηρὸ τὸν λόγο αὐτὸ ποὺ εἶπα, ὅτι δηλαδὴ δὲν ὑπάρχει καμμιὰ διαφορὰ μεταξὺ θεάτρου καὶ συναγωγῆς, ἀλλὰ κι ἐγὼ τοὺς κατηγορῶ γιὰ τὴν τόλμη τους, ἂν βέβαια ἔχουν διαφορετικὴ γνώμη. Γιατί, ἂν αὐτὰ εἶναι δικά μου λόγια, τότε κατηγόρησέ με, ἂν ὅμως ἐπαναλαμβάνω τὰ λόγια τοῦ προφήτη, τότε δέξου τὴ γνώμη αὐτή.

3. Γνωρίζω, ὅτι εἶναι πολλοὶ ἐκεῖνοι ποὺ ἐκτιμοῦν τοὺς Ἰουδαίους καὶ νομίζουν ὅτι εἶναι σεμνὸς τώρα ὁ τρόπος ζωῆς τους· γι' αὐτὸ κι ἐγὼ βιάζομαι νὰ ξερριζώσω τὴν ὀλέθρια αὐτὴ γνώμη τους. Εἶπα, ὅτι ἡ συναγωγὴ δὲν βρίσκεται σὲ καλύτερη θέση ἀπὸ ἐκείνη τοῦ θεάτρου, καὶ τὸ ἐπιβεβαιώνω αὐτὸ ἀπὸ τὰ λόγια τοῦ προφήτη· δὲν εἶναι οἱ Ἰουδαῖοι πιὸ ἀξιόπιστοι ἀπὸ τοὺς προφῆτες. Τί λέγει λοιπὸν ὁ προφήτης; «Ἔλαβες τὴ μορφὴ τῆς πόρνης καὶ ἔγινες

πάντας»· ἔνθα δὲ πόρνη ἔστηκεν πορνεῖόν ἐστιν ὁ τόπος· μᾶλλον δὲ οὐχὶ πορνεῖον καὶ θέατρον μόνον ἐστὶν ἡ συναγωγή, ἀλλὰ καὶ σπήλαιον λῃστῶν καὶ καταγώγιον θηρίων· «σπήλαιον» γὰρ φησίν, «ὑαίνης ἐγένετό μοι ὁ οἶκος ὑμῶν»· οὐδὲ ἁπλῶς θηρίου, ἀλλὰ θηρίου ἀκαθάρτου. Καὶ πάλιν, «ἀφῆκα τὸν οἶκόν μου, ἐγκαταλέλοιπα τὴν κληρονομίαν μου». Ὅταν δὲ ὁ Θεὸς ἀφῇ, ποία λοιπὸν σωτηρίας ἐλπίς; Ὅταν ὁ Θεὸς ἀφῇ, δαιμόνων κατοικητήριον γίνεται ἐκεῖνο τὸ χωρίον. Ἀλλὰ πάντως ἐροῦσιν, ὅτι καὶ αὐτοὶ τὸν Θεὸν προσκυνοῦσιν· ἀλλὰ μὴ γένοιτο τοῦτο εἰπεῖν. Οὐδεὶς Ἰουδαῖος προσκυνεῖ τὸν Θεόν. Τίς ταῦτά φησιν; Ὁ Υἱὸς τοῦ Θεοῦ. «Εἰ τὸν Πατέρα γάρ μου ᾔδειτε», φησί, «κἀμὲ ᾔδειτε ἄν· οὔτε δὲ ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου οἴδατε». Ποίαν ταύτης ἀξιοπιστοτέραν μαρτυρίαν παραγάγω; Εἰ τοίνυν τὸν Πατέρα ἀγνοοῦσι, τὸν Υἱὸν ἐσταύρωσαν, τοῦ Πνεύματος τὴν βοήθειαν ἀπεκρούσαντο, τίς οὐκ ἂν θαρρῶν ἀποφήνηται, τῶν δαιμόνων καταγώγιον εἶναι τὸν τόπον; Οὐ προσκυνεῖται Θεὸς ἐκεῖ, μὴ γένοιτο· ἀλλ' εἰδωλολατρίας ἐκεῖνο τὸ χωρίον λοιπόν ἐστιν· ἀλλ' ὅμως τινὲς ὡς σεμνοῖς ἐκείνοις τοῖς τόποις προσέχουσι.

Καὶ ταῦτα οὐχὶ στοχαζόμενος λέγω, ἀλλ' αὐτῇ τῇ πείρᾳ μαθών. Καὶ γὰρ πρὸ τούτων τῶν τριῶν ἡμερῶν (πιστεύσατε, οὐ ψεύδομαι) γυναῖκά τινα εὐσχήμονα καὶ ἐλευθέραν, κοσμίαν καὶ πιστήν, εἶδον ἀναγκαζομένην ὑπό τινος μιαροῦ καὶ ἀναισθήτου, δοκοῦντος εἶναι Χριστιανοῦ (οὐ γὰρ ἂν εἴποιμι τὸν τὰ τοιαῦτα τολμῶντα Χριστιανὸν εἰλικρινῆ), εἰς τὰ τῶν Ἑβραίων εἰσελθεῖν, κἀκεῖ παρασχεῖν ὅρκον περὶ τῶν ἀμφισβητουμένων αὐτῷ πραγμάτων· ὡς δὲ προσελθοῦσα ἡ γυνὴ πρὸς συμμαχίαν ἐκάλει καὶ τὴν ἀνομίαν κωλῦσαι ἠξίου (οὐ γὰρ εἶναι θεμιτὸν αὐτῇ τῶν θείων μετασχούσῃ μυστηρίων, πρὸς ἐκεῖνον τὸν τόπον ἐλθεῖν), ἐμπρησθεὶς οὖν ὑπὸ ζήλου καὶ πυρωθεὶς καὶ διαναστάς, ταύτην μὲν οὐκ εἴασα λοιπὸν ἐπὶ τὴν παρανομίαν ἑλκυσθῆναι ἐκείνην, ἐξήρπασα δὲ τῆς ἀδίκου ταύτης ἀπαγωγῆς· ἐπεὶ δὲ τὸν ἕλκοντα ἠρόμην εἰ Χριστιανὸς εἴη, κἀκεῖνος ὡμολόγησεν, ἐπικειμένην σφοδρῶς, ἀναισθησίαν ἐγκα-

26. Ἱερ. 3,3.
27. Ἱερ. 7,11.
28. Ἱερ. 12,7.
29. Ἰω. 8,19.

ἀδιάντροπη πρὸς ὅλους»[26]· κι ὅπου στάθηκε ἡ πόρνη μεταβλήθηκε ὁ τόπος σὲ πορνεῖο. Ἢ καλύτερα δὲν εἶναι μόνο πορνεῖο καὶ θέατρο ἡ συναγωγή, ἀλλὰ καὶ σπήλαιο ληστῶν καὶ καταφύγιο θηρίων· γιατὶ λέγει, «σπήλαιο ὕαινας ἔγινε ὁ οἶκος σας»[27]· καὶ ἔγινε ὄχι ἁπλῶς καταφύγιο θηρίου, ἀλλὰ θηρίου ἀκαθάρτου. Καὶ ἀλλοῦ πάλι λέγει· «ἄφησα τὸν οἶκο μου, ἐγκατέλειψα τὴν κληρονομία μου»[28]. Κι ὅταν ὁ Θεὸς ἐγκαταλείψη κάποιον, ποιά τότε ἐλπίδα σωτηρίας ἀπομένει; Ὅταν ὁ Θεὸς ἐγκαταλείψη κάποιον τόπο, τότε γίνεται αὐτὸς κατοικητήριο δαιμόνων. Καὶ βέβαια θὰ ἰσχυρισθοῦν, ὅτι καὶ αὐτοὶ προσκυνοῦν τὸν Θεό· ἀλλ' αὐτὸ νὰ μὴ τὸ πῆ κανένας· γιατὶ κανένας Ἰουδαῖος δὲν προσκυνεῖ τὸν Θεό. Ποιός τὰ λέγει αὐτά; Ὁ Υἱὸς τοῦ Θεοῦ. «Ἐὰν γνωρίζατε», λέγει, «τὸν Πατέρα μου, θὰ γνωρίζατε καὶ ἐμένα· ἀλλ' οὔτε ἐμένα γνωρίζετε, οὔτε τὸν Πατέρα μου»[29]. Ποιά μαρτυρία πιὸ ἀξιόπιστη ἀπ' αὐτὴν θέλετε νὰ προσκομίσω; Ἐὰν λοιπὸν ἀγνοοῦν τὸν Πατέρα, σταύρωσαν τὸν Υἱὸ καὶ ἀπέκρουσαν τοῦ Πνεύματος τὴν βοήθεια, ποιός δὲν θὰ πῆ μὲ θάρρος, ὅτι ἡ συναγωγή τους εἶναι κατοικητήριο δαιμόνων; Δὲν προσκυνεῖται ἐκεῖ ὁ Θεός, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ὁ τόπος ἐκεῖνος εἶναι τόπος εἰδωλολατρίας· κι ὅμως μερικοὶ προσέχουν σὰν ἱεροὺς τοὺς τόπους ἐκείνους.

Κι ὅλα αὐτὰ δὲν τὰ λέγω στοχαζόμενος, ἀλλὰ τὰ ἔμαθα ἀπὸ τὴν ἴδια τὴν πεῖρα. Πραγματικὰ πρὶν ἀπὸ τρεῖς μέρες (πιστέψτε με, δὲν σᾶς λέγω ψέματα), εἶδα μιὰ γυναῖκα σεμνὴ καὶ ἐλεύθερη, κόσμια καὶ πιστή, νὰ ἐξαναγκάζεται ἀπὸ κάποιον μιαρὸ καὶ ἀναίσθητο, ποὺ νόμιζε ὅτι ἦταν Χριστιανὸς (γιατὶ δὲν θὰ μποροῦσα νὰ ὀνομάσω πραγματικὸ Χριστιανὸ ἐκεῖνον ποὺ τολμᾶ τέτοια πράγματα), νὰ εἰσέλθη στὴ συναγωγὴ τῶν Ἑβραίων καὶ νὰ δώση ἐκεῖ ὅρκο γιὰ τὴν ἀλήθεια τῶν πραγμάτων, ποὺ καὶ ὁ ἴδιος ἀμφισβητεῖ. Μόλις ἡ γυναῖκα ἔφθασε ἐκεῖ ἄρχισε νὰ καλῆ σὲ βοήθεια, ζητώντας νὰ τὴν προστατεύσουν ἀπὸ τὴν ἀνομία (γιατὶ δὲν θεωροῦσε σωστό, αὐτὴ ποὺ μετεῖχε στὰ θεῖα μυστήρια, νὰ πλησιάση τὸν χῶρο ἐκεῖνον)· ἀφοῦ λοιπὸν πυρπολήθηκα καὶ ἄναψα ἀπὸ τὸν ζῆλο, σηκώθηκα, τὴν ἅρπαξα ἀπὸ τὴν ἄδικη ἐκείνη συναγωγὴ καὶ δὲν τὴν ἄφησα στὸ ἑξῆς νὰ παρασυρθῆ στὴν παρανομία αὐτή. Κι ὅταν ἐρώτησα αὐτόν, ποὺ τὴν τραβοῦσε ἐκεῖ μὲ τὴ βία, ἂν εἶναι Χριστιανός, καὶ ἐκεῖνος ὡμολόγησε ὅτι εἶναι, μὲ σφοδρότητα τοῦ ἐπιτέθηκα, κατηγορώ-

λῶν καὶ τὴν ἐσχάτην ἄνοιαν καὶ ὄνων οὐδὲν ἄμεινον διακεῖσθαι ἔλεγον, εἰ τὸν Χριστὸν λέγων προσκυνεῖν, ἐπὶ τὰ σπήλαια τῶν Ἰουδαίων, τῶν σταυρωσάντων αὐτόν, ἕλκοι τινά· καὶ μακρὸν κατέτεινα πρὸς αὐτὸν λόγον, πρῶτον μέν, ὅτι οὐ θέμις ὅλως ὀμνύναι, οὐδὲ ἀνάγκην ἐπάγειν ὅρκων, διδάσκων ἀπὸ τῶν θείων εὐαγγελίων, ἔπειτα, ὅτι οὐ μόνον οὐχὶ πιστὴν καὶ μεμυημένην, ἀλλ' οὐδὲ ἀμύητόν τινα πρὸς ταύτην ἕλκειν ἐχρῆν τὴν ἀνάγκην. Ὡς δὲ ἐξέβαλον διὰ πολλῶν καὶ μακρῶν λόγων τὴν πεπλανωμένην ὑπόνοιαν τῆς ἐκείνου ψυχῆς, ἠρώτων τὴν αἰτίαν, δι' ἣν τὴν Ἐκκλησίαν ἀφείς, ἐπὶ τὰ τῶν Ἑβραίων εἷλκε συνέδρια. Ὁ δὲ πολλοὺς ἔφη πρὸς αὐτὸν εἰρηκέναι, φοβερωτέρους τοὺς ἐκεῖ γινομένους ὅρκους εἶναι. Ἐπὶ τούτοις ἐστέναξα καὶ ἐνεπρήσθην ὑπὸ θυμοῦ καὶ μετὰ ταῦτα ἐγέλων πάλιν. Τὴν μὲν γὰρ τοῦ διαβόλου κακουργίαν ὁρῶν, ἐστέναζον, οἷα τοὺς ἀνθρώπους ἀναπείθειν ἴσχυσε· τὴν δὲ ῥᾳθυμίαν τῶν ἀπατωμένων λογιζόμενος, ἐνεπιμπράμην ὑπὸ τοῦ θυμοῦ· καὶ τὴν ἄνοιαν πάλιν τῶν ἀπατηθέντων, ὅση καὶ ἡλίκη τις ἦν σκοπῶν, ἐγέλων.

Ταῦτα δὲ εἶπον πρὸς ὑμᾶς καὶ διηγησάμην, ἐπειδὴ πρὸς τοὺς τὰ τοιαῦτα καὶ ποιοῦντας καὶ πάσχοντας ἀπανθρώπους καὶ ἀναλγήτως διάκεισθε· κἂν ἴδητέ τινα τῶν ἀδελφῶν τῶν ὑμετέρων εἰς παρανομίας τοιαύτας ἐμπίπτοντα, ἀλλοτρίαν, οὐκ οἰκείαν ἡγεῖσθε τὴν συμφορὰν εἶναι, καὶ πρὸς τοὺς ἐγκαλοῦντας ἀπολογεῖσθαι νομίζετε, λέγοντες· ἐμοὶ γάρ τί μέλλει; τίς δέ μοι κοινὸς πρὸς ἐκεῖνόν ἐστι λόγος; ἐσχάτης μισανθρωπίας καὶ σατανικῆς ὠμότητος φθεγγόμενοι ῥήματα. Τί λέγεις, ἄνθρωπος ὢν καὶ τῆς αὐτῆς κοινωνῶν φύσεως, μᾶλλον δέ, εἰ δεῖ φύσεως κοινωνίαν εἰπεῖν, κεφαλὴν μίαν ἔχων τὸν Χριστόν, τολμᾷς εἰπεῖν, ὅτι οὐδέν σοι κοινόν ἐστι πρὸς τὰ μέλη τὰ σά; Πῶς οὖν τὸν Χριστὸν ὁμολογεῖς σὺ κεφαλὴν εἶναι τῆς Ἐκκλησίας; Καὶ γὰρ ἡ κεφαλὴ πάντα τὰ μέλη συνάπτειν πέφυκε, καὶ πρὸς ἑαυτὰ μετὰ ἀκριβείας ἐπιστρέφειν τε καὶ συνδεῖν. Εἰ μηδὲν κοινὸν ἔχεις πρὸς τὸ μέλος σου, οὐδὲ πρὸς τὸν ἀδελφόν σου ἔχεις τι κοινόν, οὐδὲ κεφαλὴν ἔχεις τὸν Χριστόν. Ὡς παιδία μικρὰ φοβοῦσιν ὑμᾶς Ἰουδαῖοι καὶ οὐκ αἰσθάνεσθε. Καθάπερ γὰρ τοῖς

ντας τον σὰν ἀσυνείδητο καὶ τρελλό· καὶ τοῦ ἔλεγα ὅτι ἡ συμπεριφορά του δὲν εἶναι καλύτερη ἀπὸ ἐκείνην τοῦ ὄνου, γιατί, ἐνῶ λέγει ὅτι προσκυνεῖ τὸν Χριστό, σύρει κάποιον μὲ τὴ βία στὰ σπήλαια τῶν Ἰουδαίων, ποὺ σταύρωσαν αὐτόν. Καὶ γιὰ ἀρκετὴ ὥρα τοῦ μιλοῦσα, λέγοντάς του κατὰ πρῶτον, ὅτι βάσει τῶν ἱερῶν εὐαγγελίων δὲν ἐπιτρέπεται καθόλου νὰ ὁρκίζεται, ἀλλ' οὔτε καὶ ν' ἀπαιτῇ ἀπὸ ἄλλον ὅρκους. Ἀφοῦ λοιπὸν μὲ τὶς πολλὲς καὶ μακρὲς συμβουλές μου ἀπομάκρυνα ἀπὸ τὴν ψυχή του τὴν πλάνη, ζήτησα νὰ μάθω τὸν λόγο, γιὰ τὸν ὁποῖο ἐγκατέλειψε τὴν Ἐκκλησία καὶ ὡδηγοῦσε ἄλλους στὶς ἑβραϊκὲς συναγωγές. Καὶ αὐτὸς μοῦ εἶπε, ὅτι πολλοὶ τοῦ εἶχαν πεῖ, ὅτι οἱ ὅρκοι ποὺ δίνονται ἐκεῖ εἶναι πολὺ πιὸ φοβεροί. Ἀκούγοντας αὐτὰ ἀναστέναξα καὶ φούσκωσα ἀπὸ θυμό, στὴ συνέχεια ὅμως γελοῦσα. Βλέποντας δηλαδὴ τὴν κακουργία τοῦ διαβόλου, ποὺ μὲ τόση εὐκολία πείθει τοὺς ἀνθρώπους, στέναξα, ἀναλογιζόμενος ὅμως τὴν ἀδιαφορία τῶν ἀπατωμένων, φούσκωσα ἀπὸ θυμό· καὶ πάλι, σκεπτόμενος τὸ μέγεθος τῆς ἀνοησίας τῶν ἐξαπατηθέντων, γελοῦσα.

Ὅλα αὐτὰ σᾶς τὰ εἶπα καὶ σᾶς τὰ διηγήθηκα, ἐπειδὴ δείχνετε ἀπανθρωπιὰ καὶ ἀναισθησία πρὸς ἐκείνους ποὺ πράττουν ἢ καὶ παθαίνουν αὐτά. Κι ἂν δῆτε κάποιον ἀδελφό σας νὰ ἐμπλέκεται σὲ τέτοιου εἴδους παρανομίες, θεωρεῖτε ξένη τὴ συμφορὰ αὐτὴ κι ὄχι δική σας, καὶ νομίζετε ὅτι σᾶς ἀρκεῖ ἡ δικαιολογία πρὸς ἐκείνους ποὺ σᾶς κατηγοροῦν, λέγοντας, 'τί μὲ ἐνδιαφέρει ἐμένα; ποιά σχέση ἔχω ἐγὼ μὲ ἐκεῖνον; Τὰ λόγια σας αὐτὰ εἶναι χειρότερα ἀπὸ κάθε μισανθρωπία καὶ σατανικὴ σκληρότητα. Τί λές; εἶσαι ἄνθρωπος καὶ κοινωνὸς τῆς ἴδιας φύσεως, ἢ καλύτερα, ἂν πρέπει νὰ μιλήσουμε γιὰ τὴν κοινωνία τῆς φύσεως, ἐνῶ ἔχεις μαζὶ μὲ τοὺς ἄλλους μία κεφαλή, τὸν Χριστό, τολμᾶς νὰ λὲς ὅτι δὲν ἔχεις τίποτε τὸ κοινὸ πρὸς τὰ μέλη σου; Πῶς λοιπὸν ὁμολογεῖς τὸν Χριστὸ ὅτι εἶναι ἡ κεφαλὴ τῆς Ἐκκλησίας; Γιατὶ ἡ κεφαλὴ ἐκ φύσεως συνδέει ὅλα τὰ μέλη τοῦ σώματος, καθορίζοντας τὶς σχέσεις καὶ τοὺς συνδέσμους μεταξύ τους. Ἂν λοιπὸν δὲν ἔχῃς τίποτε τὸ κοινὸ πρὸς τὸ μέλος σου, οὔτε καὶ πρὸς τὸν ἀδελφό σου ἔχεις κάτι τὸ κοινό, καὶ ἄρα δὲν ἔχεις οὔτε τὸν Χριστὸ κεφαλή. Σᾶς φοβίζουν σὰν τὰ μικρὰ παιδιὰ οἱ Ἰουδαῖοι καὶ δὲν τὸ καταλαβαίνετε. Ὅπως ἀκριβῶς δηλαδὴ πολλοὶ ἀπὸ τοὺς μιαροὺς ὑπηρέτες προκαλοῦν πολὺ γέλιο στὰ παιδιὰ δεί-

παιδίοις ἐκείνοις προσωπεῖα δεικνύντες φοβερὰ καὶ καταγέλαστα τῶν μιαρῶν οἰκετῶν πολλοὶ (οὐ γάρ ἐστι φύσει φοβερά, ἀλλὰ διὰ τὸ εὐτελὲς τῆς διανοίας τοιαῦτα φαίνεται) πολὺν κινοῦσι γέλωτα, οὕτω δὴ καὶ τοὺς ἀτελεστέρους τῶν Χριστιανῶν μορμολύττονται Ἰουδαῖοι. Πῶς γὰρ τὰ παρ' αὐτοῖς φοβερά, τὰ πολλῆς αἰσχύνης καὶ γέλωτος γέμοντα, τὰ τῶν προσκεκρουκότων, τὰ τῶν ἠτιμωμένων, τὰ τῶν καταδίκων;

4. Ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλ' ὄντως φοβερὰ καὶ φρίκης ἀνάμεστα. Ἔνθα γὰρ Θεός ἐστι ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχων, οὗτος φοβερὸς ὁ τόπος· ἔνθα μυρίοι περὶ κολάσεων λόγοι, περὶ τῶν πυρίνων ποταμῶν, περὶ τοῦ σκώληκος τοῦ ἰοβόλου, περὶ τῶν δεσμῶν τῶν ἀρρήκτων, περὶ τοῦ σκότους τοῦ ἐξωτέρου. Ἐκεῖνοι δὲ τούτων μὲν οὐδὲν οὐδ' ὄναρ ἴσασι, τῇ γαστρὶ ζῶντες, πρὸς τὰ παρόντα κεχηνότες, ὑῶν καὶ τράγων οὐδὲν ἄμεινον διακείμενοι, κατὰ τὸν τῆς ἀσελγείας λόγον καὶ τὴν τῆς ἀδηφαγίας ὑπερβολήν. Ἓν δὲ ἐπίστανται μόνον, γαστρίζεσθαι καὶ μεθύειν, ὑπὲρ ὀρχηστῶν κατακόπτεσθαι, ὑπὲρ ἡνιόχων τραυματίζεσθαι. Ταῦτα οὖν, εἰπέ μοι, σεμνὰ καὶ φοβερά; Καὶ τίς ἂν τοῦτο εἴποι; Πόθεν οὖν ἡμῖν ἔδοξαν εἶναι φοβερά, πλὴν εἰ μὴ καὶ τοὺς ἠτιμωμένους τῶν οἰκετῶν, καὶ τοὺς ἀπαρρησιάστους, καὶ τῆς δεσποτικῆς οἰκίας ἐκπεσόντας, φοβερούς τις εἶναι λέγοι τοῖς εὐδοκιμοῦσι καὶ παρρησίαν ἔχουσιν; Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἐπεὶ μηδὲ πανδοχεῖα τῶν βασιλικῶν αὐλῶν σεμνότερα, μᾶλλον δὲ καὶ πανδοχείου παντὸς ἀτιμότερον τὸ τῆς συναγωγῆς χωρίον ἐστίν. Οὐ γὰρ ληστῶν οὐδὲ καπήλων ἁπλῶς, ἀλλὰ δαιμόνων ἐστὶ καταγώγιον, μᾶλλον δὲ οὐχ αἱ συναγωγαὶ μόνον, ἀλλὰ καὶ αὐταὶ αἱ ψυχαὶ τῶν Ἰουδαίων· καὶ τοῦτο πρὸς τῷ τέλει τοῦ λόγου δεῖξαι πειράσομαι.

Παρακαλῶ τοίνυν ἡμᾶς μνημονεύειν ταύτης μάλιστα τῆς διαλέξεως. Οὐ γὰρ πρὸς ἐπίδειξιν, οὐδὲ κρότους λέγομεν νῦν, ἀλλὰ πρὸς θεραπείαν τῶν ὑμετέρων ψυχῶν. Τίς γὰρ ἔτι λείπεται λόγος ὑμῖν, ὅταν, τοσούτων ἰατρῶν ὄντων, ὦσί τινες νοσοῦντες; Δώδεκα

30. Ματθ. 10,28. 22,13.

χνοντας σ' αὐτὰ προσωπίδες φοβερὲς καὶ ἀστεῖες (γιατὶ ἀπὸ τὴ φύση τους δὲν εἶναι φοβερές, ἀλλὰ φαίνονται ἔτσι λόγω τῆς περιωρισμένης ἀντιλήψεώς τους), ἔτσι λοιπὸν καὶ οἱ Ἰουδαῖοι εἶναι τὰ φόβητρα γιὰ τοὺς ἀδύνατους πνευματικὰ Χριστιανούς. Γιατί, πῶς εἶναι δυνατὸ νὰ εἶναι φοβερὰ τὰ δικά τους, ποὺ εἶναι γεμᾶτα ἀπὸ πολλὴ αἰσχύνη καὶ γέλωτα, ἐκείνων ποὺ ἦρθαν σὲ σύγκρουση μὲ τὸ Θεό, ἐκείνων ποὺ ἔχουν ἀτιμασθῆ καὶ καταδικασθῆ;

4. Τὰ δικά μας ὅμως ἱερὰ δὲν εἶναι τέτοια, ἀλλ' εἶναι πραγματικὰ φοβερὰ καὶ γεμᾶτα ἀπὸ φρίκη. Γιατί, ὅπου ὁ Θεὸς εἶναι τῆς ζωῆς καὶ τοῦ θανάτου ὁ ἐξουσιαστής, ἐκεῖνος ὁ τόπος εἶναι φοβερός· ὅπου ἀκούονται ἄπειροι λόγοι γιὰ κολάσεις ἀτελεύτητες, γιὰ ποταμοὺς πύρινους, γιὰ τὸ φαρμεκερὸ σκουλήκι, γιὰ τὰ δεσμὰ τὰ ἄρρηκτα, γιὰ τὸ σκοτάδι τὸ ἐξώτερο[30]. Φυσικὰ ἐκεῖνοι δὲν γνωρίζουν τίποτε ἀπ' ὅλα αὐτὰ οὔτε κατ' ὄνειρο, ἀφοῦ ζοῦν γιὰ τὴν κοιλιά τους, εἶναι ἀπορροφημένοι ἀπὸ τὰ παρόντα ἀγαθά, μὴ βρισκόμενοι σὲ καλύτερη κατάσταση ἀπὸ τοὺς χοίρους καὶ τοὺς τράγους, ὡς πρὸς τὴν ἀκολασία καὶ τὴν ὑπέρμετρη λαιμαργία. Ἕνα μόνο γνωρίζουν, νὰ τρώγουν δηλαδὴ καὶ νὰ μεθοῦν, νὰ μάχωνται γιὰ τοὺς μίμους καὶ νὰ τραυματίζωνται γιὰ τοὺς ἁμαξηλάτες τῶν ἱπποδρομίων. Πές μου λοιπόν, εἶναι αὐτὰ σεμνὰ καὶ φοβερά; Καὶ ποιός θὰ μποροῦσε νὰ τὸ πῆ αὐτό; Ἀπὸ ποῦ λοιπὸν μᾶς φάνηκαν ὅτι εἶναι φοβερά, ἐκτὸς ἐὰν βέβαια κάποιος λέγη, ὅτι οἱ ἄξιοι καταφρονήσεως, οἱ στερημένοι ἐλευθερίας καὶ διωγμένοι ἀπὸ τὸ σπίτι τοῦ κυρίου δοῦλοι, εἶναι φοβεροὶ γιὰ τοὺς δούλους ἐκείνους ποὺ εὐτυχοῦν καὶ ἔχουν τὴν εὔνοια τοῦ κυρίου; Ἀλλὰ δὲν εἶναι τὰ πράγματα ἔτσι, δὲν εἶναι· γιατὶ οὔτε τὰ πανδοχεῖα εἶναι σεμνότερα ἀπὸ τὰ βασιλικὰ παλάτια, ἢ καλύτερα κι ἀπὸ τὸ τελευταῖο πανδοχεῖο εἶ-ναι χειρότερη ἡ ἑβραϊκὴ συναγωγή. Γιατὶ αὐτὴ δὲν εἶναι ἁπλῶς καταφύγιο ληστῶν καὶ καπήλων, ἀλλὰ καὶ τῶν δαιμόνων· ἢ καλύτερα ὄχι μόνο οἱ συναγωγὲς τῶν Ἑβραίων, ἀλλὰ καὶ οἱ ἴδιες οἱ ψυχές τους, πρᾶγμα ποὺ θὰ προσπαθήσω νὰ τὸ ἀποδείξω στὸ τέλος τοῦ λόγου μου.

Σᾶς παρακαλῶ λοιπὸν νὰ θυμᾶσθε πρὸ πάντων τὴν ὁμιλία μου αὐτή. Γιατὶ δὲν τὴν κάμνω γιὰ ἐπίδειξη οὔτε γιὰ ν' ἀποσπάσω χειροκροτήματα, ἀλλὰ γιὰ τὴν θεραπεία τῶν ψυχῶν σας. Γιατὶ ποιά δικαιολογία θὰ εἶχα, ὅταν, ἐνῶ ὑπάρχουν τόσοι ἰατροί, βρίσκονται μερικοὶ ποὺ νοσοῦν ἀκόμα; Δώδεκα ἦταν οἱ Ἀπόστολοι καὶ προσ-

ἦσαν οἱ ἀπόστολοι καὶ τὴν οἰκουμένην ἐπεσπάσαντο· τὸ πλέον τῆς πόλεως Χριστιανὸν καὶ ἔτι μὴν νοσοῦσί τινες Ἰουδαϊσμόν. Καὶ ποίαν ἀπολογίαν ἔχοιμεν ἂν ἡμεῖς οἱ ὑγιαίνοντες; Ἄξιοι μὲν γὰρ ἐγκλημάτων κἀκεῖνοι οἱ νοσοῦντες· οὐ μὴν οὐδὲ ἡμεῖς ἀπηλλάγμεθα κατηγορίας, περιορῶντες αὐτοὺς ἐπὶ τῆς ἀρρωστίας. Ἀμήχανον γὰρ ἦν, σπουδῆς πολλῆς παρ' ἡμῶν ἀπολαύοντας, μένειν ἐπὶ τῆς ἀσθενείας ἐκείνους. Διὰ τοῦτο προλαβὼν λέγω νῦν ταῦτα, ἵνα ἕκαστος ὑμῶν ἐπισπάσηται τὸν ἀδελφόν, κἂν ἀνάγκην ἐπιθεῖναι δέοι, κἂν βίαν ποιῆσαι, κἂν ὑβρίσαι, κἂν φιλονεικῆσαι, πάντα ποίησον, ὥστε ἐξελέσθαι αὐτὸν τῆς τοῦ διαβόλου παγίδος καὶ τῆς κοινωνίας ἀπαλλάξαι τῶν χριστοκτόνων. Ἐπὶ τῆς ἀγορᾶς εἴ τινα εἶδες ἀπαγόμενον, εἰπέ μοι, δικαίᾳ ψήφῳ καταδικασθέντα, εἶτα κύριος ἦς ἀφαρπάσαι τῶν τοῦ δημίου χειρῶν, οὐκ ἂν ἅπαντα ἔπραξας, ὥστε αὐτὸν ἀπαλλάξαι τῆς ἀπαγωγῆς; Τὸν ἀδελφὸν νῦν ὁρᾷς τὸν σόν οὐχ ὑπὸ τοῦ δημίου, ἀλλὰ ὑπὸ τοῦ διαβόλου πρὸς τὸ βάραθρον τῆς ἀπωλείας ἑλκόμενον ἀδίκως καὶ ἀνοσίως καὶ οὐδὲ συμβολὴν προέσθαι ὑπομένῃς, ὥστε αὐτὸν ἐξελέσθαι τῆς παρανομίας ἐκείνης Καὶ ποίας ἂν τύχοις συγγνώμης;

Ἀλλ' ἰσχυρότερός σου καὶ δυνατώτερός ἐστιν. Ἐμοὶ αὐτὸν κατάστησον· αἱρήσομαι τὴν κεφαλὴν ἀποθέσθαι μᾶλλον, ἢ τῶν ἱερῶν αὐτὸν ἀφεῖναι ἐπιβαίνειν προθύρων, ἂν φιλονεικῇ καὶ τοῖς αὐτοῖς ἐπιμένῃ. Τί γάρ σοι κοινὸν μετὰ τῆς ἐλευθέρας, μετὰ τῆς ἄνω Ἰερουσαλήμ; Εἵλου τὴν κάτω· δούλευε μετ' ἐκείνης· καὶ γὰρ καὶ αὕτη δουλεύει μετὰ τῶν τέκνων αὐτῆς, κατὰ τὸν τοῦ Ἀποστόλου λόγον. Νηστεύεις μετὰ Ἰουδαίων; Οὐκοῦν ἀπόθου καὶ τὰ ὑποδήματα μετὰ Ἰουδαίων καὶ γυμνοῖς βάδιζε τοῖς ποσὶν ἐπὶ τῆς ἀγορᾶς καὶ κοινώνει τῆς ἀσχημοσύνης αὐτοῖς καὶ τοῦ γέλωτος. Ἀλλ' οὐκ ἂν ἕλοιο· αἰσχύνῃ γὰρ καὶ ἐρυθριᾷς. Εἶτα σχήματος μὲν αὐτοῖς κοινωνῆσαι αἰσχύνῃ, ἀσεβείας δὲ κοινωνῶν, οὐκ αἰσχύνῃ; Καὶ ποίαν ἕξεις συγγνώμην, Χριστιανὸς ὢν ἐξ ἡμισείας; Πιστεύσατε, τὴν κε-

31. Γαλ. 4,25.

ἕλκυσαν ὅλη τὴν οἰκουμένη, ἐνῶ ἐδῶ τὸ μεγαλύτερο μέρος τῶν κατοίκων τῆς πόλεώς μας εἶναι Χριστιανοί, κι ὅμως ὑπάρχουν πιστοί, ποὺ πάσχουν ἀκόμη ἀπὸ τὴν ἰουδαϊκὴ ἀσθένεια. Ποιά λοιπὸν δικαιολογία θὰ μπορούσαμε νὰ ἔχουμε ἐμεῖς οἱ ὑγιεῖς; Καὶ βέβαια ὅσοι πάσχουν ἀπὸ τὴν ἰουδαϊκὴ ἀσθένεια εἶναι ἄξιοι κατηγορίας, ἀλλ' ὅμως οὔτε ἐμεῖς εἴμαστε ἀπαλλαγμένοι ἀπὸ τὴν κατηγορία, ἀδιαφορώντας γιὰ τὴν ἀσθένειά τους. Γιατὶ θὰ ἦταν ἀδύνατο νὰ παραμείνουν στὴν ἀσθένειά τους αὐτή, ἂν ἀπολάμβαναν ἀπὸ μᾶς μεγάλη φροντίδα. Γι' αὐτὸ λοιπὸν σᾶς τὰ λέγω αὐτὰ τώρα, γιὰ νὰ μπορέση ὁ καθένας ἀπὸ σᾶς νὰ κερδίση τὸν ἀδελφό του· κι ἂν ἀκόμα χρειασθῆ νὰ χρησιμοποιήσης κάποιον ἐξαναγκασμὸ ἢ βία ἢ νὰ κακολογήσης ἢ νὰ φιλονεικίσης, κάμε τα ὅλα, ὥστε ν' ἀποσπάσης τὸν ἀδελφό σου ἀπὸ τὴν παγίδα τοῦ διαβόλου καὶ νὰ τὸν ἀπαλλάξης ἀπὸ τὴν συναναστροφὴ μὲ τοὺς χριστοκτόνους. Γιατὶ πές μου, ἂν ἔβλεπες κάποιον στὴν ἀγορὰ νὰ ὁδηγῆται στὶς φυλακές, ποὺ δικαιολογημένα καταδικάσθηκε, καὶ σὺ εἶχες τὴ δύναμη νὰ τὸν ἐλευθερώσης ἀπὸ τὰ χέρια τοῦ δημίου, δὲν θὰ ἔκαμνες τότε τὸ πᾶν νὰ τὸν ἀπαλλάξης ἀπὸ τὴν ἀπαγωγή; Τώρα βλέπεις τὸν ἀδελφό σου νὰ σύρεται ἄδικα καὶ ἀνόσια, ὄχι ἀπὸ τὸν δήμιο, ἀλλὰ ἀπὸ τὸν διάβολο, στὸ βάραθρο τῆς ἀπώλειας καὶ δὲν ἀνέχεσαι νὰ τοῦ δώσης οὔτε μία συμβουλή, ὥστε νὰ τὸν ἀπαλλάξης ἀπὸ τὴν παρανομία αὐτή. Καὶ ποιά συγχώρεση περιμένεις νὰ λάβης;

Ἀλλ' εἶναι πιὸ ἰσχυρὸς καὶ πιὸ δυνατὸς ἀπὸ σένα. Ὁδήγησέ τον σὲ μένα· θὰ προτιμήσω πολὺ περισσότερο νὰ χάσω τὸ κεφάλι μου, παρὰ νὰ τὸν ἀφήσω νὰ μπῆ στὰ πρόθυρα τοῦ ναοῦ, ἂν φιλονεικῆ καὶ ἐπιμένη νὰ ἔχη τὶς ἴδιες γνῶμες. Γιατὶ τί κοινὸ ἔχεις ἐσὺ μὲ τὴν ἐλεύθερη, τὴν ἄνω Ἰερουσαλήμ; Προτίμησες τὴν κάτω· δούλευε σ' αὐτήν, καθ' ὅσον καὶ αὐτὴ μαζὶ μὲ τὰ τέκνα της εἶναι, σύμφωνα μὲ τὸν λόγο τοῦ ἀποστόλου, δούλη[31]. Νηστεύεις μαζὶ μὲ τοὺς Ἰουδαίους; Βγάλε λοιπὸν καὶ τὰ παπούτσια σου μαζὶ μὲ τοὺς Ἰουδαίους καὶ βάδιζε μὲ γυμνὰ πόδια στὴν πλατεῖα καὶ γίνε κοινωνὸς τῆς ἀσχημοσύνης καὶ τοῦ γέλωτά τους. Ἀλλὰ δὲ θὰ τὸ προτιμοῦσες κάτι τέτοιο, γιατὶ ντρέπεσαι καὶ κοκκινίζεις. Ἔπειτα, τὸ νὰ συμμορφώνεσαι ἐξωτερικὰ μ' αὐτοὺς ντρέπεσαι, τὸ νὰ συμμετέχης ὅμως στὴν ἀσχημοσύνη ἐκείνων δὲν ντρέπεσαι; Καὶ ποιά συγγνώμη θὰ ἔχης, ὄντας μισὸς Χριστιανός; Πιστέψτε, θὰ προτιμήσω νὰ

φαλὴν πρότερον ἀποθήσομαι, ἢ περιόψομαί τινα τῶν τὰ τοιαῦτα νοσούντων, ἐὰν ἴδω· ἐὰν δὲ ἀγνοήσω, συγγνώμην ὁ Θεὸς δώσει πάντως.

Ταῦτα καὶ ὑμῶν αὐτῶν ἕκαστος λογιζέσθω, μηδὲ πάρεργον ἡγείσθω τὸ πρᾶγμα εἶναι. Οὐχ ὁρᾶτε ἐπὶ τῶν μυστηρίων τί βοᾷ συνεχῶς ὁ διάκονος; «Ἐπιγινώσκετε ἀλλήλους»· πῶς ὑμῖν ἐγχειρίζει τὴν ἀκριβῆ τῶν ἀδελφῶν ὑμῶν ἐξέτασιν; Τοῦτο καὶ ἐπ' ἐκείνων ποίησον· ὅταν ἐπιγνῷς τινα ἰουδαΐζοντα, κάτασχε, δῆλον ποίησον, ὥστε μὴ κοινωνῆσαι καὶ αὐτὸς τῷ κινδύνῳ. Καὶ γὰρ ἐπὶ τῶν ἔξω στρατοπέδων, ἂν ἀλῷ τις βαρβαρίζων καὶ τὰ Περσικὰ φρονῶν ἐν μέσοις τοῖς στρατιώταις, οὐκ αὐτὸς κινδυνεύει μόνος, ἀλλὰ καὶ ἕκαστος τῶν συνειδότων μέν, οὐ ποιησάντων δὲ αὐτὸν τῷ στρατηγῷ φανερόν. Ἐπεὶ οὖν καὶ ὑμεῖς στρατόπεδόν ἐστε τοῦ Χριστοῦ, μετὰ ἀκριβείας διερευνᾶτε καὶ περιεργάζεσθε, εἴ τις τῶν ἀλλοφύλων ὑμῖν ἀναμέμικται καὶ ποιεῖτε δῆλον, οὐχ ἵνα ἀποκτείνωμεν, καθάπερ ἐκεῖνοι, οὐδ' ἵνα κολάσωμεν καὶ τιμωρησώμεθα, ἀλλ' ἵνα αὐτὸν ἀπαλλάξωμεν τῆς πλάνης καὶ τῆς ἀσεβείας καὶ ἡμέτερον ἐξ ὁλοκλήρου ποιήσωμεν. Εἰ δὲ μὴ βούλησθε τοῦτο, ἀλλ' εἰδότες κρύπτητε, εὖ ἴστε, ὅτι τὴν αὐτὴν ὑποστήσεσθε τιμωρίαν ἐκείνῳ. Καὶ γὰρ ὁ Παῦλος οὐχὶ τοὺς ποιοῦντας μόνον τὰ πονηρά, ἀλλὰ καὶ τοὺς συνευδοκοῦντας αὐτοῖς, ὑποβάλλει κολάσει καὶ τιμωρίᾳ. Καὶ ὁ προφήτης δέ, οὐχὶ τοὺς κλέπτοντας μόνον, ἀλλὰ καὶ τοὺς συντρέχοντας αὐτοῖς, ὑπὸ τὴν αὐτὴν ἄγει δίκην· καὶ εἰκότως. Ὁ γὰρ συνειδὼς τῷ τὰ πονηρὰ πράττοντί τινι, καὶ περιστέλλων αὐτὸν καὶ ἀποκρύπτων, πλείονα αὐτῷ παρέχει ῥαθυμίας ὑπόθεσιν καὶ μετὰ μείζονος ἀδείας παρασκευάζει τὴν πονηρίαν ἐργάζεσθαι.

5. *Ἀλλὰ γὰρ ἐπὶ τοὺς νοσοῦντας ἐπανελθεῖν δεῖ πάλιν. Ἐννοήσατε τοίνυν τίσι κοινωνοῦσιν ὁ νηστεύοντες νῦν· τοῖς βοῶσι· «σταύρωσον, σταύρωσον»· τοῖς λέγουσι· «τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν». Εἴ τινες ἁλόντες ἐπὶ τυραννίδι κατεδικάσθησαν, ἆρα ἂν ἐτόλμησας προσελθεῖν καὶ κοινωνῆσαι λόγων αὐ-*

32. Βλ. Ἀποστολικὲς Διαταγὲς 2,57,10.
33. Ρωμ. 1,32.
34. Ψαλμ 49,18.
35. Ματθ. 27,23–25.

χάσω τὸ κεφάλι μου, παρὰ ν' ἀδιαφορήσω, ἂν δῶ κάποιον, ποὺ ὑποφέρει ἀπὸ τὴν ἀσθένεια αὐτή. Ἂν ὅμως δὲν τὸν δῶ, τότε ὁπωσδήποτε ὁ Θεὸς θὰ μὲ συγχωρήση.

Αὐτὰ λοιπὸν ἂς σκέπτεται καὶ ὁ καθένας ἀπὸ σᾶς κι ἂς μὴ θεωρῆ σὰν πάρεργο τὸ πρᾶγμα αὐτό. Δὲν ἀκοῦτε τί διακηρύττει συνέχεια κατὰ τὴν τέλεση τῶν μυστηρίων ὁ διάκονος, λεγοντας, «νὰ γνωρίζετε ὁ ἕνας τὸν ἄλλο»[32]; πῶς σᾶς ἐμπιστεύεται τὴν ἀκριβῆ ἐξέταση τῶν ἀδελφῶν σας; Τὸ ἴδιο λοιπὸν κάμε καὶ στὴν περίπτωση ἐκείνων. Ὅταν δῆς κάποιον νὰ ἰουδαΐζη, συγκράτησέ τον, φανέρωσέ τον, ὥστε νὰ μὴ γίνης κοινωνὸς καὶ σὺ τοῦ ἰδίου κινδύνου. Γιατὶ καὶ μεταξὺ τῶν ἐθνικῶν στρατιωτῶν, ἂν κάποιος στρατιώτης συλληφθῆ νὰ βαρβαρίζη καὶ νὰ ἔχη τὶς ἰδέες τῶν Περσῶν, τότε δὲν κινδυνεύει μόνο αὐτός, ἀλλὰ καὶ ὅποιος τὸ γνωρίζει καὶ δὲν τὸ φανέρωσε στὸν στρατηγό. Ἐπειδὴ λοιπὸν καὶ σεῖς εἶστε στρατὸς τοῦ Χριστοῦ, ὀφείλετε μὲ προσοχὴ πολλὴ νὰ διερευνᾶτε καὶ νὰ περιεργάζεσθε τοὺς γύρω σας, μήπως κάποιος ἀλλόφυλος εἰσχώρησε ἀνάμεσά σας, καὶ νὰ τὸν φανερώνετε, ὄχι γιὰ νὰ τὸν θανατώσουμε, ὅπως κάμνουν ἐκεῖνοι, οὔτε γιὰ νὰ τὸν κολάσουμε καὶ νὰ τὸν τιμωρήσουμε, ἀλλὰ γιὰ νὰ τὸν ἀπαλλάξουμε ἀπὸ τὴν πλάνη καὶ τὴν ἀσέβεια καὶ νὰ τὸν καταστήσουμε ἐξ ὁλοκλήρου δικό μας. Ἂν ὅμως δὲν τὸ θέλετε αὐτὸ καὶ τὸν ἀποκρύπτετε, ἐνῶ τὸν γνωρίζετε, νὰ γνωρίζετε πολὺ καλά, ὅτι καὶ σεῖς θὰ ὑποστῆτε τὴν ἴδια μὲ αὐτὸν τιμωρία. Γιατὶ ὁ Παῦλος θεωρεῖ ἄξιους κολασμοῦ καὶ τιμωρίας ὄχι μόνο ὅσους διαπράττουν τὰ κακά, ἀλλὰ καὶ ὅσους ἐπικροτοῦν τὰ πραττόμενα[33]. Ἀλλὰ καὶ ὁ προφήτης δὲν θεωρεῖ ἄξιους τιμωρίας μόνο ἐκείνους ποὺ κλέβουν, ἀλλὰ καὶ ἐκείνους ποὺ ὑποβοηθοῦν στὴν κλοπή[34]· καὶ πολὺ σωστά· γιατί, ὅποιος γνωρίζει αὐτὸν ποὺ κάνει τὸ κακὸ καὶ τὸν ἀνέχεται καὶ τὸν ἀποκρύπτει, τοῦ γίνεται αἰτία μεγαλύτερης ἀδιαφορίας καὶ τὸν προετοιμάζει μὲ μεγαλύτερη ἀφοβία νὰ διαπράττη τὸ κακό.

5. Ἀλλ' ὅμως πρέπει νὰ ἐπανέλθωμε πάλι στοὺς ἀσθενεῖς. Καταλάβατε λοιπὸν μὲ ποιούς κοινωνοῦν ὅσοι τώρα νηστεύουν· μὲ ἐκείνους ποὺ φωνάζουν, «σταύρωσε, σταύρωσε αὐτόν», καὶ μὲ ἐκείνους ποὺ λέγουν, «τὸ αἷμα αὐτοῦ ἂς πέση ἐπάνω σὲ μᾶς καὶ στὰ τέκνα μας»[35]. Ἂν κάποιοι συνελήφθηκαν καὶ καταδικάσθηκαν γιατὶ ἐποφθαλμιοῦσαν τὴ βασιλικὴ ἐξουσία, θὰ τολμοῦσες

τοῖς; Οὐκ ἔγωγε οἶμαι. Πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν εἰς ἄνθρωπον γενομένους πονηροὺς μετὰ τοσαύτης φεύγειν σπουδῆς, τοὺς δὲ εἰς αὐτὸν ὑβρίσαντας τὸν Θεὸν ποιεῖσθαι κοινωνοὺς καὶ τοὺς προσκυνοῦντας τὸν ἐσταυρωμένον τοῖς ἐσταυρωκόσι συνεορτάζειν; Τοῦτο γὰρ οὐ μόνον ἀνοίας, ἀλλὰ καὶ τῆς ἐσχάτης μανίας ἐστίν. Ἐπειδὴ δέ εἰσί τινες, οἳ καὶ τὴν συναγωγὴν σεμνὸν εἶναι τόπον νομίζουσιν, ἀναγκαῖον καὶ πρὸς τούτους ὀλίγα εἰπεῖν. Τίνος γὰρ ἕνεκα τὸν τόπον ἐκεῖνον αἰδεῖσθε, δέον καταφρονεῖν καὶ βδελύττεσθαι καὶ ἀποπηδᾶν; Ὁ νόμος ἀπόκειται, φησίν, ἐν αὐτῷ, καὶ βιβλία προφητικά. Καὶ τί τοῦτο; Μὴ γάρ, ἔνθα ἂν ᾖ βιβλία τοιαῦτα, καὶ ὁ τόπος ἅγιος ἔσται; Οὐ πάντως. Ἐγὼ δὲ διὰ τοῦτο μάλιστα μισῶ τὴν συναγωγὴν καὶ ἀποστρέφομαι, ὅτι τοὺς προφήτας ἔχοντες ἀπιστοῦσι τοῖς προφήταις, ὅτι ἀναγινώσκοντες τὰ γράμματα οὐ δέχονται τὰς μαρτυρίας, ὅπερ ὑβριζόντων ἐστὶ μειζόνως.

Εἰπὲ γάρ μοι, εἴ τινα εἶδες ἄνθρωπον αἰδέσιμον καὶ λαμπρὸν καὶ περιφανῆ εἰς καπηλεῖον εἰσαχθέντα, ἢ εἰς καταγώγιον λῃστῶν, εἶτα ὑβριζόμενον ἐκεῖ καὶ τυπτόμενον καὶ τὴν ἐσχάτην ὑπομένοντα παροινίαν, ἆρα ἂν ἐθαύμασας τὸ καπηλεῖον ἢ τὸ σπήλαιον, ἐπειδὴ ἔνδον εἱστήκει παροινούμενος ὁ θαυμαστὸς ἐκεῖνος καὶ μέγας ἀνήρ; Οὐκ ἔγωγε οἶμαι, ἀλλὰ διὰ τοῦτο αὐτὸ μάλιστα ἂν ἐμίσησας καὶ ἀπεστράφης. Τοῦτο καὶ ἐπὶ τῆς συναγωγῆς λογίζου. Τοὺς γὰρ προφήτας καὶ τὸν Μωϋσέα μετ' αὐτῶν εἰσήγαγον ἐκεῖ, οὐχ ἵνα τιμήσωσιν, ἀλλ' ἵνα ὑβρίσωσι καὶ ἀτιμάσωσιν. Ὅταν γὰρ λέγωσι μὴ εἰδέναι αὐτοὺς τὸν Χριστόν, μηδὲ εἰρηκέναι τι περὶ τῆς ἐκείνου παρουσίας, ποία μείζων ταύτης γένοιτ' ἂν εἰς τοὺς ἁγίους ἐκείνους ὕβρις, ἀλλ' ὅταν αὐτῶν κατηγορήσωσιν ὡς τὸν αὐτῶν ἀγνοούντων Δεσπότην καὶ κοινωνοὺς τῆς ἰδίας ἀσεβείας λέγωσιν εἶναι; Ὥστε διὰ τοῦτο μᾶλλον μισεῖν καὶ αὐτοὺς καὶ τὴ συναγωγήν χρή, ὅτι ἐμπαροινοῦσιν εἰς τοὺς ἁγίους ἐκείνους.

Ἀλλὰ τί λέγω περὶ βιβλίων καὶ τόπων; Ἐν καιρῷ τῶν διω-

ἄραγε νὰ τοὺς πλησιάσης καὶ νὰ συνομιλήσης μαζί τους; Ἐγὼ τουλάχιστο νομίζω ὄχι. Πῶς λοιπὸν δὲν εἶναι παράλογο νὰ ἀποφεύγη κανεὶς μὲ τόση προσοχὴ ἐκείνους ποὺ ἔκαμαν σὲ ἄνθρωπο κακό, ἀλλὰ νὰ συναναστρέφεται ἐκείνους ποὺ ἐξύβρισαν τὸν ἴδιο τὸν Θεὸ καὶ νὰ συνεορτάζουν αὐτοὶ ποὺ προσκυνοῦν τὸν Ἐσταυρωμένο μὲ ἐκείνους ποὺ τὸν σταύρωσαν; Γιατὶ αὐτὸ δὲν εἶναι μόνο δεῖγμα ἀνοησίας, ἀλλὰ καὶ τῆς πιὸ φοβερῆς μανίας. Ἐπειδὴ ὅμως ὑπάρχουν μερικοί, ποὺ θεωροῦν σὰν τόπο ἱερὸ καὶ τὴ συναγωγή, εἶναι ἀνάγκη νὰ ποῦμε καὶ σ' αὐτοὺς λίγα λόγια. Γιὰ ποιόν δηλαδὴ λόγο σέβεσθε τὸν τόπο ἐκεῖνον, τὸν ὁποῖο πρέπει νὰ καταφρονῆτε, νὰ τὸν συχαίνεσθε καὶ νὰ τὸν ἀποφεύγετε; Στὸ χῶρο αὐτό, λέγει, βρίσκεται ὁ νόμος καὶ τὰ βιβλία τῶν προφητῶν. Καὶ τί σχέση ἔχει αὐτό; Ὅπου ὑπάρχουν δηλαδὴ τέτοια βιβλία, θὰ θεωρῆται καὶ ὁ τόπος ἅγιος; Ὁπωσδήποτε ὄχι. Ἐγὼ γι' αὐτὸ προπάντων μισῶ καὶ ἀποστρέφομαι τὴ συναγωγή, γιατί, ἐνῶ ἔχουν τοὺς προφῆτες, δὲν πιστεύουν σ' αὐτούς, κι ἐνῶ μελετοῦν τὰ βιβλία τους, δὲν δέχονται τὶς μαρτυρίες τους, πρᾶγμα ποὺ εἶναι μεγαλύτερο καὶ ἀπὸ ἐκείνους ποὺ ὑβρίζουν.

Γιατὶ πές μου, ἂν ἔβλεπες κάποιον σεβαστὸ καὶ λαμπρὸ καὶ ἀξιοπρεπῆ ἄνθρωπο νὰ μπαίνη σὲ καπηλεῖο ἢ σὲ καταγώγιο ληστῶν καὶ ἐκεῖ νὰ ὑβρίζεται καὶ νὰ κακοποιῆται καὶ νὰ ὑπομένη τοὺς πιὸ χειρότερους ἐξευτελισμοὺς τῶν μεθυσμένων, ἄραγε θὰ θαύμαζες τὸ καπηλεῖο ἢ τὸ σπήλαιο, ἐπειδὴ ἐκεῖ μέσα ἐξευτελίσθηκε ὁ θαυμαστὸς ἐκεῖνος καὶ μεγάλος ἄνδρας; Ἐγὼ τουλάχιστο νομίζω ὄχι, ἀλλ' ἀκριβῶς γι' αὐτὸ τὸν λόγο προπάντων θὰ τὸ μισοῦσες καὶ θὰ τὸ ἀποστρεφόσουν. Αὐτὸ σκέψου καὶ γιὰ τὴ συναγωγή. Καθ' ὅσον καὶ τοὺς προφῆτες καὶ τὸν Μωϋσῆ τοὺς εἰσήγαγαν ἐκεῖ, ὄχι γιὰ νὰ τοὺς τιμήσουν, ἀλλὰ γιὰ νὰ τοὺς ὑβρίσουν καὶ νὰ τοὺς ἀτιμάσουν. Γιατί, ὅταν ἰσχυρίζωνται, ὅτι οἱ προφῆτες δὲν εἶδαν τὸ Χριστὸ καὶ ὅτι τίποτε δὲν προφήτεψαν γιὰ τὴν παρουσία του, τότε ποιά μεγαλύτερη ὕβρη θὰ μποροῦσε νὰ γίνη στοὺς ἁγίους αὐτούς, ὅταν τοὺς κατηγοροῦν, ὅτι ἀγνοοῦν τὸν Δεσπότη τους καὶ λέγουν ὅτι εἶναι συμμέτοχοι στὴ δική τους ἀσέβεια; Γι' αὐτὸ λοιπὸν προπάντων πρέπει νὰ μισῆτε καὶ αὐτοὺς καὶ τὴ συναγωγή τους, γιατὶ ἐξυβρίζουν τοὺς ἁγίους ἐκείνους.

Ἀλλὰ γιατί ὁμιλῶ γιὰ βιβλία καὶ τόπους; Στὸν καιρὸ τῶν

γμῶν οἱ δήμιοι τὰ σώματα τῶν μαρτύρων κατέχουσι, καταξαίνουσι, μαστίζουσιν. Ἆρα οὖν ἅγιαί εἰσιν αὐτῶν αἱ χεῖρες, ἐπειδὴ τὰ σώματα τῶν ἁγίων κατέσχον; Μὴ γένοιτο. Εἶτα χεῖρες μέν, σώματα κατασχοῦσαι ἁγίων, βέβηλοι μένουσι δι' αὐτὸ δὴ τοῦτο, ἐπειδὴ κατέσχον κακῶς, οἱ δὲ γράμματα κατέχοντες ἁγίων καὶ ὑβρίζοντες οὐκ ἔλαττον ἢ οἱ δήμιοι τῶν μαρτύρων τὰ σώματα, αἰδέσιμοι διὰ τοῦτο ἔσονται; Καὶ πῶς οὐκ ἐσχάτης ἀλογίας ταῦτα ἂν εἴη; Εἰ γὰρ σώματα κατεχόμενα κακῶς, οὐ μόνον οὐχ ἁγιάζει τοὺς κατέχοντας, ἀλλὰ καὶ ἐναγεστέρους ποιεῖ, πολλῷ μᾶλλον γράμματα ἀναγινωσκόμενα μετὰ ἀπιστίας οὐκ ἂν δύναιντο τοὺς ἀναγινώσκοντας ὠφελῆσαί ποτε. Αὐτὸ μὲν οὖν τοῦτο ἀσεβεστέρους αὐτοὺς ἀποφαίνει, τὸ μετὰ τοιαύτης προαιρέσεως τὰ βιβλία κατέχειν. Οὐδὲ γὰρ ἂν τοσαύτης ἄξιοι ἦσαν κατηγορίας, εἰ μὴ τοὺς προφήτας εἶχον· οὐκ ἦσαν οὕτως ἀκάθαρτοι καὶ βέβηλοι, εἰ μὴ τὰς βίβλους ἀνεγίνωσκον. Νῦν δὲ πάσης εἰσὶν ἀπεστερημένοι συγγνώμης, ὅτι τοὺς κήρυκας τῆς ἀληθείας ἔχοντες καὶ πρὸς αὐτοὺς ἐκείνους καὶ πρὸς τὴν ἀλήθειαν ἵστανται ἐχθρᾷ διανοίᾳ. Ὥστε διὰ τοῦτο μᾶλλον ἂν εἶεν βέβηλοι καὶ ἐναγεῖς, ὅτι τοὺς προφήτας ἔχοντες, πολεμίᾳ αὐτοῖς κέχρηνται γνώμῃ.

Διὸ παρακαλῶ φεύγειν καὶ ἀποπηδᾶν αὐτῶν τοὺς συλλόγους. Οὐ μικρὰ αὕτη βλάβη τοῖς ἀσθενεστέροις τῶν ἀδελφῶν, οὐ μικρὰ ἀπονοίας ἐκείνοις πρόφασις. Ὅταν γὰρ ἴδωσιν ὑμᾶς, τοὺς προσκυνοῦντας τὸν ὑπ' αὐτῶν σταυρωθέντα Χριστόν, τὰ ἐκείνων διώκοντας καὶ σεμνοποιοῦντας, πῶς οὐχ ἡγήσονται ἄριστα αὐτοῖς ἅπαντα πεπράχθαι καὶ οὐδενὸς ἄξια εἶναι τὰ ἡμέτερα, ὅταν οἱ πρεσβεύοντες αὐτὰ καὶ θεραπεύοντες ὑμεῖς, πρὸς τοὺς καθαιροῦντας αὐτὰ τρέχητε; «Ἐάν τις ἴδῃ σέ», φησί, «τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;». Καὶ ἐγὼ λέγω, ἐάν τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν εἰς συναγωγὴν ἀπερχόμενον καὶ σάλπιγγας θεωροῦντα, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθή-

36. Α' Κορ. 8,10.

διωγμῶν οἱ δήμιοι κρατοῦν στὰ χέρια τους τῶν μαρτύρων τὰ σώματα καὶ τὰ βασανίζουν καὶ τὰ μαστιγώνουν. Ἄραγε γι' αὐτὸ καὶ τὰ χέρια τῶν δημίων εἶναι ἅγια, ἐπειδὴ δηλαδὴ ἐκράτησαν τὰ σώματα τῶν ἁγίων; Μακριὰ μιὰ τέτοια σκέψη. Ἔπειτα, τὰ χέρια ποὺ κράτησαν σώματα ἁγίων γι' αὐτὸν ἀκριβῶς τὸ λόγο παραμένουν βέβηλα, ἐπειδὴ δηλαδὴ τὰ κακοποίησαν, ἐνῶ αὐτοὶ ποὺ κρατοῦν βιβλία ἁγίων καὶ τὰ ὑβρίζουν ὄχι πιὸ λίγο ἀπὸ ὅ,τι οἱ δήμιοι τὰ σώματα τῶν μαρτύρων, θὰ θεωρηθοῦν γι' αὐτὸ σεβάσμιοι; Καὶ πῶς αὐτὰ δὲν θὰ ἦταν δείγματα τῆς χειρότερης μορφῆς ἀνοησίας; Γιατί, ἂν τὰ σώματα, ποὺ κακῶς βαστάζονται στὰ χέρια, ὄχι μόνο δὲν ἁγιάζουν ὅσους τὰ κρατοῦν, ἀλλὰ καὶ τοὺς καθιστοῦν πιὸ βέβηλους, πολὺ περισσότερο βιβλία, ποὺ διαβάζονται μὲ ἀπιστία, δὲν θὰ ὠφελοῦσαν τοὺς ἀναγνῶστες τους. Ἀκριβῶς αὐτὸ τὸ πρᾶγμα, τὸ ὅτι δηλαδὴ κρατοῦν μὲ τέτοια διάθεση τὰ βιβλία, τοὺς κάμνει πιὸ ἀσεβεῖς. Καὶ δὲν θὰ ἦταν ἄξιοι μιᾶς τόσο μεγάλης κατηγορίας, ἂν δὲν εἶχαν τοὺς προφῆτες· δὲν θὰ ἦταν τόσο ἀκάθαρτοι καὶ βέβηλοι, ἂν δὲν μελετοῦσαν τὰ βιβλία τῶν προφητῶν. Ἀλλὰ τώρα ἔχουν ἀποστερηθῆ κάθε συγγνώμης, γιατί, ἐνῶ ἔχουν τοὺς κήρυκες τῆς ἀλήθειας, ἐν τούτοις συμπεριφέρονται ἐχθρικὰ καὶ πρὸς αὐτοὺς τοὺς ἰδίους καὶ πρὸς τὴν ἀλήθεια. Ὥστε γι' αὐτὸ προπάντων μποροῦν νὰ θεωρηθοῦν πιὸ βέβηλοι καὶ μιαροί, γιατί, ἂν καὶ ἔχουν τοὺς προφῆτες, συμπεριφέρονται ἐχθρικὰ πρὸς αὐτούς.

Γι' αὐτὸ σᾶς παρακαλῶ νὰ ἀποφεύγετε καὶ νὰ ἀπομακρύνεσθε ἀπὸ τὶς συγκεντρώσεις τους. Δὲν εἶναι μικρὴ αὐτὴ ἡ βλάβη γιὰ τοὺς ἀσθενέστερους ἀδελφούς μας, οὔτε καὶ εἶναι μικρὴ πρόφαση ἀλαζονείας γιὰ ἐκείνους. Γιατί, ὅταν δοῦν ἐσᾶς, ποὺ λατρεύετε τὸν Χριστὸ ποὺ σταύρωσαν ἐκεῖνοι, νὰ ἐπιδιώκετε καὶ νὰ σέβεσθε τὰ δικά τους, πῶς δὲ θὰ νομίσουν ὅτι ἄριστα διαπράχθηκαν ὅλα ἀπ' αὐτοὺς καὶ ὅτι τὰ δικά μας δὲν ἀξίζουν καθόλου, ὅταν σεῖς, ποὺ πρεσβεύετε αὐτὰ καὶ τὰ λατρεύετε, τρέχετε πρὸς ἐκείνους ποὺ τὰ καταστρέφουν; «Ἂν κάποιος σὲ δῆ», λέγει, «ἐσένα, ποὺ ἔχεις γνώση, νὰ κάθεσαι σὲ τραπέζι ναοῦ εἰδώλων, δὲ θὰ πάρη θάρρος ἡ συνείδησή του, ἐπειδὴ εἶναι πνευματικὰ ἀδύνατος, στὸ νὰ τρώγη κρέατα ἀπὸ θυσίες στὰ εἴδωλα;»[36]. Καὶ ἐγὼ λέγω, ἂν κάποιος δῆ ἐσένα, ποὺ ἔχεις γνώση, νὰ μπαίνης σὲ συναγωγὴ καὶ νὰ παρακολουθῆς τὴν ἑορτὴ τῶν Σαλπίγγων, δὲν θὰ πάρη θάρρος ἡ συνείδηση τοῦ

σεται εἰς τὸ θαυμάζειν τὰ ἰουδαϊκὰ πράγματα; Ὁ πίπτων οὐχὶ τοῦ ἰδίου πτώματος δίδωσι μόνον δίκην, ἀλλ' ὅτι καὶ ἄλλους ὑποσκελίζει κολάζεται. Ὥσπερ καὶ ὁ ἑστὼς οὐχ ὑπὲρ τῆς οἰκείας ἀρετῆς στεφανοῦται μόνον, ἀλλ' ὅτι καὶ ἄλλους εἰς τὸν αὐτὸν ἄγει ζῆλον θαυμάζεται. Φεύγετε τοίνυν καὶ τοὺς συλλόγους καὶ τοὺς τόπους αὐτῶν καὶ μηδεὶς αἰδείσθω τὴν συναγωγὴν διὰ τὰ βιβλία, ἀλλὰ διὰ ταῦτα αὐτὴ μισείτω καὶ ἀποστρεφέσθω, ὅτι ἐφ' ὕβρει κατέχουσι τοὺς ἁγίους, ὅτι ἀπιστοῦσι τοῖς ἐκεῖ ῥήμασιν, ὅτι τὴν ἐσχάτην αὐτῶν κατηγοροῦσιν ἀσέβειαν.

6. *Καὶ ἵνα μάθητε, ὅτι οὐχ ἁγιάζει τὸν τόπον τὰ βιβλία, ἀλλὰ βέβηλον ποιεῖ τῶν συνιόντων ἡ προαίρεσις, ἱστορίαν ὑμῖν διηγήσομαι παλαιάν. Πτολεμαῖος ὁ Φιλάδελφος τὰς πανταχόθεν βίβλους συναγαγών, καὶ μαθὼν ὅτι καὶ παρὰ Ἰουδαίοις εἰσὶ γραφαὶ περὶ Θεοῦ φιλοσοφοῦσαι καὶ πολιτείας ἀρίστης, μεταπεμψάμενος ἄνδρας ἐκ τῆς Ἰουδαίας, ἡρμήνευσεν αὐτὰς δι' ἐκείνων καὶ ἀπέθετο εἰς τὸ τοῦ Σεράπιδος ἱερόν· καὶ γὰρ ἦν Ἕλλην ὁ ἀνήρ· καὶ μέχρι νῦν ἐκεῖ τῶν προφητῶν αἱ ἑρμηνευθεῖσαι βίβλοι μένουσι. Τί οὖν, ἅγιος ἔσται τοῦ Σεράπιδος ὁ ναὸς διὰ τὰ βιβλία; Μὴ γένοιτο· ἀλλ' ἐκεῖνα μὲν ἔχει τὴν οἰκείαν ἁγιότητα, τῷ τόπῳ δὲ οὐ μεταδίδωσι, διὰ τὴν τῶν συνιόντων ἐκεῖ μιαρίαν. Τὸ αὐτὸ τοίνυν καὶ περὶ τῆς συνγωγῆς λογιστέον. Εἰ γὰρ καὶ μὴ εἴδωλον ἕστηκεν ἐκεῖ, ἀλλὰ δαίμονες οἰκοῦσι τὸν τόπον. Καὶ τοῦτο οὐ περὶ τῆς ἐνταῦθα λέγω συναγωγῆς μόνον,*

37. Ἡ μετάφραση τῆς Παλαιᾶς Διαθήκης στὴν ἑλληνικὴ ἔγινε ἐπὶ τῆς ἐποχῆς τοῦ Πτολεμαίου Β' τοῦ Φιλαδέλφου (284–247 π. Χ.), υἱοῦ τοῦ Πτολεμαίου Α' τοῦ Λάγου ἢ ἄλλως Σωτῆρος, ἀπὸ ΟΒ' μεταφραστές. Βλ. Ἰω. Χρυσοστόμου Ὁμιλία εἰς Γένεσιν 4,4., τόμ. 2 τῆς σειρᾶς αὐτῆς, Ὁμιλία εἰς Ματθαῖον 5,2, τόμ. 9. Ἐπίσης Φίλωνος Ἰουδαίου, *Βίος Μωϋσέως* 11,5–7.

38. Τὸ λαμπρὸ αὐτὸ ἱερὸ τοῦ θεοῦ Σεράπιδος, γνωστὸ ὡς Σαράπιον (ὁ Σέραπις ἐκαλεῖτο καὶ Σάραπις) ἢ Σεραπεῖον ἢ Σεράπειον, βρισκόταν στὴ συνοικία Ἄλφα τῆς Πτολεμαϊκῆς Ἀλεξανδρείας. Τὴν λατρεία του εἰσήγαγε στὴν Αἴγυπτο ὁ Πτολεμαῖος Α' περὶ τὸ 280 π. Χ.

39. Ἡ ἀπέχθεια τῶν Ἰουδαίων πρὸς τὰ εἴδωλα στηρίζεται στὸ χωρίο τῆς Ἐξόδου 20,4, ὅπου ἀπαγορεύεται ἡ κατασκευὴ χωνευτῶν εἰδώλων καὶ κάθε ὁμοιώματος. Ὁ ἱερὸς Χρυσόστομος (βλ. Ε' Λόγον κατὰ Ἰουδαίων) βλέπει στὴν τοποθέτηση τοῦ ἀγάλματος τοῦ Ὀλυμπίου Διὸς στὸν Ναὸ κατὰ τὸ 170 π. Χ. ἀπὸ

ἀσθενοῦς ὡς πρὸς τὴν πίστη, στὸ νὰ θαυμάζη τὰ ἰουδαϊκὰ πράγματα; Ὅποιος ἁμαρτάνει δὲν τιμωρεῖται μόνο γιὰ τὴν πτώση του, ἀλλὰ καὶ γιὰ τὸ ὅτι ἀνατρέπει καὶ τοὺς ἄλλους. Ὅπως ἀκριβῶς καὶ ἐκεῖνος ποὺ ἔμεινε σταθερὸς στὴν ἀρετή, δὲν σταφανώνεται μόνο γι' αὐτήν, ἀλλὰ θαυμάζεται καὶ γιὰ τὸ ὅτι ὁδηγεῖ στὸν ἴδιο ζῆλο καὶ ἄλλους. Ἀποφεύγετε λοιπὸν καὶ τὶς συγκεντρώσεις καὶ τοὺς τόπους αὐτῶν, καὶ κανένας νὰ μὴ σέβεται τὴ συναγωγή, ἐξ αἰτίας τῶν βιβλίων ποὺ ὑπάρχουν σ' αὐτήν, ἀλλὰ γι' αὐτὸ ἀκριβῶς ἂς τὴ μισῆ κι ἂς τὴν ἀποστρέφεται, ἐπειδὴ ἔχουν τοὺς ἁγίους γιὰ νὰ τοὺς ὑβρίζουν, ἐπειδὴ δὲν πιστεύουν στοὺς λόγους τους, ἐπειδὴ τοὺς κατηγοροῦν γιὰ τὴ χειρότερη ἀσέβεια.

6. Γιὰ νὰ μάθετε, ὅτι τὰ βιβλία δὲν ἁγιάζουν τὸν τόπο, ἀλλὰ τὸν καθιστᾶ βέβηλο ἡ προαίρεση ἐκείνων ποὺ συνέρχονται ἐκεῖ, θὰ σᾶς διηγηθῶ μιὰ παλιὰ ἱστορία. Ὁ Πτολεμαῖος ὁ Φιλάδελφος[37], ἀφοῦ συγκέντρωσε ἀπὸ παντοῦ τὰ βιβλία καὶ ἔμαθε ὅτι καὶ οἱ Ἰουδαῖοι ἔχουν βιβλία, ποὺ φιλοσοφοῦν γιὰ τὸν Θεὸ καὶ γιὰ ἄριστη πολιτεία, ἔστειλε καὶ κάλεσε ἄνδρες ἀπὸ τὴν Ἰουδαία, ἑρμήνευσε αὐτὰ μὲ ἐκείνους καὶ τὰ τοποθέτησε στὸ ἱερὸ τοῦ Σεράπιδος[38], καθ' ὅσο ἦταν ὁ ἴδιος εἰδωλολάτρης, καὶ μέχρι τώρα βρίσκονται ἐκεῖ τὰ βιβλία τῶν προφητῶν. Τί λοιπόν, ὁ ναὸς τοῦ Σεράπιδος εἶναι ἅγιος, ἐπειδὴ ἔχει τὰ προφητικὰ βιβλία; μακριὰ μιὰ τέτοια σκέψη· ἐκεῖνα βέβαια ἔχουν τὴ δική τους ἁγιότητα, ποὺ δὲν τὴ μεταδίδουν ὅμως στὸν τόπο, ἐξ αἰτίας τῆς μιαρίας ἐκείνων ποὺ συγκεντρώνονται ἐκεῖ. Τὸ ἴδιο λοιπὸν πρέπει νὰ σκεφθῆ κανεὶς καὶ γιὰ τὴ συναγωγή. Γιατί, ἂν καὶ δὲν στήθηκε ἐκεῖ κάποιο εἴδωλο[39], ἀλλὰ στὸν τόπο ἐκεῖνο κατοικοῦν δαίμονες. Καὶ αὐτὸ δὲν τὸ λέγω μόνο γιὰ τὴν συναγωγὴ ποὺ εἶναι ἐδῶ, ἀλλὰ καὶ γιὰ τὴ συναγωγὴ ποὺ βρίσκεται στὴ Δάφνη[40]· γιατὶ τὸ βάραθρο ποὺ ὑπάρχει ἐκεῖ εἶναι πονη-

τὸν Ἀντίοχο τὸν Ἐπιφανῆ τὴν ἐκπλήρωση τῆς προφητείας τοῦ Δανιὴλ (Δαν. 11,31).

40. Ἡ Δάφνη ἦταν ἕνα ἀπὸ τὰ πιὸ ὡραῖα προάστεια τῆς Ἀντιόχειας, ποὺ κτίσθηκε τὸ 300 π.Χ. ἀπὸ τὸν Σέλευκο τὸν Νικάτορα, καὶ ὑπῆρχε σ' αὐτὸ ὁ ὀνομαστὸς ναὸς τοῦ Ἀπόλλωνα.

ἀλλὰ καὶ τῆς ἐν Δάφνῃ· πονηρότερον γὰρ ἐκεῖ τὸ βάραθρον, ὃ δὴ καλοῦσι Ματρώνης. Καὶ γὰρ πολλοὺς ἤκουσα τῶν πιστῶν ἀναβαίνειν ἐκεῖ καὶ παρακαθεύδειν τῷ τόπῳ. Ἀλλὰ μὴ γένοιτό ποτε τούτους πιστοὺς προσειπεῖν. Ἐμοὶ καὶ τὸ Ματρώνης καὶ τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ὁμοίως ἐστὶ βέβηλον. Εἰ δέ τίς μου τόλμαν καταγινώσκει, πάλιν ἐγὼ τὴν ἐσχάτην αὐτοῦ καταγνώσομαι μανίαν.

Εἰπὲ γάρ μοι, ὅπου δαίμονες οἰκοῦσιν, οὐχὶ ἀσεβείας χωρίον ἐστί, κἂν μὴ ξόανον εἱστήκει; Ὅπου χριστοκτόνοι συνέρχονται, ὅπου σταυρὸς ἐλαύνεται, ὅπου βλασφημεῖται Θεός, ὅπου Πατὴρ ἀγνοεῖται, ὅπου Υἱὸς ὑβρίζεται, ὅπου Πνεύματος ἀθετεῖται χάρις, μᾶλλον δὲ καὶ αὐτῶν ὄντων δαιμόνων, οὐ μείζων ἐντεῦθεν ἡ βλάβη; Ἐκεῖ μὲν γὰρ γυμνὴ καὶ περιφανὴς ἡ ἀσέβεια καὶ οὐκ ἂν ῥᾳδίως ἐπισπάσαιτο, οὐδὲ ἀπατήσειε τὸν νοῦν ἔχοντα καὶ σωφρονοῦντα. Ἐνταῦθα δὲ λέγοντες Θεὸν προσκυνεῖν καὶ εἴδωλα ἀποστρέφεσθαι καὶ προφήτας ἔχειν καὶ τιμᾶν, τοῖς ῥήμασι τούτοις πολὺ κατασκευάζοντες τὸ δέλεαρ, τοὺς ἀφελεστέρους καὶ ἀνοήτους ἀφυλάκτως εἰς τὰς ἑαυτῶν ἐμβάλλουσι πάγας. Ὥστε τὰ μὲν τῆς ἀσεβείας ἴσα αὐτοῖς καὶ Ἕλλησι, τὰ δὲ τῆς ἀπάτης χαλεπώτερον ὑπὸ τούτων δρᾶται. Καὶ γὰρ καὶ παρ' αὐτοῖς ἕστηκε βωμὸς ἀπάτης ἀόρατος, εἰς ὃν οὐχὶ πρόβατα καὶ μόσχους, ἀλλὰ ψυχὰς ἀνθρώπων καταθύουσιν. Ὅλως δὲ εἰ θαυμάζεις τὰ ἐκείνων, τίς σοι κοινὸς πρὸς ἡμᾶς ἐστι λόγος; Εἰ γὰρ σεμνὰ καὶ μεγάλα τὰ Ἰουδαίων, ψευδῆ τὰ ἡμέτερα· εἰ δὲ ταῦτα ἀληθῆ, ὥσπερ οὖν καὶ ἀληθῆ, ἐκεῖνα ἀπάτης γέμει. Οὐχὶ τὰς Γραφὰς λέγω· μὴ γένοιτο· ἐκεῖναι γάρ με πρὸς τὸν Χριστὸν ἐχειραγώγησαν· ἀλλὰ τὴν ἀσέβειαν αὐτῶν καὶ τὴν μανίαν τὴν νῦν.

Ἀλλὰ γὰρ ὥρα λοιπὸν δεῖξαι, ὅτι καὶ δαίμονες ἐκεῖ κατοικοῦσιν, οὐχὶ ἐν αὐτῷ τῷ τόπῳ μόνον, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς ψυχαῖς τῶν Ἰουδαίων. «Ὅταν γὰρ ἐξέλθῃ», φησί, «τὸ πνεῦμα τὸ ἀκάθαρτον, πορεύεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν· κἂν

41. Σύμφωνα μὲ τὴν πληροφορία αὐτὴ τοῦ Χρυσοστόμου μποροῦμε νὰ συμπεράνουμε, ὅτι στὴ Δάφνη ὑπῆρχε, ἐκτὸς ἀπὸ τὸν ναὸ τοῦ Ἀπόλλωνα, καὶ ναὸς ἀφιερωμένος σὲ κάποια γυναικεία θεότητα, μὲ τὸ ὄνομα Ματρώνα.

ρότερο, καὶ τὸ ὀνομάζουν τῆς Ματρώνης[41]. Καθ' ὅσον ἄκουσα ὅτι πολλοὶ πιστοὶ ἀνεβαίνουν ἐκεῖ καὶ διανυκτερεύουν στὸν τόπο ἐκεῖνο. Ἀλλὰ δὲν θὰ μποροῦσα ποτὲ νὰ ὀνομάσω αὐτοὺς πιστούς. Γιὰ μένα καὶ τὸ ἱερὸ τῆς Ματρώνης καὶ τὸ ἱερὸ τοῦ Ἀπόλλωνα εἶναι ἐξ ἴσου βέβηλα. Ἂν ὅμως κάποιος μὲ κατηγορῆ γι' αὐτὸ ποὺ τολμῶ καὶ λέγω, ἐγὼ πάλι θὰ τὸν κατηγορήσω γιὰ τὴ χειρότερη μορφὴ μανίας.

Πές μου λοιπόν, ἐκεῖ ὅπου κατοικοῦν οἱ δαίμονες δὲν εἶναι τόπος τῆς ἀσέβειας, κι ἂν ἀκόμη δὲν ὑπάρχῃ στημένο ἄγαλμα; Ὅπου συγκεντρώνονται οἱ χριστοκτόνοι, ὅπου ἐκδιώκεται ὁ σταυρός, ὅπου βλασφημεῖται ὁ Θεός, ὅπου ἀγνοεῖται ὁ Πατέρας, ὅπου ὑβρίζεται ὁ Υἱός, ὅπου ἀθετεῖται ἡ χάρη τοῦ Πνεύματος, ἢ καλύτερα καὶ αὐτοὶ οἱ ἴδιοι εἶναι δαίμονες, δὲν εἶναι μεγαλύτερη ἡ βλάβη ποὺ προέρχεται ἀπὸ ἐκεῖ; Γιατὶ ἐκεῖ ἡ ἀσέβεια εἶναι φανερὴ ἀπὸ παντοῦ καὶ δὲν θὰ ἦταν εὔκολο νὰ παρασύρῃ, οὔτε καὶ νὰ ἐξαπατήσῃ ἄνθρωπο μυαλωμένο καὶ σώφρονα. Ἐδῶ ὅμως, λέγοντας ὅτι λατρεύουν τὸν Θεό, ἀποστρεφόμενοι τὰ εἴδωλα καὶ ἀναγνωρίζοντας τοὺς προφῆτες καὶ τιμώντας αὐτούς, εὐκολώτερα συλλαμβάνουν στὶς παγίδες τους τοὺς πιὸ ἀφελεῖς καὶ ἀνόητους, παρασκευάζοντας μὲ τὰ λόγια αὐτὰ τὸ δόλωμα. Ὥστε ὡς πρὸς τὴν ἀσέβεια καμμιὰ διαφορὰ δὲν ὑπάρχει μεταξὺ αὐτῶν καὶ τῶν Ἐθνικῶν, τὰ τῆς ἀπάτης ὅμως φοβερώτερα τίθενται σὲ ἐνέργεια ἀπὸ αὐτούς. Καθ' ὅσον καὶ σ' αὐτοὺς ἔχει στηθῆ ἕνας ἀόρατος βωμὸς ἀπάτης, στὸν ὁποῖο δὲν θυσιάζουν μόνο πρόβατα καὶ μοσχάρια, ἀλλὰ καὶ ψυχὲς ἀνθρώπων. Καὶ πράγματι, ἂν σὺ θαυμάζῃς τὰ ἱερὰ ἐκείνων, τί σχέση μπορεῖς νὰ ἔχῃς σὺ μὲ ἐμᾶς; Γιατί, ἂν τὰ τῶν Ἰουδαίων εἶναι σεμνὰ καὶ μεγάλα, τότε ψεύτικα εἶναι τὰ δικά μας· ἂν ὅμως τὰ δικά μας εἶναι ἀληθινά, ὅπως βέβαια καὶ εἶναι ἀληθινά, ἐκεῖνα τότε εἶναι γεμᾶτα ἀπὸ ἀπάτη. Δὲν ἐννοῶ τὶς Γραφές· μακριὰ μιὰ τέτοια σκέψη· γιατὶ ἐκεῖνες μὲ ὡδήγησαν πρὸς τὸν Χριστό· ἀλλ' ἐννοῶ τὴν ἀσέβεια αὐτῶν καὶ τὴ σημερινή τους μανία.

Ἀλλ' εἶναι καιρὸς πλέον ν' ἀποδείξουμε, ὅτι ἐκεῖ κατοικοῦν καὶ δαίμονες, ὄχι μόνο στὸν τόπο αὐτόν, ἀλλὰ καὶ στὶς ἴδιες τὶς ψυχὲς τῶν Ἰουδαίων. Γιατὶ λέγει, «ὅταν ἐξέλθῃ τὸ πνεῦμα τὸ ἀκάθαρτο ἀπὸ τὸν ἄνθρωπο, βαδίζει μέσα ἀπὸ ξεροὺς τόπους, ζητώντας νὰ

μὴ εὕρῃ, φησίν, ὑποστρέψω εἰς τὸν οἶκόν μου· καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα, σεσαρωμένον καὶ κεκοσμημένον καὶ πορεύεται καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ καὶ εἰσέρχεται εἰς αὐτὸν καὶ ἔσται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων· οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ». Ὁρᾷς ὅτι δαίμονες ἐνοικοῦσιν αὐτῶν ταῖς ψυχαῖς καὶ χαλεπώτεροι τῶν προτέρων οἱ νῦν; Καὶ μάλα εἰκότως. Τότε μὲν γὰρ εἰς τοὺς προφήτας ἠσέβουν, νῦν δὲ εἰς αὐτὸν τῶν προφητῶν τὸν δεσπότην ὑβρίζουσιν. Ἀνθρώποις οὖν, εἰπέ μοι, δαιμονῶσι καὶ τοιαῦτα ἔχουσι πνεύματα ἀκάθαρτα, ἐν σφαγαῖς καὶ φόνοις ἀνατραφεῖσιν, εἰς ταὐτὸ συνέρχεσθε καὶ οὐ φρίττετε; Προσρήσεως γὰρ δεῖ κοινωνεῖν τούτοις καὶ λόγου μεταδιδόναι ψιλοῦ, ἀλλ' οὐχ ὡς κοινὴν λύμην καὶ νόσον τῆς οἰκουμένης ἁπάσης ἀποστρέφεσθαι; Οὐχὶ πᾶν εἶδος ἐπῆλθον κακίας; οὐχὶ τοὺς πολλοὺς καὶ μακροὺς λόγους οἱ προφῆται πάντες εἰς τὰς τούτων κατηγορίας ἀνάλωσαν; Ποίαν τραγῳδίαν, τίνα παρανομίας τρόπον οὐκ ἀπέκρυψαν ταῖς ἑαυτῶν μιαιφονίαις; Ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις· τὴν φύσιν ἠγνόησαν, ὠδίνων ἐπελάθοντο, παιδοτροφίαν κατεπάτησαν, τῆς συγγενείας τοὺς νόμους ἐξ αὐτῶν τῶν βάθρων ἀνέτρεψαν, θηρίων ἁπάντων γεγόνασιν ἀγριώτεροι. Τὰ θηρία μὲν γὰρ καὶ τὴν ψυχὴν ἐπιδίδωσι πολλάκις καὶ τῆς οἰκείας καταφρονεῖ σωτηρίας, ὥστε ὑπερασπίσαι τῶν ἐκγόνων· οὗτοι δὲ οὐδὲ μιᾶς ἀνάγκης οὔσης τοὺς ἐξ αὐτῶν φύντας ταῖς οἰκείαις κατέσφαξαν χερσίν, ἵνα τοὺς ἐχθροὺς τῆς ἡμετέρας ζωῆς, τοὺς ἀλάστορας θεραπεύσωσι δαίμονας. Τί ἂν τις αὐτῶν ἐκπλαγείη πρότερον, τὴν ἀσέβειαν ἢ τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν; ὅτι τοὺς υἱοὺς ἔθυσαν, ἢ ὅτι τοῖς δαιμονίοις ἔθυσαν; Ἀλλὰ ἀσελγείας ἕνεκεν οὐχὶ καὶ τὰ λαγνότατα τῶν ἀλόγων ἀπέκρυψαν; Ἄκουσον τοῦ προφήτου, τί φησι περὶ τῆς ἀκολασίας αὐτῶν· «ἵπποι θηλυμανεῖς ἐγένοντο· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν». Οὐκ εἶπεν, 'ἕκαστος τῆς γυναικὸς τοῦ πλησίον ἐπεθύμει', ἀλλ' ἐμφαντι-

42. Ματθ. 12,43–45.
43. Ἰερ. 5,8.

βρῆ ἀνάπαυση· καὶ ἂν δὲ βρῆ, τότε λέγει, θὰ ἐπιστρέψω στὸν οἶκο μου· καὶ ἐρχόμενο ἐκεῖ τὸν βρίσκει ἄδειο καὶ σκουπισμένο καὶ στολισμένο. Τότε πηγαίνει καὶ παίρνει μαζί του ἑπτὰ ἄλλα πνεύματα πιὸ πονηρὰ ἀπ' αὐτὸ καὶ εἰσέρχεται σ' αὐτὸν καὶ γίνεται τότε ἡ κατάσταση τοῦ ἀνθρώπου αὐτοῦ χειρότερη ἀπὸ τὴν προηγούμενη. Τὸ ἴδιο θὰ συμβῆ καὶ σ' αὐτὴ τὴν πονηρὴ γενεά»[42]. Βλέπεις ὅτι δαίμονες κατοικοῦν στὶς ψυχές τους καὶ ὅτι αὐτοὶ οἱ τελευταῖοι εἶναι χειρότεροι ἀπὸ τοὺς πρώτους; Καὶ πολὺ σωστά. Γιατὶ τότε ἀσεβοῦσαν στοὺς προφῆτες, ἐνῶ τώρα ὑβρίζουν τὸν ἴδιο τὸν Κύριο τῶν προφητῶν. Πές μου λοιπόν, συγκεντρώνεσθε μαζὶ μὲ δαιμονιζόμενους, μὲ ἀνθρώπους ποὺ ἔχουν τόσα πολλὰ ἀκάθαρτα πνεύματα, ποὺ ἀνατράφηκαν μὲ σφαγὲς καὶ φόνους, καὶ δὲν φρίττετε; Πρέπει δηλαδὴ νὰ τοὺς χαιρετᾶτε καὶ νὰ τοὺς ἀπευθύνετε ἔστω καὶ τυπικὰ ἕνα λόγο, καὶ δὲν πρέπει νὰ τοὺς ἀποστρέφεσθε σὰν κοινὴ καταστροφὴ καὶ ἀσθένεια ὅλης τῆς οἰκουμένης; Δὲν διέπραξαν κάθε εἶδος κακίας; Δὲν ἀφιέρωσαν ὅλοι οἱ προφῆτες τοὺς πολλοὺς καὶ μακροσκελεῖς λόγους τους στὶς κατηγορίες αὐτῶν; Ποιά τραγωδία καὶ ποιόν τρόπο παρανομίας δὲν ξεπέρασαν μὲ τὶς μιαιφονίες τους; Θυσίασαν στὰ δαιμόνια τοὺς υἱοὺς καὶ τὶς θυγετέρες τους· ἀγνόησαν τὴ φύση, ξέχασαν τοὺς φοβεροὺς πόνους τοῦ τοκετοῦ, κατεπάτησαν τοὺς νόμους τῆς διαπαιδαγωγήσεως τῶν παιδιῶν, ἀνέτρεψαν ἀπὸ τὰ θεμέλια τοὺς συγγενικοὺς δεσμούς, κι ἔγιναν πιὸ ἄγριοι ἀπ' ὅλα τὰ θηρία. Γιατὶ τὰ θηρία πολλὲς φορὲς θυσιάζουν τὴ ζωή τους καὶ ἀδιαφοροῦν γιὰ τὴ δική τους σωτηρία, προκειμένου νὰ ὑπερασπίσουν τὰ τέκνα τους, ἐνῶ αὐτοί, χωρὶς νὰ ὑπάρχη κανένας λόγος, κατέσφαξαν μὲ τὰ χέρια τους τὰ παιδιά τους, γιὰ νὰ λατρεύσουν τοὺς μισητοὺς δαίμονες, τοὺς ἐχθροὺς τῆς ζωῆς μας. Γιὰ ποιό πρᾶγμα λοιπὸν θὰ ἦταν δυνατὸ νὰ τοὺς θαυμάση κανεὶς πρῶτα; γιὰ τὴν ἀσέβειά τους ἢ γιὰ τὴ σκληρότητα καὶ ἀπανθρωπιά τους; Γιὰ τὸ ὅτι θυσίασαν τοὺς υἱούς τους ἢ γιὰ τὸ ὅτι τοὺς πρόσφεραν θυσία στοὺς δαίμονες; Ἀλλὰ μήπως ἐξ αἰτίας τῆς ἀσέλγειάς τους δὲν ξεπέρασαν καὶ τὰ πιὸ μιαρὰ ἄλογα ζῶα; Ἄκουσε τί λέγει ὁ προφήτης γιὰ τὴν ἀκολασία τους· «ἔγιναν θηλυμανεῖς ἵπποι· ὁ καθένας χλιμίντριζε γιὰ τὴ γυναῖκα τοῦ πλησίον του »[43]. Καὶ δὲν εἶπε 'ὅτι ὁ καθένας τους ἐπιθυμοῦσε τὴ γυναίκα τοῦ πλησίον του', ἀλλὰ μὲ τὴ φωνὴ τῶν

κώτατα τῇ τῶν ἀλόγων φωνῇ τὴν ἐκ τῆς ἀσελγείας ἐγγινομένην αὐτοῖς μανίαν ἐνέφηνεν.

7. Τί βούλεσθε ἕτερον εἴπω; Τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τὰς τῶν πενήτων προδοσίας, τὰς κλοπάς, τὰς καπηλείας; Ἀλλ' οὐδὲ πᾶσα ἡμῖν πρὸς ταύτην ἀρκέσει τὴν διήγησιν ἡ ἡμέρα. Ἀλλ' αἱ ἑορταὶ αὐτῶν σεμνὸν ἔχουσί τι καὶ μέγα; Καὶ αὐτὰς μὲν οὖν ταύτας ἀκαθάρτους ἀπέδειξαν. Ἄκουσον γοῦν τῶν προφητῶν, μᾶλλον δὲ ἄκουσον τοῦ Θεοῦ, μεθ' ὅσης αὐτὰς ἀποστρέφεται τῆς ὑπερβολῆς· «μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν». Ὁ Θεὸς μισεῖ, καὶ σὺ κοινωνεῖς; Καὶ οὐκ εἶπε, τήνδε ἢ τήνδε τὴν ἑορτήν, ἀλλὰ πάσας ὁμοῦ. Βούλει ἰδεῖν, ὅτι καὶ τὴν διὰ τυμπάνων καὶ τῆς κιθάρας, καὶ τῶν ψαλτηρίων, καὶ τῶν ἄλλων ὀργάνων λατρείαν μισεῖ; «Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου», φησί, «καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι». Ὁ Θεὸς λέγει, «μετάστησον ἀπ' ἐμοῦ»· καὶ σὺ τρέχεις ἀκουσόμενος τῶν σαλπίγγων; Ἀλλ' αὗται αἱ θυσίαι καὶ αἱ προσφοραὶ οὐχὶ βδελυκταί; «Ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστιν». Θυμίαμα βδέλυγμα καὶ ὁ τόπος οὐ βδέλυγμα; Καὶ πότε βδέλυγμα; Πρὶν ἢ τὸ κεφάλαιον αὐτοὺς ἐργάσασθαι τῶν κακῶν, πρὶν ἢ τὸν ἑαυτῶν ἀνελεῖν Δεσπότην, πρὸ τοῦ σταυροῦ, πρὸ τῆς χριστοκτονίας τὸ βδέλυγμα· καὶ νῦν οὐ πολλῷ μᾶλλον; Καίτοι τί θυμιάματος εὐωδέστερον; Ἀλλ' οὐ τῇ φύσει τῶν δώρων, ἀλλὰ τῇ προαιρέσει τῶν προσαγόντων προσέχων ὁ Θεός, οὕτω κρίνει τὰς προσφοράς. Προσέσχεν ἐπὶ Ἄβελ καὶ τότε ἐπὶ τοῖς δώροις αὐτοῦ· εἶδε τὸν Κάιν καὶ τότε τὰς θυσίας αὐτοῦ ἀπεστράφη· «ἐπὶ γὰρ Κάιν», φησί, «καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν». Ὁ Νῶε θυσίας ἀνήνεγκε τῷ Θεῷ προβάτων καὶ μόσχων καὶ ὀρνίθων· καί φησιν ἡ Γραφή, ὅτι «ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας»· τουτέστιν, ἐδέξατο τὰ προσενεχθέντα. Οὐ γὰρ δὴ ῥῖνές εἰσι περὶ Θεόν, ἀλλ' ἀσώματον τὸ θεῖον· καί τοι τὰ ἀναφερόμενα ἐκεῖθεν κνίσσα καὶ καπνὸς σωμάτων καιομένων· τῆς δὲ τοιαύτης κνίσσης οὐδὲν δυσωδέστερον. Ἀλλ' ἵνα μάθῃς, ὅτι τῇ προαιρέσει τῶν προσφερόντων προσέχων ὁ Θεὸς καὶ δέχεται καὶ

44. Ἀμὼς 5,21.
45. Τὸ Ψαλτήρι ἦταν βασιλικὸ ἔγχορδο μουσικὸ ὄργανο.
46. Ἀμὼς 5,23.
47. Ἠσ. 1,13.
48. Γεν. 4,5.

ἀλόγων ζώων φανέρωσε πάρα πολὺ χαρακτηριστικὰ τὴ μανία, ποὺ γεννιέται ἀπὸ τὴν ἀκολασία σ' αὐτούς.

7. Τί ἄλλο θέλετε νὰ σᾶς πῶ; Τὶς ἁρπαγές, τὶς πλεονεξίες, τὶς προδοσίες τῶν φτωχῶν, τὶς κλοπές, τὶς καπηλεῖες τους; Ἀλλὰ δὲ θὰ ἔφθανε οὔτε ὁλόκληρη ἡ ἡμέρα γιὰ νὰ σᾶς τὰ διηγηθῶ αὐτά. Μήπως ὅμως οἱ ἑορτές τους ἔχουν τίποτε τὸ σεμνὸ καὶ τὸ μεγαλό; Ἀλλὰ κι αὐτὲς τὶς κατέστησαν ἀκάθαρτες. Ἄκουσε λοιπὸν τοὺς προφῆτες, ἢ καλύτερα ἄκουσε τὸν ἴδιο τὸ Θεό, ποὺ τόσο πολὺ τὶς ἀποστρέφεται· «μίσησα καὶ ἀπέρριψα τὶς ἑορτές σας»[44]. Ὁ Θεὸς τὶς μισεῖ καὶ σὺ συναναστρέφεσαι αὐτούς; Καὶ δὲν εἶπε 'μισῶ αὐτὴν ἢ ἐκείνη τὴν ἑορτή', ἀλλ' ὅλες μαζί. Θέλεις νὰ δῆς, ὅτι μισεῖ καὶ τὴ λατρεία, ποὺ τελεῖτα μὲ τὰ τύμπανα, τὶς κιθάρες, τὰ ψαλτήρια[45], καὶ τὰ ἄλλα ὄργανα; «Ἀπομακρύνατε», λέγει, «ἀπὸ κοντά μου τὸν ἦχο τῶν ᾠδῶν σας καὶ δὲν θέλω ν' ἀκούσω τὶς μελωδίες τῶν ὀργάνων σας»[46]. Ὁ Θεὸς λέγει, «ἀπομακρύνατέ τα ἀπὸ κοντά μου», καὶ σὺ τρέχεις ν' ἀκούσης τὶς σάλπιγγες; Μήπως οἱ θυσίες αὐτὲς καὶ οἱ προσφορὲς δὲν εἶναι βδελυκτές; «Ἐὰν μοῦ προσφέρετε σεμιγδάλι, μάταια τὸ κάμνετε· γιατὶ θεωρῶ βδέλυγμα τὸ θυμίαμά σας»[47]. Τὸ θυμίαμα εἶναι βδέλυγμα καὶ δὲν εἶναι βδέλυγμα ὁ τόπος; Καὶ πότε εἶναι βδέλυγμα; Εἶναι βδέλυγμα προτοῦ διαπράξουν τὸ ἀποκορύφωμα τῶν κακῶν τους, προτοῦ φονεύσουν τὸν Κύριό τους, πρὶν ἀπὸ τὸ σταυρό, πρὶν ἀπὸ τὴν χριστοκτονία· καὶ τώρα δὲν εἶναι πολὺ περισσότερο βδέλυγμα; Ἂν καὶ βέβαια τί ὑπάρχει εὐωδέστερο ἀπὸ τὸ θυμίαμα; Ἀλλ' ὁ Θεὸς δὲν προσέχει τὴ φύση τῶν δώρων, ἀλλὰ ἀπὸ τὴν προαίρεση τῶν προσφερόντων κρίνει τὶς προσφορές. Πρόσεξε τοῦ Ἄβελ τὴ διάθεση καὶ τότε ἔκανε δεκτὴ τὴ θυσία του· εἶδε τὸν Κάϊν καὶ τότε ἀποστράφηκε τὶς θυσίες του· γιατὶ λέγει, «δὲν πρόσεξε τὶς θυσίες αὐτοῦ»[48]. Ὁ Νῶε θυσίασε στὸν Θεὸ πρόβατα καὶ μοσχάρια καὶ ὄρνιθες· καὶ λέγει ἡ Γραφή, ὅτι «ἔνιωσε ὁ Κύριος ὀσμὴ εὐωδίας»[49], δηλαδὴ δέχθηκε τὰ προσφερθέντα. Βέβαια ὁ Θεὸς δὲν ἔχει μύτη γιὰ νὰ ὀσφραίνεται, ἀλλ' εἶναι ἀσώματος· ἂν καὶ τὰ προσφερόμενα ἐκεῖ ἦταν κνίσσα καὶ καπνὸς καιομένων σωμάτων καὶ δὲν ὑπάρχει τίποτε δυσωδέστερο ἀπὸ τὴν κνίσσα αὐτή. Ἀλλὰ γιὰ νὰ μάθης, ὅτι ὁ Θεὸς προσέχει τὴν προαίρεση τῶν προσφερόντων καὶ βάσει αὐτῆς δέχεται ἢ ἀποστρέφεται τὶς προσφορές, ὀνομάζει

49. Γεν. 8,21.

ἀποστρέφεται τὰ θυσίας, τὴν μὲν κνίσσαν καὶ τὸν καπνὸν ὀσμὴν εὐωδίας καλεῖ, τὸ δὲ θυμίαμα βδέλυγμα, ἐπειδὴ πολλῆς δυσωδίας ἡ τῶν προσαγόντων προαίρεσις ἔγεμεν.

Βούλει μαθεῖν ὅτι μετὰ τῶν θυσιῶν καὶ τῶν ὀργάνων καὶ τῶν ἑορτῶν καὶ τῶν θυμιαμάτων καὶ τὸν ναὸν ἀποστρέφεται διὰ τοὺς εἰσιόντας ἐκεῖ; Μάλιστα μὲν ἔδειξε διὰ τῶν ἔργων, τότε μὲν βαρβαρικαῖς χερσὶ παραδούς, ὕστερον δὲ εἰς τέλος καθελών. Ὅμως δὲ καὶ πρὸ τῆς καταστροφῆς διὰ τοῦ προφήτου βοᾷ καὶ λέγει, «μὴ πεποίθατε ἐπὶ λόγοις ψευδέσιν, ὅτι οὐκ ὠφελήσουσιν ὑμᾶς, λέγοντας, ναὸς Κυρίου, ναὸς Κυρίου ἐστίν». Οὐχ ὁ ναὸς ἁγιάζει, φησί, τοὺς συνιόντας, ἀλλ' οἱ συνιόντες τὸν ναὸν ἅγιον ποιοῦσιν. Εἰ δὲ τότε οὐκ ὠφέλει ὁ ναός, ὅτε τὰ Χερουβίμ, ὅτε ἡ κιβωτός, πολλῷ μᾶλλον ὅτε πάντα ἐκεῖνα ἀνῄρηται, ὅτε τελεία ἡ ἀποστροφὴ τοῦ Θεοῦ γέγονεν, ὅτε πλείων τῆς ἔχθρας ἡ ὑπόθεσις.

Πόσης οὖν ἀνοίας ἂν εἴη καὶ πόσης παραφροσύνης, τοὺς ἠτιμωμένους, τοὺς ὑπὸ τοῦ Θεοῦ προδεδομένους, τοὺς τὸν Δεσπότην παροξύναντας, τούτους κοινωνοὺς ποιεῖσθαι ἐν ἑορταῖς; Εἴ τις τὸν υἱὸν ἀνεῖλε τὸν σόν, εἰπέ μοι, ἆρα ἂν αὐτὸν ἰδεῖν ὑπέμεινας; ἆρα ἂν ἀκοῦσαι τῆς προσηγορίας; Ἀλλ' οὐχ' ὡς δαίμονα πονηρόν, ἀλλ' οὐχ ὡς αὐτὸν τὸν διάβολον ἔφυγες ἄν; Τοῦ Δεσπότου σου τὸν Υἱὸν ἀνεῖλον καὶ τολμᾷς αὐτοῖς εἰς ταὐτὸν συνιέναι; Καὶ ὁ μὲν ἀναιρεθεὶς οὕτω σε ἐτίμησεν, ὡς ἀδελφόν σε ποιῆσαι καὶ συγκληρονόμον αὐτοῦ· σὺ δὲ αὐτὸν οὕτως ἀτιμάζεις, ὡς τοὺς ἐκείνου φονέας καὶ σταυρώσαντας αὐτόν, τιμᾶν καὶ θεραπεύειν τῇ τῶν ἑορτῶν κοινωνίᾳ· καὶ εἰς τοὺς βεβήλους αὐτῶν τόπους ἀπαντᾶν καὶ τῶν ἀκαθάρτων ἐπιβαίνειν προθύρων καὶ κοινωνεῖν τραπέζης δαιμονίων. Οὕτω γὰρ ἐγὼ πείθομαι καλεῖν μετὰ τὴν θεοκτονίαν τὴν τῶν Ἰουδαίων νηστείαν. Καὶ πῶς γὰρ οὐχὶ δαίμονας θεραπεύουσιν οἱ Θεοῦ ἐναντία διαπραττόμενοι;

Ἀλλὰ θεραπείαν ἐκ δαιμόνων ἐπιζητεῖς; Ὅτε εἰς χοίρους εἰσελθεῖν αὐτοὺς συνεχώρει ὁ Χριστός, τότε εἰς πέλαγος εὐθέως κατεπόντισαν· ἀνθρωπείων δὲ φείσονται σωμάτων; Εἴθε μὲν οὖν μὴ

50. Ἱερ. 7,4.
51. Ρωμ. 8,17.
52. Ματθ. 8,30 ἑ. Μαρκ. 5,11 ἑ. Λουκ. 8,32 ἑ.

τὴν κνίσσα καὶ τὸν καπνὸ «ὀσμὴ εὐωδίας», ἐνῶ τὸ θυμίαμα «βδέλυγμα», ἐπειδὴ ἡ προαίρεση τῶν προσφερόντων ἦταν γεμάτη ἀπὸ πολλὴ δυσωδία.

Θέλεις νὰ μάθης, ὅτι ὁ Θεὸς μαζὶ μὲ τὶς θυσίες καὶ τὰ ὄργανα καὶ τὶς ἑορτὲς καὶ τὰ θυμιάματα ἀποστρέφεται καὶ τὸν ναὸ ἐξ αἰτίας ἐκείνων ποὺ μπαίνουν σ' αὐτόν; Αὐτὸ βέβαια τὸ ἀπέδειξε ἔμπρακτα, παραδίνοντας τὸν ναὸ στὴν ἀρχὴ σὲ χέρια βαρβάρων, καὶ ἀργότερα καταστρέφοντας αὐτόν. Ὅμως καὶ πρὶν ἀπὸ τὴν καταστροφὴ μὲ τὸ στόμα τοῦ προφήτη φωνάζει καὶ λέγει, «μὴ πιστεύετε σὲ λόγια ψευδῆ, γιατὶ δὲ θὰ σᾶς ὠφελήσουν ἐκεῖνοι ποὺ λέγουν, ὁ ναὸς τοῦ Κυρίου εἶναι αὐτός, ὁ ναὸς τοῦ Κυρίου βρίσκεται ἐδῶ»[50]. Δὲν ἁγιάζει ὁ ναός, λέγει, τοὺς προσερχομένους, ἀλλ' οἱ προσερχόμενοι ἁγιάζουν τὸν ναό. Ἂν λοιπὸν τότε δὲν ὠφελοῦσε ὁ ναός, τότε ποὺ ὑπῆρχαν σ' αὐτὸν τὰ χερουβὶμ καὶ ἡ κιβωτός, πολὺ περισσότερο τώρα ποὺ ὅλα ἐκεῖνα καταστράφηκαν, τώρα ποὺ ἡ ἀποστροφὴ τοῦ Θεοῦ εἶναι πλήρης καὶ ἡ αἰτία τῆς ἔχθρας εἶναι μεγαλύτερη.

Πόσης λοιπὸν ἀνοησίας δεῖγμα δὲ θὰ ἦταν, πόσης παραφροσύνης, κάμνοντας κανεὶς κοινωνούς του ἐκείνους ποὺ ἀτιμάσθηκαν καὶ προδόθηκαν ἀπὸ τὸν Θεό, ἐκείνους ποὺ ἐξώργισαν τὸν Κύριο; Ἂν κάποιος φόνευε τὸ παιδί σου, πές μου, θὰ μποροῦσες νὰ τὸν ἀντικρύσης; θὰ εἶχες τὴ δύναμη ν' ἀκούσης τὸ ὄνομά του; Δὲν θὰ τὸν ἀπέφευγες σὰν δαίμονα κακό, σὰν νὰ ἦταν αὐτὸς ὁ ἴδιος ὁ διάβολος; Τοῦ Κυρίου σου τὸν Υἱὸ ἐφόνευσαν καὶ τολμᾶς νὰ συγκεντρώνεσαι μὲ αὐτοὺς στὸν ἴδιο χῶρο; Καὶ ἐκεῖνος βέβαια ποὺ φονεύθηκε τόσο πολὺ σὲ τίμησε, ὥστε σὲ ἔκαμε ἀδελφό του καὶ συγκληρονόμο του[51], ἐνῶ σὺ τόσο τὸν ἀτιμάζεις, ὥστε καὶ τοὺς φονευτὲς καὶ σταυρωτές του νὰ τιμᾶς καὶ νὰ τὸν λατρεύης συμμετέχοντας στὶς ἴδιες ἑορτές, καὶ πηγαίνοντας στοὺς βέβηλους ναούς τους, καὶ παίρνοντας μέρος στὶς ἀκάθαρτες θυσίες τους, καὶ μετέχοντας στὰ τραπέζια τῶν δαιμονίων. Ἔτσι ὀνομάζω ἐγὼ τὴ νηστεία τῶν Ἰουδαίων μετὰ τὴν θεοκτονία ἐκείνη. Καὶ πῶς δὲν λατρεύουν τοὺς δαίμονες ἐκεῖνοι ποὺ ἐνεργοῦν ἀντίθετα μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ;

Μήπως περιμένεις νὰ θεραπευθῆς ἀπὸ τοὺς δαίμονες; Ὅταν ὁ Χριστὸς τοὺς ἐπέτρεψε νὰ εἰσέλθουν στοὺς χοίρους, τότε αὐτοὶ ἀμέσως τοὺς ἔρριξαν στὴ θάλασσα[52], χωρὶς νὰ τοὺς λυπηθοῦν, καὶ

ἀπεκτίννυον, εἴθε μὴ ἐπεβούλευον. Τοῦ παραδείσου ἐξέβαλον, τῆς τιμῆς ἀπεστέρησαν τῆς ἄνωθεν καὶ τὸ σῶμα θεραπεύσουσι; Γέλως ταῦτα καὶ μῦθοι. Ἐπιβουλεύειν καὶ καταβλάπτειν, οὐ θεραπεύειν ἴσασιν οἱ δαίμονες. Τῆς ψυχῆς οὐ φείδονται καὶ τῶν σωμάτων, εἰπέ μοι, φείσονται; Τῆς βασιλείας ἐπιχειροῦσιν ἐκβαλεῖν καὶ νοσημάτων ἀπαλλάττειν αἱρήσονται; Οὐκ ἤκουσας τοῦ προφήτου λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου, ὅτι οὐδὲ ἀγαθοποιῆσαι, οὐδὲ κακοποιῆσαι δύνανται; Εἰ δὲ καὶ ἠδύναντο θεραπεύειν καὶ ἐβούλοντο, ὅπερ ἀδύνατον, ἀλλὰ δεῖ σε μὴ κέρδους μικροῦ καὶ φθειρομένου ζημίαν ἄφθαρτον καὶ αἰώνιον ἀνταλλάξασθαι. Σῶμα θεραπεύσεις, ἵνα ψυχὴν ἀπολέσῃς; Οὐ καλή σου ἡ ἐμπορία· τὸν ποιητὴν τοῦ σώματος παροργίζεις Θεὸν καὶ τὸν σὸν ἐπίβουλον εἰς θεραπείαν ἐπικαλῇ; Καὶ πῶς σέ τις, τῆς ἰατρικῆς ἐπιστήμης αὐτῆς ἕνεκα, δεισιδαίμων ἄνθρωπος, Ἑλλήνων θεοῖς οὐχ ἑλκύσει προσκυνῆσαι ῥᾳδίως; Καὶ γὰρ ἐκεῖνοι πολλὰ πολλάκις διὰ τῆς αὐτῶν τέχνης νοσήματα ἀπήλασαν καὶ πρὸς ὑγίειαν τοὺς κάμνοντας ἐπανήγαγον. Τί οὖν, κοινωνῆσαι δεῖ τῆς ἀσεβείας διὰ τοῦτο; Μὴ γένοιτο. Ἄκουσον τί φησιν Ἰουδαίοις ὁ Μωϋσῆς· «ἐὰν ἀναστῇ προφήτης ἐν ὑμῖν, ἐνυπνιαζόμενος ἐνύπνιον, καὶ δῷ σημεῖον ἢ τέρας καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας ὃ ἐλάλησε, καὶ εἴπῃ πρὸ σέ, λέγων· πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες ἡμῶν, οὐκ ἀκούσασθε τῆς φωνῆς τοῦ προφήτου ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐάν τις ἀναστῇ προφήτης, φησί, καὶ ποιήσῃ σημεῖον, ἢ νεκρὸν ἐγείρῃ, ἢ λεπρὸν καθάρῃ, ἢ πηρὸν ἰάσηται καὶ μετὰ τὸ ποιῆσαι τὸ σημεῖον, καλέσῃ σε εἰς ἀσέβειαν, μὴ πεισθῇς διὰ τὴν ἔκβασιν τοῦ σημείου. Διὰ τί; «Πειράζει γάρ σε Κύριος ὁ Θεός σου ἰδεῖν, εἰ ἀγαπᾷς αὐτὸν ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου».

53. Δευτ. 13,1–3.
54. Δευτ. 13,3.

θὰ λυπηθοῦν τὰ ἀνθρώπινα σώματα; Μακάρι νὰ μὴ φόνευαν, μακάρι νὰ μὴ ἐπιβουλεύονταν τοὺς ἀνθρώπους. Σὲ ἔβγαλαν ἀπὸ τὸν παράδεισο, σοῦ στέρησαν τὴν οὐράνια τιμή, καὶ θὰ σοῦ θεραπεύσουν τὸ σῶμα; Αὐτὰ εἶναι γιὰ γέλια καὶ μῦθοι. Οἱ δαίμονες γνωρίζουν νὰ κάμνουν κακὸ καὶ νὰ προξενοῦν βλάβη, καὶ ὄχι νὰ θεραπεύουν. Αὐτοὶ δὲν λυποῦνται τὴν ψυχὴ καὶ θὰ λυπηθοῦν, πές μου, τὰ σώματα; Ἐπιχειροῦν ν' ἀπομακρύνουν τὸν ἄνθρωπο ἀπὸ τὴ βασιλεία τοῦ Θεοῦ καὶ θὰ θελήσουν νὰ τὸν ἀπαλλάξουν ἀπὸ τὶς ἀσθένειες; Δὲν ἄκουσες τὸν προφήτη ποὺ λέγει, ἢ καλύτερα τὸν ἴδιο τὸν Θεὸ μέσω τοῦ προφήτη, ὅτι δὲν μποροῦν νὰ κάμουν οὔτε τὸ καλὸ οὔτε τὸ κακό; Καὶ ἂν ἀκόμα μποροῦσαν νὰ θεραπεύουν καὶ τὸ ἤθελαν, πρᾶγμα ἀδύνατο, ἐσὺ δὲν πρέπει ν' ἀνταλλάξῃς αὐτό, γιὰ χάρη τοῦ μικροῦ καὶ πρόσκαιρου κέρδους, μὲ τὴν ἄφθαρτη καὶ αἰώνια ζημιά. Θὰ θεραπεύσεις τὸ σῶμα, γιὰ νὰ χάσῃς τὴν ψυχή; Δὲν εἶναι καλὴ ἡ ἐμπορική σου συναλλαγή· ἐξοργίζεις τὸ Θεό, τὸν δημιουργὸ τοῦ σώματος, καὶ ἐπικαλεῖσαι τὸν διάβολο, ποὺ θέλει τὸ κακό σου, νὰ σὲ θεραπεύσῃ; Καὶ πῶς τότε δὲν θὰ σὲ παρασύρῃ εὔκολα μὲ τὴν ἰατρικὴ ἐπιστήμη του κάποιος δεισιδαίμονας ἄνθρωπος στὴ λατρεία τῶν ἐθνικῶν θεῶν; Καθ' ὅσον ἐκεῖνοι μὲ τὴν ἰατρική τους τέχνη πολλὲς φορὲς θεράπευσαν πολλὲς ἀσθένειες καὶ ἀποκατέστησαν τὴν ὑγεία τῶν ἀρρώστων. Τί λοιπόν, πρέπει γι' αὐτὸ νὰ γίνῃς κοινωνὸς τῆς ἀσέβειας; Μακριὰ μιὰ τέτοια σκέψη. Ἄκουσε τί λέγει ὁ Μωϋσῆς στοὺς Ἰουδαίους· «ἂν παρουσιασθῇ ἀνάμεσά σας προφήτης ψευδὴς ἢ ἄνθρωπος ποὺ βλέπει καὶ ἑρμηνεύει ὄνειρα καὶ σᾶς πῇ ὅτι θὰ δώσῃ κάποιο σημάδι ἢ θὰ κάμῃ κάποιο θαῦμα καὶ ἔστω πραγματοποιήσῃ τὸ σημάδι ἢ τὸ θαῦμα ποὺ σᾶς ὑποσχέθηκε, καὶ ἔπειτα σᾶς πῇ, ἂς πᾶμε νὰ λατρεύσωμε ἄλλους θεούς, ποὺ δὲν τοὺς γνώριζαν ὁ πατέρες μας, δὲν θὰ πιστέψετε στὰ λόγια τοῦ προφήτη ἐκείνου ἢ τοῦ ἀνθρώπου ποὺ βλέπει ὄνειρα»[53]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἂν παρουσιασθῇ, λέγει, κάποιος προφήτης καὶ κάμῃ κάποιο σημεῖο ἢ ἀναστήσῃ νεκρὸν ἢ καθαρίσῃ λεπρὸν ἢ θεραπεύσῃ κάποιον ἀνάπηρο, καὶ μετὰ τὴν πραγματοποίηση τοῦ θαύματος σὲ καλέσῃ στὴν ἀσέβεια, μὴ πιστέψῃς στὴν ἔκβαση τοῦ θαύματος. Γιατί; Ἐπειδὴ «σὲ δοκιμάζει ὁ Κύριος ὁ Θεός σου, γιὰ νὰ δῇ ἂν τὸν ἀγαπᾷς μὲ ὅλη τὴν καρδιά σου καὶ μὲ ὅλη τὴν ψυχή σου»[54].

Ὅθεν δῆλον, ὅτι δαίμονες οὐ θεραπεύουσιν. Εἰ δέ ποτε καὶ συγχωροῦντος τοῦ Θεοῦ, ἐπιτύχοιέν τινος θεραπείας, καθάπερ ἄνθρωποι, εἰς δοκιμὴν τὴν σὴν ἡ συγχώρησις γίνεται, οὐκ ἐπειδὴ Θεὸς ἀγνοεῖ, ἀλλ' ἵνα σὺ παιδευθῇς, μηδὲ θεραπευόντων ἀνέχεσθαι τῶν δαιμόνων. Καὶ τί λέγω θεραπείαν σώματος; Εἴ τίς σοι γέενναν ἀπειλεῖ, ὥστε ἀρνήσασθαι τὸν Χριστόν, μὴ καταδέξῃ. Εἴ τις βασιλείαν ἐπαγγέλλοιτο, ὥστε ἀποστῆναι ἀπὸ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἀποστράφηθι καὶ μίσησον καὶ γενοῦ Παύλου μαθητὴς καὶ ζήλωσον τὰς φωνὰς ἐκείνας, ἃς ἡ μακαρία καὶ γενναία ἀνεβόησε ψυχή· «πέπεισμαι» γὰρ φησίν, «ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Ἐκεῖνον οὐκ ἄγγελοι, οὐ δυνάμεις, οὐκ ἐνεστῶτα, οὐ μέλλοντα, οὐ κτίσις ἑτέρα χωρίζει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, καὶ σὲ σώματος θεραπεία ἀφίστησι; καὶ ποίας ἂν τύχοιμεν συγγνώμης; Καὶ γὰρ καὶ γεέννης φοβερώτερον ἡμῖν τὸν Χριστὸν εἶναι δεῖ καὶ βασιλείας ποθεινότερον· κἂν νοσήσωμεν, βέλτιον ἐν ταῖς ἀρρωστίαις μεῖναι, ἢ διὰ τὴν ἀπαλλαγὴν τῆς ἀσθενείας εἰς ἀσέβειαν καταπεσεῖν· κἂν γὰρ θεραπεύσῃ δαίμων, μεῖζον κατέβλαψεν ἢ ὠφέλησεν. Ὠφέλησε μὲν γὰρ τὸ σῶμα, τὸ πάντως ἀποθανούμενον μικρὸν ὕστερον καὶ σήπεσθαι μέλλον, κατέβλαψε δὲ τὴν ψυχὴν τὴν ἀθάνατον. Καὶ καθάπερ οἱ ἀνδραποδισταὶ τραγήματα καὶ πλακοῦντας καὶ ἀστραγάλους καὶ ἕτερά τινα τοιαῦτα, πολλάκις τοῖς μικροῖς προτεινόμενοι παιδίοις καὶ δελεάζοντες τῆς ἐλευθερίας αὐτὰ καὶ τῆς ζωῆς ἀποστεροῦσιν αὐτῆς, οὕτω δὴ καὶ οἱ δαίμονες, μέλους ὑπισχνούμενοι θεραπείαν, ὅλην τῆς ψυχῆς καταποντίζουσι τὴν σωτηρίαν.

Ἀλλ' ἡμεῖς μὴ ἀνεχώμεθα, ἀγαπητοί, ἀλλ' ἐκ παντὸς τρόπου ζητῶμεν ἀσεβείας ἀπαλλαγήν. Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Ἰὼβ τῇ γυ-

55. Ρωμ. 8,38–39.

Ἑπομένως γίνεται φανερό, ὅτι δὲν θεραπεύουν οἱ δαίμονες. Ἂν ὅμως κάποτε τὸ ἐπιτρέπη αὐτὸ ὁ Θεός, νὰ θεραπεύσουν δηλαδὴ μιὰ κάποια ἀσθένεια, ὅπως καὶ οἱ ἄνθρωποι, αὐτὸ παραχωρεῖται ἀπὸ τὸν Θεὸ γιὰ νὰ σὲ δοκιμάση, ὄχι ἐπειδὴ ὁ Θεὸς ἀγνοεῖ, ἀλλὰ γιὰ νὰ διδαχθῆς ἐσύ, νὰ μὴν ἀνέχεσαι τοὺς δαίμονες, κι ἂν ἀκόμα αὐτοὶ θεραπεύουν. Καὶ γιατί ὁμιλῶ γιὰ θεραπεία τοῦ σώματος; Ἂν σὲ ἀπειλῆ κάποιος μὲ τὴ γέεννα, ὥστε ν' ἀρνηθῆς τὸν Χριστό, δὲν θὰ τὸ δεχθῆς. Ἂν σοῦ ὑποσχόταν κάποιος βασιλεία, ὥστε νὰ ἀπομακρυνθῆς ἀπὸ τὸν Μονογενῆ Υἱὸ τοῦ Θεοῦ, νὰ τὸν ἀποστραφῆς καὶ νὰ τὸν μισήσης, καὶ γίνε τοῦ Παύλου μαθητὴς καὶ μὲ ζῆλο ἐπανάλαβε τὰ λόγια ἐκεῖνα, ποὺ ἡ μακάρια καὶ γενναία ψυχή του διακήρυξε· «εἶμαι ἀπόλυτα πεπεισμένος», λέγει, «ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχὲς οὔτε δυνάμεις οὔτε τίποτε ἀπὸ τὰ παρόντα οὔτε ἀπὸ τὰ μέλλοντα, οὔτε ἀπὸ τὰ βρισκόμενα ὑψηλὰ οὔτε ἀπὸ τὰ βρισκόμενα στὸ βάθος οὔτε κάποιο ἄλλο δημιούργημα θὰ μπορέση νὰ μᾶς χωρίση ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ, ποὺ ἔδειξε πρὸς ἐμᾶς μέσω τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας»[55]. Ἐκεῖνον δὲν τὸν χωρίζουν ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ οὔτε ἄγγελοι οὔτε δυνάμεις οὔτε παρόντα οὔτε μέλλοντα οὔτε κανένα ἄλλο κτίσμα καὶ σένα σ' ἀπομακρύνει ἀπὸ κοντά του ἡ θεραπεία τοῦ σώματος; Καὶ ποιά συγγνώμη θὰ μπορέσωμε νὰ ἐπιτύχωμε; Γιατὶ ὁ Χριστὸς πρέπει νὰ εἶναι γιὰ μᾶς καὶ ἀπὸ τὴν γέεννα πιὸ φοβερὸς καὶ ἀπὸ τὴ βασιλικὴ ἐξουσία πιὸ ποθητός. Κι ἂν τύχη καὶ ἀρρωστήσουμε, τότε εἶναι προτιμότερο νὰ μείνωμε ἄρρωστοι, παρὰ νὰ πέσουμε στὴν ἀσέβεια ἐξ αἰτίας τῆς ἀπαλλαγῆς μας ἀπὸ τὴν ἀσθένεια· γιατί, καὶ ἂν ἀκόμη μᾶς θεραπεύση ὁ δαίμονας, περισσότερο μᾶς ἔβλαψε παρὰ μᾶς ὠφέλησε. Γιατὶ ὠφέλησε βέβαια τὸ σῶμα, ποὺ πρόκειται μετὰ ἀπὸ λίγο νὰ πεθάνη καὶ νὰ σαπίση, κατέβλαψε ὅμως τὴν ἀθάνατη ψυχή. Κι ὅπως ἀκριβῶς οἱ ἔμποροι σκλάβων, προσφέροντας στὰ μικρὰ παιδιὰ πράγματα εὐχάριστα στὴ γεύση, γλυκίσματα καὶ στραγάλια καὶ πολλὰ ἄλλα παρόμοια καὶ δελεάζοντάς τα, ἔτσι τὰ ἀποστεροῦν τὴν ἐλευθερία καὶ τὴ ζωή τους ἀκόμα, ἔτσι λοιπὸν καὶ οἱ δαίμονες, ὑποσχόμενοι τὴ θεραπεία κάποιου μέλους τοῦ σώματος, καταποντίζουν τῆς ψυχῆς ὁλόκληρη τὴ σωτηρία.

Ἀλλ' ἐμεῖς, ἀγαπητοί μου, ἂς μὴ τὸ ἀνεχώμαστε αὐτό, ἀλλὰ μὲ κάθε τρόπο ἂς ἐπιδιώκωμε τὴν ἀπαλλαγὴ ἀπὸ τὴν ἀσέβεια.

ναικὶ πεισθεὶς βλασφημῆσαι εἰς τὸν Θεὸν καὶ ἀπαλλαγῆναι τῆς ἐπικειμένης συμφορᾶς; «Εἰπέ γάρ τι», φησί, «ῥῆμα πρὸς Κύριον καὶ τελεύτα». Ἀλλ' εἵλετο μᾶλλον ὀδυνᾶσθαι καὶ τήκεσθαι καὶ τὴν ἀφόρητον ἐκείνην πληγὴν ἐνεγκεῖν, ἢ βλασφημήσας ἀπηλλάχθαι τῶν ἐπικειμένων κακῶν. Τοῦτον καὶ σὺ ζήλωσον· κἂν μυρίας ὁ δαίμων ἐπαγγείληται τῶν ἐπικειμένων σοι λύσεις κακῶν, μὴ πεισθῇς, μηδὲ ἀνάσχῃ, καθάπερ ὁ δίκαιος οὐκ ἐπείσθη τῇ γυναικί· ἀλλ' ἑλοῦ μᾶλλον ἐγκαρτερῆσαι τῷ νοσήματι ἢ τὴν πίστιν καὶ τὴ σωτηρίαν τῆς σῆς ἀπολέσαι ψυχῆς. Οὐ γὰρ ἐγκαταλιμπάνων σε ὁ Θεός, ἀλλὰ λαμπρότερον ποιῆσαι βουλόμενος, ἀφίησι ταῖς ἀρρωστίαις πολλάκις. Μένε τοίνυν καρτερῶν, ἵνα καὶ σὺ ἀκούσῃς, «μὴ ἄλλως με οἴει σοι κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς;».

8. Ἐνῆν μὲν οὖν καὶ τούτων πλείω εἰπεῖν, ἀλλ' ὥστε μὴ τῶν εἰρημένων τὴν μνήμην λυμήνασθαι, ἐνταῦθα καταλύσω τὸν λόγον, τὰ τοῦ Μωϋσέως ῥήματα εἰπών· «διαμαρτύρομαι ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν», ὅτι ἐάν τις ἢ τῶν παρόντων ὑμῶν, ἢ τῶν ἀπόντων, πρὸς τὴν θεωρίαν ἀπέλθῃ τῶν σαλπίγγων, ἢ εἰς τὴν συναγωγὴν ἀπαντήσῃ, ἢ εἰς τὰ Ματρώνης ἀνέλθῃ, ἢ νηστείᾳ κοινωνήσῃ, ἢ σαββάτων μετάσχῃ, ἢ ἄλλο τι μικρὸν ἢ μέγα Ἰουδαϊκὸν ἔθος ἐπιτελέσῃ, καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος ὑμῶν πάντων. Οὗτοι οἱ λόγοι παραστήσονται ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐμοὶ καὶ ὑμῖν, κἂν μὲν πεισθῆτε, πολλὴν ὑμῖν παρέξουσι τὴν παρρησίαν· ἂν δὲ παρακούσητε, ἤ τινας τῶν τὰ τοιαῦτα τολμώντων ἀποκρύψητε, ὥσπερ κατήγοροι σφοδροὶ ἀντικαταστήσονται ὑμῖν. Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ, ἀλλὰ καὶ κατέβαλον τὸ ἀργύριον ἐπὶ τοὺς τραπεζίτας. Ὑμῶν ἐστι λοιπὸν πλεονάσαι τὸ καταβληθὲν καὶ τῇ τῆς ἀκροάσεως ὠφελείᾳ πρὸς τὴν σωτηρίαν τῶν ὑμετέρων ἀδελφῶν ἀποχρήσασθαι. Ἀλλὰ φορτικὸν καὶ ἐπαχθὲς καταγγέλλειν τῶν τὰ τοιαῦτα

56. Ἰὼβ 2.9.
57. Ἰὼβ 40,8.
58. Δευτ. 30,19.

Μήπως δηλαδὴ δὲν μποροῦσε ὁ Ἰὼβ νὰ πεισθῆ στὴ γυναῖκα του καὶ νὰ βλασφημήση στὸ Θεὸ καὶ ν' ἀπαλλαγῆ ἀπὸ τὴ συμφορὰ στὴν ὁποία βρισκόταν; Γιατὶ λέγει, «πὲς ἕνα λόγο πρὸς τὸν Κύριο καὶ πέθανε»[56]. Ἀλλ' ἐκεῖνος προτιμοῦσε νὰ ὑποφέρη καὶ νὰ λειώνη καὶ νὰ ὑπομένη τὸν πόνο τῆς ἀφόρητης ἐκείνης πληγῆς, παρά, βλασφημώντας στὸ Θεό, ν' ἀπαλλαγῆ ἀπὸ τὶς συμφορὲς ποὺ τὸν βασάνιζαν. Αὐτὸν μιμήσου καὶ σύ. Κι ἂν ἀκόμα ὁ διάβολος σοῦ ὑπόσχεται ἀπαλλαγὴ ἀπὸ τὰ κακὰ ποὺ σ' ἔχουν βρεῖ, μὴ πιστέψης καὶ μὴ ὑποχωρήσης, ὅπως ἀκριβῶς ὁ δίκαιος Ἰὼβ δὲν πίστεψε στὰ λόγια τῆς γυναίκας του, ἀλλὰ προτίμησε πολὺ περισσότερο νὰ ὑποφέρης τὴν ἀσθένεια, παρὰ νὰ χάσης τὴν πίστη καὶ τὴ σωτηρία τῆς ψυχῆς σου. Γιατὶ δὲν σὲ ἐγκαταλείπει ὁ Θεός, ὅταν ἐπιτρέπει πολλὲς φορὲς νὰ σὲ βροῦν ἀσθένειες, ἀλλὰ τὸ κάνει, ἐπειδὴ θέλει νὰ σὲ κάνη λαμπρότερο. Ὑπόμενε λοιπὸν μὲ καρτερία, γιὰ νὰ ἀκούσης καὶ σύ, «μήπως νομίζης ὅτι γιὰ ἄλλο λόγο ἐνήργησα ἔτσι, παρὰ γιὰ νὰ φανῆς δίκαιος;»[57].

8. Μποροῦσα βέβαια νὰ πῶ περισσότερα ἀπ' αὐτά, ἀλλὰ γιὰ νὰ μὴ ξεχάσετε αὐτὰ ποὺ εἴπαμε, θὰ τερματίσω ἐδῶ τὸν λόγο, ἀφοῦ πῶ τὰ λόγια τοῦ Μωϋσῆ· «ἐπικαλοῦμαι ἐνώπιόν σας σὰν μάρτυρες τὸν οὐρανὸ καὶ τὴ γῆ»[58], ὅτι, ἂν κάποιος ἢ ἀπὸ σᾶς τοὺς παρόντες ἢ ἀπὸ τοὺς ἀπόντες πάη νὰ παρακολουθήση τὴν ἑορτὴ τῶν σαλπίγγων ἢ μπῆ στὴ συναγωγὴ ἢ ἀνεβῆ στὸ ἱερὸ τῆς Ματρώνης ἢ λάβη μέρος στὴ νηστεία ἢ τηρήση τὰ σάββατα ἢ ἐπιτελέση ὁποιοδήποτε ἄλλο μικρὸ ἢ μεγάλο ἰουδαϊκὸ ἔθιμο, ἐγὼ θὰ εἶμαι καθαρὸς ἀπὸ τὸ αἷμα ὅλων σας. Τὰ λόγια αὐτὰ θὰ παραστοῦν μάρτυρες κατὰ τὴν ἡμέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, καὶ γιὰ μένα καὶ γιὰ σᾶς, κι ἂν μὲ ὑπακούσετε, θὰ σᾶς δώσουν μεγάλη παρρησία, ἂν ὅμως παρακούσετε ἢ καὶ ἀποκρύψετε ἐκείνους ποὺ πράττουν αὐτά, θὰ καταστοῦν σφοδροὶ κατήγοροί σας. Δὲν παρέλειψα νὰ σᾶς ἐξαγγείλω τὸ θέλημα τοῦ Θεοῦ[59], ἀλλὰ καὶ κατέθεσα στοὺς τραπεζίτες τὰ χρήματα. Εἶναι λοιπὸν δικό σας ἔργο ν' αὐξήσετε τὸ ποσὸ ποὺ καταβλήθηκε καὶ νὰ χρησιμοποιήσετε τὴν ὠφέλεια τῶν λόγων καὶ γιὰ τὴ σωτηρία τῶν ἀδελφῶν σας. Ἀλλ' εἶναι δύσκολο καὶ μισητὸ πρᾶγμα νὰ καταγγέλλη κανεὶς ἐκείνους ποὺ διαπράττουν τέτοια ἁμαρτήμα-

59. Πράξ. 20,27.

ἁμαρτανόντων· φορτικὸν μὲν οὖν καὶ ἐπαχθὲς σιγᾶν. Καὶ γὰρ ὑμῖν τοῖς ἀποκρύπτουσι, κἀκείνοις τοῖς λανθάνουσιν ἐπάγει τὸν ὄλεθρον αὕτη ἡ σιγή, τὸν Θεὸν ὑμῖν ἐκπολεμοῦσα. Πόσῳ δὲ βέλτιον τοῖς συνδούλοις ἀπεχθάνεσθαι ἐπὶ σωτηρίᾳ, ἢ τὸν Δεσπότην παροξύνειν καθ' ἑαυτῶν; Οὗτος μὲν γὰρ κἂν ἀγανακτήσῃ νῦν, οὐδέν σε βλάψαι δυνήσεται, μᾶλλον δὲ καὶ χάριν εἴσεταί σοι μετὰ ταῦτα τῆς ἰατρείας· ὁ δὲ Θεός, ἂν τῷ συνδούλῳ σου τὴν ἐπιβλαβῆ χαριζόμενος χάριν, σιγήσῃς καὶ ἀποκρύψῃς, τὴν ἐσχάτην ἀπαιτήσει σε δίκην. Ὥστε σιγῶν μὲν καὶ τὸν Θεὸν ἐκπολεμώσεις σεαυτῷ καὶ τὸν ἀδελφὸν βλάψεις· καταγγέλων δὲ καὶ φανερὸν ποιῶν, κἀκεῖνον ἕξεις ἵλεων καὶ τοῦτον κερδανεῖς καὶ φίλον κτήσῃ μανικὸν τῇ πείρᾳ τὴν εὐεργεσίαν μαθόντα.

Μὴ τοίνυν νομίσετε χαρίσασθαι τοῖς ὑμετέροις ἀδελφοῖς, εἴ τι τῶν ἀτόπων ὁρῶντες μετιόντας, μὴ μετὰ πάσης ἐλέγχοιτε τῆς σφοδρότητος. Ἱμάτιον ἐὰν ἀπολέσῃς, μὴ τὸν κεκλοφότα μόνον, οὐχὶ καὶ τὸν συνειδότα τῷ κλέπτῃ καὶ μὴ καταγγέλλοντα, ὁμοίως νομίζεις ἐχθρόν; Ἡ μήτηρ ἡμῶν ἡ κοινὴ οὐχ ἱμάτιον, ἀλλ' ἀδελφὸν ἀπώλεσεν, ἔκλεψεν αὐτὸν ὁ διάβολος καὶ κατέχει νῦν ἐν τῷ Ἰουδαϊσμῷ· οἶδας τὸν κεκλοφότα, οἶδας τὸν κλαπέντα· ὁρᾷς ἐμέ, καθάπερ λύχνον, ἅπτοντα τῆς διδασκαλίας τὸν λόγον καὶ πανταχοῦ ζητοῦντα καὶ κοπτόμενον· καὶ σὺ ἕστηκας σιγῶν; καὶ οὐ καταγγέλλεις; καὶ ποίαν ἕξεις συγγνώμην; Πῶς δὲ οὐκ ἐν τοῖς ἐσχάτοις σε τῶν ἐχθρῶν ἡ Ἐκκλησία λογιεῖται καὶ πολέμιον ἡγήσεται καὶ λυμεῶνα; Ἀλλὰ μὴ γένοιτο μηδένα τῶν ταύτης ἀκουόντων τῆς συμβουλῆς, τοιαύτην ἁμαρτίαν ποτὲ ἁμαρτεῖν, ὥστε προδοῦναι ἀδελφόν, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν. Ὁ Χριστὸς τὸ αἷμα ἐξέχεεν δι' αὐτόν· σὺ δὲ οὐδὲ λόγον προέσθαι δι' αὐτὸν ὑπομένεις; Μή, παρακαλῶ, ἀλλ' εὐθέως ἐντεῦθεν ἀναχωρήσαντες, ἐπὶ τὴν θήραν ταύτην ἐπείχθητε καὶ ἕκαστος ὑμῶν ἕνα μοι κομισάτω τῶν τὰ τοιαῦτα νοσούντων. Μᾶλλον δὲ μὴ γένοιτο τοσούτους εἶναι τοὺς νοσοῦντας, δύο καὶ τρεῖς ἐξ ὑμῶν, ἢ καὶ δέκα καὶ εἴκοσι, ἕνα μοι κομισάτωσαν, ἵνα κατὰ τὴν ἡμέραν ἐκείνην ἰδὼν τὴν ἄγραν εἴσω τῶν δικτύ-

60. Ρωμ. 14,15. 5,8. Α΄ Κορ. 8,11 κ.ά.

τα, ὅμως πολὺ πιὸ βαρὺ καὶ ὄχι ἀγαπητὸ εἶναι τὸ νὰ τὰ ἀποκρύπτη. Γιατὶ αὐτὴ ἡ ἀπόκρυψη ἐπιφέρει τὸν ὄλεθρο καὶ σὲ σᾶς ποὺ τοὺς ἀποκρύπτετε, καὶ σ' ἐκείνους ποὺ κρύπτονται, καθιστώντας τὸν Θεὸ πολέμιο ἐναντίον σας. Πόσο προτιμότερο δὲν θὰ ἦταν νὰ στενοχωρῆτε τοὺς ἀδελφούς σας φροντίζοντας γιὰ τὴ σωτηρία τους, παρὰ νὰ ἐξοργίζετε τὸν Θεὸ ἐναντίον σας; Γιατὶ ὁ ἀδελφός σου, κι ἂν ἀκόμη ἀγανακτήση τώρα ἐναντίον σου, δὲν θὰ μπορέση νὰ σὲ βλάψη σὲ τίποτε, καὶ μᾶλλον θὰ σοῦ χρωστᾶ καὶ εὐγνωμοσύνη ἀργότερα γιὰ τὴ θεραπεία του, ἐνῶ ὁ Θεὸς θὰ σὲ τιμωρήση μὲ τὴ χειρότερη τῶν ποινῶν, ἄν, προσφέροντας στὸν ἀδελφό σου τὴν ἐπιβλαβῆ χάρη, σιωπήσης ἢ καὶ ἀποκρύψης τὸ ἁμάρτημά του. Ὥστε σιωπώντας καὶ τὸν Θεὸ θὰ κάμης ἐχθρό σου καὶ τὸν ἀδελφό σου θὰ βλάψης, ἐνῶ καταγγέλλοντάς τον καὶ φανερώνοντάς τον καὶ τὸν Θεὸ θὰ κάμης εὐσπλαχνικὸ καὶ τὸν ἀδελφό σου θὰ κερδίσης καὶ θ' ἀποκτήσης φίλο μεγάλο, διαπιστώνοντας ἔμπρακτα τὴν εὐεργεσία.

Μὴ νομίζετε λοιπόν, ὅτι κάμνετε χάρη στοὺς ἀδελφούς σας, ἂν δὲν τοὺς ἐλέγχετε μὲ μεγάλη αὐστηρότητα, βλέποντάς τους νὰ διαπράττουν κάποιο ἀτόπημα. Ἂν χάσης ἕνα ἔνδυμα, δὲν θεωρεῖς τότε ἐξ ἴσου ἐχθρὸ καὶ τὸν κλέφτη καὶ ἐκεῖνον ποὺ τὸν γνωρίζει καὶ δὲν τὸν φανερώνει; Ἡ κοινή μας μητέρα δὲν ἔχασε ἔνδυμα, ἀλλ' ἀδελφό, ποὺ τὸν ἔκλεψε ὁ διάβολος καὶ τὸν κρατᾶ τώρα αἰχμάλωτο στὸν Ἰουδαϊσμό· γνωρίζεις τὸν κλέφτη, γνωρίζεις καὶ αὐτὸν ποὺ ἐκλάπη· μὲ βλέπεις πού, σὰν λυχνάρι, ἀνάβω τὸν λόγο τῆς διδασκαλίας καὶ ἀναζητῶ παντοῦ καὶ θρηνῶ, καὶ σὺ στέκεις σιωπηλὸς καὶ δὲν τὸν καταγγέλλεις; Καὶ ποιά συγγνώμη θὰ ἔχης; Καὶ πῶς ἡ Ἐκκλησία νὰ μὴ σὲ κατατάξη μεταξὺ τῶν μεγαλυτέρων ἐχθρῶν της καὶ νὰ μὴ σὲ θεωρήση πολέμιό της καὶ καταστροφέα; Ἀλλ' εὔχομαι κανένας ἀπ' ὅσους ἀκούουν τὴ συμβουλὴ αὐτὴ νὰ μὴ διαπράξη ποτὲ μιὰ τέτοια ἁμαρτία, ὥστε νὰ προδώση τὸν ἀδελφό του, ὑπὲρ τοῦ ὁποίου πέθανε ὁ Χριστός[60]. Ὁ Χριστὸς ἔχυσε γι' αὐτὸν τὸ αἷμα του, καὶ σὺ δὲν ἔχεις τὴ δύναμη νὰ πεῖς ἕνα λόγο γι' αὐτόν; Μή, παρακαλῶ, ἀλλά, μόλις φύγετε ἀπ' ἐδῶ, τρέξτε στὸ κυνήγι αὐτό, κι ὁ καθένας ἀπὸ σᾶς ἂς μοῦ φέρη καὶ ἕνα τέτοιον ἄρρωστο. Ἢ καλύτερα εὔχομαι οἱ ἀσθενεῖς νὰ μὴν εἶναι τόσοι πολλοί, ἀλλὰ δυὸ τρεῖς ἀπὸ σᾶς ἢ ἔστω καὶ δέκα καὶ εἴκοσι ἂς μοῦ φέρουν ἕνα μόνο ἀσθενῆ, ὥστε, βλέποντας τὸ θήραμα μέσα στὰ δίχτυα, νὰ παραθέσω γιὰ σᾶς

ων γενομένην, δαψιλεστέραν ὑμῖν παραθῶ τὴν τράπεζαν. Ἂν γὰρ ἴδω τὴν σήμερον συμβουλὴν εἰς ἔργον ἐκβεβηκυῖαν, μετὰ πλείονος ἅψομαι τῆς προθυμίας τῆς πρὸς ἐκείνους ἰατρείας καὶ πλέον ἔσται τὸ κέρδος καὶ ὑμῖν κἀκείνοις.

Μὴ τοίνυν ὀλιγωρήσητε, ἀλλὰ καὶ γυναῖκες γυναῖκας καὶ ἄνδρες ἄνδρας καὶ δοῦλοι δούλους καὶ ἐλεύθεροι ἐλευθέρους καὶ παῖδες παῖδας καὶ πάντες ἁπλῶς μετὰ ἀκριβείας ἁπάσης τοὺς τὰ τοιαῦτα νοσοῦντας θηρεύσαντες, οὕτως εἰς τὴν ἐπιοῦσαν ἀπαντήσατε σύναξιν, ἵνα καὶ τοῦ παρ' ἡμῶν ἐπαίνου τύχητε καὶ πρὸ τῶν ἡμετέρων ἐγκωμίων τὸν παρὰ τοῦ Θεοῦ μισθὸν ἐπισπάσησθε τὸν πολὺν καὶ ἄφατον καὶ τοὺς πόνους τῶν κατορθούντων ὑπερβαίνοντα πολλῷ τῷ μέτρῳ· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κατὰ τὴν ἡμέρα ἐκείνη πλουσιώτερη τὴν τράπεζα. Γιατί, ἂν δῶ τὴ σημερινὴ συμβουλή μου νὰ γίνεται ἔργο, τότε μὲ περισσότερη προθυμία θὰ ἐπιδοθῶ στὴ θεραπεία τους, καὶ τὸ κέρδος θὰ εἶναι πολὺ μεγαλύτερο καὶ γιὰ σᾶς καὶ γιὰ ἐκείνους.

Μὴ λοιπὸν ἀδιαφορήσετε, ἀλλ' ὅλοι ἀνεξαιρέτως θηρεύοντας μὲ προσοχὴ αὐτοὺς ποὺ πάσχουν ἀπὸ αὐτὴ τὴν ἀσθένεια, οἱ γυναῖκες τὶς γυναῖκες, οἱ ἄνδρες τοὺς ἄνδρες, οἱ δοῦλοι τοὺς δούλους, οἱ ἐλεύθεροι τοὺς ἐλεύθερους, καὶ οἱ νέοι τοὺς νέους, ἔτσι νὰ ἔλθετε στὴν ἑπόμενη συγκέντρωσή μας, ὥστε καὶ τὸν ἔπαινο νὰ λάβετε ἀπὸ μένα, καὶ πρὶν ἀπὸ τὰ δικά μου ἐγκώμια, νὰ ἀποσπάσετε ἀπὸ τὸν Θεὸ μισθὸ μεγάλο καὶ ἀπερίγραπτο, ποὺ ὑπερβαίνει κατὰ πολὺ τοὺς κόπους τῶν ἐργαζομένων τὴν ἀρετή, τὸν ὁποῖο εὔχομαι νὰ ἐπιτύχωμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΡΟΣ ΤΟΥΣ ΝΗΣΤΕΥΟΝΤΑΣ ΤΗΝ ΤΩΝ ΙΟΥΔΑΙΩΝ ΝΗΣΤΕΙΑΝ ΚΑΙ ΠΡΟΣ ΑΥΤΟΥΣ ΤΟΥΣ ΙΟΥΔΑΙΟΥΣ

Ἐλέχθη δὲ πρὸ πέντε ἡμερῶν τῆς νηστείας αὐτῶν καὶ ἄλλης ἤδη λεχθείσης

1. Ἡ μὲν παράνομος καὶ ἀκάθαρτος τῶν Ἰουδαίων νηστεία λοιπὸν ἐπὶ θύραις. Μὴ θαυμάσητε δὲ εἰ ἀκάθαρτον αὐτὴν ἐκάλεσα νηστείαν οὖσαν. Τὸ γὰρ παρὰ γνώμην Θεοῦ γινόμενον, κἂν θυσία, κἂν νηστεία ᾖ, πάντων ἐστὶν ἐναγέστερον. Ἡ μὲν οὖν παράνομος αὐτῶν νηστεία μετὰ πέντε λοιπὸν ἡμέρας ἐφίσταται, ἐγὼ δὲ πρὸ δέκα ἡμερῶν ἢ καὶ πλειόνων, προλαβὼν ἐποιησάμην πρὸς ὑμᾶς τὴν παραίνεσιν, ὥστε ἀσφαλίσασθαι τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους. Ἀλλὰ μηδεὶς ἀκαιρίαν καταγινωσκέτω τοῦ λόγου, ὅτι πρὸ τοσούτων ἡμερῶν αὐτὸν προεβαλόμεθα. Καὶ γὰρ πυρετοῦ προσδοκωμένου ἢ καὶ ἑτέρου τινὸς νοσήματος, προλαμβάνοντες τὸ τοῦ μέλλοντος ἁλώσεσθαι σῶμα πολλαῖς ἀσφαλίζονται θεραπείαις, ἐπειγόμενοι πρὸ τῆς πείρας τῆς ἐφόδου τῶν μελλόντων αὐτὸ ἐξαρπάσαι δεινῶν.

Ἐπεὶ οὖν καὶ ἡμεῖς ὁρῶμεν νόσον χαλεπωτάτην προσιέναι μέλλουσαν, ἄνωθεν καὶ πρὸ πολλοῦ διεμαρτυράμεθα τοῦ χρόνου, ὥστε πρὸ τῆς πείρας τοῦ κακοῦ τὴν διόρθωσιν. Διὰ τοῦτο οὐχὶ πρὸς αὐτὰς τὰ ἡμέρας παρῄνεσα, ἵνα μὴ ἡ τοῦ καιροῦ στενοχωρία ἐμποδίσῃ πρὸς τὴν θήραν ὑμᾶς τῶν ἀδελφῶν τῶν ὑμετέρων, ἀλλ' ἔχοντες τὴν ἀπὸ τοῦ πλήθους τῶν ἡμερῶν εὐρυχωρίαν, μετὰ ἀδείας ἁπάσης δυνηθῆτε τοὺς τὰ τοιαῦτα νοσοῦντας ἐξιχνιάσαι καὶ

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΤΗΡΟΥΝ ΤΗ ΝΗΣΤΕΙΑ ΤΩΝ ΙΟΥΔΑΙΩΝ ΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΙΔΙΟΥΣ ΤΟΥΣ ΙΟΥΔΑΙΟΥΣ

Ἐκφωνήθηκε πέντε μέρες πρὶν ἀπὸ τὴ νηστεία αὐτῶν· πρωτύτερα εἶχε ἐκφωνηθῆ ἄλλος λόγος

1. Πλησιάζει λοιπὸν ἡ παράνομη καὶ ἀκάθαρτη νηστεία τῶν Ἰουδαίων. Καὶ μὴν ἀπορῆτε ποὺ τὴν ἀποκάλεσα νηστεία 'ἀκάθαρτη'. Γιατὶ ἐκεῖνο ποὺ γίνεται χωρὶς τὸ θέλημα τοῦ Θεοῦ, εἴτε εἶναι θυσία εἴτε εἶναι νηστεία, εἶναι τὸ πιὸ μιαρὸ ἀπ' ὅλα. Ἀρχίζει λοιπὸν μετὰ ἀπὸ πέντε ἡμέρες ἡ παράνομη νηστεία, ἀλλ' ἐγὼ πρὶν ἀπὸ δέκα ἡμέρες ἢ καὶ περισσότερες προλαβαίνοντας σᾶς συμβούλευσα, ὥστε νὰ προστατεύσετε τοὺς ἀδελφούς σας. Καὶ κανένας σας ἂς μὴ μὲ κατηγορήση γιὰ παρακαιρία τοῦ λόγου, ὅτι δηλαδὴ τὸν ἐκφώνησα πρὶν ἀπὸ τόσες μέρες. Γιατὶ καὶ ὅταν ἀναμένεται νὰ ἐκδηλωθῆ πυρετὸς ἢ καὶ κάποια ἄλλη ἀσθένεια, οἱ ἰατροί, λαμβάνοντας προληπτικὰ μέτρα, ἀσφαλίζουν μὲ διάφορες θεραπεῖες τὸ σῶμα ἀπὸ τὴν ἀσθένεια ποὺ τὸ ἀπειλεῖ, γιατὶ ἐπείγονται νὰ τὸ προφυλάξουν ἀπὸ τὰ ἀπειλούμενα κακὰ πρὶν ἐμφανισθοῦν οἱ κίνδυνοι.

Ἐπειδὴ λοιπὸν καὶ ἐμεῖς βλέπομε νὰ πλησιάζη κάποια πάρα πολὺ φοβερὴ ἀσθένεια, ἀπὸ τὴν ἀρχὴ καὶ πρὸ πολλοῦ ἐπιστήσαμε τὴν προσοχή σας, ὥστε ἡ διόρθωση νὰ γίνη πρὶν ἀπὸ τὴν ἐκδήλωση τοῦ κακοῦ. Γι' αὐτὸ δὲν σᾶς συμβούλευσα τώρα ποὺ πλησιάζουν αὐτὲς οἱ ἡμέρες, γιὰ νὰ μὴ σᾶς ἐμποδίση ἡ ἔλλειψη ἡμερῶν νὰ ἀναζητήσετε καὶ νὰ βρῆτε τοὺς ἀδελφούς σας ἐκείνους ποὺ πάσχουν ἀπὸ τὴ νόσο, ἀλλ' ἔχοντας τὴν εὐρυχωρία ἀπὸ τὸ πλῆθος τῶν ἡμερῶν ποὺ βρίσκεται μπροστά σας, μὲ κάθε ἄνεση νὰ μπορέσετε ν' ἀνακαλύψετε καὶ ν' ἀνακτήσετε ἐκείνους ποὺ πάσχουν ἀπὸ τὴ νόσο

ἀνακτήσασθαι. Οὕτω που καὶ οἱ γάμους ἐπιτελοῦντες καὶ δεῖπνα πλυτελῆ κατασκευάζοντες ποιοῦσιν. Οὐ παρ' αὐτὰς τὰς ἡμέρας, ἀλλὰ πρὸ πολλοῦ τοῦ χρόνου ἁλιεῦσιν ἰχθύων καὶ ὀρνίθων θηραταῖς διαλέγονται, ἵνα μηδὲν αὐτοῖς ἀπὸ τῆς τοῦ καιροῦ στενοχωρίας γένηται κώλυμα πρὸς τὴν τῆς τραπέζης παρασκευήν. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἐμέλλομεν ὑμῖν παρατιθέναι τράπεζαν κατὰ τῆς Ἰουδαίων ἀναισθησίας, προλαβόντες ὑμῖν τοῖς ἁλιεῦσι διελέχθημεν, ἵνα σαγηνεύσητε τῶν ἀδελφῶν τῶν ἡμετέρων τοὺς ἀσθενεστέρους καὶ πρὸς τὴν ἀκρόασιν τῶν ἡμετέρων ἀγάγητε λόγων. Ὅσοι μὲν οὖν ἡλιεύσατε καὶ εἴσω τῶν δικτύων ἔχετε μετὰ ἀσφαλείας, μείνατε ἐπισφίγγοντες αὐτοὺς τῷ λόγῳ τῆς παραινέσεως· ὅσοι δὲ μηδέπω τῆς καλῆς ταύτης ἐκρατήσατε θήρας, ἱκανὴν ἔχετε προθεσμίαν, τὰς πέντε ταύτας ἡμέρας, ὥστε περιγενέσθαι τῆς ἄγρας.

Ἀναπετάσωμεν τοίνυν τὰ δίκτυα τῆς διδασκαλίας, περιστῶμεν κύκλῳ, καθάπερ κύνες θηρατικοί, πάντοθεν αὐτοὺς συνελαύνοντες εἰς τοὺς τῆς Ἐκκλησίας νόμους. Ἐπαγάγωμεν δὲ αὐτοῖς, εἰ δοκεῖ, ὥσπερ τινὰ κυνηγέτην ἄριστον, τὸν μακάριον Παῦλον βοῶντα καὶ λέγοντα· «ἴδε ἐγὼ ὁ Παῦλος λέγω ὑμῖν ὅτι, ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Καὶ γὰρ πολλὰ τῶν ἀνημέρων ζώων καὶ ἐξηγριωμένων, ἐπειδὰν ὑπὸ θάμνον κρυπτόμενα τύχῃ τῆς τοῦ κυνηγέτου φωνῆς ἀκούσαντα, ἐξάλλεται μὲν ἀπὸ τοῦ φόβου, συνελαυνόμενα δὲ τῇ τῆς φωνῆς ἀνάγκῃ καὶ ἄκοντα πολλάκις ὑπὸ τῆς βοῆς συνωθούμενα, εἰς αὐτὰ ἐμπίπτει τὰ θήρατρα· οὕτω καὶ οἱ ἀδελφοὶ οἱ ὑμέτεροι, οἱ καθάπερ ἐν θάμνῳ τινί, τῷ Ἰουδαϊσμῷ, κρυπτόμενοι, ἂν τῆς Παύλου φωνῆς ἀκούσωσιν, εὖ οἶδ' ὅτι ῥᾳδίως εἰς τὰ τῆς σωτηρίας ἐμπεσοῦνται δίκτυα καὶ πᾶσαν τὴν ἰουδαϊκὴν ἀποθήσονται πλάνην. Οὐδὲ γὰρ Παῦλός ἐστιν ὁ φθεγγόμενος, ἀλλ' ὁ Χριστὸς ὁ κινῶν τὴν ἐκείνου ψυχήν. Ὥστε, ὅταν ἀκούσῃς αὐτοῦ βοῶντος καὶ λέγοντος, «ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι, ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει», τὴν φωνὴν εἶναι Παύλου μόνην νόμιζε, τὸ νόημα δὲ καὶ τὸ δόγμα τοῦ ἔνδοθεν αὐτῷ ἐνηχοῦντος Χριστοῦ.

Ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τοσαύτη τῆς περιτομῆς ἡ βλάβη,

1. Γαλ. 5,2.

αὐτή. Ἔτσι βέβαια ἐνεργοῦν καὶ ὅσοι τελοῦν γάμους, καὶ ὅσοι ἑτοιμάζουν πλούσια δεῖπνα. Δὲν ἀπευθύνονται στοὺς ψαράδες καὶ στοὺς κυνηγοὺς πουλιῶν τὶς ἡμέρες ἐκεῖνες, ἀλλὰ πολὺ πιὸ μπροστά, ὥστε νὰ μὴ συμβῆ ἀπὸ ἔλλειψη χρόνου κανένα ἐμπόδιο στὴν προετοιμασία τοῦ δείπνου. Ἐπειδὴ λοιπὸν καὶ ἐγὼ ἐπρόκειτο νὰ σᾶς παραθέσω τράπεζα κατὰ τῆς ἰουδαϊκῆς ἀναισθησίας, ἀπὸ πιὸ μπροστὰ διαλέχθηκα μὲ ἐσᾶς τοὺς ἁλιεῖς, ὥστε νὰ ἁλιεύσετε στὴ σαγήνη σας τοὺς πιὸ ἀσθενεῖς ἀπὸ τοὺς ἀδελφούς σας καὶ νὰ τοὺς ὁδηγήσετε στὴν ἀκρόαση τῶν λόγων μου. Ὅσοι λοιπὸν ἔχετε ἁλιεύσει καὶ τοὺς κρατεῖτε μὲ ἀσφάλεια μέσα στὰ δίχτυά σας, ἐπιμείνατε νὰ τοὺς περισφίγγετε μὲ τὸν λόγο τῆς παραινέσεως, ὅσοι πάλι ἀπὸ σᾶς δὲν μπορέσατε μέχρι τώρα νὰ κρατήσετε στὰ χέρια σας τὸ καλὸ αὐτὸ θήραμα, ἔχετε μπροστά σας ἀρκετὴ προθεσμία, τὶς πέντε αὐτὲς ἡμέρες, ὥστε ν' ἀσχοληθῆτε μὲ τὴν ἁλιεία αὐτῶν.

Ἂς ἁπλώσουμε λοιπὸν τὰ δίχτυα τῆς διδασκαλίας, ἂς σταθοῦμε κύκλο, ὅπως ἀκριβῶς τὰ κυνηγητικὰ σκυλιά, ὁδηγώντας ἀπὸ παντοῦ αὐτοὺς στοὺς νόμους τῆς Ἐκκλησίας. Καί, ἂν κρίνετε ὀρθό, ἂς τοὺς παρουσιάσουμε σὰν ἄριστο κυνηγὸ τὸν μακάριο Παῦλο κραυγάζοντας καὶ λέγοντας· «Νά, ἐγὼ ὁ Παῦλος σᾶς λέγω, ὅτι, ἂν περιτέμνεσθε, ὁ Χριστὸς δὲν θὰ σᾶς ὠφελήση σὲ τίποτε»[1]. Γιατὶ καὶ πολλὰ ἀπὸ τὰ ἀνήμερα καὶ ἄγρια ζῶα, ἂν συμβῆ ν' ἀκούσουν τὴ φωνὴ τοῦ κυνηγοῦ τὴ στιγμὴ ποὺ εἶναι κρυμμένα κάτω ἀπὸ θάμνους, πηδοῦν τότε ἀπὸ τὸ φόβο τους καὶ ὁδηγούμενα ἀπὸ τὴ ἀπειλὴ τῆς φωνῆς καὶ συνωθούμεθα ἀπὸ τὴν κραυγή, πολλὲς φορὲς χωρὶς νὰ τὸ θέλουν πέφτουν μέσα στὰ δίχτυα τῶν κυνηγῶν. Ἔτσι καὶ οἱ δικοί σας ἀδελφοί, ποὺ εἶναι κρυμμένοι, σὰν σὲ κάποιο θάμνο, στὸν Ἰουδαϊσμό, ἂν ἀκούσουν τὴ φωνὴ τοῦ Παύλου, πιστεύω ὅτι εὔκολα θὰ πέσουν μέσα στὰ δίχτυα τῆς σωτηρίας καὶ θ' ἀπορρίψουν ὁλόκληρη τὴν ἰουδαϊκὴ πλάνη. Γιατὶ δὲν εἶναι αὐτὸς ποὺ ὁμιλεῖ ὁ Παῦλος, ἀλλ' ὁ ἴδιος ὁ Χριστός, ποὺ κινεῖ τὴν ψυχὴ ἐκείνου. Ὥστε, ὅταν τὸν ἀκούσης νὰ κραυγάζη καὶ νὰ λέγη, «νά, ἐγὼ ὁ Παῦλος σᾶς λέγω ὅτι, ἂν περιτέμνεσθε, ὁ Χριστὸς δὲν θὰ σᾶς ὠφελήση σὲ τίποτε», πίστευε ὅτι ἡ φωνὴ μόνο εἶναι τοῦ Παύλου, ἐνῶ τὸ νόημα καὶ τὸ δόγμα εἶναι τοῦ Χριστοῦ, ποὺ κατοικεῖ καὶ ἐνηχεῖ μέσα στὸν Παῦλο.

Ἀλλ' ἴσως θὰ μποροῦσε νὰ πῆ κάποιος· 'Εἶναι τόσο μεγάλη ἡ

ὡς πᾶσαν ἀνόνητον ποιῆσαι τοῦ Χριστοῦ τὴν οἰκονομίαν; Ναί, τοσαύτη τῆς περιτομῆς ἡ βλάβη, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀγνωμοσύνην. Ἦν ποτε καιρός, ὅτι χρήσιμος ἦν καὶ ἀναγκαῖος ὁ νόμος· νῦν οὖν ἐπαύσατο καὶ ἀργεῖ. Ἂν τοίνυν ἀκαίρως αὐτὸν ἐπισπάσῃ, ἀνόνητόν σοι ποιεῖ τοῦ Θεοῦ τὴν δωρεάν. Διὰ τοῦτο Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει, ἐπειδὴ μὴ βούλεσθε προσελθεῖν. Καὶ γάρ εἴ τις ἐπὶ μοιχείᾳ καὶ τοῖς αἰσχίστοις ἁλοὺς τὸ δεσμωτήριον οἰκοίη, εἶτα μελλούσης αὐτῷ τῆς δίκης εἰσάγεσθαι καὶ τῆς καταδικαζούσης φέρεσθαι ψήφου, ἔλθοι βασιλέως ἐπιστολὴ τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἅπαντας ἀφιεῖσα ἄνευ λόγου τινὸς καὶ ἐξετάσεως, ὁ δὲ μὴ βουληθεὶς ἀπολαῦσαι τῆς δωρεᾶς, ἕλοιτο καὶ φιλονεικοίη δικάζεσθαι μᾶλλον καὶ λόγους καὶ εὐθύνας ὑπέχειν, οὐ δυνήσεται λοιπὸν ἀπολαῦσαι τῆς χάριτος· ὑπεύθυνον γὰρ ἑαυτὸν δικαστηρίῳ καὶ ψήφῳ καὶ ἐξετάσει ποιήσας, ἑκὼν τῆς δωρεᾶς ἑαυτὸν ἐξέβαλε τῆς βασιλικῆς. Οὕτω καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονε. Σκοπεῖτε δέ· ἑάλω πᾶσα τῶν ἀνθρώπων ἡ φύσις ἐπὶ τοῖς αἰσχίστοις κακοῖς· «πάντες γὰρ ἥμαρτον», φησί, καὶ ὥσπερ ἐν δεσμωτηρίῳ, τῇ κατάρᾳ τῆς παρανομίας ἦσαν συγκεκλεισμένοι· ἔμελλεν ἀπόφασις κατ' αὐτῶν φέρεσθαι ψήφου· ἦλθεν ἐπιστολὴ βασιλέως ἐκ τῶν οὐρανῶν, μᾶλλον δὲ αὐτὸς ὁ βασιλεὺς ἦλθεν, ἄνευ ἐξετάσεως καὶ τοῦ τὰς εὐθύνας λαβεῖν, πάντας τῶν δεσμῶν τῆς ἁμαρτίας ἀφιείς.

2. Οἱ μὲν οὖν προσδραμόντες ἅπαντες ἀπολαύουσι τῆς δωρεᾶς, σωζόμενοι χάριτι· οἱ δὲ ἀπὸ νόμου δικαιοῦσθαι θέλοντες καὶ τῆς χάριτος ἐκπεσοῦνται. Οὔτε γὰρ τῆς φιλανθρωπίας ἀπολαῦσαι δυνήσονται τῆς βασιλικῆς, οἴκοθεν φιλονεικοῦντες σωθῆναι, καὶ τὴν ἐκ τοῦ νόμου κατάραν καθ' ἑαυτῶν ἐπισπάσονται, διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σάρξ. Διὰ τοῦτο λέγει· «ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Ὁ γὰρ ἐξ ἔργων νομικῶν σωθῆναι φιλονεικῶν οὐδὲν ἔχει κοινὸν πρὸς τὴν χάριν. Ὅπερ οὖν καὶ αὐτὸ Παῦλος αἰνιττόμενος ἔλεγεν· «εἰ χάριτι, οὐκέτι ἐξ ἔρ-

2. Ρωμ. 3,23.
3. Γαλ. 2,16.
4. Γαλ. 5,2.

ζημιὰ ποὺ προκαλεῖ ἡ περιτομή, ὥστε νὰ καθιστᾶ ἀνώφελη ὅλη τὴν οἰκονομία τοῦ Χριστοῦ;' Ναί, εἶναι τόσο μεγάλη ἡ βλάβη τῆς περιτομῆς, ὄχι βέβαια ἀπὸ τὴ φύση της, ἀλλὰ ἐξ αἰτίας τῆς ἀγνωμοσύνης. Ὑπῆρξε κάποτε καιρός, ποὺ ἦταν χρήσιμος καὶ ἀναγκαῖος ὁ νόμος, τώρα ὅμως καταργήθηκε καὶ δὲν ἰσχύει πιά. Ἂν λοιπὸν παράκαιρα τὸν χρησιμοποιήσης, τότε σοῦ καθιστᾶ ἀνώφελη τὴ δωρεὰ τοῦ Θεοῦ. Γι' αὐτὸ καὶ ὁ Χριστὸς δὲν πρόκειται νὰ σᾶς ὠφελήση σὲ τίποτε, ἀκριβῶς ἐπειδὴ δὲν θέλετε νὰ προσέλθετε σ' αὐτόν. Γιατί, ἂν κάποιος συλληφθῆ γιὰ μοιχεία καὶ γιὰ κακουργήματα καὶ κλεισθῆ στὴ φυλακὴ καὶ ἀκολούθως, ἐνῶ πρόκειται νὰ ὁδηγηθῆ σὲ δίκη καὶ νὰ καταδικασθῆ, ἔλθη ἐπιστολὴ τοῦ βασιλέως, παρέχοντας, χωρὶς κανένα λόγο καὶ ἐξέταση, χάρη σ' ὅλους τοὺς καταδίκους, καὶ αὐτός, μὴ θέλοντας ν' ἀπολαύση τὴ δωρεὰ αὐτή, προτιμήση καὶ ἐπιμείνη νὰ δικασθῆ καὶ νὰ λογοδοτήση, δὲν θὰ μπορέση ν' ἀπολαύση τότε τὴ βασιλικὴ χάρη, καὶ καθιστώντας τὸν ἑαυτό του ὑπεύθυνο νὰ ὁδηγηθῆ ἐνώπιον τοῦ δικαστηρίου καὶ νὰ δικασθῆ, μὲ τὴ θέλησή του αὐτὸς στέρησε τὸν ἑαυτό του ἀπὸ τὴ βασιλικὴ δωρεά. Κάτι τέτοιο συνέβηκε καὶ μὲ τοὺς Ἰουδαίους. Προσέχετε. Ὅλη ἡ ἀνθρωπότητα συνελήφθηκε γιὰ τὰ πιὸ φοβερὰ κακά· γιατὶ λέγει, «ὅλοι ἁμάρτησαν»[2] καὶ εἶχαν κλεισθῆ σὰν σὲ δεσμωτήριο ὑπὸ τὴν κατάρα τῆς ἁμαρτίας· ἐπρόκειτο τότε νὰ ἐκδοθῆ ἐναντίον τους καταδικαστικὴ ἀπόφαση· ἦλθε ὅμως ἀπὸ τὸν οὐρανὸ βασιλικὴ ἐπιστολή, ἢ καλύτερα ἦλθε ὁ ἴδιος ὁ βασιλεὺς καὶ τοὺς ἐλευθέρωσε ὅλους ἀπὸ τὰ δεσμὰ τῆς ἁμαρτίας, χωρὶς ἐξέταση καὶ καταλογισμὸ εὐθυνῶν.

2. Ἐκεῖνοι λοιπὸν ποὺ προσέτρεξαν, ὅλοι ἀπολαμβάνουν τὴ δωρεὰ καὶ σώζονται μὲ τὴ χάρη. Ὅσοι ὅμως θέλουν νὰ δικαιωθοῦν ἀπὸ τὸ νόμο, θὰ ἐκπέσουν καὶ ἀπὸ τὴ χάρη. Γιατί, ἀγωνιζόμενοι νὰ σωθοῦν μόνοι τους, δὲν θὰ μπορέσουν ν' ἀπολαύσουν τὴ βασιλικὴ φιλανθρωπία, ἀλλὰ θὰ ἐπισύρουν ἐπάνω τους καὶ τὴν κατάρα τοῦ νόμου, γιατὶ «κανεὶς ἄνθρωπος δὲν θὰ δικαιωθῆ μὲ τὰ ἔργα τοῦ νόμου»[3]. Γι' αὐτὸ καὶ λέγει· «ἂν περιτέμνεσθε, ὁ Χριστὸς δὲν θὰ σᾶς ὠφελήση σὲ τίποτε»[4]. Γιατί, ὅποιος ἐπιδιώκει νὰ σωθῆ μὲ τὰ ἔργα τοῦ νόμου, αὐτὸς δὲν ἔχει τίποτε τὸ κοινὸ μὲ τὴ χάρη, πρᾶγμα βέβαια ποὺ ὑπαινισσόμενος καὶ ὁ Παῦλος, ἔλεγε· «ἂν ἔγινε αὐτὸ κατὰ χάρη, τότε δὲν βασίζεται σὲ ἔργα, γιατὶ ἀλλιῶς ἡ χάρη δὲν εἶναι

γων, οὐκ ἔτι ἐστὶ χάρις, ἐπεὶ τὸ ἔργον οὐκ ἔτι ἐστὶν ἔργον». Καὶ πάλιν· «εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανε». Καὶ πάλιν· «οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε». Ἐθανατώθης τῷ νόμῳ, νεκρὸς γέγονας, οὐκέτι λοιπὸν ἐπὶ τὸν ζυγόν, οὐδὲ ὑπὸ τὴν ἀνάγκην εἶ τὴν ἐκείνου. Τί τοίνυν φιλονεικεῖς σαυτῷ πράγματα παρέχειν εἰκῇ καὶ μάτην;

Ἀλλὰ γὰρ καὶ τίνος ἕνεκεν τὸ ὄνομα τὸ ἑαυτοῦ τέθεικεν ὁ Παῦλος ἐνταῦθα καὶ οὐκ εἶπεν ἁπλῶς, «ἴδε ἐγὼ λέγω ὑμῖν»; Ἀναμνῆσαι βουλόμενος αὐτοὺς τῆς σπουδῆς, ἧς περὶ τὸν Ἰουδαϊσμὸν ἐπεδείξατο. Εἰ μὲν γὰρ ἤμην, φησίν, ἐξ ἐθνῶν καὶ ἀγνοῶν τὰ ἰουδαϊκά, ἴσως ἄν τις εἶπεν ὅτι διὰ τὸ μὴ μετεσχηκέναι με τῆς πολιτείας ἐκείνης, ἀγνοῶν τῆς περιτομῆς τὴν ἰσχύν, ἐκβάλλω τῶν τῆς Ἐκκλησίας δογμάτων αὐτήν. Διὰ τοῦτο τὸ ὄνομα αὐτοῦ τέθεικεν, εἰς μνήμην ἄγων αὐτούς, ὧν ἐποίησεν ὑπὲρ τοῦ νόμου, μονονουχὶ λέγων· οὐκ ἀπαχεθείᾳ τῆς περιτομῆς τοῦτο ποιῶ, ἀλλ' ἐν ἐπιγνώσει τῆς ἀληθείας. Ἐγὼ Παῦλος τοῦτο λέγω, Παῦλος ἐκεῖνος ὁ ἐν περιτομῇ ὀκταήμερος, ὁ ἐκ γένους Ἰσραηλίτης, Ἑβραῖος ἐξ Ἑβραίων, ἐκ φυλῆς Βενιαμίν, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν Ἐκκλησίαν, ὁ εἰσπορευόμενος εἰς τὰς οἰκίας καὶ σύρων ἄνδρας καὶ γυναῖκας καὶ παραδιδοὺς εἰς φυλακήν· ἅπερ ἅπαντα καὶ τοὺς σφόδρα ἀναισθήτως διακειμένους πεῖσαι δύναιτ' ἄν, ὡς οὐκ ἔχθρᾳ τινί, οὐδὲ ἀγνοίᾳ τῶν ἰουδαϊκῶν, ἀλλ' ἐπιγνώσει τῆς ἀληθείας τῆς ὑπερεχούσης τοῦ Χριστοῦ, τοῦτον τέθεικα τὸν νόμον. «Μαρτύρομαι δὲ πάλιν», φησί, «παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι». Διὰ τί οὐκ εἶπε, 'παραγγέλλω δέ', ἢ 'ἐντέλλομαι δέ', ἢ 'λέγω δέ', ἀλλὰ «μαρτύρομαι»; Ἵνα διὰ τοῦ ῥήματος τούτου τοῦ δικαστηρίου τοῦ μέλλοντος ἡμᾶς ἀναμνήσῃ· ὅπου γὰρ μάρτυρες, ἐκεῖ δικαστήριον καὶ ψῆφος. Φοβεῖ τοίνυν τὸν ἀκροατήν, ἀναμιμνήσκων τοῦ βασιλικοῦ θρόνου, καὶ δεικνὺς ὅτι οὗτοι οἱ λόγοι μάρτυρες ἔσονται αὐτῷ κατὰ τὴν

5. Ρωμ. 11,6.
6. Γαλ. 2,21.
7. Γαλ. 5,4.
8. Φιλιπ. 3,5–6. Πράξ. 8,3.

χάρη· ἂν πάλι βασίζεται στὰ ἔργα, τότε δὲν εἶναι χάρη, γιατὶ τὸ ἔργο δὲν συνεχίζει νὰ εἶναι ἔργο»[5]. Καὶ πάλι· «γιατί, ἂν ἡ δικαίωση δίνεται διὰ τοῦ νόμου, τότε ἄδικα πέθανε ὁ Χριστός»[6]. Καὶ πάλι· «ὅσοι ἐπιδιώκετε τὴ δικαίωση διὰ τοῦ νόμου, ξεπέσατε ἀπὸ τὴ χάρη»[7]. Πέθανες γιὰ τὸν νόμο, νεκρώθηκες, μὴ βάλης λοιπὸν ποτὲ πιὸ ἐπάνω τὸν ζυγό του, ἀλλ' οὔτε καὶ νὰ ζήσης κάτω ἀπὸ τὴν ἀνάγκη τοῦ νόμου. Γιατί λοιπὸν ἀγωνίζεσαι νὰ φορτώνης τὸν ἑαυτό σου μὲ πράγματα μάταια καὶ ἀνώφελα;

Γιὰ ποιό λόγο ὅμως ὁ Παῦλος ἔθεσε τὸ ὄνομά του ἐδῶ καὶ δὲν εἶπε ἁπλῶς, 'νά, ἐγὼ σᾶς λέγω'; Τὸ ἔκαμε θέλοντας νὰ τοὺς δείξη τὸ ἐνδιαφέρον ποὺ ἐπέδειξε γιὰ τὸν Ἰουδαϊσμό. Γιατί, λέγει, ἂν καταγόμουν ἀπὸ τοὺς ἐθνικοὺς καὶ ἀγνοοῦσα τὰ ἰουδαϊκά, θὰ μποροῦσε ἴσως νὰ πῆ κάποιος, ὅτι, ἐπειδὴ δὲν ἔζησα τὴ θρησκευτικὴ ζωὴ τῶν Ἰουδαίων, γι' αὐτὸ καὶ τὴν ἀποβάλλω ἀπὸ τὰ δόγματα τῆς Ἐκκλησίας, ἀγνοώντας τὴ δύναμη τῆς περιτομῆς. Γι' αὐτὸ ἔθεσε τὸ ὄνομά του, γιὰ νὰ τοὺς ὑπενθυμίση ὅλα ἐκεῖνα ποὺ ὁ ἴδιος ἔπραξε ὑπὲρ τοῦ νόμου, λέγοντας κατὰ κάποιο τρόπο· 'Δὲν τὸ κάμνω αὐτὸ ἀπὸ ἀπέχθεια πρὸς τὴν περιτομή, ἀλλ' ἐπειδὴ γνωρίζω τὴν ἀλήθεια. Ἐγὼ ὁ Παῦλος τὸ λέγω αὐτό, ἐγὼ ὁ Παῦλος, ποὺ περιετμήθηκα τὴν ὀγδόη ἡμέρα, ὁ Ἰσραηλίτης τὴν καταγωγή, ποὺ εἶμαι Ἑβραῖος ἐξ Ἑβραίων, ποὺ κατάγομαι ἀπὸ τὴ φυλὴ τοῦ Βενιαμὶν καὶ εἶμαι κατὰ νόμο Φαρισσαῖος, ποὺ καταδίωκα μὲ ζῆλο τὴν Ἐκκλησία, ποὺ ἔμπαινα μέσα στὰ σπίτια καὶ συνελάμβανα ἄνδρες καὶ γυναῖκες καὶ τοὺς παρέδινα στὴ φυλακή, ποὺ θὰ μποροῦσαν βέβαια ὅλα αὐτὰ νὰ πείσουν καὶ τοὺς πιὸ ἀναίσθητους ἀκόμη, ὅτι ὄχι ἀπὸ ἔχθρα, οὔτε καὶ ἀπὸ ἄγνοια τῶν ἰουδαϊκῶν πραγμάτων, ἀλλὰ ἀπὸ ἐπίγνωση τῆς ὑπεροχῆς τῆς ἀλήθειας τοῦ Χριστοῦ ἔθεσα τὸν νόμο αὐτόν[8]. Γιατί, λέγει, «βεβαιώνω πάλι κάθε ἄνθρωπο ποὺ περιτέμνεται, ὅτι ὀφείλει νὰ ἐκπληρώση ὅλον τὸν νόμο»[9]. Γιατί δὲν εἶπε, 'παραγγέλλω' ἢ 'δίνω ἐντολὴ' ἢ 'λέγω', ἀλλὰ «βεβαιώνω»; Γιὰ νὰ μᾶς θυμίση μὲ τὸν λόγο αὐτὸν τὸ δικαστήριο τοῦ μέλλοντος, γιατί, ὅπου ὑπάρχουν μάρτυρες, ἐκεῖ ὑπάρχει καὶ δικαστήριο καὶ δικαστικὴ ἀπόφαση. Φοβίζει λοιπὸν τὸν ἀκροατή, ὑπενθυμίζοντάς του τὸν βασιλικὸ θρόνο καὶ δείχνοντάς του, ὅτι οἱ λόγοι αὐτοὶ θὰ μεταβληθοῦν σὲ

9. Γαλ. 5,3.

ἡμέραν ἐκείνην, ὅταν ἕκαστος τῶν ἑαυτῷ πεπραγμένων καὶ ὧν εἶπε καὶ ὧν ἤκουσεν, ὑπέχῃ λόγον.

Ταῦτα ἤκουον μὲν τότε Γαλάται, ἀκουέτωσαν δὲ καὶ νῦν οἱ τὰ Γαλατῶν νοσοῦντες, εἰ καὶ μὴ πάρεισιν· ἀλλὰ δι' ὑμῶν ἀκουέτωσαν βοῶντος Παύλου καὶ λέγοντος· «μαρτύρομαι δὲ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι». Μή γάρ μοι εἴπῃς ὅτι μία ἐντολή ἐστιν ἡ περιτομή. Ἡ μία ἐντολὴ ἐκείνη ὁλόκληρον ἐπιτίθησί σοι τοῦ νόμου τὸν ζυγόν. Ὅταν γὰρ διὰ τοῦ μέρους εἰσάγῃς σαυτὸν εἰς τὴν τοῦ νόμου δεσποτείαν, ἀνάγκη καὶ τὰ λοιπὰ πείθεσθαι ἐπιτάττοντι· μὴ πληροῦντα δὲ ἀνάγκη πᾶσα κολάζεσθαι καὶ τὴν ἀρὰν ἕλκειν. Καὶ καθάπερ εἰς παγίδα ἐμπεσόντος στρουθοῦ, κἂν ὁ ποὺς κατέχηται μόνον καὶ τὸ λοιπὸν ἅπαν ἑάλω σῶμα, οὕτω καὶ ὁ μίαν ἐντολὴν τοῦ νόμου πληρῶν, κἂν περιτομήν, κἂν νηστείαν, ἅπασαν ἑαυτοῦ τὴν ἐξουσίαν διὰ τῆς μιᾶς ταύτης τῷ νόμῳ παρέδωκε καὶ οὐ δυνήσεται διαφυγεῖν, ἕως ἂν αὐτῷ κἂν ἐκ μέρους πείθεσθαι βούληται.

Ταῦτα οὐ κατηγοροῦντες τοῦ νόμου λέγομεν, μὴ γένοιτο, ἀλλὰ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Χριστοῦ χάριτος δεῖξαι βουλόμενοι. Οὐ γάρ ἐστιν ὁ νόμος ἐναντίος τῷ Χριστῷ. Πῶς γὰρ ὁ ὑπ' αὐτοῦ δοθείς, ὁ πρὸς αὐτὸν ἡμᾶς παιδαγωγῶν; Ἀλλὰ διὰ τὴν ἄκαιρον φιλονεικίαν τῶν οὐκ εἰς δέον αὐτῷ χρωμένων πάντα ταῦτα λέγειν ἀναγκαζόμεθα. Ἐκεῖνοι γάρ εἰσιν οἱ τὸν νόμον ὑβρίζοντες, οἱ κελεύοντες ἀποστῆναι καθάπαξ αὐτοῦ καὶ τῷ Χριστῷ προσελθεῖν καὶ ἀντεχόμενοι πάλιν αὐτοῦ. Ἐπεὶ ὅτι μέγιστα τὴν φύσιν ὠφέλησε τὴν ἡμετέραν ὁ νόμος, ὁμολογῶ κἀγὼ καὶ οὐκ ἀρνηθείην ποτέ. Ἀλλ' ὁ παρὰ καιρὸν ἀντεχόμενος αὐτοῦ σὺ οὐ συγχωρεῖς φανῆναι τῆς ὠφελείας αὐτοῦ τὸ μέγεθος. Καθάπερ γὰρ παιδαγωγοῦ μέγιστον ἐγκώμιον γένοιτ' ἄν, τὸ μηκέτι δεῖσθαι τῆς παρ' αὐτοῦ φυλακῆς εἰς σωφροσύνην τὸν ὑπ' αὐτοῦ παιδαγωγηθέντα

μάρτυρες κατὰ τὴν ἡμέρα ἐκείνη, ὅταν ὁ καθένας μας θὰ λογοδοτήση γιὰ ὅσα ἔπραξε καὶ εἶπε καὶ ἄκουσε.

Αὐτὰ τὰ ἄκουαν βέβαια τότε οἱ Γαλάτες, ἀλλ' αὐτὰ ἂς τὰ ἀκούσουν καὶ τώρα ὅσοι ἔχουν τὴν ἴδια μὲ τοὺς Γαλάτες ἀσθένεια, ἔστω καὶ ἂν δὲν εἶναι παρόντες· ἂς ἀκούσουν μέσω ἐσᾶς τὸν Παῦλο ποὺ βροντοφωνάζει καὶ λέγει· «βεβαιώνω κάθε ἄνθρωπο ποὺ περιτέμνεται, ὅτι ὀφείλει νὰ ἐκπληρώση ὅλον τὸν νόμο». Μὴ μοῦ πῆς δηλαδή, ὅτι ἡ περιτομὴ εἶναι ἁπλῶς μία ἐντολή. Ἡ μία ἐντολὴ ἐκείνη σοῦ φορτώνει ὅλον τὸν ζυγὸ τοῦ νόμου. Γιατί, ὅταν μὲ τὴν τήρηση μέρους τοῦ νόμου θέσης τὸν ἑαυτό σου κάτω ἀπὸ τὴν ἐξουσία τοῦ νόμου, εἶσαι ἀναγκασμένος νὰ ὑπακούης καὶ σ' ὅλα τὰ ἄλλα ἐπιτάγματά του· μὴ τηρώντας τον ὅμως, κατ' ἀνάγκη πρέπει νὰ τιμωρῆσαι καὶ νὰ ἐπισύρης τὴν κατάρα του. Κι ὅπως ἀκριβῶς τὸ πουλί, ὅταν πιαστῆ στὴν παγίδα, ἔστω κι ἂν συλληφθῆ μόνο τὸ πόδι του, συνελήφθηκε ὅλο τὸ ὑπόλοιπο σῶμα του, ἔτσι καὶ ὅποιος τηρεῖ μία μόνο ἐντολὴ τοῦ νόμου, εἴτε τὴν περιτομὴ εἴτε τὴν νηστεία, παρέδωσε ὁλόκληρη τὴν ἐξουσία του στὸ νόμο μὲ τὴν τήρηση καὶ μόνο τῆς μιᾶς αὐτῆς ἐντολῆς καὶ δὲν θὰ μπορέση νὰ ξεφύγη ἀπὸ τὴν ἐξουσία του, ἕως ὅτου θὰ θέλη νὰ ὑπακούη σ' αὐτὸν ἔστω καὶ μὲ τὴν τήρηση τῆς ἐπὶ μέρους αὐτῆς ἐντολῆς του.

Ὅλα αὐτὰ τὰ λέγω ὄχι γιὰ νὰ κατηγορήσω τὸν νόμο –μὴ γένοιτο!– ἀλλὰ θέλοντας νὰ δείξω τὴν ὑπεροχὴ τοῦ πλούτου τῆς χάριτος τοῦ Χριστοῦ. Γιατὶ ὁ νόμος δὲν εἶναι ἀντίθετος στὸν Χριστό. Πῶς δηλαδὴ μπορεῖ νὰ εἶναι ἀντίθετος τὴ στιγμὴ ποὺ δόθηκε ἀπ' αὐτὸν καὶ μᾶς καθοδηγεῖ πρὸς αὐτόν; Ἀλλ' ἀναγκάζομαι νὰ τὰ λέγω ὅλα αὐτὰ λόγῳ τῆς παράκαιρης φιλονεικίας ἐκείνων ποὺ δὲν τὸν χρησιμοποιοῦν ὅπως πρέπει. Γιατὶ ἐκεῖνοι εἶναι ποὺ ὑβρίζουν τὸν νόμο, ἐκεῖνοι ποὺ διατάσσουν τὴν ὁριστικὴ ἀπομάκρυνση ἀπ' αὐτὸν καὶ τὴν προσέλευση στὸν Χριστό, ἀλλὰ θέτουν πάλι τὸν ἑαυτό τους κάτω ἀπὸ τὴν ἐξουσία αὐτοῦ. Γιατί, τὸ ὅτι ὁ νόμος ὠφέλησε τὰ μέγιστα τὸ ἀνθρώπινο γένος τὸ ὁμολογῶ κι ἐγὼ καὶ δὲν θὰ μποροῦσα νὰ τὸ ἀρνηθῶ ποτέ. Σὺ ὅμως, ποὺ θέλεις παράκαιρα νὰ ἐφαρμόζης τὸν νόμο, δὲν ἀφήνεις νὰ φανῆ τὸ μέγεθος τῆς ὠφέλειας αὐτοῦ. Γιατί, ὅπως ἀκριβῶς θὰ μποροῦσε νὰ καταστῆ μέγιστος ἔπαινος γιὰ ἕνα παιδαγωγό, τὸ νὰ μὴ ἔχη πιὰ ἀνάγκη τῶν φροντίδων του ὁ νέος ἐκεῖνος, τὸν ὁποῖο αὐτὸς ὁ ἴδιος τὸν παιδαγώγησε στὸ νὰ ἀσκῆ τὴ

νέον, εἰς μείζονα ἐπιδόντα ἀρετήν, οὕτω καὶ νόμῳ μέγιστος ἔπαινος γένοιτ' ἄν, τὸ μηκέτι χρείαν ἔχειν ἡμᾶς τῆς παρ' αὐτοῦ βοηθείας. Αὐτὸ γὰρ δὴ τοῦτο παρὰ τοῦ νόμου γέγονεν ἡμῖν, τὸ πρὸς μείζονος φιλοσοφίας ὑποδοχὴν ἐπιτηδειοτέραν ἡμῖν γενέσθαι τὴν ψυχήν. Ὥστε ὁ μὲν ἔτι παρακαθήμενος αὐτῷ καὶ μὴ δυνάμενος μεῖζόν τι τῶν ἐκεῖ γεγραμμένων ἰδεῖν, οὐδὲν ἐκέρδανε παρ' αὐτοῦ μέγα. Ἐγὼ δὲ ὁ τοῦτον μὲν ἀφείς, πρὸς δὲ τὰ ὑψηλότερα τοῦ Χριστοῦ δόγματα δραμών, μάλιστα ἂν αὐτὸν δυναίμην σεμνύνειν, ὅτι με τοιοῦτον εἰργάσατο, ὡς δυνηθῆναι τῶν ἐν αὐτῷ γεγραμμένων τὴν σμικρότητα ὑπερβάντα, πρὸς τὸ τῆς διδασκαλίας ὕψος ἀναβῆναι τῆς παρὰ τοῦ Χριστοῦ γενομένης ἡμῖν. Μεγάλα τὴν φύσιν τὴν ἡμετέραν ὠφέλησεν ὁ νόμος, ἀλλ' ἐὰν τῷ Χριστῷ προσαγάγῃ γνησίως. Ὡς ἐὰν μὴ τοῦτο ᾖ καὶ κατέβλαψε, μειζόνων ἀποστερήσας ἡμᾶς τῇ τῶν ἐλαττόνων προσεδρίᾳ καὶ τῷ πάλιν ἐν τοῖς μυρίοις τῶν παραβάσεων τραύμασιν ἔτι κατέχειν. Καὶ γὰρ εἰ δυοῖν ἰατρῶν ὄντων, τοῦ μὲν ἀσθενεστέρου, τοῦ δὲ δυνατωτέρου, ὁ μὲν τοῖς ἕλκεσι φάρμακα ἐπιτιθεὶς μὴ δύναιτο ἀπαλλάξαι καθάπαξ τῆς ἐξ ἐκείνων ὀδύνης τὸν ἄρρωστον...λείπει...

3. ...«Ὁ ἀδελφός σου, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ὕπαγε· πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου». Οὐκ εἶπε, σύστειλον τὴν θυσίαν καὶ τότε ἄπελθε, ἀλλ' ἄφες μένειν ἀπλήρωτον καὶ ἀπελθὼν «διαλλάγηθι τῷ ἀδελφῷ σου». Καὶ οὐκ ἐνταῦθα τοῦτο μόνον ἐποίησεν, ἀλλὰ καὶ ἑτέρωθι πάλιν. «Ἐὰν μὲν γὰρ ἄπιστον ἔχῃ γυναῖκά τις», τοῦτό ἐστιν, Ἑλληνίδα, οὐκ ἀναγκάζεται ἐκβαλεῖν. «Εἴ τις», γὰρ φησίν, «ἔχει γυναῖκα ἄπιστον καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν»· ἂν δὲ πόρνην καὶ μοιχαλίδα, οὐ κωλύεται ἐκβάλλειν. «Ὃς γὰρ ἄν», φησίν, «ἀπολύσει τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι»· ὥστε ἐπὶ λόγου πορνείας ἔξεστιν ἀπολῦσαι. Εἶδες φιλανθρωπίαν Θεοῦ καὶ

10. Τὸ κείμενο ἐδῶ εἶναι ἐφθαρμένο.
11. Ματθ. 5,23–24.
12. Α΄ Κορ. 7,12.

σωφροσύνη, καὶ νὰ φθάση σὲ μεγαλύτερη ἐπίδοση στὴν ἀρετή, ἔτσι καὶ γιὰ τὸν νόμο θὰ ἦταν πολὺ μεγάλος ἔπαινος τὸ νὰ μὴ ἔχουμε πιὰ ἐμεῖς ἀνάγκη ἀπὸ τὴ βοήθεια αὐτοῦ. Γιατὶ πραγματικὰ αὐτὴ εἶναι ἡ ὠφέλειά μας ἀπὸ τὸν νόμο, τὸ νὰ καταστῆ δηλαδὴ ἡ ψυχή μας καταλληλότερη στὸ νὰ δεχθῆ ὑψηλότερη φιλοσοφία. Συνεπῶς ὅποιος παραμένει ἀκόμη προσκολλημένος στὸν νόμο καὶ δὲν εἶναι σὲ θέση νὰ δῆ κάτι ὑψηλότερο ἀπὸ ἐκεῖνα ποὺ εἶναι γραμμένα ἐκεῖ, αὐτὸς δὲν κέρδισε τίποτε τὸ μεγάλο ἀπ' αὐτόν. Ἐγὼ ὅμως ποὺ τὸν ἐγκατέλειψα καὶ ἔτρεξα πρὸς τὰ ὑψηλότερα δόγματα τοῦ Χριστοῦ, θὰ μποροῦσα πολὺ περισσότερο νὰ τὸν μεγαλύνω, γιατὶ μὲ ἔκανε τέτοιον, ὥστε, ὑπερβαίνοντας τὴν μικρότητα τῶν ὅσων εἶναι γραμμένα σ' αὐτόν, νὰ ἀνεβῶ στὸ ὕψος τῆς διδασκαλίας ποὺ μᾶς προσφέρθηκε ἀπὸ τὸν Χριστό. Εἶναι πολὺ μεγάλη ἡ ὠφέλεια τοῦ νόμου πρὸς τὸ ἀνθρώπινο γένος, ἀλλ' ἂν ὁδηγῆ σωστὰ πρὸς τὸν Χριστό, ἂν ὅμως αὐτὸ δὲν γίνεται, τότε καὶ μᾶς ἔβλαψε πάρα πολύ, γιατὶ μᾶς ἀποστέρησε μεγαλύτερα ἀγαθὰ μὲ τὸ νὰ μᾶς ἔχη προσκολλημένους στὰ μικρότερα καὶ νὰ μᾶς κρατῆ ἀκόμη στὰ μύρια τραύματα τῶν παραβάσεών του. Ἂν δηλαδὴ ὑπῆρχαν δύο ἰατροί, ἀπὸ τοὺς ὁποίους ὁ ἕνας νὰ ἦταν κατώτερος καὶ ὁ ἄλλος ἀνώτερος, καὶ ἀπὸ αὐτοὺς ὁ πρῶτος ἀλείφοντας φάρμακα στὶς πληγὲς δὲν κατώρθωνε ν' ἀπαλλάξη μονομιᾶς τὸν ἄρρωστο ἀπὸ τὸν πόνο τῶν πληγῶν του....[10].

3. «...ὁ ἀδελφός σου, ἄφησε τὸ δῶρο σου μπροστὰ στὸ θυσιαστήριο καὶ πήγαινε πρῶτα νὰ συμφιλιωθῆς μὲ τὸν ἀδελφό σου καὶ τότε ἔλα καὶ πρόσφερε τὸ δῶρο σου»[11]. Δὲν εἶπε, 'συντόμευσε τὴ θυσία καὶ τότε πήγαινε', ἀλλά, ἄφησέ την χωρὶς νὰ τὴν προσφέρης, κι ἀφοῦ πᾶς, «συμφιλιώσου μὲ τὸν ἀδελφό σου». Καὶ δὲν τὸ ἔκαμε αὐτὸ μόνο ἐδῶ, ἀλλὰ καὶ ἀλλοῦ πάλι. Ἐὰν δηλαδὴ κάποιος ἔχη ἄπιστη γυναῖκα, δηλαδὴ εἰδωλολάτρισσα, δὲν ὑποχρεώνεται νὰ τὴν ἀπομακρύνη· γιατὶ λέγει· «ἂν κάποιος ἔχη γυναῖκα ἄπιστη καὶ αὐτὴ δέχεται νὰ συγκατοικῆ μαζί του, ἂς μὴ τὴν ἀφήνη»[12]. Ἂν ὅμως εἶναι πόρνη καὶ μοιχαλίδα, δὲν ἐμποδίζεται νὰ τὴν ἀπομακρύνη. Γιατὶ λέγει, «ὅποιος θὰ χωρίση τὴ γυναίκα του, ἐκτὸς ἀπὸ τὴν αἰτία τῆς πορνείας, αὐτὸς τὴν ἀναγκάζει νὰ διαπράξη μοιχεία»[13]. Συνεπῶς ἐπιτρέπεται νὰ διώξη κανεὶς τὴ γυναῖκά του, ὅταν ὑπάρχη ὁ λόγος τῆς πορνείας. Εἶδες φιλανθρωπία Θεοῦ καὶ πρόνοια; Ἂν ἡ γυναῖκα

13. Ματθ. 5,32.

κηδεμονίαν; Ἂν Ἑλληνὶς ᾖ, φησίν, ἡ γυνή, μὴ ἐκβάλλῃς· ἂν δὲ πόρνη, οὐ κωλύω τοῦτο ποιῆσαι· ἂν εἰς ἐμέ, φησίν, ἀσεβήσῃ, μὴ ἐκβάλλῃς· ἂν δὲ εἰς σὲ ὑβρίσῃ, οὐδεὶς ὁ κωλύων ἐκβαλεῖν. Εἶτα ὁ μὲν Θεὸς τοσαύτῃ τιμῇ κέχρηται πρὸς ἡμᾶς, ἡμεῖς δὲ οὐδὲ τῶν ἴσων αὐτὸν ἀξιώσομεν, ἀλλ' ὑβριζόμενον αὐτὸν παρὰ τῶν ἡμετέρων περιοψόμεθα γυναικῶν καὶ ταῦτα εἰδότες, ὅτι μεγίστη κόλασις ἡμῖν ἀποκείσεται καὶ τιμωρία, ὅταν τὴν τῶν γυναικῶν ὑπερορῶμεν σωτηρίαν; Διὰ γὰρ τοῦτο κεφαλήν σε τῆς γυναικὸς ἐποίησε, διὰ τοῦτο καὶ ὁ Παῦλος ἐκέλευσεν, «εἴ τι μαθεῖν θέλουσιν αἱ γυναῖκες, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτᾶν», ἵνα, ὥσπερ διδάσκαλος καὶ κηδεμὼν καὶ προστάτης, εἰς εὐσέβειαν αὐτὴν ἐνάγῃς. Ὑμεῖς δέ, ὅταν μὲν καιρὸς συνάξεως πρὸς τὴν Ἐκκλησίαν καλῇ, ῥᾳθυμούσας οὐ διεγείρετε· τοῦ δὲ διαβόλου πρὸς τὰς σάλπιγγας αὐτὰς καλοῦντος, ἑτοίμως ἐπακουούσας οὐ κατέχετε, ἀλλὰ περιορᾶτε τοῖς τῆς ἀσεβείας ἐγκλήμασιν ἁλισκομένας καὶ πρὸς ἀκολασίαν ἐξελκομένας. Καὶ γὰρ πόρναι καὶ μαλακοὶ καὶ πᾶς ὁ τῆς ὀρχήστρας χορὸς ἐκεῖ συντρέχειν εἰώθασι.

Καὶ τί λέγω πορνείας τὰς γινομένας; Οὐ δέδοικας μὴ δαίμονα λαβοῦσα ἐκεῖθεν ἐπανέλθῃ ἡ γυνή; Οὐκ ἤκουσας ἐν τῇ προτέρᾳ διαλέξει σαφῶς ἀποδείξαντος ἡμῖν τοῦ λόγου, ὅτι καὶ τὰς ψυχὰς αὐτὰς τῶν Ἰουδαίων καὶ τοὺς τόπους, ἐν οἷς συλλέγονται, δαίμονες κατοικοῦσι; Πῶς οὖν, εἰπέ μοι, τολμᾷς μετὰ δαιμόνων χορεύσας πρὸς τὸν τῶν ἀποστόλων σύλλογον ἐπανελθεῖν; Πῶς δὲ οὐ φρίττεις ἀπελθὼν καὶ κοινωνήσας ἐκείνοις τοῖς τὸ αἷμα ἐκχέασι τοῦ Χριστοῦ, ἐλθεῖν καὶ κοινωνῆσαι τῆς ἱερᾶς τραπέζης καὶ τοῦ αἵματος μετασχεῖν τοῦ τιμίου; Οὐ φρίττεις, οὐ δέδοικας τοιαῦτα παρανομῶν; Τὴν τράπεζαν αὐτὴν οὐκ αἰδῇ;

Ταῦτα πρὸς ὑμᾶς ἐγὼ διελέχθην, ταῦτα πρὸς ἐκείνους ὑμεῖς, κἀκεῖνοι πρὸς τὰς ἑαυτῶν γυναῖκας· «εἷς τὸν ἕνα οἰκοδομεῖτε». Κἂν μὲν κατηχούμενος ᾖ ὁ τὰ τοιαῦτα νοσῶν, τῶν προθύρων εἰργέσθω, ἂν δὲ πιστὸς καὶ μεμυημένος, τῆς ἱερᾶς τραπέζης ἀπελαυ-

14. Ἐφεσ. 5,23.
15. Α' Κορ. 14,35.
16. Α' Θεσ. 5,11.

σου εἶναι εἰδωλολάτρισσα, λέγει, μὴ τὴν διώξης, ἂν ὅμως εἶναι πόρνη, δὲν σὲ ἐμποδίζω νὰ τὴν ἀπομακρύνης. Ἂν ἀσεβήση, λέγει, σὲ μένα, μὴ τὴν διώξης, ἂν ὅμως προσβάλη ἐσένα, κανεὶς δὲν σὲ ἐμποδίζει νὰ τὴν ἀπομακρύνης. Ἔπειτα, ἐνῶ ὁ Θεὸς μᾶς μεταχειρίζεται μὲ τόση τιμή, ἐμεῖς δὲν θὰ καταδεχθοῦμε οὔτε κἂν τὰ ἴσα νὰ τοῦ ἀνταποδώσουμε, ἀλλὰ ἐνῶ ὑβρίζεται ἀπὸ τὶς γυναῖκες μας θὰ ἀδιαφορήσουμε, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ γνωρίζουμε, ὅτι μᾶς περιμένει μέγιστη κόλαση καὶ τιμωρία, ὅταν ἀδιαφοροῦμε γιὰ τὴ σωτηρία τῶν γυναικῶν μας; Γιατὶ γι' αὐτὸ σὲ κατέστησε κεφαλὴ τῆς γυναίκας[14], γι' αὐτὸ καὶ ὁ Παῦλος ἔδωσε ἐντολή, «ἂν οἱ γυναῖκες θέλουν νὰ μάθουν κάτι, ἂς ἐρωτοῦν τοὺς ἄνδρες τους στὸ σπίτι τους»[15], γιὰ νὰ τὴν ὁδηγῆς, σὰν διδάσκαλος καὶ κηδεμόνας καὶ προστάτης, στὴν εὐσέβεια. Σεῖς ὅμως, ὅταν ἔρχεται ἡ ὥρα τῆς συγκεντρώσεώς μας ἐδῶ στὴν ἐκκλησία, δὲν τὶς παροτρύνετε, ἐνῶ αὐτὲς δείχνουν ἀδιαφορία· ἀντίθετα, ὅταν ὁ διάβολος τὶς καλῆ στὴν ἑορτὴ τῶν σαλπίγγων καὶ εἶναι ἕτοιμες νὰ ἀνταποκριθοῦν, δὲν τὶς συγκρατεῖτε, ἀλλ' ἀμελεῖτε ποὺ αἰχμαλωτίζονται στὰ ἐγκλήματα τῆς ἀσέβειας καὶ παρασύρονται στὴν ἀκολασία. Γιατὶ πραγματικὰ καὶ οἱ πόρνες καὶ οἱ θηλυπρεπεῖς καὶ ὁλόκληρος ὁ χορὸς τῆς ὀρχήστρας ἐκεῖ συνηθίζουν νὰ πηγαίνουν τρέχοντας.

Καὶ γιατί ὁμιλῶ γιὰ τὶς πορνεῖες ποὺ συμβαίνουν; Δὲν φοβᾶσαι μήπως ἡ γυναῖκα σου, ἐπιστρέφοντας ἀπὸ ἐκεῖ στὸ σπίτι, φέρη μαζί της καὶ κανένα δαίμονα; Δὲν ἄκουσες στὴν προηγούμενή μας ὁμιλία, κατὰ τὴν ὁποία σαφῶς μᾶς ἀπέδειξε ὁ λόγος, ὅτι οἱ δαίμονες κατοικοῦν τόσο στὶς ψυχὲς τῶν Ἰουδαίων, ὅσο καὶ στοὺς τόπους τῶν συγκεντρώσεών τους; Πές μου λοιπόν, τολμᾶς, ἀφοῦ χόρεψες μὲ τοὺς δαίμονες, νὰ ἐπανέλθης στὴ συνέλευση τῶν Ἀποστόλων; Πῶς δὲν φρίττεις, πού, ἀφοῦ πῆγες ἐκεῖ καὶ συναναστράφηκες μ' ἐκείνους ποὺ ἔχυσαν τὸ αἷμα τοῦ Χριστοῦ, ἔρχεσαι ἐδῶ καὶ παίρνεις μέρος στὴν ἱερὴ τράπεζα καὶ μεταλαβαίνεις τὸ τίμιο αἷμα; Δὲν φρίττεις, δὲν φοβᾶσαι διαπράττοντας τέτοιες παρανομίες; Δὲν σέβεσαι τὴν τράπεζα αὐτή;

Αὐτὰ τὰ εἶπα ἐγὼ σὲ σᾶς καὶ σεῖς πρὸς ἐκείνους καὶ ἐκεῖνοι στὶς γυναῖκές τους. «Ὁ ἕνας νὰ οἰκοδομῆτε τὸν ἄλλο»[16]. Καὶ ἂν αὐτὸς ποὺ ὑποφέρει ἀπὸ τὴν παροῦσα ἀσθένεια εἶναι κατηχούμενος, νὰ μὴ ἐπιτρέψετε νὰ εἰσέλθη στὸ ναό, ἂν ὅμως εἶναι πιστὸς καὶ μυ-

νέσθω. Οὐ γὰρ πάντα τὰ ἁμαρτήματα παραινέσεως δεῖται καὶ συμβουλῆς, ἀλλ' ἔστιν ἃ τομῇ συντόμῳ καὶ ὀξυτάτῃ διορθοῦσθαι πέφυκε. Καὶ καθάπερ τῶν τραυμάτων τὰ μὲν ἀνεκτότερα προσηνεστέροις εἴκει φαρμάκοις, τὰ δὲ σεσηπότα καὶ ἀνίατα, καὶ τὸ λοιπὸν ἐπινεμόμενα σῶμα, αἰχμῆς σιδήρου δεῖται καὶ φλογός, οὕτω δὴ καὶ ἐπὶ τῶν ἁμαρτημάτων, τὰ μὲν παραινέσεως μακροτέρας χρείαν ἔχοντα τὰ δὲ ἐλέγχων ἀποτόμων. Διόπερ καὶ ὁ Παῦλος ἐκέλευσε μὴ πάντα παραινεῖν, ἀλλὰ καὶ ἐλέγχειν ἀποτόμως, οὕτω λέγων· «δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως». Ἐλέγξωμεν οὖν αὐτοὺς ἀποτόμως νῦν, ἵνα ἐπὶ τοῖς φθάσασιν αἰσχυνθέντες καὶ καταγνόντες ἑαυτῶν μηκέτι τὴν ἀπὸ τῆς παρανόμου νηστείας δέξωνται λύμην. Διὰ ταῦτα καὶ ἐγὼ τὴν παραίνεσιν λοιπὸν ἀφείς, μαρτύρομαι καὶ βοῶ· «εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἔστω ἀνάθεμα»· τοῦ δὲ μὴ φιλεῖν τὸν Κύριον τί μεῖζον ἂν γένοιτο τεκμήριον, ἀλλ' ἢ ὅταν τοὺς ἀποκτείνοντας αὐτὸν κοινωνοὺς ἔχῃ τις τῆς ἑορτῆς; Τούτους οὐκ ἐγὼ ἀνεθεμάτισα, ἀλλὰ Παῦλος· μᾶλλον δὲ οὐδὲ Παῦλος, ἀλλ' ὁ Χριστός, ὁ δι' ἐκείνων λαλῶν καὶ ὁ ἐν τοῖς ἔμπροσθεν εἰπών, ὅτι «ἐν νόμῳ δικαιούμενοι τῆς χάριτος ἐξέπεσον».

Ταῦτα εἴπατε πρὸς αὐτοὺς τὰ ῥήματα καὶ τὰς ἀποφάσεις αὐτοῖς ἀνάγνωτε καὶ μετὰ πάσης σπουδῆς αὐτοὺς διασώσαντες, καὶ τῆς τοῦ διαβόλου φάρυγγος ἐξαρπάσαντες, ἀγάγετε τῇ ἡμέρᾳ τῆς νηστείας ἡμῖν, ἵνα καὶ τὴν λείπουσαν ὑμῖν ὑπόσχεσιν ἀποδόντες, ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι μετὰ τῶν ἀδελφῶν τῶν ἡμετέρων δοξάσωμεν τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ημένος ν' ἀπομακρύνετε ἀπὸ τὴν κοινωνία τῆς ἱερῆς τράπεζας. Γιατὶ δὲν χρειάζονται ὅλα τὰ ἁμαρτήματα συμβουλὴ καὶ παραίνεση, ἀλλ' ὑπάρχουν μερικά, ποὺ διορθώνονται μὲ βαθειὰ καὶ ὀξύτατη ἐπέμβαση. Κι ὅπως ἀπὸ τὰ τραύματα, τὰ πιὸ ὑποφερτὰ θεραπεύονται μὲ ἠπιώτερα φάρμακα, τὰ σάπια ὅμως καὶ τὰ ἀθεράπευτα, ποὺ βλάπτουν καὶ τὸ ὑπόλοιπο σῶμα, ἔχουν ἀνάγκη ἀπὸ χειρουργικὴ ἐπέμβαση καὶ καυτηρίαση, ἔτσι γίνεται καὶ μὲ τὰ ἁμαρτήματα· ἄλλα ἀπαιτοῦν συνεχῆ νουθεσία, ἐνῶ ἄλλα αὐστηροὺς ἐλέγχους. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Ἀπόστολος Παῦλος ἔδωσε ἐντολὴ νὰ μὴ συμβουλεύουμε πάντοτε, ἀλλὰ καὶ νὰ ἐλέγχουμε αὐστηρά, λέγοντας τὰ ἑξῆς· «γιὰ τὸν λόγο αὐτὸ νὰ τοὺς ἐλέγχης πολὺ αὐστηρά»[17]. Ἂς τοὺς ἐλέγξουμε λοιπὸν τώρα αὐστηρά, ὥστε, ἀφοῦ ἐντραποῦν καὶ ἔλθουν σὲ ἐπίγνωση τοῦ ἑαυτοῦ τους, νὰ μὴ δεχθοῦν ποτὲ πιὰ τὴ βλάβη ἀπὸ τὴν παράνομη νηστεία. Γι' αὐτὸ καὶ ἐγώ, ἀφήνοντας τώρα κατὰ μέρος τὴν παραίνεση, διαμαρτύρομαι καὶ κραυγάζω· «ἂν κάποιος δὲν ἀγαπᾶ τὸν Κύριο Ἰησοῦ Χριστό, ἂς εἶναι ἀνάθεμα»[18]. Καὶ ποιά ἀπόδειξη θὰ μποροῦσε νὰ ὑπάρξη μεγαλύτερη γιὰ τὸ ὅτι δὲν ἀγαπᾶ τὸν Κύριο, ὅταν κανεὶς συμμετέχη στὶς ἑορτές τους μὲ ἐκείνους ποὺ φόνευσαν αὐτόν; Αὐτοὺς δὲν τοὺς ἀναθεμάτισα ἐγώ, ἀλλ' ὁ Παῦλος· ἢ καλύτερα οὔτε ὁ Παῦλος, ἀλλ' ὁ Χριστός, ποὺ μὲ τὸ στόμα τοῦ Παύλου ὁμιλεῖ καὶ ποὺ προηγουμένως εἶπε, ὅτι «ἐκεῖνοι ποὺ ἐπιδιώκουν τὴ δικαίωση μὲ τὸν νόμο, ξέπεσαν ἀπὸ τὴ χάρη»[19].

Τὰ λόγια αὐτὰ πέστε τα σ' αὐτοὺς καὶ ἀνακοινῶστε τους τὶς ἀποφάσεις καὶ ἀφοῦ μὲ κάθε ἐπιμέλεια τοὺς διασώσετε καὶ τοὺς ἀπομακρύνετε ἀπὸ τὸ στόμα τοῦ διαβόλου, ὁδηγῆστε τους σὲ ἐμένα κατὰ τὴν ἡμέρα τῆς νηστείας, ὥστε, ὁλοκληρώνοντας καὶ τὴν ὑπόσχεση ποὺ σᾶς εἶχα δώσει, ὅλοι μαζὶ μὲ ἕνα στόμα καὶ μαζὶ μὲ τοὺς ἀδελφούς μας ἂς δοξάσουμε τὸν Θεὸ καὶ Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, γιατὶ σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Ἀμήν.

17. Τίτ. 1,13.
18. Α' Κορ. 16,22.
19. Γαλ. 5,4.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΕΙΣ ΤΟΥΣ ΤΑ ΠΡΩΤΑ ΠΑΣΧΑ

ΝΗΣΤΕΥΟΝΤΑΣ

1. Πάλιν χρεία τις ἀναγκαία καὶ καταπείγουσα, τῶν πρῴην εἰρημένων τὴν ἀκολουθίαν διακόψασα, πρὸς ἑαυτὴν ἐπισπᾶται τὸν λόγον καὶ τῶν πρὸς τοὺς αἱρετικοὺς ἡμᾶς ἀπάγει παλαισμάτων τήμερον. Ἡμεῖς μὲν γὰρ πάλιν περὶ τῆς τοῦ μονογενοῦς δόξης διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην παρεσκευαζόμεθα, ἡ δὲ τῶν τὰ πρῶτα πάσχα νηστεύειν βουλομένων πᾶσαν ἡμῖν ἀσχοληθῆναι καταναγκάζει τὴν διδασκαλίαν τήμερον. Καὶ γὰρ ὁ ποιμὴν ὁ καλὸς οὐχὶ τοὺς λύκους ἀπελαύνει μόνον, ἀλλὰ καὶ τὰ πρόβατα νενοσηκότα θεραπεύει μετ' ἐπιμελείας ἁπάσης· ἐπεὶ τί τὸ κέρδος, ὅταν τῶν μὲν θηρίων τὰ στόματα διαφεύγῃ τὰ ποίμνια, ὑπὸ δὲ τῆς ἀρρωστίας κατεσθίηται; Οὕτω καὶ στρατηγὸς ἄριστος οὐχὶ τὰ μηχανήματα ἀποκρούεται μόνον, ἀλλὰ πρὸ τούτων τὴν πόλιν στασιάζουσαν πρὸς ἑαυτὴν συνάγει, εἰδὼς ὅτι τὸ πλέον οὐδὲν ἔσται τῆς ἔξωθεν νίκης, ἕως ἂν οἱ ἔνδοθεν ἐμφύλιοι μένωσι πόλεμοι. Καὶ ἵνα μάθῃς, ὅτι στάσεως καὶ φιλονεικίας ἴσον οὐδὲν εἰς καθαίρεσιν, ἄκουσον τί φησιν ὁ Χριστός· «βασιλεία μερισθεῖσα ἐφ' ἑαυτὴν οὐ σταθήσεται». Καίτοι τί βασιλείας δυνατώτερον, ὅπου χρημάτων πρόσοδος καὶ ὅπλα καὶ τείχη καὶ ὀχυρώματα καὶ στρατιωτῶν ἀριθμὸς τοσοῦτος καὶ ἵπποι καὶ μυρία ἕτερα πολλὴν παρέχοντα τὴν ἰσχύν;

1. Οἱ Πρωτοπασχῖτες ἢ Τεσσαρασκαιδεκατῖτες ἑώρταζαν τὸ Πάσχα μέχρι τὴν ἐποχὴ τοῦ Χρυσοστόμου, ἀλλὰ καὶ ἀργότερα ἀκόμη, σύμφωνα μὲ τὴν παλιὰ συνήθεια, ἂν καὶ ἡ Α' Οἰκουμενικὴ σύνοδος καθώρισε ἑνιαῖο ἑορτασμὸ τοῦ Πάσχα.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΝΗΣΤΕΥΟΥΝ ΓΙΑ ΤΟ ΠΡΩΤΟΧΡΙΣΤΙΑΝΙΚΟ ΠΑΣΧΑ[1]

1. Κάποια καὶ πάλι ἀνάγκη καὶ μάλιστα πολὺ ἐπείγουσα, ἀφοῦ διέκοψε τὴ συνέχεια τῶν ὅσων προχθὲς ἐλέγαμε, ἀποσπᾶ τὸν λόγο μας πρὸς αὐτὴν καὶ μᾶς ἀπομακρύνει σήμερα ἀπ' τοὺς ἀγῶνές μας ἐναντίον τῶν αἱρετικῶν. Ἐγὼ βέβαια προετοιμαζόμουν νὰ μιλήσω καὶ πάλι στὴν ἀγάπη σας γιὰ τὴ δόξα τοῦ Μονογενοῦς, ἡ παράκαιρη ὅμως φιλονεικία ὅσων θέλουν μὲ νηστεία νὰ ἑορτάσουν τὸ πρωτοχριστιανικὸ Πάσχα, μᾶς ἐξαναγκάζει νὰ στρέψουμε σήμερα τὴ διδασκαλία μας στὴ θεραπεία ὅλων αὐτῶν. Γιατὶ ὁ καλὸς ποιμένας δὲν διώχνει μονάχα τοὺς λύκους, ἀλλὰ καὶ τὰ ἄρρωστα πρόβατα τὰ θεραπεύει μὲ κάθε ἐπιμέλεια. Γιατί, ποιό εἶναι τὸ κέρδος, ὅταν τὰ ποίμνια γλυτώνουν ἀπὸ τὰ στόματα τῶν θηρίων, κατατρώγονται ὅμως ἀπὸ τὴν ἀρρώστια; Ἔτσι καὶ ὁ ἄριστος στρατηγός, δὲν ἀποκρούει μόνο τὶς ἐξωτερικὲς πολεμικὲς ἐπιθέσεις, ἀλλὰ πρὶν ἀπὸ ὅλα μεριμνᾶ νὰ συμφιλιώσῃ τοὺς στασιάζοντες πολίτες, γνωρίζοντας πολὺ καλὰ ὅτι δὲν θὰ ὑπάρξῃ κανένα κέρδος ἀπὸ τὴν ἐξωτερικὴ νίκη, ὅσο θὰ διαρκοῦν μέσα στὴν πόλη οἱ ἐμφύλιοι πόλεμοι. Καὶ γιὰ νὰ μάθῃς, ὅτι τίποτε δὲν εἶναι γιὰ καταστροφὴ ἴσο μὲ τὴ διαμάχη καὶ τὴ φιλονεικία, ἄκουσε τί λέγει ὁ Χριστός· «Βασίλειο ποὺ διασπᾶται ἀπὸ μόνο του σὲ ἀντιμαχόμενα μέρη δὲν θὰ παραμείνῃ»[2]. Ἂν καὶ βέβαια τί εἶναι δυνατώτερο ἀπὸ βασίλειο, ὅπου ὑπάρχουν καὶ εἰσοδήματα χρημάτων καὶ ὅπλα καὶ τείχη καὶ ὀχυρώματα καὶ πλῆθος πολὺ ἀπὸ στρατιῶτες καὶ ἄλογα καὶ χίλια δυὸ ἄλλα πράγμα-

2. Ματθ. 12,25.

Ἀλλ' ὅμως ἡ τοσαύτη δύναμις καταλύεται, ὅταν πρὸς ἑαυτὴν στασιάζῃ. Οὐδὲν γὰρ οὕτως ἀσθένειαν ἐργάζεσθαι πέφυκεν, ὡς φιλονεικία καὶ ἔρις· ὥσπερ οὐδὲν οὕτως ἰσχὺν καὶ δύναμιν, ὡς ἀγάπη καὶ ὁμόνοια. Ὅπερ οὖν καὶ ὁ Σολομὼν συνιδών, ἔλεγεν· «ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ καὶ μεμοχλευμένη βασιλεία».

Εἶδες ὅση τῆς ὁμονοίας ἡ ἰσχύς; ὅση τῆς φιλονεικίας ἡ βλάβη; Βασιλεία στασιάζουσα καταλύεται, δύο δὲ ἐπὶ ταὐτὸ ὄντες καὶ συνδεδεμένοι μετ' ἀλλήλων, παντός εἰσιν ἀρραγέστεροι τείχους. Καὶ οἶδα μὲν ὅτι διὰ τὴν τοῦ Θεοῦ χάριν τὸ πλέον ἡμῖν τῆς ἀγέλης ταύτης ἀπήλλακται τῆς ἀρρωστίας καὶ εἰς ὀλίγους τὸ νόσημα περιέστηκε· πλὴν ἀλλ' οὐ διὰ τοῦτο ἀμελητέον τῆς θεραπείας. Καὶ γὰρ καὶ εἰ δέκα μόνον καὶ εἰ πέντε καὶ εἰ δύο καὶ εἰ εἷς μόνος ὁ κάμνων ἦν, οὐδ' οὕτω καταφρονῆσαι ἔδει. Εἰ γὰρ καὶ εἷς ἐστι καὶ εὐτελὴς καὶ ἀπερριμμένος, ἀλλ' ἀδελφός ἐστι, δι' ὃν ὁ Χριστὸς ἀπέθανε. Καὶ πολὺς τῷ Χριστῷ τῶν εὐτελῶν ὁ λόγος. «Ὃς ἐὰν σκανδαλίσῃ», φησίν, «ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν». Καὶ πάλιν· «ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τῶν μικρῶν τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε»· καὶ πάλιν· «οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων». Πῶς οὖν οὐκ ἄτοπον, εἰ τοῦ Χριστοῦ τοσαύτην ποιουμένου τῶν μικρῶν πρόνοιαν, ἡμεῖς αὐτῶν καταρρᾳθυμήσαιμεν; Μὴ τοῦτο εἴπῃς, ὅτι εἷς ἐστιν, ἀλλ' ὅτι εἷς ἀμελούμενος, καὶ εἰς τοὺς λοιποὺς παραπέμψει τὸ πάθος· «μικρὰ γὰρ ζύμη», φησίν, «ὅλον τὸ φύραμα ζυμοῖ». Καὶ τοῦτό ἐστιν ὃ τὰ πάντα ἀπόλλυσι καὶ ἀνατρέπει, ὅτι τῶν μικρῶν καταμελοῦμεν. Διὰ τοῦτο μεγάλα γίνεται τὰ ἕλκη, ὥσπερ οὖν τὰ μεγάλα ῥᾳδίως ἂν γένοιτο μικρὰ τῆς προσηκούσης ἀπολαύοντα ἐπιμελείας.

Τοῦτο τοίνυν πρὸς αὐτοὺς λέγομεν πρότερον, ὅτι οὐδὲν χεῖ-

3. Παροιμ. 18,19.
4. Ματθ. 18,6.
5. Ματθ. 24,45.
6. Ματθ. 18,14.
7. Γαλ. 5,9.

τα, ποὺ τοῦ προσδίδουν τεράστια δύναμη; Ἀλλ' ὅμως ἡ μεγάλη αὐτὴ δύναμη καταλύεται, ὅταν ἐπαναστατῇ ἐναντίον τοῦ ἑαυτοῦ της. Γιατὶ τίποτε δὲν ἐπιφέρει ἐκ φύσεως τόση ἐξασθένηση, ὅση ἡ φιλονεικία, καὶ τίποτε δὲν παρέχει τόση ἰσχὺ καὶ δύναμη, ὅση ἡ ἀγάπη καὶ ἡ ὁμόνοια. Αὐτὸ τὸ πρᾶγμα κατανοώντας καὶ ὁ Σολομών, ἔλεγε· «ἀδελφὸς ποὺ βοηθεῖται ἀπὸ ἀδελφὸ μοιάζει μὲ πόλη ὀχυρωμένη καὶ μὲ βασίλειο καλὰ ἀσφαλισμένο μὲ μοχλούς»[3].

Εἶδες πόση εἶναι ἡ δύναμη τῆς ὁμόνοιας; πόση ἡ βλάβη ποὺ προξενεῖ ἡ φιλονεικία; Βασίλειο, ποὺ διαταράσσεται ἀπὸ ἐσωτερικὲς διαμάχες, καταλύεται, ἐνῶ δυὸ ἄνθρωποι, ποὺ ὁμονοοῦν καὶ συνδέονται μεταξύ τους, εἶναι πιὸ ἀρραγεῖς κι ἀπὸ τὸ τεῖχος. Καὶ γνωρίζω βέβαια ὅτι μὲ τὴ χάρη τοῦ Θεοῦ τὸ μεγαλύτερο μέρος τῆς ποίμνης μας αὐτῆς ἔχει ἀπαλλαγῆ ἀπὸ τὴν ἀρρώστια καὶ ὅτι ἡ ἀσθένεια περιωρίσθηκε σὲ λίγους, ἀλλ' ὅμως δὲν πρέπει αὐτὸ νὰ μᾶς κάνῃ νὰ ἀδιαφορήσουμε γιὰ τὴ θεραπεία τους. Κι ἂν ἀκόμη δηλαδὴ ἦταν μόνο δέκα ἢ πέντε ἢ δύο ἢ καὶ ἕνας ἀκόμη ὁ ἀσθενής, δὲν ἔπρεπε οὔτε ἔτσι ν' ἀδιαφορήσουμε. Γιατί, κι ἂν ἀκόμη εἶναι ἕνας καὶ μάλιστα εὐτελὴς καὶ καταφρονημένος, ἀλλ' εἶναι ἀδελφός, γιὰ τὸν ὁποῖο πέθανε ὁ Χριστός. Καὶ εἶναι πολὺς ὁ λόγος ποὺ γίνεται ἀπὸ τὸν Χριστὸ γιὰ τοὺς εὐτελεῖς. «Ἐκεῖνος», λέγει, «ποὺ θὰ σκανδαλίσῃ ἕναν ἀπὸ τοὺς ἀσήμαντους ποὺ πιστεύουν σὲ μένα, τοῦ συμφέρει νὰ κρεμασθῇ μυλόπετρα στὸν τράχηλό του καὶ νὰ καταποντισθῇ στὴ θάλασσα»[4]. Καὶ πάλι· «ἐφ' ὅσον δὲν τὸ κάματε γιὰ ἕναν ἀπὸ αὐτοὺς τοὺς ἀσήμαντους, οὔτε σὲ μένα τὸ ἐκάματε»[5]. Καὶ πάλι· «δὲν εἶναι τὸ θέλημα τοῦ οὐράνιου πατέρα σας νὰ χαθῇ ἕνας ἀπὸ αὐτοὺς τοὺς ἀσήμαντους»[6]. Πῶς λοιπὸν δὲν εἶναι ἄτοπο, τὴ στιγμὴ ποὺ Χριστὸς δείχνει τόση πρόνοια γι' αὐτοὺς τοὺς ἀσήμαντους, ἐμεῖς ν' ἀδιαφοροῦμε γι' αὐτούς; Μὴ πῇς αὐτό, ὅτι δηλαδὴ εἶναι ἕνας, ἀλλ' ὅτι εἶναι ἕνας παραμελούμενος, ποὺ εἶναι δυνατὸ νὰ μεταδώσῃ καὶ στοὺς ὑπόλοιπους τὸ πάθος· γιατὶ λέγει, «μικρὴ ποσότητα ζύμης ζυμώνει ὅλο τὸ φύραμα»[7]. Κι αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἀνατρέπει καὶ καταστρέφει τὰ πάντα, τὸ ὅτι δηλαδὴ δείχνουμε ἀμέλεια γιὰ τοὺς ἀσήμαντους. Γι' αὐτὸ μεγαλώνουν καὶ τὰ ἕλκη, ὅπως πάλι μὲ τὴν κατάλληλη θεραπεία θὰ ἦταν δυνατὸ τὰ μεγάλα νὰ γίνουν μικρά.

Αὐτὸ λοιπὸν πρῶτα ἂς λέμε σ' αὐτούς, ὅτι δηλαδὴ δὲν ὑπάρ-

ρον φιλονεικίας καὶ μάχης καὶ τοῦ τὴν Ἐκκλησίαν διασπᾶν καὶ τὸν χιτῶνα, ὃν οὐκ ἐτόλμησαν οἱ λησταὶ διαρρῆξαι, τοῦτον εἰς πολλὰ κατατεμεῖν μέρη. Οὐκ ἀρκοῦσιν αἱ λοιπαὶ αἱρέσεις, ἀλλὰ καὶ ἡμεῖς ἑαυτοὺς κατατέμωμεν; Οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος, «εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατασθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε»; Ἔξω τῆς ἀγέλης βαδίζεις, εἰπέ μοι, καὶ οὐ δέδοικας τὸ λέοντα τὸν ἔξωθεν περιιόντα; «Ὁ ἐχθρὸς γὰρ ὑμῶν, ὡς λέων, περιέρχεται», φησίν, «ὠρυόμενος καὶ ζητῶν τίνα ἁρπάσῃ». Ὅρα σοφίαν ποιμένος· οὔτε ἔνδον ἀφῆκεν εἶναι ἐν τοῖς προβάτοις, ἵνα μὴ καταπλήξηται τὴν ποίμνην· οὔτε ἔξωθεν ἀπήγαγεν, ἵνα τῷ φόβῳ τοῦ θηρίου πάντας ἔσω συναγάγῃ. Οὐκ αἰδῇ τὸν Πατέρα; Φοβήθητι τὸν ἐχθρόν· εἰ ἀποσχίσῃς σαυτὸν τῆς ἀγέλης, ἐκεῖνός σε δέξεται πάντως. Ἠδύνατο μὲν γὰρ καὶ ἔξωθεν αὐτὸν ἀπαγαγεῖν ὁ Χριστός, ἀλλ' ἵνα σὲ παρασκευάσῃ νήφειν καὶ ἐναγώνιον εἶναι καὶ πρὸς τὴν μητέρα συνεχῶς καταφυγεῖν, ἀφῆκεν ἔξωθεν ὠρύεσθαι, ἵνα οἱ ἔνδοθεν, ἀκούοντες αὐτοῦ τῆς φωνῆς, μᾶλλον συσφίγγωνται καὶ πρὸς ἀλλήλους καταφεύγωσιν. Οὕτω καὶ μητέρες ποιοῦσι φιλόστοργοι, τὰ παιδία κλαυθμυριζόμενα πολλάκις ἀπειλοῦσι τοῖς στόμασι τῶν λύκων ρίπτειν, οὐχ ἵνα ριφῶσιν, ἀλλ' ἵνα παύσωσι δυσχεραίνοντα. Πάντα ὁ Χριστὸς διὰ τοῦτο ἐποίησεν, ἵνα εἰρηνεύωμεν, ἵνα πρὸς ἀλλήλους ὦμεν συνδεδεμένοι.

2. Διὰ τοῦτο καὶ Παῦλος πολλὰ καὶ μεγάλα Κορινθίοις ἐγκαλεῖν ἔχων, οὐδὲν ἐνεκάλεσε πρὸ τούτου. Ἀλλ' ἔχων αὐτοῖς ἐγκαλέσαι καὶ περὶ πορνείας καὶ περὶ ἀπονοίας καὶ τῶν ἔξω δικαστηρίων καὶ τῶν ἐν τοῖς εἰδωλείοις συμποσίων καὶ ὅτι γυναῖκες μὲν οὐκ ἐκαλύπτοντο τὰς κεφαλάς, ἄνδρες δὲ τοῦτο ἐποίουν, καὶ μετὰ τούτων ἁπάντων διὰ τὴν τῶν πενήτων ὑπεροψίαν καὶ τὴν ἐκ τῶν χαρισμάτων ἐγγινομένην αὐτοῖς ἀπόνοιαν καὶ περὶ τῆς τῶν σωμάτων ἀναστάσεως· ἔχων δὲ μετὰ τούτων ἁπάντων καὶ περὶ τῆς πρὸς ἀλ-

8. Γαλ. 5,15.
9. Α΄ Πέτρ. 5,8.

χει χειρότερο πρᾶγμα ἀπὸ τὴ φιλονεικία καὶ τὴ διαμάχη καὶ ἀπὸ τὴν διάσπαση τῆς Ἐκκλησίας, καὶ τὸν χιτώνα, ποὺ δὲν τόλμησαν οὔτε καὶ οἱ ληστὲς νὰ τὸν διαρρήξουν, αὐτὸν νὰ τὸν κομματιάζουμε σὲ πολλὰ μέρη. Δὲν μᾶς ἀρκοῦν οἱ ἄλλες αἱρέσεις, ἀλλὰ καὶ ἐμεῖς οἱ ἴδιοι κατακομματιάζουμε τοὺς ἑαυτούς μας; Δὲν ἀκοῦς τὸν Παῦλο ποὺ λέγει, «ἂν δαγκώνετε καὶ κατατρώγετε ὁ ἕνας τὸν ἄλλο, προσέχετε μήπως καταφαγωθῆτε ἀναμεταξύ σας»[8]; Πές μου λοιπόν, βαδίζεις ἔξω ἀπὸ τὴν ποίμνη καὶ δὲν φοβᾶσαι τὸ λιοντάρι, ποὺ τριγυρίζει γύρω ἀπ' αὐτήν; Γιατὶ λέγει, «ὁ ἐχθρός σας σὰν λιοντάρι ὠρυόμενο γυρίζει γύρω σας, ζητώντας ποιόν νὰ ἁρπάξῃ»[9]. Πρόσεχε σοφία ποιμένα. Δὲν τὸ ἄφησε νὰ μένη οὔτε μέσα στὰ πρόβατα, γιὰ νὰ μὴ κατασπαράξη τὴν ποίμνη, οὔτε καὶ τὸ ἀπομάκρυνε ἀπ' ἔξω, γιὰ νὰ συγκεντρώση μὲ τὸν φόβο τοῦ θηρίου ὅλους μέσα. Δὲν σέβεσαι τὸν Πατέρα; Φοβήσου τὸν ἐχθρό· ἂν ἀπομακρύνης τὸν ἑαυτό σου ἀπὸ τὴν ποίμνη, ἐκεῖνος ὁπωσδήποτε θὰ σὲ δεχθῆ. Βέβαια μποροῦσε ὁ Χριστὸς νὰ διώξη μακριὰ ἀπὸ τὴν ποίμνη τὸν ἐχθρό, ἀλλὰ τὸν ἄφησε νὰ βρυχᾶται ἀπ' ἔξω γιὰ νὰ σὲ προετοιμάση νὰ εἶσαι ξύπνιος, γεμᾶτος ἀγωνία καὶ νὰ καταφεύγης συνεχῶς κοντὰ στὴ μητέρα σου, ὥστε καὶ ἐκεῖνοι ποὺ βρίσκονται μέσα, ἀκούοντας τὸν βρυχηθμό του, νὰ συνδέωνται πιὸ στενὰ καὶ νὰ καταφεύγουν ὁ ἕνας στὸν ἄλλο. Τὸ ἴδιο κάνουν καὶ οἱ φιλόστοργες μητέρες. Ὅταν τὰ παιδιά τους κλαῖνε, τὰ ἀπειλοῦν πολλὲς φορὲς νὰ τὰ ρίξουν στὰ στόματα τῶν λύκων, ὄχι γιὰ νὰ τὰ ρίξουν, ἀλλὰ γιὰ νὰ σταματήσουν νὰ κλαῖνε. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔκαμε τὸ πᾶν, ὥστε νὰ ἔχουμε ἀναμεταξύ μας εἰρήνη καὶ νὰ εἴμαστε συνδεδεμένοι ὁ ἕνας μὲ τὸν ἄλλο.

2. Γιὰ τὸν λόγο αὐτὸ καὶ ὁ Παῦλος, ἂν καὶ μποροῦσε νὰ κατηγορήση τοὺς Κορινθίους γιὰ πολλὰ καὶ μεγάλα πράγματα, γιὰ τίποτε δὲν τοὺς κατηγόρησε πρὶν ἀπ' αὐτό. Ἐνῶ μποροῦσε δηλαδὴ νὰ τοὺς κατηγορήση καὶ γιὰ πορνεία καὶ γιὰ ἀλαζονεία καὶ γιὰ τὴν προσφυγή τους σὲ κοσμικὰ δικαστήρια καὶ γιὰ τὰ συμπόσια στὰ ἱερὰ τῶν εἰδώλων καὶ γιὰ τὸ ὅτι οἱ γυναῖκες δὲν κάλυπταν τὰ κεφάλια τους, ἐνῶ οἱ ἄνδρες τὰ κάλυπταν, καὶ μαζὶ μὲ ὅλα αὐτὰ καὶ γιὰ τὴν ὑπεροψία ποὺ ἔδειχναν πρὸς τοὺς φτωχοὺς καὶ γιὰ τὴν ἀλαζονεία ποὺ εἶχαν λόγω τῶν διαφόρων χαρισμάτων καὶ γιὰ τὸ ζήτημα τῆς ἀναστάσεως τῶν νεκρῶν, καὶ ἐνῶ μποροῦσε μαζὶ μὲ ὅλα αὐτὰ νὰ τοὺς ἐπι-

λήλους φιλονεικίας καὶ διχοστασίας αὐτοῖς ἐπιτιμῆσαι, πάντα τὰ ἄλλα παραδραμών, ἐκεῖνο διορθοῦται πρότερον. Καὶ εἰ μὴ δοκῶ παρενοχλεῖν, ἀπ' αὐτῶν τῶν τοῦ Παύλου ρημάτων τοῦτο ποιήσω φανερόν, ὅτι πάντα ἐκεῖνα ἔχων ἐγκαλεῖν, οὐδὲν πρὸ τούτου διώρθωσεν. Ὅτι μὲν γὰρ ἐπόρνευον, ἄκουσον τί φησιν· «ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία». Ὅτι δὲ πεφυσίωνται καὶ μέγα ἐφρόνουν· «ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες». Ὅτι δὲ καὶ ἔξω πάλιν ἐδικάζοντο· «τολμᾷ τις ἐξ ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀπίστων;». Ὅτι δὲ καὶ εἰδωλόθυτα ἤσθιον· «οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων». Καὶ περὶ τοῦ μὴ κατακαλύπτεσθαι δὲ τὰς γυναῖκας, ἀλλὰ τοὺς ἄνδρας ἀπ' ἐναντίας, ἄκουσον πῶς αὐτοῖς ἐπιτιμᾷ λέγων· «πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ· πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκαταλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς». Καὶ ὅτι τῶν πενήτων ὑπερεώρων, καὶ τοῦτο ἐδήλωσεν εἰπών· «ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει»· καὶ πάλιν, «ἢ τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;» Ἐπειδὴ δὲ καὶ τοῖς μείζοσι τῶν χαρισμάτων ἅπαντες ἐπεπήδων καὶ τὸ ἔλαττον οὐδεὶς κατεδέχετο, φησί· «μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται;». Ὅτι δὲ καὶ περὶ τῆς ἀναστάσεως ἀμφέβαλλον, «ἀλλ' ἐρεῖ τις», φησί, «πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;».

Ἀλλ' ὅμως τοσαῦτα ἔχων ἐγκαλέσαι, οὐδὲν πρὸ ἐκείνου πρὸς αὐτοὺς εἶπε τῆς διαστάσεως καὶ τῆς φιλονεικίας· ἀλλ' εὐθέως ἀρχόμενος τῆς ἐπιστολῆς, οὕτω πώς φησι, «παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα». Ἤιδει γάρ, ᾔδει σαφῶς, ὅτι τοῦτο πρότερον ἦν τὸ κατεπεῖγον. Ὁ πορνεύων ἂν συνεχῶς εἰς τὴν Ἐκκλησίαν εἰσίῃ καὶ ὁ ἀλάζων καὶ ὁτιοῦν ἔχων

10. Α' Κορ. 5,1.
11. Α' Κορ. 4,18.
12. Α' Κορ. 6,1.
13. Α' Κορ. 10,21.
14. Α' Κορ. 11,4–5.
15. Α' Κορ. 11,21–22.
16. Α' Κορ. 12,29.

τιμήση καὶ γιὰ τὶς μεταξύ τους φιλονεικίες καὶ ἔριδες, ἀφήνοντας κατὰ μέρος ὅλα αὐτά, ἐκεῖνο πρῶτα διορθώνει. Καὶ γιὰ νὰ μὴ γίνωμαι ἐνοχηλτικός, θὰ σᾶς τὸ ἀποδείξω μὲ τὰ ἴδια τὰ λόγια τοῦ Παύλου, ὅτι δηλαδὴ ἂν καὶ μποροῦσε νὰ τοὺς κατηγορήση γιὰ ὅλα αὐτά, ὅμως τίποτε δὲν διώρθωσε πρὶν ἀπ' αὐτό. Ἄκουσε τί λέγει γιὰ τὸ ὅτι πόρνευαν· «γενικὰ ἀκούεται ὅτι ὑπάρχει μεταξύ σας πορνεία»[10]. Ὅσο γιὰ τὴν ὑπεροψία καὶ τὴν ἀλαζονεία τους λέγει· «μερικοὶ ὑπερηφανεύθηκαν σὰν νὰ ἐπρόκειτο νὰ μὴ ἔλθω πρὸς ἐσᾶς»[11]. Γιὰ τὸ ὅτι προσέφευγαν σὲ κοσμικὰ δικαστήρια λέγει· «Τολμᾶ κάποιος ἀπὸ σᾶς, ἔχοντας διαφορὰ μὲ ἄλλον, νὰ κρίνεται ἀπὸ ἐθνικοὺς δικαστές;»[12]. Γιὰ τὸ ὅτι ἔτρωγαν κρέατα ἀπὸ τὰ ἱερὰ τῶν εἰδώλων λέγει· «δὲν μπορεῖτε νὰ συμμετέχετε στὴν τράπεζα τοῦ Κυρίου καὶ στὴν τράπεζα τῶν δαιμονίων»[13]. Γιὰ τὸ ὅτι οἱ γυναῖκες δὲν κάλυπταν τὰ κεφάλια, ἐνῶ ἀντίθετα οἱ ἄνδρες τὰ κάλυπταν, ἄκουσε πῶς τοὺς ἐπιτιμᾶ λέγοντας· «κάθε ἄνδρας ποὺ προσεύχεται ἢ προφητεύει μὲ καλυμμένη τὴν κεφαλή, ντροπιάζει τὴν κεφαλή του, ἐνῶ κάθε γυναῖκα ποὺ προσεύχεται ἢ προφητεύει μὲ ἀκάλυπτη τὴν κεφαλή της, καταντροπιάζει τὴν κεφαλή της»[14]. Καὶ γιὰ τὸ ὅτι περιφρονοῦσαν τοὺς φτωχούς, καὶ αὐτὸ τὸ δήλωσε, λέγοντας· «ἄλλος πεινᾶ καὶ ἄλλος μεθᾶ»· καὶ πάλι· «ἢ καταφρονεῖτε τὴν Ἐκκλησία τοῦ Θεοῦ καὶ καταντροπιάζετε ἐκείνους ποὺ δὲν ἔχουν;»[15]. Καὶ ἐπειδὴ ὅλοι σχεδὸν ἐπιδίωκαν τὰ μεγαλύτερα χαρίσματα καὶ κανένας δὲν καταδεχόταν τὰ μικρότερα, λέγει· «μήπως ὅλοι εἶναι ἀπόστολοι; μήπως ὅλοι εἶναι προφῆτες;»[16]. Γιὰ τὸ ὅτι πάλι ἀμφέβαλλαν καὶ γιὰ τὴν ἀνάσταση τῶν νεκρῶν, λέγει· «ἀλλὰ θὰ πῆ κάποιος· πῶς ἀνασταίνονται οἱ νεκροί; μὲ ποιό σῶμα ἔρχονται;»[17].

Ἐνῶ λοιπὸν εἶχε τόσα νὰ τοὺς κατηγορήση, ὅμως πρὶν ἀπὸ ἐκεῖνο δὲν τοὺς μίλησε γιὰ τίποτε ἄλλο, παρὰ γιὰ τὴ διχόνοια καὶ τὶς ἔριδες. Ἀρχίζοντας τὴν ἐπιστολή του λέγει εὐθὺς ἀμέσως· «σᾶς παρακαλῶ , ἀδελφοί, στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, νὰ διδάσκετε ὅλοι τὸ ἴδιο καὶ νὰ μὴ ὑπάρχουν μεταξύ σας διαιρέσεις»[18]. Γιατὶ γνώριζε, γνώριζε πολὺ καλά, ὅτι αὐτὸ ἦταν πρὶν ἀπὸ ὅλα τὸ κατεπεῖγον. Ἐκεῖνος ποὺ πορνεύει ἂν εἰσέρχεται συνεχῶς στὴν Ἐκκλησία καθὼς καὶ ὁ ὑπερήφανος καὶ ἐκεῖνος ποὺ ἔχει

17. Α' Κορ. 15,35.
18. Α' Κορ. 1,10.

ἐλάττωμα, ταχέως αὐτὸ συνεχοῦς ἀπολαύων διδασκαλίας ἀπωθήσεται καὶ πρὸς τὴν ὑγίειαν ἐπανήξει· ὁ μέν τοι τῆς συνόδου ταύτης ἑαυτὸν ἀπορρήξας καὶ τῆς τῶν πατέρων διδασκαλίας ὑπεξαγαγὼν καὶ τὸ ἰατρεῖον φυγών, κἂν ὑγιαίνειν δοκῇ, ταχέως εἰς ἀρρωστίαν πεσεῖται. Καὶ καθάπερ ἰατρὸς ἄριστος τὸν πυρετὸν πρῶτον σβέσας, τότε τὰ ἕλκη καὶ τὰ ῥήματα διορθοῦται, οὕτω καὶ Παῦλος ἐποίησε, πρότερον τὴν διάστασιν ἀνελών, τότε τὰ καθ' ἕκαστον μέλος ἐθεράπευσε τραύματα. Διὰ τοῦτο καὶ ὑπὲρ τούτου διαλέγεται πρὸ τούτων, μηδὲ στασιάζειν πρὸς ἀλλήλους, μηδὲ οἰκείους ἄρχοντας ἐπιγράφεσθαι, μηδὲ εἰς πολλὰ κατατεμεῖν μέρη Χριστοῦ τὸ σῶμα.

Ταῦτα δὲ οὐκ ἐκείνοις ἔλεγε μόνον, ἀλλὰ καὶ τούτοις μετ' ἐκείνους τὰ αὐτὰ νοσοῦσιν ἐκείνοις· οὓς ἡδέως ἔγωγε ἂν ἐροίμην, τί ποτέ ἐστι πάσχα, τί ποτέ ἐστι τεσσαρακοστή· καὶ τί μὲν τὸ ἰουδαϊκόν, τί δὲ τὸ ἡμέτερον· καὶ τίνος ἕνεκεν ἐκεῖνο μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ παντὸς ἐγένετο, τοῦτο δὲ καθ' ἑκάστην τελεῖται σύναξιν· τί βούλεται τὰ ἄζυμα καὶ ἕτερα πολλῷ πλείονα τούτων εἰς αὐτὴν ταύτην συντελοῦντα τὴν ὑπόθεσιν. Καὶ τότε ἂν ἔγνωτε καλῶς αὐτῶν τὴν ἄκαιρον φιλονεικίαν, οἳ μηδὲ λόγον περὶ ὧν ποιοῦσιν ἀποδοῦναι δυνάμενοι, καίπερ ἁπάντων ὄντες σοφώτεροι, οὔτε παρ' ἑτέρων μανθάνουσιν, ὅπερ ἐσχάτης ἐστὶ καταγνώσεως, μήτε αὐτοὺς εἰδέναι, μήτε τοῖς ἐπιτεταγμένοις ἕπεσθαι, ἀλλ' ἁπλῶς ἀλόγῳ συνηθείᾳ τὰ καθ' ἑαυτοὺς ἐπιτρέψαντες, κατὰ βαράθρων φέρονται καὶ κρημνῶν.

3. Ἀλλὰ τίς ὁ σοφὸς αὐτῶν λόγος, ὅταν ταῦτα αὐτοῖς ἀντιλέγωμεν; Ὑμεῖς, φησίν, οὐ ταύτην ἐνηστεύετε τὴν νηστείαν πρότερον; Τοῦτο οὐ σόν ἐστιν εἰπεῖν πρός με, ἀλλ' ἐμὲ δίκαιον ἂν εἴη πρὸς σὲ λέγειν, ὅτι καὶ ἡμεῖς οὕτως ἐνηστεύομεν πρότερον, ἀλλ' ὅμως προετιμήσαμεν τὴν συμφωνίαν τῆς τῶν χρόνων παρατηρήσεως. Καὶ ὅπερ ὁ Παῦλος πρὸς Γαλάτας ἔλεγε, τοῦτο καὶ ἐγὼ ὑμῖν λέγω· «γί-

19. Ὁ ὅρος «Τεσσαρακοστὴ» μνημονεύεται γιὰ πρώτη φορὰ στὸν 5ο κανόνα τῆς Α' Οἰκουμενικῆς Συνόδου (βλ. Ράλλη καὶ Ποτλῆ, *Σύνταγμα κανόνων*, τ. Β' σελ. 125).

ὁποιοδήποτε ἐλάττωμα, θὰ τὸ ἀποβάλη πολὺ γρήγορα καὶ θὰ ἐπανεύρη τὴν ὑγεία του, ἂν ἀπολαμβάνη συνεχῆ διδασκαλία. Ἐκεῖνος ὅμως ποὺ ἀπέκοψε τὸν ἑαυτό του ἀπὸ τὴ σύναξη αὐτὴ καὶ ἀπομακρύνθηκε ἀπὸ τὴ διδασκαλία τῶν πατέρων καὶ ἀπέφυγε τὸ ἰατρεῖο καὶ ἂν ἀκόμη νομίζη ὅτι εἶνια ὑγιής, πολὺ σύντομα θ' ἀρρωστήση. Καὶ ὅπως ἀκριβῶς ὁ ἄριστος ἰατρὸς θεραπεύει τὶς πληγὲς καὶ τὰ κατάγματα, ἀφοῦ πρῶτα σταματήση τὸν πυρετό, τὸ ἴδιο ἔκαμε καὶ ὁ Παῦλος· ἀφοῦ πρῶτα ξερρίζωσε τὴ διάσταση, τότε θεράπευσε τὰ τραύματα τοῦ κάθε μέλους. Γι' αὐτὸ καὶ ὁμιλεῖ πρὶν ἀπ' ὅλα γι' αὐτό, νὰ μὴ διαφωνοῦν δηλαδὴ ἀναμεταξύ τους, οὔτε ν' ἀνακηρύσσουν δικούς τους ἀρχηγούς, οὔτε καὶ νὰ διαιροῦν τὸ σῶμα τοῦ Χριστοῦ.

Καὶ αὐτὰ δὲν τὰ ἔλεγε μόνο σ' ἐκείνους, ἀλλὰ καὶ στοὺς μεταγενεστέρους τους ποὺ ἔχουν τὴν ἴδια μὲ ἐκείνους ἀσθένεια, τοὺς ὁποίους βέβαια μὲ πολλὴ εὐχαρίστηση θὰ τοὺς ἐρωτοῦσα, τί τέλος πάντων εἶναι τὸ Πάσχα, τί εἶναι ἡ Τεσαρακοστή[19]· καὶ τί εἶναι τὸ ἰουδαϊκὸ Πάσχα καὶ τί τὸ δικό μας. Καὶ γιατί ἐκεῖνο μιὰ φορὰ τὸν χρόνο ἑορτάζεται, ἐνῶ τὸ δικό μας τελεῖται σὲ κάθε σύναξη[20]; καὶ ποιά εἶναι ἐπίσης ἡ σημασία τῶν ἀζύμων καὶ ὅλων ἐκείνων τῶν ἄλλων πραγμάτων, ποὺ συντελοῦν στὴν ὑπόθεση αὐτή. Καὶ τότε θὰ γνωρίζατε καλῶς τὴν ἐπιζήμια φιλονεικία ἐκείνωγ, ποὺ θεωροῦν τοὺς ἑαυτούς τους σοφώτερους ἀπὸ τοὺς ἄλλους, ἐνῶ δὲν εἶναι σὲ θέση νὰ παρουσιάσουν γιὰ τὶς πράξεις τους οὔτε μιὰ δικαιολογία, καὶ οὔτε ἀπὸ τοὺς ἄλλους μαθαίνουν, πρᾶγμα ποὺ ἐπισύρει τὴν χειρότερη κατηγορία ἐναντίον τους, ἀφοῦ οὔτε οἱ ἴδιοι γνωρίζουν οὔτε ἀκολουθοῦν τὰ διατεταγμένα, ἀλλά, ἐγκαταλείποντας ὅσα τοὺς ἀφοροῦν στὴν ἀνόητη συνήθεια, ὁδηγοῦνται στὰ βάραθρα καὶ τοὺς γκρεμούς.

3. Ὅμως, ποιά εἶναι ἡ σοφὴ ἀπάντησή τους, ὅταν ἐμεῖς τοὺς ἀντιτάσσουμε αὐτά; Σεῖς, λένε, δὲν τηρούσατε πρῶτα τὴ νηστεία αὐτή; Αὐτὸ δὲν μπορεῖς ἐσὺ νὰ τὸ πῆς σὲ μένα, ἀλλὰ θὰ ἦταν σωστὸ νὰ σοῦ πῶ ἐγώ, ὅτι καὶ ἐμεῖς ἔτσι νηστεύαμε πρῶτα, πλὴν ὅμως προτιμήσαμε τὴ συμφωνία τῆς παρατηρήσεως τῶν χρόνων. Καὶ ἐκεῖνο ποὺ ἔλεγε ὁ Παῦλος πρὸς τοὺς Γαλάτες, αὐτὸ λέγω καὶ ἐγὼ

20. Δηλαδὴ ἡ ἀναίμακτη εὐχαριστηριακὴ θυσία, ποὺ τελεῖται σὲ κάθε θεία Λειτουργία.

νεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς». Τί δὲ τοῦτό ἐστιν; Ἔπειθεν αὐτοὺς ἀποστῆναι περιτομῆς, καταφρονῆσαι σαββάτων καὶ ἡμερῶν καὶ τῶν ἄλλων τῶν νομίμων ἁπάντων. Εἶτα, ἐπειδὴ δεδοικότας ἑώρα καὶ φοβουμένους, μήποτε παραβάσεως κόλασιν ὑπομείνωσι καὶ τιμωρίαν, ἀπὸ τῶν καθ' ἑαυτὸν πραγμάτων εἰς τὸ θαρρεῖν αὐτοὺς ἐνάγει, λέγων· «γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς». Μὴ γὰρ ἐξ ἐθνῶν ἦλθον; φησί. Μὴ γὰρ ἄπειρος ἤμην τῆς νομικῆς πολιτείας καὶ τῆς τιμωρίας, τῆς κειμένης τοῖς παραβαίνουσιν τὸν νόμον; «Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν Ἐκκλησίαν. Ἀλλὰ καὶ ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν»· τουτέστιν, ἀπέστην αὐτῶν καθάπαξ. Γίνεσθε οὖν ὡς ἐγώ· καὶ γὰρ κἀγὼ ὡς ὑμεῖς ἤμην.

Καὶ τί λέγω περὶ ἐμαυτοῦ; Τριακόσιοι πατέρες ἢ καὶ πλείους, εἰς τὴν Βιθυνῶν χώραν συνελθόντες ταῦτα ἐνομοθέτησαν· καὶ πάντας ἀτιμάζεις ἐκείνους; Δυοῖν γὰρ θάτερον, ἢ ἄνοιαν αὐτῶν, ὡς οὐκ ἀκριβῶς εἰδότων, καταγινώσκεις, ἢ δειλίαν, ὡς εἰδότων μέν, ὑποκριναμένων δὲ καὶ προδόντων τὴν ἀλήθειαν. Ὅταν γὰρ μὴ μένῃς ἐφ' οἷς ἐνομοθέτησαν ἐκεῖνοι, ταῦτα ἕπεται πάντως. Ὅτι δὲ καὶ σοφίαν πολλὴν καὶ ἀνδρείαν ἐπεδείξαντο τότε, τὰ γεγενημένα ἅπαντα δηλοῖ. Τὴν μὲν γὰρ σοφίαν αὐτῶν δείκνυσιν ἡ τότε ἐκτεθεῖσα πίστις καὶ τὰ τῶν αἱρετικῶν ἐμφράξασα στόματα καὶ καθάπερ τεῖχος ἀρραγὲς τὰς ἐπιβουλὰς αὐτῶν ἀποκρουσαμένη πάσας, τὴν δὲ ἀνδρείαν ὁ προσφάτως παυσάμενος διωγμὸς καὶ ὁ τῶν Ἐκκλησιῶν πόλεμος. Καθάπερ γὰρ ἀριστεῖς τινες μυρία στήσαντες τρόπαια καὶ πολλὰ δεξάμενοι τραύματα, οὕτω πανταχόθεν ἐπανῄεσαν τότε τῶν Ἐκκλησιῶν οἱ προστάται, τὰ στίγματα τοῦ Χριστοῦ βαστάζοντες καὶ πολλὰς ἔχοντες ἀριθμεῖν τιμωρίας, ἃς διὰ τὴν ὁμολογίαν ὑπέμειναν. Οἱ μὲν γὰρ εἶχον εἰπεῖν μέταλλα καὶ τὴν ἐν αὐτοῖς ταλαιπωρίαν, οἱ δὲ δημεύσεις τῶν ὄντων ἁπάντων, οἱ δὲ λι-

21. Γαλ. 4,12.
22. Φιλιπ. 3,5–7.
23. Δηλαδὴ τοὺς 318 θεοφόρους πατέρες τῆς Α' Οἰκουμενικῆς συνόδου.

πρὸς ἐσᾶς· «γίνεσθε ὅπως εἶμα ἐγώ, γιατὶ καὶ ἐγὼ ἤμουν ὅπως καὶ σεῖς»[21]. Καὶ τί σημαίνει αὐτό; Τοὺς ἔπειθε νὰ ἀπομακρυνθοῦν ἀπὸ τὴν περιτομή, νὰ καταφρονήσουν τὰ σάββατα καὶ τὶς ἡμέρες καὶ ὅλες τὶς ἄλλες ἐντολὲς τοῦ νόμου. Ἀκολούθως, ἐπειδὴ τοὺς ἔβλεπε νὰ διστάζουν καὶ νὰ φοβοῦνται, μήπως παραβαίνοντάς τες ὑποστοῦν τιμωρία καὶ κολασμό, τοὺς ἐνθαρρύνει μὲ τὰ ὅσα συνέβηκαν σ' αὐτὸν τὸν ἴδιο, λέγοντας· «γίνεσθε ὅπως καὶ ἐγώ, γιατὶ καὶ ἐγὼ ἤμουν ὅπως καὶ σεῖς». Μήπως, λέγει, κατάγομαι ἀπὸ τὰ ἔθνη; Μήπως ἀγνοῶ τὸ πολίτευμα τοῦ νόμου καὶ τὴν τιμωρία, ποὺ ἐπιφυλάσσεται γιὰ τοὺς παραβάτες τοῦ νόμου; «Ἑβραῖος εἶμαι καταγόμενος ἀπὸ Ἑβραίους, ὡς πρὸς τὸν νόμο Φαρισσαῖος, καὶ σύμφωνα μὲ τὸν ζῆλο μου καταδίωκα τὴν Ἐκκλησία. Ἀλλ' ἐκεῖνα ποὺ μοῦ ἦταν κέρδη, αὐτὰ τὰ θεώρησα ἐξ αἰτίας τοῦ Χριστοῦ ζημιά»[22]. Δηλαδὴ ἀπομακρύνθηκα ὁριστικὰ ἀπὸ αὐτά. Γίνετε λοιπὸν ὅπως καὶ ἐγώ, γιατὶ καὶ ἐγὼ ἤμουν ὅπως καὶ σεῖς.

Καὶ γιατί νὰ ὁμιλῶ γιὰ τὸν ἑαυτό μου; Τριακόσιοι καὶ πλέον πατέρες, ἀφοῦ συγκεντρώθηκαν στὴν πόλη τῶν Βιθυνῶν, νομοθέτησαν αὐτά, καὶ σὺ ὅλους αὐτοὺς τοὺς περιφρονεῖς[23]; Γιατὶ ἕνα ἀπὸ τὰ δύο συμβαίνει. Ἢ τοὺς κατηγορεῖς γιὰ μωρία ὅλους αὐτούς, σὰν νὰ μὴ εἶχαν ἀκριβῆ γνώση, ἢ γιὰ δειλία, ὅτι δηλαδὴ τὰ γνώριζαν βέβαια, ἀλλ' ὑποκρίθηκαν καὶ πρόδοσαν τὴν ἀλήθεια. Γιατί, ὅταν δὲν ἐμμένης σ' αὐτὰ ποὺ ἐκεῖνοι νομοθέτησαν, αὐτὲς οἱ σκέψεις κατ' ἀνάγκη ἀκολουθοῦν. Τὸ ὅτι οἱ πατέρες ἐπέδειξαν τότε καὶ πολλὴ σοφία καὶ ἀνδρεία, τὸ ἀποδεικνύουν ὅλα ἐκεῖνα ποὺ συνέβηκαν. Καὶ τὴ σοφία τους βέβαια τὴν δείχνει ἡ διατυπωθεῖσα ἀπ' αὐτοὺς τότε πίστη, ἡ ὁποία ἔκλεισε τῶν αἱρετικῶν τὰ στόματα καὶ ἀπέκρουσε σὰν τεῖχος ἀδιάρρηκτο ὅλες τὶς ἐπιβουλές τους, ἐνῶ τὴν ἀνδρεία τους τὴν δείχνει ὁ διωγμὸς ποὺ μόλις πρόσφατα κατέπαυσε καὶ ὁ πόλεμος τῶν Ἐκκλησιῶν. Γιατί, σὰν ἀκριβῶς γενναῖα παλληκάρια, ἀφοῦ ἔστησαν ἀναρίθμητα τρόπαια νίκης καὶ δέχθηκαν πολλὰ τραύματα, ἔτσι ἐπέστρεψαν τότε ἀπὸ παντοῦ οἱ προστάται τῶν Ἐκκλησιῶν, φέροντας στὰ σώματά τους τὰ στίγματα τοῦ Χριστοῦ καὶ ἀπαριθμώντας πλεῖστες ὅσες τιμωρίες, ποὺ τὶς ὑπέμειναν γιὰ τὴν ὁμολογία τῆς πίστεως. Γιατὶ ἄλλοι μποροῦσαν νὰ μιλήσουν γιὰ τὰ μεταλλεῖα καὶ τὰ βασανιστήρια ποὺ ὑπέστησαν σ' αὐτά, ἄλλοι

μούς, οἱ δὲ πληγὰς συνεχεῖς· καὶ οἱ μὲν τὰς πλευρὰς κατεξεσμένας, οἱ δὲ τὰ νῶτα συντριβέντα, οἱ δὲ τοὺς ὀφθαλμοὺς ἐξορυγέντας, οἱ δὲ ἄλλο τι τοῦ σώματος μέρος ἀφῃρημένους ἑαυτοὺς διὰ τὸν Χριστὸν ἐπιδείκνυσθαι εἶχον. Καὶ ἀπὸ τῶν ἀθλητῶν τούτων ἡ σύνοδος ἅπασα συγκεκρότητο τότε καὶ μετὰ τῆς πίστεως καὶ τοῦτο ἐνομοθέτησαν, ὥστε κοινῇ καὶ συμφώνως τὴν ἑορτὴν ταύτην ἐπιτελεῖν. Οἱ τοίνυν τὴν πίστιν μὴ προδόντες ἐν οὕτω χαλεπωτάτοις καιροῖς, οὗτοι δι' ἡμερῶν παρατήρησιν καθυποκρίνεσθαι ἔμελλον; Ὅρα τί ποιεῖς τοσούτου ς κατακρίνων πατέρας, οὕτως ἀνδρείους καὶ σοφούς. Εἰ γὰρ τελώνην κατακρίνας ὁ Φαρισαῖος, πάντα ἀπώλεσεν ἅπερ εἶχεν ἀγαθά, τίνα ἕξεις συγγνώμην, ποίαν δὲ ἀπολογίαν τοσούτων κατεξανιστάμενος διδασκάλων τῶν τῷ Θεῷ φίλων, καὶ ταῦτα ἀδίκως καὶ μετὰ πολλῆς τῆς ἀλογίας; Οὐκ ἤκουσας αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ὅτι «ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν»; Εἰ δὲ ὅπου δύο ἢ τρεῖς, μέσος ἐστὶν ὁ Χριστός, ὅπου τριακόσιοι καὶ πολλῷ πλείους παρῆσαν, πολλῷ μᾶλλον παρῆν καὶ πάντα ἐτύπου καὶ ἐνομοθέτει.

Σὺ δὲ οὐ μόνον ἐκείνων καταγινώσκεις, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης, ἣ καὶ τὴν ἐκείνων γνώμην ἐπῄνεσεν. Ἢ καὶ τῶν ἁπανταχοῦ τῆς γῆς πατέρων σοφωτέρους Ἰουδαίους εἶναι νομίζεις, καὶ ταῦτα τῆς πατρῴας ἐκπεσόντας πολιτείας καὶ ἑορτὴν οὐδεμίαν τελοῦντας; Ὅτι γὰρ οὐκ ἔστιν ἄζυμα παρ' αὐτοῖς, οὐδὲ πάσχα (καὶ γὰρ καὶ τοῦτο ἀκούω λεγόντων πολλῶν, ὅτι μετὰ τοῦ ἀζύμου τὸ πάσχα ἐστίν), ἀλλ' ὅτι οὐκ ἔστι παρ' αὐτοῖς ἄζυμα, ἄκουσον τοῦ νομοθέτου λέγοντος, «οὐ δυνήσεσθε ποιῆσαι τὸ πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἐὰν ἐπικληθῇ τὸ ὄνομα αὐτοῦ», περὶ τῆς Ἱερουσαλὴμ λέγων. Ὁρᾷς πῶς εἰς μίαν πόλιν συγκλείσας τὴν ἑορτήν, ὕστερον καὶ τὴν πόλιν καθεῖλεν αὐτήν, ἵνα καὶ ἄκοντας αὐτοὺς ἀπαγάγῃ τῆς

24. Ἰω. 15,14.15.
25. Ματθ. 18,20.
26. Δευτ. 16,5.

γιὰ τὶς δημεύσεις ὅλης τῆς περιουσίας τους, ἄλλοι γιὰ τὴν πεῖνα καὶ ἄλλοι γιὰ τὶς ἀδιάκοπες πληγές. Καὶ ἄλλοι εἶχαν νὰ ἐπιδείξουν τὰ καταπληγωμένα πλευρά τους, ἄλλοι τὰ σπασμένα νῶτα τους, ἄλλοι τὰ βγαλμένα μάτια τους, ἄλλοι ἄλλο μέρος τοῦ σώματός τους, ποὺ τοὺς τὰ εἶχαν ἀφαιρέσει ἐξ αἰτίας τῆς πίστεώς τους στὸν Χριστό. Καὶ ἀπὸ ὅλους αὐτοὺς τοὺς ἀθλητὲς συγκροτήθηκε τότε ἡ σύνοδος ἐκείνη, καὶ μαζὶ μὲ τὴν διατύπωση τῆς πίστεως νομοθέτησαν καὶ αὐτό, τὸν ἀπὸ κοινοῦ δηλαδὴ ἑορτασμὸ τοῦ Πάσχα. Ἐκεῖνοι λοιπόν, πού, σὲ καιροὺς τόσο δύσκολους, δὲν πρόδωσαν τὴν πίστη, ἦταν δυνατὸ ἄραγε νὰ ἐνεργήσουν ὑποκριτικὰ ὡς πρὸς τὸ προσδιορισμὸ τῶν ἡμερῶν; Πρόσεχε τί κάμνεις κατακρίνοντας τόσους πατέρες, τόσο ἀνδρείους καὶ σοφούς. Γιατί, ἂν ὁ Φαρισσαῖος, κατακρίνοντας τὸν τελώνη, ἔχασε ὅλα τὰ ἀγαθὰ ποὺ εἶχε, ποιά συγγνώμη θὰ λάβῃς τότε ἐσὺ καὶ ποιά ἀπολογία θὰ δώσῃς, ὅταν καταφέρεσαι, καὶ μάλιστα ἄδικα καὶ μὲ πολλὴ ἀπερισκεψία, ἐναντίον τόσων διδασκάλων, ποὺ εἶναι φίλοι τοῦ Θεοῦ[24]; Δὲν ἄκουσες τὸν ἴδιο τὸν Χριστὸ ποὺ λέγει, «ὅπου εἶναι δύο ἢ τρεῖς συγκεντρωμένοι στὸ ὄνομά μου, ἐκεῖ ἀνάμεσά τους εἶμαι καὶ ἐγώ»[25]; Καὶ ἂν ἐκεῖ ὅπου ὑπάρχουν δύο ἢ τρεῖς βρίσκεται ὁ Χριστὸς ἀνάμεσά τους, ἐκεῖ ποὺ συγκεντρώθηκαν τριακόσιοι καὶ πλέον, ἦταν ἀσφαλῶς καὶ αὐτὸς παρών, κατευθύνοντας καὶ νομοθετώντας τὰ πάντα.

Σὺ ὅμως δὲν καταφέρεσαι μόνο ἐναντίον ἐκείνων, ἀλλὰ καὶ ἐναντίον ὁλοκλήρου τῆς οἰκουμένης, ποὺ καὶ ἐπήνεσε τὶς ἀποφάσεις τους. Ἢ μήπως θεωρεῖς τοὺς Ἰουδαίους σοφώτερους ἀπὸ τοὺς πατέρες ὅλης τῆς γῆς, καὶ μάλιστα τώρα ποὺ ἀπομακρύνθηκαν ἀπὸ τὸν τρόπο ζωῆς τῶν πατέρων τους καὶ δὲν τελοῦν καμμιὰ ἑορτή; Τὸ ὅτι αὐτοὶ δὲν ἔχουν πιὰ οὔτε τὴν ἑορτὴ τῶν ἀζύμων οὔτε τοῦ πάσχα (γιατὶ ἀκούω πολλοὺς νὰ λένε καὶ αὐτό, ὅτι δηλαδὴ τὸ πάσχα ἑορτάζεται μαζὶ μὲ τὴν ἑορτὴ τῶν ἀζύμων), ἀλλ' ὅτι αὐτοὶ δὲν ἔχουν τὴν ἑορτὴ τῶν ἀζύμων, ἄκουσε τὸν νομοθέτη ποὺ λέγει· «δὲν μπορεῖτε νὰ ἑορτάσετε τὸ πάσχα σὲ καμμιὰ ἀπὸ τὶς πόλεις σου, ποὺ ὁ Κύριος ὁ Θεός σου σοῦ δίνει, παρὰ μόνο στὸ μέρος ἐκεῖνο ποὺ ἐκλέχθηκε γιὰ νὰ τιμᾶται τὸ ὄνομα αὐτοῦ»[26], μιλώντας βέβαια γιὰ τὴν Ἰερουσαλήμ. Βλέπεις πῶς, περιορίζοντας τὴν τέλεση τῆς ἑορτῆς σὲ μιὰ πόλη, κατέστρεψε στὴ συνέχεια καὶ τὴν πόλη τὴν ἴδια,

πολιτείας ἐκείνης; Ὅτι γὰρ προεῖδε τὸ ἑπόμενον ὁ Θεός, παντί που δῆλόν ἐστι. Τίνος οὖν ἕνεκεν ἐκεῖ συνήλασεν αὐτοὺς ἀπὸ τῆς οἰκουμένης ἁπάσης, προειδὼς ὅτι ἀπολεῖται ἡ πόλις; Οὐκ εὔδηλον, ὅτι καταλυθῆναι βουλόμενος τὴν ἑορτήν; Ὁ Θεὸς αὐτὴν κατέλυσε καὶ Ἰουδαίοις ἀκολουθεῖς, περὶ ὧν φησιν ὁ προφήτης, «καὶ τίς τυφλός, ἀλλ' ἢ οἱ παῖδές μου, καὶ κωφός, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν;».

Περὶ τίνα γὰρ οὐκ ἐγένοντο ἀγνώμονες ἐκεῖνοι καὶ ἀναίσθητοι; Περὶ τοὺς ἀποστόλους, περὶ τοὺς προφήτας, περὶ τοὺς αὐτῶν διδάσκαλους; Καὶ τί χρὴ λέγειν διδασκάλους καὶ προφήτας, ὅπουγε καὶ αὐτοὺς τοὺς υἱοὺς αὐτῶν κατέσφαξαν; «Ἔθυσαν γὰρ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις». Τὴν φύσιν ἠγνόησαν καὶ ἡμέρας ἤμελλον παρατηρεῖν, εἰπέ μοι; Τὴν συγγένειαν κατεπάτησαν, τῶν τέκνων ἐπελάθοντο· αὐτοῦ τοῦ πεποιηκότος αὐτοὺς Θεοῦ ἐπελάθοντο· «Θεόν», γὰρ φησί, «τὸν γεννήσαντά σε ἐγκατέλιπες καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε». Τὸν Θεὸν ἐγκατέλιπον καὶ ἑορτὰς φυλάττειν ἤμελλον; Καὶ τίς ἂν τοῦτο εἴποι; Ἐπεὶ καὶ ὁ Χριστὸς διὰ τοῦτο μετ' αὐτῶν τὸ πάσχα ἐποίησεν, οὐχ ἵνα ποιῶμεν ἡμεῖς μετ' ἐκείνων, ἀλλ' ἵνα τῇ σκιᾷ τὴν ἀλήθειαν ἐπαγάγῃ. Καὶ γὰρ καὶ περιτομὴν ὑπέμεινε καὶ σάββατα ἐτήρησε καὶ ἑορτὰς ἐπετέλεσε καὶ ἄζυμα ἔφαγε καὶ ἐν Ἱεροσολύμοις ταῦτα ἔπραξεν ἅπαντα. Ἀλλ' οὐδενὶ τούτων ἡμεῖς ὑποκείμεθα, ἀλλὰ βοᾷ Παῦλος λέγων· «ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Καὶ περὶ τῶν ἀζύμων πάλιν· «ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας». Ἡμῶν γὰρ τὰ ἄζυμα οὐκ ἄλευρον πεφυραμένον, ἀλλ' εἰλικρινὴς πολιτεία καὶ βίος ἐνάρετος.

4. Τίνος οὖν ἕνεκεν ἐποίησεν ὁ Χριστὸς τότε; Ἐπειδὴ τὸ παλαιὸν πάσχα τύπος ἦν τοῦ μέλλοντος ἔσεσθαι, ἔδει δὲ καὶ τὴν ἀλήθειαν ἐπιτεθῆναι τῷ τύπῳ, πρότερον δείξας τὴν σκιάν, τότε ἐπήγα-

27. Ἠσ. 42,19.
28. Ψαλμ. 105,37.
29. Δευτ. 32,18.
30. Γαλ. 5,2.

ὥστε καὶ χωρὶς τὴ θέλησή τους νὰ τοὺς ὁδηγήση μακριὰ ἀπὸ τὸν τρόπο ἐκεῖνο τῆς ζωῆς τους; Γιατί, τὸ ὅτι ὁ Θεὸς προέβλεψε τὸ τί ἐπρόκειτο νὰ ἐπακολουθήση, εἶναι βέβαια στὸν καθένα φανερό. Γιὰ ποιό λόγο ὅμως τοὺς συγκέντρωσε ἐκεῖ ἀπὸ κάθε γωνία τῆς γῆς, ἀφοῦ προέβλεψε ὅτι ἡ πόλη θὰ καταστραφῆ; Δὲν εἶναι φανερό, ὅτι ἤθελε νὰ καταλυθῆ ἡ ἑορτή; Ὁ Θεὸς κατέλυσε αὐτὴν καὶ σὺ ἀκολουθεῖς τοὺς Ἰουδαίους, γιὰ τοὺς ὁποίους ὁ προφήτης λέγει, «καὶ ποιός εἶναι τυφλός, παρὰ οἱ δοῦλοι μου, καὶ ποιός εἶναι κωφός, παρὰ οἱ ἄρχοντες αὐτῶν;»[27].

Καὶ πράγματι πρὸς ποιόν δὲν φάνηκαν ἐκεῖνοι ἀχάριστοι καὶ ἀναίσθητοι; Πρὸς τοὺς ἀποστόλους, πρὸς τοὺς προφῆτες, πρὸς τοὺς διδασκάλους τους; Καὶ γιατί πρέπει νὰ ὁμιλῶ γιὰ διδασκάλους καὶ προφῆτες, τὴ στιγμὴ ποὺ κατέσφαξαν καὶ τὰ ἴδια τὰ παιδιά τους; Γιατὶ «θυσίασαν τοὺς υἱούς τους καὶ τὶς θυγατέρες τους στὰ δαιμόνια»[28]. Πές μου, τὰ παιδιά τους ἀγνόησαν καὶ θὰ φρόντιζαν νὰ τηρήσουν τὶς ἡμέρες τῆς ἑορτῆς; Καταπάτησαν τὴ συγγένεια, ἐλησμόνησαν τὰ παιδιά τους, καὶ τὸν Θεὸ ποὺ τοὺς ἔπλασε τὸν ξέχασαν. Γιατὶ λέγει, «τὸν Θεὸ ποὺ σὲ γέννησε τὸν ἐγκατέλειψες καὶ λησμόνησες τὸν Θεὸ ποὺ σὲ τρέφει»[29]. Ἐγκατέλειψαν τὸν Θεὸ καὶ ἐπρόκειτο νὰ φυλάξουν τὶς ἑορτές; Καὶ ποιός θὰ μποροῦσε νὰ τὸ πῆ αὐτό; Γιατὶ καὶ ὁ Χριστὸς γι' αὐτὸ ἑώρτασε μαζί τους τὸ Πάσχα, ὄχι βέβαια γιὰ νὰ τὸ ἑορτάζουμε καὶ ἐμεῖς μαζί τους, ἀλλὰ γιὰ νὰ φέρη μὲ τὴ σκιὰ τὴν ἀλήθεια. Πραγματικὰ καὶ τὴν περιτομὴ ὑπέμεινε καὶ τὰ σάββατα τήρησε καὶ τὶς ἑορτὲς ἐπιτέλεσε καὶ ἄζυμα ἔφαγε καὶ ὅλα αὐτὰ τὰ ἔκαμε στὰ Ἱεροσόλυμα. Ὅμως ἐμεῖς δὲν βροσκόμαστε κάτω ἀπὸ τὴν ἐξουσία κανενὸς ἀπὸ αὐτά, ἀλλὰ φροντοφωνάζει ὁ Παῦλος, λέγοντας· «ἂν περιτέμνεσθε, ὁ Χριστὸς δὲν θὰ σᾶς ὠφελήση σὲ τίποτε»[30]. Καὶ γιὰ τὰ ἄζυμα πάλι λέγει· «ὥστε ἂς ἑορτάζουμε ὄχι μὲ τὴν παλαιὰ ζύμη, οὔτε μὲ τὴ ζύμη τῆς κακίας καὶ τῆς πονηρίας, ἀλλὰ μὲ ἄζυμα εἰλικρίνειας καὶ ἀλήθειας»[31]. Γιατὶ τὰ δικά μας ἄζυμα δὲν εἶναι ἀπὸ ἀλεύρι ἀνακατωμένο, ἀλλ' εἶναι ἡ εἰλικρινὴς πολιτεία καὶ ὁ ἐνάρετος βίος.

4. Γιὰ ποιό λόγο λοιπὸν ἐνήργησε τότε ἔτσι ὁ Χριστός; Ἐπειδὴ τὸ παλαιὸ Πάσχα ἦταν τύπος τοῦ μελλοντικοῦ καὶ ἔπρεπε νὰ θέση πάνω ἀπὸ τὸν τύπο καὶ τὴν ἀλήθεια, ἀφοῦ ἔδειξε πρῶτα τὸν τύπο,

31. Α' Κορ. 5,8.

γε τὴν ἀλήθειαν ἐπὶ τῆς τραπέζης. Τῆς ἀληθείας δὲ ἐπανεχθείσης, ἡ σκιὰ λοιπὸν ἀποκρύπτεται καὶ οὐδὲ καιρὸν ἔχει. Μὴ τοίνυν τοῦτο προβάλλου, ἀλλ' ἐκεῖνό μοι δεῖξον, ὅτι οὕτως ἐκέλευσε ποιεῖν ὁ Χριστός. Ἐγὼ γὰρ τοὐναντίον δείκνυμι, ὅτι οὐ μόνον οὐκ ἐκέλευσε παρατηρεῖν ἡμέρας, ἀλλὰ καὶ ἀπέλυσεν ἡμᾶς τῆς ἀνάγκης ταύτης. Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος· ὅταν δὲ τὸν Παῦλον εἴπω, τὸν Χριστὸν λέγω· ἐεκῖνος γάρ ἐστιν ὁ τὴν Παύλου κινῶν ψυχήν. Τί οὖν οὗτός φησιν; «Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. Φοβοῦμαι ὑμᾶς, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς»· καὶ πάλιν, «ὁσάκις ἂν ἐσθίετε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε». Ὁσάκις δὲ εἰπών, Κύριον ἐποίησε τὸν προσιόντα, πάσης ἡμερῶν παρατηρήσεως ἀπαλλάξας αὐτόν.

Οὐ γὰρ ταὐτὸν πάσχα καὶ τεσσαρακοστή, ἀλλ' ἕτερον πάσχα, καὶ ἕτερον τεσσαρακοστή. Τεσσαρακοστὴ μὲν γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ γίνεται, πάσχα δὲ τρίτον τῆς ἑβδομάδος· ἔστι δ' ὅτε καὶ τέταρτον, μᾶλλον δὲ ὁσάκις ἂν βουλώμεθα. Πάσχα γὰρ οὐ νηστεία ἐστίν, ἀλλ' ἡ προσφορὰ καὶ ἡ θυσία, ἡ καθ' ἑκάστην γινομένη σύναξιν. Καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τοῦ Παύλου λέγοντος, «τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός»· καί, «ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε». Ὥστε ὁσάκις ἂν προσίῃς μετὰ καθαροῦ συνειδότος, πάσχα ἐπιτελεῖς, οὐχ ὅταν νηστεύῃς, ἀλλ' ὅταν τῆς θυσίας ἐκείνης μετέχῃς. «Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε». Πάσχα δέ ἐστι, τὸ τὸν θάνατον καταγγέλλειν. Καὶ γὰρ ἡ σήμερον γινομένη προσφορὰ καὶ ἡ χθὲς ἐπιτελεσθεῖσα καὶ ἡ καθ' ἑκάστην ἡμέραν ἐκείνην τὴν τοῦ σαββάτου καὶ οὐδὲν ἐκείνη ταύτης σεμνοτέρα, οὐδὲ αὕτη ἐκείνης εὐτελεστέρα, ἀλλὰ μία καὶ ἡ αὐτή, ὁμοίως φρικτὴ καὶ σωτήριος.

Τίνος οὖν ἕνεκεν νηστεύομεν, φησί, τὰς τεσσαράκοντα ταύτας ἡμέρας; Πολλοὶ τὸ παλαιὸν τοῖς μυστηρίοις προσῄεσαν ἁπλῶς

32. Γαλ. 4,10–11.
33. Α' Κορ. 11,26.
34. Α' Κορ. 5,7.
35. Α' Κορ. 11,26.

τότε φανέρωσε τὴν ἀλήθεια ἐπάνω στὴν τράπεζα. Καὶ μόλις ἡ ἀλήθεια ἀποκαλυφθῆ, ὁ τύπος τότε ἐξαφανίζεται καὶ δὲν ἔχει πιὰ θέση. Μὴ λοιπὸν προβάλλης αὐτό, ἀλλὰ δεῖξε μου ἐκεῖνο, ὅτι ὁ Χριστὸς διέταξε νὰ ἐνεργοῦμε ἔτσι. Γιατὶ ἐγὼ σοῦ δείχνω τὸ ἀντίθετο, ὅτι δηλαδὴ ὁ Χριστὸς ὄχι μόνο δὲν διέταξε νὰ φυλάσσουμε ὡρισμένες ἡμέρες, ἀλλὰ καὶ μᾶς ἀπάλλαξε ἀπὸ τὴν ὑποχρέωση αὐτή. Ἄκουσε λοιπὸν τί λέγει καὶ ὁ Παῦλος· κι ὅταν λέγω τὸν Παῦλο, ἐννοῶ τὸν Χριστό, γιατὶ ὁ Χριστὸς εἶναι ἐκεῖνος ποὺ κινεῖ τὴν ψυχὴ τοῦ Παύλου. Τί λέγει λοιπὸν αὐτός; «Φυλάσσετε κάποιες ἡμέρες καὶ μῆνες καὶ ἐποχὲς καὶ ἔτη. Φοβοῦμαι μήπως μάταια κοπίασα γιὰ σᾶς»[32]. Καὶ πάλι· «κάθε φορὰ ποὺ τρώγετε τὸν ἄρτο αὐτὸ καὶ πίνετε τὸ ποτήρι αὐτό, διακηρύσσετε τὸν θάνατο τοῦ Κυρίου»[33]. Καὶ λέγοντας, «κάθε φορά», κατέστησε κύριον ὅποιον μετέχει στὴ θεία εὐχαριστία, ἀπαλλάσσοντάς τον ἀπὸ κάθε τήρηση ἡμερῶν.

Δὲν εἶναι τὸ ἴδιο πρᾶγμα Πάσχα καὶ Τεσσαρακοστή, ἀλλὰ ἄλλο πράγμα εἶναι τὸ Πάσχα καὶ ἄλλο ἡ Τεσαρακοστή. Γιατὶ ἡ Τεσσαρακοστὴ ἔρχεται μιὰ φορὰ τὸν χρόνο, ἐνῶ τὸ Πάσχα τελεῖται τρεῖς φορὲς τὴν ἑβδομάδα καὶ πολλὲς φορὲς καὶ τέσσερις φορές, ἢ καλύτερα ὅσες φορὲς τὸ θελήσουμε. Γιατὶ τὸ Πάσχα δὲν εἶναι νηστεία, ἀλλὰ ἡ προσφορὰ καὶ ἡ θυσία ποὺ ἐπιτελεῖται σὲ κάθε σύναξη τῶν πιστῶν. Καὶ ὅτι αὐτὸ εἶναι, ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «ὁ πασχαλινὸς ἀμνός μας ὁ Χριστὸς θυσιάσθηκε γιὰ μᾶς»[34]· καί, «κάθε φορὰ ποὺ τρώγετε τὸν ἄρτο αὐτὸν καὶ πίνετε τὸ ποτήρι αὐτό, διακηρύσσετε τὸν θάνατο τοῦ Κυρίου»[35]. Ὥστε, κάθε φορὰ ποὺ προσέρχεσαι μὲ καθαρὴ συνείδηση στὴ θεία κοινωνία, ἐπιτελεῖς τὸ Πάσχα, ὄχι ὅταν νηστεύῃς, ἀλλ' ὅταν μετέχῃς στὴ θυσία ἐκείνη. Γιατὶ «κάθε φορὰ ποὺ τρώγετε τὸν ἄρτο αὐτὸν καὶ πίνετε τὸ ποτήρι αὐτό, διακηρύσσετε τὸν θάνατο τοῦ Κυρίου». Πάσχα συνεπῶς εἶναι ἡ διακήρυξη τοῦ θανάτου τοῦ Χριστοῦ. Γιατὶ καὶ ἡ σημερινὴ προσφορά, καὶ ἐκείνη ποὺ ἔγινε ἐχθές, καὶ ἡ ἐπιτελούμενη κάθε ἡμέρα εἶναι ἀκριβῶς ἴδια μὲ τὴν ἐπιτελούμενη κατὰ τὴν ἡμέρα τοῦ Σαββάτου καὶ ὡς πρὸς τίποτε ἐκείνη δὲν εἶναι σεμνότερη ἀπὸ αὐτήν, οὔτε καὶ αὐτὴ εὐτελέστερη ἀπὸ ἐκείνη, ἀλλ' εἶναι μία καὶ ἡ αὐτὴ θυσία, φρικτὴ καὶ σωτήρια.

Γιὰ ποιό λόγο λοιπὸν νηστεύουμε, λέγει, τὶς σαράντα αὐτὲς ἡμέρες; Τὴν παλαιὰ ἐποχὴ πολλοὶ πιστοὶ προσήρχονταν στὰ μυ-

καὶ ὡς ἔτυχε καὶ μάλιστα κατὰ τὸν καιρὸν τοῦτον, καθ' ὃν ὁ Χριστὸς αὐτὰ παρέδωκε. Συνειδότος οὖν οἱ πατέρες τὴν βλάβην τὴν γινομένην ἐκ τῆς ἠμελημένης προσόδου, συνελθόντες ἐτύπωσαν ἡμέρας τεσσαράκοντα νηστείας, εὐχῶν, ἀκροάσεως, συνόδων, ἵν' ἐν ταῖς ἡμέραις ταύταις καθαρθέντες μετ' ἀκριβείας ἅπαντες καὶ δι' εὐχῶν καὶ δι' ἐλεημοσύνης καὶ διὰ νηστείας καὶ διὰ παννυχίδων καὶ διὰ δακρύων καὶ δι' ἐξομολογήσεως καὶ διὰ τῶν ἄλλων ἁπάντων, οὕτω κατὰ δύναμιν τὴν ἡμετέραν μετὰ καθαροῦ συνειδότος προσίωμεν, καὶ ὅτι μέγα κατώρθωσαν, διὰ τῆς συγκαταβάσεως ταύτης εἰς συνήθειαν ἡμᾶς νηστείας καταστήσαντες, δῆλον ἐκεῖθεν. Ἡμεῖς μὲν γὰρ ἂν διὰ παντὸς τοῦ ἐνιαυτοῦ μένωμεν βοῶντες καὶ κηρύττοντες νηστείαν, οὐδεὶς προσέχει τοῖς λεγομένοις· ἂν δὲ ἐπιστῇ μόνον ὁ τῆς τεσσαρακοστῆς καιρὸς καὶ μηδενὸς παραινοῦντος μηδὲ συμβουλεύοντος καὶ ὁ σφόδρα νωθρότατος διανίσταται, τὴν παρὰ τοῦ καιροῦ λαμβάνων συμβουλὴν καὶ παραίνεσιν.

Ἂν οὖν ἔρηταί σε Ἰουδαῖος καὶ Ἕλλην, τίνος ἕνεκεν νηστεύεις, μὴ εἴπῃς, ὅτι διὰ τὸ πάσχα, μηδὲ ὅτι διὰ τὸν σταυρόν, ἐπεὶ πολλὴν αὐτῷ δίδως τὴν λαβήν· οὐ γὰρ διὰ τὸ πάσχα νηστεύομεν, οὐδὲ διὰ τὸν σταυρόν, ἀλλὰ διὰ τὰ ἁμαρτήματα τὰ ἡμέτερα, ἐπειδὴ μέλλομεν μυστηρίοις προσιέναι· ἐπεί τό γε πάσχα οὐ νηστείας ἐστίν, οὐδὲ πένθους, ἀλλ' εὐφροσύνης καὶ χαρᾶς ὑπόθεσις. Ὁ γὰρ σταυρὸς ἀνεῖλε τὴν ἁμαρτίαν, καθάρσιον τῆς οἰκουμένης ἐγένετο, καταλλαγὴ χρονίας ἔχθρας, ἀνέῳξε τοῦ οὐρανοῦ τὰς πύλας, τοὺς μισουμένους φίλους ἐποίησεν, εἰς τὸν οὐρανὸν ἐπανήγαγεν, ἐν δεξιᾷ τοῦ θρόνου ἐκάθισε τὴν ἡμετέραν φύσιν, μυρία ἕτερα παρέσχεν ἡμῖν ἀγαθά. Οὐ τοίνυν πενθεῖν, οὐδὲ κατεστάλθαι χρή, ἀγάλλεσθαι δὲ καὶ χαίρειν ὑπὲρ τούτων ἁπάντων. Διὰ τοῦτο καὶ Παῦλός φησιν, «ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ πάλιν, «συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε». Καὶ ὁ Ἰωάννης οὕτω πώς φησιν· «οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον». Πῶς, εἰπέ; Καὶ

36. Γαλ. 6,14.
37. Ρωμ. 5,8.
38. Ἰω. 3,16.

στήρια χωρὶς καμμιὰ προετοιμασία, καὶ μάλιστα κατὰ τὴν ἐποχὴ ποὺ ὁ Χριστὸς συνέστησε αὐτά. Ἀντιλαμβανόμενοι οἱ πατέρες τὴν προκαλούμενη βλάβη ἀπὸ τὴν ἀπροπαράσκευη προσέλευση, ἀφοῦ συγκεντρώθηκαν, καθιέρωσαν σαράντα ἡμέρες νηστείας, προσευχῶν, ἀκροάσεως τοῦ θείου λόγου καὶ συνάξεων, ὥστε, ἀφοῦ καθαρθοῦμε ὅλοι μας μὲ κάθε ἐπιμέλεια καὶ μὲ προσευχὲς καὶ μὲ ἐλεημοσύνη καὶ μὲ νηστεία καὶ μὲ ὁλονύκτιες παρακλήσεις καὶ μὲ δάκρυα μετανοίας καὶ μὲ ἐξομολογήση καὶ μὲ ὅλα τὰ ἄλλα, νὰ προσέλθουμε ἔτσι στὴ θεία κοινωνία μὲ καθαρὴ κατὰ τὸ δυνατὸ συνείδηση. Καὶ ὅτι μ' αὐτὸ κατώρθωσαν μεγάλα πράγματα, συνηθίζοντάς μας μὲ τὴ συγκατάβαση αὐτὴ στὴ νηστεία, γίνεται φανερὸ ἀπὸ αὐτό. Ἂν ἐμεῖς ὅλο τὸν χρόνο ἐπιμείνουμε νὰ φωνάζουμε καὶ νὰ κηρύσσουμε τὴ νηστεία, κανεὶς δὲν προσέχει στὰ λόγια μας, ἂν ὅμως ἔλθη ὁ καιρὸς τῆς νηστείας τῆς Τεσσαρακοστῆς, τότε χωρὶς κανεὶς νὰ προτρέπη οὔτε καὶ νὰ συμβουλεύη, καὶ ὁ πιὸ νωθρὸς ἀφυπνίζεται καὶ ἀκολουθεῖ τὴν προτροπὴ καὶ τὴ συμβουλὴ ποὺ ἐπιβάλλει ὁ καιρός.

Ἂν λοιπὸν σὲ ἐρωτήση ὁ Ἰουδαῖος καὶ ὁ εἰδωλολάτρης, 'γιὰ ποιό λόγο νηστεύεις', μὴ πῆς, ὅτι νηστεύεις γιὰ τὸ Πάσχα ἢ γιὰ τὴ θυσία τοῦ Σταυροῦ, γιατὶ θὰ τοῦ δώσης μεγάλη ἀφορμὴ γιὰ ἀντεγκλίσεις. Γιατὶ δὲν νηστεύουμε γιὰ τὸ Πάσχα οὔτε καὶ γιὰ τὸν σταυρό, ἀλλὰ γιὰ τὰ δικά μας ἁμαρτήματα, ἐπειδὴ πρόκειται νὰ προσέλθουμε στὰ μυστήρια. Γιατὶ τὸ Πάσχα δὲν εἶναι αἰτία νηστείας οὔτε καὶ πένθους, ἀλλ' ὑπόθεση εὐφροσύνης καὶ χαρᾶς. Γιατὶ ὁ σταυρὸς συνέτριψε τὴν ἁμαρτία, ἔγινε καθάρσιο τῆς οἰκουμένης, ἔγινε αἰτία συμφιλιώσεως καὶ ἐξαλείψεως τῆς πολυχρόνιας ἔχθρας, ἄνοιξε τὶς πύλες τοῦ οὐρανοῦ, ἔκανε τοὺς ἐχθρούς φίλους, ἐπανέφερε στὸν οὐρανό, τοποθέτησε στὰ δεξιὰ τοῦ θρόνου τοῦ Θεοῦ τὴν ἀνθρώπινη φύση καὶ μᾶς πρόσφερε ἀμέτρητα ἄλλα πνευματικὰ ἀγαθά. Δὲν πρέπει λοιπὸν νὰ πενθοῦμε οὔτε καὶ νὰ θλιβώμαστε, ἀλλὰ νὰ ἀγαλλώμεθα καὶ νὰ χαίρωμε. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «ἐγὼ ἂς μὴ συμβῆ νὰ καυχηθῶ γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιὰ τὸν σταυρὸ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[36]. Καὶ πάλι· «ὁ Θεὸς δείχνει τὴν ἀγάπη του πρὸς ἐμᾶς μὲ τὸ ὅτι, ἂν καὶ ἤμασταν ἁμαρτωλοί, ὁ Χριστὸς πέθανε γιὰ ἐμᾶς»[37]. Κάτι παρόμοιο λέγει καὶ ὁ Ἰωάννης· «γιατὶ τόσο πολὺ ἀγάπησε ὁ Θεὸς τὸν κόσμο»[38]. Πὲς

πάντα παραδραμὼν τἄλλα, τὸν σταυρὸν τέθεικεν. Εἰπὼν γάρ, «οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον», ἐπήγαγεν, «ὅτι τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἔδωκεν, ἵνα σταυρωθῇ, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον». Εἰ τοίνυν ἀγάπης ὑπόθεσις καὶ καύχημα ὁ σταυρός, μὴ λέγωμεν ὅτι δι' αὐτὸν πενθοῦμεν· οὐ γὰρ πενθοῦμεν δι' ἐκεῖνον, μὴ γένοιτο, ἀλλὰ διὰ τὰ οἰκεῖα ἁμαρτήματα. Διὰ τοῦτο νηστεύομεν.

5. Ὁ γοῦν κατηχούμενος οὐδέποτε πάσχα ἐπιτελεῖ, καίτοι νηστεύων κατ' ἐνιαυτόν, ἐπειδὴ προσφορᾶς οὐ κοινωνεῖ, ὥσπερ οὖν καὶ ὁ μὴ νηστεύων, ἂν μετὰ καθαροῦ προσέλθῃ συνειδότος, πάσχα ἐπιτελεῖ, κἂν σήμερον, κἂν αὔριον, κἂν ὁποτεοῦν μετάσχῃ τῆς κοινωνίας. Οὐ γαρ ἐν παρατηρήσει καιρῶν, ἀλλ' ἐν συνειδότι καθαρῷ ἡ ἀρίστη κρίνεται πρόσοδος. Ἡμεῖς δὲ τουναντίον ποιοῦμεν. Τὴν μὲν διάνοιαν οὐ καθαίρομεν, εἰ δε τῇ ἡμέρᾳ προσέλθοιμεν ἐκείνῃ, νομίζομεν πάσχα ἐπιτελεῖν, κἂν μυρίων γέμωμεν ἁμαρτημάτων. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Ἀλλὰ κἂν ἐν αὐτῷ τῷ σαββάτῳ προσέλθῃς μετὰ πονηροῦ συνειδότος, ἐξέπεσες τῆς κοινωνίας, ἀπῆλθες, οὐκ ἐπιτελέσας τὸ πάσχα· ὥσπερ οὖν κἂν σήμερον κοινωνῇς, τὰ ἁμαρτήματα ἀπονιψάμενος, τὸ πάσχα ἐπετέλεσας ἀκριβῶς. Ἐχρῆν τοίνυν τὴν ἀκρίβειαν ταύτην ὑμᾶς καὶ τὴν εὐτονίαν, μὴ ἐν τῇ τῶν καιρῶν παρατηρήσει, ἀλλ' ἐν τῇ προσόδῳ φυλάττειν.

Καὶ καθάπερ αἱρεῖσθε νῦν πάντα ὑπομεῖναι, ἢ μεταθεῖναι τὴν συνήθειαν, οὕτως ἔδει τούτου μὲν καταφρονεῖν, πάντα δὲ αἱρεῖσθαι πάσχειν καὶ ποιεῖν, ὥστε μὴ μεθ' ἁμαρτημάτων προσιέναι. Ὅτι γὰρ οὐδεὶς λόγος καιρῶν τῷ Θεῷ καὶ παρατηρήσεως τοιαύτης, ἄκουσον αὐτοῦ δικάζοντος· «πεινῶντά με εἴδετε», φησί, «καὶ ἐθρέψατε, διψῶντα καὶ ἐποτίσατε, γυμνὸν καὶ περιεβάλετε»· καὶ τοῖς ἐξ εὐωνύμων τὰ ἐναντία τούτοις ἐγκαλεῖ. Καὶ πάλιν ἄλλον ἐπεισαγαγὼν ἐπὶ μνησικακίᾳ κολάζει· «πονηρέ», γὰρ φησί, «δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα;». Πάλιν τὰς παρθένους, ἐπει-

39. Αὐτόθι.
40. Ματθ. 25,35.
41. Ματθ. 23,32.

ὅμως, πῶς; Ἀφοῦ ἄφησε κατὰ μέρος ὅλα τὰ ἄλλα, ἀνέφερε τὸν σταυρό. Γιατί, ἀφοῦ εἶπε, «τόσο πολὺ ἀγάπησε ὁ Θεὸς τὸν κόσμο», πρόσθεσε, «γιατὶ ἔδωσε τὸν Μονογενῆ Υἱό του νὰ σταυρωθῇ, ὥστε ὁ καθένας ποὺ πιστεύει σ' αὐτὸν νὰ μὴ χαθῇ, ἀλλὰ νὰ ἔχῃ ζωὴ αἰώνια»[39]. Ἂν εἶναι λοιπὸν ὁ σταυρὸς ἀφορμὴ ἀγάπης καὶ καύχημα, ἂς μὴ λέμε, ὅτι πενθοῦμε γι' αὐτόν. Γιατὶ δὲν πενθοῦμε γιὰ ἐκεῖνον –μὴ γένοιτο– ἀλλὰ γιὰ τὰ δικά μας ἁμαρτήματα. Γι' αὐτὸ νηστεύουμε.

5. Ὁ κατηχούμενος λοιπὸν οὐδέποτε ἐπιτελεῖ Πάσχα, ἂν καὶ βέβαια νηστεύει κάθε χρόνο, ἐπειδὴ δὲν μετέχει στὴ θεία εὐχαριστία, ὅπως πάλι καὶ ἐκεῖνος ποὺ δὲν νηστεύει, ἂν προσέλθῃ μὲ καθαρὴ συνείδηση, ἐπιτελεῖ Πάσχα, εἴτε μετέχει στὴ θεία κοινωνία σήμερα εἴτε αὔριο εἴτε ὁποτεδήποτε. Γιατὶ ἡ προσέλευση δὲν ἐξαρτᾶται ἀπὸ τὴν τήρηση τῶν καιρῶν, ἀλλὰ ἀπὸ τὴν καθαρὴ συνείδηση. Ἐμεῖς ὅμως κάμνουμε τὸ ἀντίθετο. Δὲν καθαρίζουμε τὴ σκέψη μας, κι ἂν προσέλθουμε κατὰ τὴν ἡμέρα ἐκείνη, νομίζουμε ὅτι ἑορτάζουμε τὸ Πάσχα, κι ἂν ἀκόμη εἴμαστε γεμᾶτοι ἀπὸ μύρια ἁμαρτήματα. Δὲν εἶναι ὅμως αὐτὰ σωστά, δὲν εἶναι. Ἀλλὰ καὶ ἂν ἀκόμη προσέλθῃς στὸ μυστήριο κατὰ τὸ μέγα Σάββατο μὲ πονηρὴ συνείδηση, ξέπεσες ἀπὸ τὴ θεία κοινωνία καὶ ἔφυγες χωρὶς νὰ ἐπιτέλεσες τὸ Πάσχα· ὅπως πάλι βέβαια, ἂν σήμερα πάρῃς μέρος στὴ θεία κοινωνία, ἀφοῦ καθάρισες τὸν ἑαυτό σου ἀπὸ τὶς ἁμαρτίες, μὲ κάθε ἀκρίβεια ἐπιτέλεσες τὸ Πάσχα. Πρέπει νὰ διατηροῦμε τὴν ἀκρίβεια αὐτὴ καὶ τὴ δύναμη ὄχι στὴ φύλαξη τῶν καιρῶν ἀλλὰ κατὰ τὴν προσέλευσή μας στὰ μυστήρια.

Καὶ ὅπως τώρα προτιμᾶτε νὰ τὰ ὑπομείνετε ὅλα, παρὰ νὰ ἀλλάξετε τὴ συνήθεια, ἔτσι ἔπρεπε αὐτὴν νὰ τὴν περιφρονῆτε, καὶ νὰ προτιμᾶτε νὰ ὑποφέρετε τὰ πάντα καὶ νὰ κάμνετε τὸ κάθε τι, ὥστε νὰ προσέρχεσθε χωρὶς ἁμαρτήματα στὴ θεία εὐχαριστία. Τὸ ὅτι βέβαια ὁ Θεὸς ἀδιαφορεῖ γιὰ τὴ φύλαξη ὡρισμένων ἡμερῶν, ἄκουσέ τον τί λέγει ὅταν κρίνῃ· «μὲ εἴδατε πεινασμένο καὶ μὲ θρέψατε, διψασμένο καὶ μὲ ποτίσατε, γυμνὸ καὶ μὲ ντύσατε»[40]· ἐνῶ τοὺς εὑρισκόμενους στὰ ἀριστερά του τοὺς κατηγορεῖ μὲ τὰ ἀντίθετα ἀπ' αὐτά. Καὶ πάλι προσάγοντας ἄλλον γιὰ μνησικακία, τὸν κολάζει λέγοντας· «πονηρὲ δοῦλε, ὅλο ἐκεῖνο τὸ χρέος σου σοῦ τὸ χάρισα· δὲν ἔπρεπε καὶ σὺ νὰ εὐσπλαχνισθῇς τὸν σύνδουλό σου, ἔτσι ὅπως ἐγὼ ἐλέησα ἐσένα;»[41]. Πάλι τὶς παρθένες, ἐπειδὴ δὲν εἶχαν λάδι

δὴ ἔλαιον οὐκ εἶχον ἐν ταῖς λαμπάσι, τοῦ νυμφῶνος ἀπέκλεισεν· ἕτερον, ἐπειδὴ ἔνδυμα γάμου οὐκ ἔχων εἰσῆλθεν, ἀλλὰ ρυπαρὰ ἠμφίεστο ἱμάτια, πορνείαν καὶ ἀκαθαρσίαν περιβεβλημένος. Ὅτι δὲ τῷ δεῖνι μηνὶ καὶ τῷ δεῖνι ἐποίησε τὸ πάσχα, οὐδεὶς ἐκολάσθη ποτέ, οὐδὲ ἐνεκλήθη.

Καὶ τί λέγω περὶ ἡμῶν τῶν ἀπηλλαγμένων πάσης τοιαύτης ἀνάγκης καὶ ἄνω πολιτευομένων ἐν τοῖς οὐρανοῖς, ἔνθα μῆνες καὶ ἥλιος καὶ σελήνη καὶ ἐνιαυτῶν περίοδος οὐκ ἔστιν; Οὐδὲ γὰρ ἐπ' αὐτῶν τῶν Ἰουδαίων, ἂν ἀκριβῶς ἐπιστῆσαι ἐθελήσῃ τις, οὐ πολὺν ὄψεται τοῦ χρόνου γινόμενον λόγον, ἀλλὰ τὸ τῶν Ἱεροσολύμων αὐτοῦ τόπον προτιμώμενον. Ἐπειδὴ γὰρ προσελθόντες ἄνθρωποι τῷ Μωϋσῇ ἔλεγον, «ἀκάθαρτοί ἐσμεν ἐπὶ ψυχῇ, πῶς ἵνα μὴ ὑστερήσωμεν ἀπὸ τῶν δώρων τοῦ Κυρίου;», «στῆτε αὐτοῦ», φησί, «καὶ ἀνοίσωμεν ἐπὶ τὸν Θεόν». Εἶτα, ἐπειδὴ ἀνήνεγκε, κατήνεγκε νόμον λέγοντα, ὅτι «ἄν τις ἀκάθαρτος ἐπὶ ψυχῇ ᾖ ἢ ἐν ὁδῷ μακρᾷ καὶ μὴ δύνηται ποιῆσαι ἐν τῷ πρώτῳ μηνὶ τὸ πάσχα, ποιήσει ἐν τῷ δευτέρῳ». Εἶτα ἐπὶ μὲν τῶν Ἰουδαίων ἡ τοῦ χρόνου λύεται παρατήρησις, ἵνα εἰς τὰ Ἱεροσόλυμα τὸ πάσχα γένηται, σὺ δὲ οὐ προτιμᾷς τοῦ χρόνου τῆς Ἐκκλησίας τὴν συμφωνίαν, ἀλλ' ἵνα δόξῃς ἡμέρας πρατηρεῖν, εἰς τὴν κοινὴν ἁπάντων ἡμῶν ἐμπαροινεῖς μητέρα καὶ τὴν ἁγίαν διατέμνεις σύνοδον; Καὶ πῶς ἂν ἄξιος εἴης συγγνώμης, ὑπὲρ τοῦ μηδενὸς τοσαῦτα ἁμαρτάνειν αἱρούμενος;

Καὶ τί χρὴ λέγειν περὶ Ἰουδαίων; Ὅτι γὰρ οὐδὲ σφόδρα βουλόμενος ἡμῖν καὶ σπουδάζουσι δυνατὸν πάντως τηρῆσαι τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἐσταυρώθη, δῆλον ἐκεῖθεν. Εἰ γὰρ καὶ μὴ παρέβαινον Ἰουδαῖοι, μηδὲ ἀγνώμονες ἦσαν, μηδὲ ἀναίσθητοι, μηδὲ ῥάθυμοι καὶ καταφρονηταί, μηδὲ ἐκπεπτώκεσαν τῆς πατρῴας πολιτείας, ἀλλ' ἀκριβῶς αὐτὴν ἐτήρουν νῦν, οὐδὲ οὕτω δυνατὸν ἦν ὑμῖν ἀκολουθοῦσιν αὐτοῖς ἐπιλαβέσθαι τῆς ἡμέρας αὐτῆς, καθ' ἣν ἐσταυρώθη καὶ τὸ πάσχα ἐπετέλεσε. Καὶ πῶς, ἐγὼ λέγω.

42. Ματθ. 25,7.
43. Ματθ. 22,19 ἑ.
44. Φιλιπ. 3,20.
45. Ἀριθμ. 9,7–8.
46. Ἀριθμ. 9,9–10.

στὶς λαμπάδες τους, τὶς ἀπέκλεισε ἀπὸ τὸν νυμφῶνα[42]. Ἄλλον πάλι τὸν ἀπέκλεισε ἐπειδὴ εἰσῆλθε μὴ ἔχοντας ἔνδυμα γάμου, ἀλλὰ μὲ ρυπαρὰ ἐνδύματα, περιβεβλημένος δηλαδὴ τὴν πορνεία καὶ τὴν ἀκαθαρσία. Ἀλλὰ κανεὶς δὲν τιμωρήθηκε οὔτε ἀποκλείσθηκε, ἐπειδὴ τέλεσε τὸ Πάσχα αὐτὸν ἢ τὸν ἄλλο μῆνα[43].

Καὶ γιατί νὰ ὁμιλῶ γιὰ μᾶς, ποὺ ἔχομε ἀπαλλαγὴ ἀπὸ κάθε νομικὴ ὑποχρέωση καὶ βρίσκεται τὸ πολίτευμά μας ἐπάνω στοὺς οὐρανούς, ὅπου δὲν ὑπάρχουν μῆνες καὶ ἥλιος καὶ σελήνη καὶ κύκλοι ἐτῶν; Γιατί, ἂν κανεὶς θέλη νὰ ἐξετάση τὸ πρᾶγμα μὲ ἀκρίβεια, θὰ διαπιστώση ὅτι οὔτε καὶ μεταξὺ τῶν Ἰουδαίων γίνεται πολὺς λόγος γιὰ τοὺς καιρούς, ἀλλ' ἁπλῶς ὅτι προτιμοῦν τὸν τόπο αὐτόν, δηλαδὴ τὰ Ἱεροσόλυμα. Ὅταν κάποτε προσῆλθαν στὸν Μωϋσῆ ἄνθρωποι Ἰουδαῖοι καὶ τοῦ εἶπαν, «εἶναι ἀκάθαρτη ἡ ψυχή μας, πῶς θὰ μπορέσουμε νὰ μὴ ἀποκλεισθοῦμε ἀπὸ τὸ νὰ προσφέρουμε τὶς θυσίες μας στὸν Κύριο», ἐκεῖνος ἀπάντησε· «σταθῆτε ἐδῶ καὶ θ' ἀναφέρω τὸ πρᾶγμα στὸν Θεό»[45]. Στὴ συνέχεια, ἀφοῦ συμβουλεύθηκε τὸν Θεό, κατέβασε ἀπὸ τὸ ὄρος ἕνα νόμο ποὺ ἔλεγε· «ἂν κάποιος ἔχη ἀκάθαρτη τὴν ψυχή του, ἢ βρίσκεται μακριὰ καὶ δὲν μπορῆ νὰ ἑορτάση τὸ Πάσχα τὴν πρώτη τοῦ μηνός, ἂς τὸ ἑορτάση τὸν δεύτερο μῆνα»[46]. Ἔπειτα στὴ περίπτωση τῶν Ἰουδαίων καταργεῖται ἡ φύλαξη τοῦ χρόνου, ὥστε τὸ Πάσχα νὰ ἑορτάζεται στὰ Ἱεροσόλυμα, καὶ σὺ δὲν προτιμᾶς τὴ συμφωνία τοῦ χρόνου τῆς Ἐκκλησίας, ἀλλὰ γιὰ νὰ φανῆ ὅτι ἐφαρμόζεις ὡρισμένες ἡμέρες, προσβάλλεις τὴν κοινή μας μητέρα καὶ διχάζεις τὴν ἁγία σύνοδο; Καὶ πῶς θὰ ἦταν δυνατὸ νὰ ἀξιωθῆς συγγνώμης, ὅταν προτιμᾶς νὰ ἁμαρτάνης γιὰ τέτοια ἀσήμαντα πράγματα;

Καὶ γιατί πρέπει νὰ ὁμιλῶ γιὰ τοὺς Ἰουδαίους; Γιατί, τὸ ὅτι δὲν μᾶς εἶναι δυνατό, οὔτε καὶ ἂν ἀκόμη τὸ ἐπιθυμοῦμε σφόδρα καὶ τὸ ἐπιδιώκουμε συνεχῶς, νὰ τηρήσουμε τὴν ἡμέρα ἐκείνη, κατὰ τὴν ὁποία σταυρώθηκε ὁ Χριστός, γίνεται φανερὸ ἀπὸ τὸ ἑξῆς. Καὶ ἂν ἀκόμη οἱ Ἰουδαῖοι δὲν παρέβαιναν τὸν νόμο καὶ δὲν φαίνονταν ἀγνώμονες, οὔτε ἀναίσθητοι, οὔτε ὀκνηροὶ περιφρονητές, καὶ οὔτε εἶχαν ἐκπέσει ἀπὸ τὴν πατρικὴ πολιτεία, ἀλλὰ τὴν τηροῦσαν μὲ ἀκρίβεια σήμερα, οὔτε ἔτσι θὰ ἦταν δυνατὸ σὲ μᾶς νὰ προσδιορίσουμε τὴν ἡμέρα ἐκείνη, κατὰ τὴν ὁποία σταυρώθηκε ὁ Χριστός καὶ ἐπιτέλεσε τὸ Πάσχα. Καὶ πῶς αὐτὸ εἶναι ἀδύνατο, θὰ σᾶς τὸ πῶ

Ἡνίκα ἐσταυροῦτο, τότε ἡ πρώτη τῶν ἀζύμων ἦν καὶ παρασκευή· ἀμφότερα δὲ ταῦτα οὐ δυνατὸν ἀεὶ συμπεσεῖν. Ἰδοὺ γοῦν κατὰ τὸν παρόντα ἐνιαυτόν, ἡ πρώτη τῶν ἀζύμων είς κυριακὴν ἡμέραν ἐμπίπτει καὶ ἀνάγκη πᾶσαν νηστεῦσαι τὴν ἑβδομάδα καὶ τοῦ πάθους παρελθόντος καὶ τοῦ σταυροῦ γενομένου, καὶ τῆς ἀναστάσεως, ἡμεῖς μένωμεν νηστεύοντες. Καὶ πολλάκις τοῦτο συνέβη, μετὰ τὸν σταυρόν, μετὰ τὴν ἀνάστασιν, μηδέπω τῆς ἑβδομάδος ἀπαρτισθείσης, τὴν νηστείαν ἐπιτελεῖσθαι. Οὕτως οὐδεμία καιροῦ παρατήρησίς ἐστι.

6. Μὴ τοίνυν φιλονεικῶμεν, μηδὲ ἐκεῖνο λέγωμεν, τοσοῦτον ἐνήστευσα χρόνον καὶ νῦν μεταθήσομαι; Δι' αὐτὸ μὲν οὖν τοῦτο μετάθου· ἐπειδὴ τοσοῦτον ἀπεσχίσθης χρόνον τῆς Ἐκκλησίας, ἐπάνελθε λοιπὸν πρὸς τὴν μητέρα. Οὐδεὶς λέγει, ἐπειδὴ τοσοῦτον χρόνον ἐν ἔχθρᾳ διέμεινα, αἰσχύνομαι καταλλαγῆναι νῦν. Αἰσχύνη γάρ ἐστιν, οὐ τὸ μεταβάλλεσθαι πρὸς τὸ βέλτιον, ἀλλὰ τὸ μένειν ἐπὶ τῆς ἀκαίρου φιλονεικίας. Τοῦτο καὶ Ἰουδαίους ἀπώλεσεν, οἳ τὴν παλαιὰν ἐπιζητοῦντες ἀεὶ συνήθειαν, πρὸς ἀσέβειαν ἀπεσύροντο. Καὶ τί λέγω περὶ νηστείας καὶ ἡμερῶν παρατηρήσεως; Ὁ Παῦλος τὸν νόμον διετέλει φυλάττων καὶ πολὺν ὑπέμεινεν ἱδρῶτα καὶ πολλὰς μὲν ὁδοιπορίας πολλὰς δὲ ἠνέσχετο ταλαιπωρίας ἑτέρας καὶ πάντων ἐκράτει τῶν ὁμηλίκων κατὰ τὴν τῆς πολιτείας ἐκείνης ἀκρίβειαν, Ἀλλ' ὅμως μετὰ τὸ ἄκρον ἐλάσαι τῆς πολιτείας ἐκείνης, ἐπειδὴ συνεῖδεν ὅτι ἐπ' ὀλέθρῳ καὶ βλάβῃ πάντα ἔπραττεν, εὐθέως μετέθετο. Καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί τοῦτο; τοσαύτην ζημιοῦμαι σπουδήν; τοσοῦτον ἀπολῶ πόνον; ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο ταχύτερον μετετέθη, ἵνα μὴ μένῃ πάλιν ἐπὶ τῆς αὐτῆς ζημίας, καὶ τῆς ἐν τῷ νόμῳ δικαιοσύνης κατεφρόνησεν, ἵνα τὴν ἐκ πίστεως λάβῃ· καὶ βοᾷ λέγων, «ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν».

Ἐὰν προσφέρῃς τὸ δῶρόν σου», φησίν, «ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου». Τί λέγεις; Ἂν μὲν ὁ ἀδελφός σου ἔχῃ τι κατὰ σοῦ, οὐ

47. Γαλ. 1,14.
48. Φιλιπ. 3,7.
49. Ματθ. 5,23.

ἐγώ. Ὅταν ὁ Χριστὸς σταυρωνόταν, ἦταν τότε ἡ πρώτη ἡμέρα τῶν ἀζύμων καὶ ἡ παραμονὴ τοῦ Πάσχα. Οἱ δυὸ αὐτὲς ἡμέρες δὲν εἶναι δυνατὸ νὰ συμπέσουν πάντοτε. Νὰ λοιπόν, κατὰ τὴ χρονιὰ αὐτὴ ἡ πρώτη τῶν ἀζύμων συμβαίνει νὰ εἶναι Κυριακὴ καὶ εἶναι ἀνάγκη νὰ νηστεύσουμε ὅλην τὴν ἑβδομάδα. Καὶ ἐνῶ τὸ πάθος θὰ ἔχη περάσει καὶ θὰ ἔχη φθάσει ἡ ἡμέρα τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, ἐμεῖς θὰ πρέπει νὰ συνεχίσουμε νὰ νηστεύουμε. Καὶ συνέβηκε αὐτὸ πολλὲς φορές· μετὰ τὴν ἡμέρα τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως καὶ ἐνῶ ἡ ἑβδομάδα δὲν ἔχει συμπληρωθῆ, συνέβηκε νὰ τηροῦμε ἐμεῖς τὴ νηστεία. Ἑπομένως δὲν εἶναι κατορθωτὴ ἡ τήρηση τοῦ καιροῦ.

6. Ἂς μὴ φιλονεικοῦμε λοιπόν, οὔτε καὶ νὰ λέμε ἐκεῖνο, ὅτι δηλαδή, τόσα χρόνια νήστευα ἔτσι καὶ τώρα θὰ ἀλλάξω; Ἄλλαξε ἀκριβῶς γι αὐτὸ καὶ μόνο· ἐπειδὴ γιὰ τόσο μεγάλο χρόνο ἀποκόπηκες ἀπὸ τὴν Ἐκκλησία, γύρισε τώρα πίσω στὴν μητέρα. Κανεὶς δὲν λέγει, ἐπειδὴ γιὰ τόσο χρόνο παρέμεινα στὴν ἔχθρα, ντρέπομαι τώρα νὰ συμφιλιωθῶ. Γιατὶ ντροπὴ εἶναι ὄχι ἡ πρὸς τὸ καλύτερο μεταβολή, ἀλλ' ἡ παραμονὴ στὴν ἄκαιρη φιλονεικία. Αὐτὸ κατέστρεψε καὶ τοὺς Ἰουδαίους· ἐπιζητώντας πάντοτε τὴν παλαιὰ συνήθεια, παρασύρονταν στὴν ἀσέβεια. Καὶ γιατί νὰ ὁμιλῶ γιὰ τὴ νηστεία καὶ τὴν τήρηση ὡρισμένων ἡμερῶν; Ὁ Παῦλος τηροῦσε τὸν νόμο, ἔχυσε πολὺ ἱδρῶτα, πολλὲς ὁδοιπορίες ἔκαμε καὶ πλεῖστες ἄλλες ὑπέστη ταλαιπωρίες καὶ ὑπερέβαλλε ὅλους τοὺς συνομηλίκουςτου ὡς πρὸς τὴν ἀκριβῆ τήρηση ἐκείνου τοῦ τρόπου ζωῆς[47]. Ἀλλ' ὅμως, ἀφοῦ ἔφθασε στὴν ἄκρα τελειότητα τῆς νομικῆς πολιτείας, ἐπειδὴ ἀντιλήφθηκε, ὅτι αὐτὰ ποὺ ἔπραττε τὸν ὁδηγοῦσαν στὸν ὄλεθρο καὶ τὴν καταστροφή, ἀμέσως ἄλλαξε. Καὶ δὲν εἶπε μέσα του· 'Γιατί νὰ τὸ κάμω αὐτό; Γιατί νὰ ζημιωθῶ ὕστερα ἀπὸ τόσο ζῆλο; Γιατί νὰ πάη χαμένος τόσος κόπος;' Ἀλλὰ γι' αὐτὸ ἀκριβῶς, γιὰ νὰ μὴ παραμείνη στὴν ἴδια ζημία, ἄλλαξε τὸ ταχύτερο καὶ περιφρόνησε τὴ δικαιοσύνη τοῦ νόμου, γιὰ νὰ λάβη τὴ δικαίωση ἀπὸ τὴν πίστη. Καὶ φωνάζει λέγοντας· «ἐκεῖνα ποὺ μοῦ ἦταν κέρδη, αὐτὰ τὰ ἔχω θεωρήσει ζημιὰ ἐξ αἰτίας τοῦ Χριστοῦ»[48].

«Ἐὰν προσφέρης τὸ δῶρο σου», λέγει, «στὸ θυσιαστήριο, καὶ ἐκεῖ θυμηθῆς, ὅτι ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου, πήγαινε πρῶτα συμφιλιώσου μὲ τὸν ἀδελφό σου, καὶ τότε ἔλα καὶ πρόσφερε τὸ δῶρο σου»[49]. Τί λέγεις; Ἂν ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον

συγχωρεῖ σοι προσενεγκεῖν τὴν θυσίαν, ἕως ἂν αὐτῷ καταλλαγῇς, Ἐκκλησίας δὲ ὁλοκλήρου καὶ τοσούτων πατέρων ἐχόντων κατὰ σοῦ τολμᾷς καὶ ὑπομένεις, μὴ καταλύσας τὴν ἔχθραν τὴν ἄκαιρον ταύτην, τοῖς θείοις προσελθεῖν μυστηρίοις; καὶ πῶς ἂν δύναιο πάσχα ἐπιτελεῖν οὕτω διακείμενος; Ταῦτα οὐχὶ πρὸς ἐκείνους λέγω μόνους, ἀλλὰ καὶ πρὸς ὑμᾶς τοὺς ὑγιαίνοντας, ἵνα ὅσους ἂν ἴδητε τοιουτους ὄντας, μετὰ ἀκριβείας πολλῆς καὶ προσηνείας ἐκλέγοντες συναγάγητε καὶ πρὸς τὴν μητέρα ἐπαναγάγητε. Κἂν ἀντιτείνωσι, κἂν σκιρτῶσι, κἂν ὁτιοῦν ἕτερον πράττωσι, μὴ ἀποκάμωμεν, ἕως ἂν αὐτοὺς πείσωμεν· οὐδὲν γὰρ εἰρήνης ἴσον καὶ συμφωνίας.

Διὰ τοῦτο καὶ εἰσιὼν ὁ πατήρ, οὐ πρότερον ἐπὶ τὸν θρόνον ἀναβαίνει τοῦτον, ἕως ἂν ἅπασιν ὑμῖν εἰρήνην ἐπεύξηται, καὶ ἀναστὰς οὐ πρότερον ἄρχεται τῆς πρὸς ὑμᾶς διδασκαλίας, ἕως ἂν ἅπασι δῷ τὴν εἰρήνην. Καὶ μέλλοντες εὐλογεῖν οἱ ἱερεῖς, πρότερον τοῦτο ὑμῖν ἐπευξάμενοι, οὕτω τῆς εὐλογίας ἄρχονται· καὶ ὁ διάκονος δὲ κελεύων εὔχεσθαι μετὰ τῶν ἄλλων, καὶ τοῦτο ἐπιτάττει κατὰ τὴν εὐχήν, αἰτεῖν τὸν ἄγγελον τῆς εἰρήνης καὶ τὰ προκείμενα πάντα εἰρηνικὰ καὶ τῆς συνόδου ταύτης ἀπολύων ὑμᾶς, τοῦτο ὑμῖν ἐπεύχεται λέγων, «πορεύεσθε ἐν εἰρήνῃ»· καὶ οὐδὲν ὅλως ἔνι οὔτε εἰπεῖν, οὔτε πρᾶξαι ταύτης χωρίς. Αὕτη γάρ ἐστιν ἡ τροφὸς ἡμῶν καὶ μήτηρ, θάλπουσα μετὰ πολλῆς τῆς ἀκριβείας ἡμᾶς. Εἰρήνην δὲ λέγω, οὐ τὴν ἀπὸ προσρήσεως ψιλῆς, οὐδὲ τὴν ἀπὸ τῆς κοινωνίας τῶν τραπεζῶν, ἀλλὰ τὴν κατὰ Θεὸν εἰρήνην, τὴν ἐκ τῆς συμφωνίας τῆς πνευματικῆς, ἣν πολλοὶ διασπῶσι νῦν, ὑπὲρ ἀκαίρου φιλονεικίας τὰ ἡμέτερα καθαιροῦντες καὶ τὰ Ἰουδαίων αὔξοντες, ἐκείνους ἀξιοπιστοτέρους διδασκάλους τῶν οἰκείων πατέρων ἡγούμενοι καὶ τοῖς χριστοκτόνοις περὶ τοῦ πάθους πιστεύοντες, οὗ τί γένοιτ' ἂν ἀλογώτερον; Οὐ οἶδας ὅτι ἐκεῖνο τύπος, τοῦτο δὲ ἀλήθεια;

Ὅρα γὰρ πόσον τὸ διάφορον. Ἐκεῖνο θάνατον ἐκώλυε σωματικόν, τοῦτο ὀργὴν ἔλυσε τὴν κατὰ τῆς οἰκουμένης φερομένην ἁπάσης· ἐκεῖνο Αἰγύπτου τότε ἀπήλλαξε, τοῦτο εἰδωλολατρίας ἠλευθέρωσεν· ἐκεῖνο τὸν Φαραώ, τοῦ τὸν διάβολον ἀπέπνιξε· μετ'

σου, δὲν σοῦ ἐπιτρέπεται νὰ προσφέρης θυσία, μέχρις ὅτου συμφιλιωθῆς μαζί του· τώρα ποὺ ἡ Ἐκκλησία ὁλόκληρη καὶ τόσοι πατέρες εἶναι ἐναντίον σου, τολμᾶς καὶ ἐπιμένεις νὰ προσέρχεσαι στὰ ἱερὰ μυστήρια, χωρὶς προηγουμένως νὰ τερματίσης τὴν παράκαιρη ἐκείνη ἔχθρα; Καὶ πῶς θὰ μποροῦσες, βρισκόμενος σὲ τέτοια κατάσταση, νὰ ἑορτάσης τὸ Πάσχα; Κι αὐτὰ δὲν τὰ λέγω μόνο πρὸς ἐκείνους, ἀλλὰ καὶ πρὸς ἐσᾶς τοὺς ὑγιεῖς, ὥστε νὰ ἐπαναφέρετε στὴ μητέρα Ἐκκλησία ὅσους δῆτε τέτοιους, ἀφοῦ τοὺς περισυλλέξετε μὲ πολλὴ προσοχὴ καὶ καλωσύνη. Κι ἂν αὐτοὶ ἀντιδροῦν, κι ἄν δυστροποῦν, κι ἂν ὁ,τιδήποτε ἄλλο κάμνουν, ἂς μὴ ἀποκάμουμε, μέχρι ποὺ νὰ τοὺς πείσουμε. Γιατὶ τίποτε δὲν μπορεῖ νὰ ἐξισωθῆ μὲ τὴν εἰρήνη καὶ τὴν ὁμόνοια.

Γι' αὐτὸ καὶ ὁ ἐπίσκοπος, εἰσερχόμενος στὸν ναό, δὲν ἀνεβαίνει σ' αὐτὸν ἐδῶ τὸν θρόνο προτοῦ εὐχηθῆ σὲ ὅλους ἐσᾶς τὴν εἰρήνη, καὶ ἐγειρόμενος δὲν ἀρχίζει νὰ σᾶς διδάσκη προτοῦ σᾶς εὐχηθῆ καὶ πάλι τὴν εἰρήνη. Καὶ ὅταν πρόκειται νὰ εὐλογήσουν οἱ ἱερεῖς, πρῶτα αὐτὸ σᾶς εὔχονται καὶ μετὰ ἀρχίζουν τὴν εὐλογία. Ἀλλὰ καὶ ὁ διάκονος, προτρέποντάς μας νὰ προσευχηθοῦμε ὅλοι μαζί, καὶ αὐτὸ συνιστᾶ κατὰ τὴν προσευχή, νὰ ζητοῦμε δηλαδὴ τῆς εἰρήνης τὸν ἄγγελο, καὶ ὅλα τὰ προσφερόμενα νὰ εἶναι εἰρηνικά. Ἀπολύοντάς μας πάλι ἀπὸ τὴ σύναξη αὐτή, αὐτὸ μᾶς εὔχεται, λέγοντας· «πηγαίνετε μὲ εἰρήνη». Καὶ γενικὰ δὲν μποροῦμε τίποτε νὰ ποῦμε ἢ νὰ πράξουμε χωρὶς αὐτήν. Γιατὶ αὐτὴ εἶναι ἡ τροφός μας καὶ ἡ μητέρα, ποὺ μᾶς θάλπει μὲ πολλὴ φροντίδα καὶ στοργή. Ὡς εἰρήνη ἐννοῶ ὄχι ἐκείνην τοῦ ἁπλοῦ χαιρετισμοῦ, οὔτε ἐκείνην τῶν συμποσίων, ἀλλὰ τὴν κατὰ Θεὸν εἰρήνη, τὴν εἰρήνη τῆς πνευματικῆς ὁμόνοιας, τὴν ὁποία τώρα πολλοὶ διασποῦν, ζημιώνοντας τὰ δικά μας πράγματα μὲ συζητήσεις ἄκαιρες καὶ βλαβερὲς καὶ αὐξάνοντας τὰ ἰουδαϊκά, θεωρώντας πιὸ ἀξιόπιστους διδασκάλους ἐκείνους, παρὰ τοὺς πατέρες τοὺς δικούς μας, καὶ πιστεύοντας ὡς πρὸς τὸ πάθος τοῦ Κυρίου στοὺς Χριστοκτόνους Ἰουδαίους, πρᾶγμα ἀπὸ τὸ ὁποῖο τί θὰ μποροῦσε νὰ ὑπάρξη πιό παράλογο; Δὲν γνωρίζεις ὅτι ἐκεῖνο εἶναι ὁ τύπος, ἐνῶ αὐτὸ ἀλήθεια;

Πρόσεχε πόση διαφορὰ ὑπάρχει. Ἐκεῖνο ἀπέτρεπε ἀπὸ τὸν σωματικὸ θάνατο, ἐνῶ αὐτὸ κατέλυσε τὴν ὀργή, ποὺ ἁπλωνόταν πάνω ἀπὸ ὅλη τὴν οἰκουμένη. Ἐκεῖνο ἀπάλλαξε ἀπὸ τὴ δουλεία τῆς Αἰγύπτου, ἐνῶ αὐτὸ ἐλευθέρωσε ἀπὸ τὴν εἰδωλολατρία. Ἐκεῖνο κα-

ἐκεῖνο Παλαιστίνη, μετὰ τοῦτο οὐρανός. Τί τοίνυν τῷ λύχνῳ προσεδρεύεις, τοῦ ἡλίου φανέντος; Τί δὴ τῷ γάλακτι τρέφεσθαι βούλει, στερεᾶς σοι διδομένης τροφῆς; Διὰ τοῦτο ἐτράφης γάλακτι, ἵνα μὴ μένῃς ἐν τῷ γάλακτι· διὰ τοῦτό σοι ὁ λύχνος ἐφάνη, ἵνα πρὸς τὸν ἥλιον χειραγωγηθῇς. Μὴ τοίνυν, τῶν τελειοτέρων ἐπανατρέχωμεν, μηδὲ ἡμέρας καὶ καιροὺς καὶ ἐνιαυτοὺς παρατηρῶμεν, ἀλλὰ πανταχοῦ τῇ Ἐκκλησίᾳ μετ' ἀκριβείας ἑπώμεθα, τὴν ἀγάπην καὶ τὴν εἰρήνην προτιμῶντες ἁπάντων. Εἰ γὰρ καὶ ἐσφάλλετο ἡ Ἐκκλησία, οὐ τοσοῦτον κατόρθωμα ἀπὸ τῆς τῶν χρόνων ἀκριβείας ἦν, ὅσον ἔγκλημα ἀπὸ τῆς διαιρέσεως καὶ τοῦ σχίσματος τούτου.

Νυνὶ δὲ οὐδείς μοι περὶ καιροῦ λόγος, ἐπειδὴ οὐδὲ τῷ Θεῷ, καθάπερ ἀπεδείξαμεν, ἐπεὶ καὶ ὑπὲρ τούτου πολλοὺς ἀνήλωσα λόγους· ἀλλὰ ἓν μόνον ζητῶ, ὅπως ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ ἅπαντα ποιῶμεν, ὅπως μή, νηστευόντων ἡμῶν καὶ τοῦ δήμου παντὸς καὶ τῶν ἱερέων τὰς κοινὰς ποιουμένων ὑπὲρ τῆς οἰκουμένης ἱκετηρίας, σὺ μένῃς μεθύων ἐπὶ τῆς οἰκίας. Ἐννόησον πῶς διαβολικῆς τοῦτό ἐστιν ἐνεργείας καὶ ὡς οὐχ ἓν μόνον, οὐδὲ δύο, οὐδὲ τρία ἐστὶ τὰ ἁμαρτήματα, ἀλλὰ πολλῷ πλείω. Ἀποσχίζει σε τῆς ἀγέλης καὶ καταγινώσκειν σε παρασκευάζει πατέρων τοσούτων, εἰς φιλονεικίαν ἐμβάλλει, πρὸς Ἰουδαίους ὠθεῖ, σκάνδαλόν σε αὖ πάλιν προτίθησι καὶ τοῖς οἰκείοις καὶ τοῖς ἀλλοτρίοις. Πῶς γὰρ δυνησόμεθα ἐγκαλεῖν ἐκείνοις μένουσιν ἐπὶ τῆς οἰκίας, ὅταν σὺ πρὸς ἐκείνους τρέχῃς; Οὐ ταῦτα δὲ μόνον ἐστὶ τὰ ἁμαρτήματα, ἀλλ' ὅτι καὶ μεγάλη βλάβη γένοιτ' ἄν, ὅταν μήτε Γραφῶν, μήτε συνόδων, μήτε εὐλογίας, μήτε κοινῶν εὐχῶν ἀπολαύῃς ἐν ταῖς νηστείαις ἐκείναις, ἀλλὰ μετὰ πονηροῦ συνειδότος ἅπαντα τοῦτον διάγῃς τὸν χρόνον, δεδοικὼς και τρέμων μὴ γένῃ κατάφωρος, καθάπερ τις ἀλλόφυλος καὶ ἀλλογενής, δέον μετὰ παρρησίας, μεθ' ἡδονῆς, μετὰ εὐφροσύνης, μετ' ἐλευθερίας ἁπάσης κοινῇ μετὰ τῆς Ἐκκλησίας πάντα ἐπιτελεῖν.

Οὐδὲ γὰρ ἡ Ἐκκλησία χρόνων ἀκρίβειαν οἶδεν· ἀλλ' ἐπειδὴ

τέπνιξε τὸν Φαραώ, ἐνῶ αὐτὸ τὸν διάβολο. Μετὰ ἀπὸ ἐκεῖνο δόθηκε ἡ Παλαιστίνη, ἐνῶ μετὰ ἀπὸ αὐτὸ ὁ οὐρανός. Γιατί λοιπὸν παραμένεις στὸ φῶς τοῦ λυχναριοῦ, τὴ στιγμὴ ποὺ ἀνέτειλε ὁ ἥλιος; Γιατί θέλεις νὰ τρέφεσαι μὲ γάλα, ἐνῶ σοῦ προσφέρεται τροφὴ στερεά; Γι' αὐτὸ τράφηκες μὲ γάλα, γιὰ νὰ μὴ παραμείνης στὸ γάλα· γι' αὐτὸ ἄναψε γιὰ σένα ὁ λύχνος, γιὰ νὰ ὁδηγηθῇς πρὸς τὸν ἥλιο. Ἂς μὴ ἐπιστρέφουμε λοιπὸν πρὸς τὰ πρῶτα, τὴ στιγμὴ ποὺ ἦλθαν τὰ τελειότερα, κι οὔτε νὰ φυλάσσουμε ἀκόμη ἡμέρες καὶ ἐποχὲς καὶ ἔτη, ἀλλὰ παντοῦ ἂς ἀκολουθοῦμε μὲ κάθε ἀκρίβεια τὴν Ἐκκλησία, προτιμώντας πάνω ἀπ' ὅλα τὴν ἀγάπη καὶ τὴν εἰρήνη. Γιατί, κι ἂν ἀκόμη ἡ Ἐκκλησία διέπραττε σφάλμα, δὲν θὰ ἦταν τὸ κατόρθωμα ἀπὸ τὴν ἀκριβῆ τήρηση τῶν χρόνων τόσο μεγάλο, ὅσο εἶναι τὸ ἔγκλημα ποὺ προέρχεται ἀπὸ τὴ διαίρεση καὶ τὸ σχίσμα.

Τώρα δὲν ἔχει γιὰ μένα καμμιὰ σημασία ἡ τήρηση τοῦ καιροῦ, ἀφοῦ, ὅπως ἀποδείξαμε, δὲν ἔχει οὔτε καὶ γιὰ τὸν Θεὸ σημασία. Ἄλλωστε γιὰ τὸ θέμα αὐτὸ ἀφιέρωσα πολλοὺς λόγους. Ἀλλὰ ἕνα μόνο πρᾶγμα ζητῶ· τὸ νὰ κάμνουμε τὰ πάντα μὲ εἰρήνη καὶ ὁμόνοια, καὶ ὅταν ἐμεῖς καὶ ὅλος ὁ λαὸς νηστεύουμε καὶ οἱ ἱερεῖς ἀναπέμπουν τὶς κοινὲς ὑπὲρ τῆς οἰκουμένης εὐχές, σὺ νὰ μὴ παραμένης στὸ σπίτι μεθυσμένος. Σκέψου ὅτι, αὐτὸ εἶναι διαβολικὴ ἐνέργεια καὶ ὅτι τὰ ἁμαρτήματα δὲν εἶναι μόνο ἕνα, οὔτε δύο, οὔτε τρία, ἀλλὰ πολὺ περισσότερα. Σὲ ἀποκόπτει ἀπὸ τὸ ποίμνιο, σὲ προετοιμάζει νὰ κατηγορῇς τόσους πατέρας, σὲ ὁδηγεῖ σὲ φιλονεικίες, σὲ ὠθεῖ πρὸς τοὺς Ἰουδαίους, σὲ καθιστᾶ πέτρα σκανδάλου τόσο πρὸς τοὺς δικούς σου ὅσο καὶ πρὸς τοὺς ξένους. Γιατὶ πῶς θὰ μπορέσουμε νὰ κατηγορήσουμε ἐκείνους ποὺ μένουν στὰ σπίτια τους, ὅταν ἐσὺ τρέχης πρὸς τοὺς Ἰουδαίους; καὶ δὲν εἶναι μόνο αὐτὰ τὰ ἁμαρτήματα, ἀλλ' ὅτι θὰ μποροῦσε νὰ προκληθῇ καὶ μεγάλη ζημία, ὅταν δὲν ἀπολαμβάνης κατὰ τὶς νηστεῖες αὐτὲς οὔτε τὸν λόγο τῶν Γραφῶν, οὔτε τὶς συνάξεις, οὔτε τὴν εὐλογία, οὔτε τὶς κοινὲς προσευχές, ἀλλὰ περνᾷς μὲ πονηρὴ συνείδηση ὅλον τὸν καιρό σου, μὲ τὸν φόβο καὶ τὸν τρόμο μὴ τυχὸν καὶ βρεθῇς σὰν κάποιος ἀλλόφυλος καὶ ἀλλογενής, ἐνῶ πρέπει νὰ τὰ κάμνης ὅλα μὲ παρρησία, μὲ εὐχαρίστηση, μὲ εὐφροσύνη, μὲ κάθε ἐλευθερία καὶ ἀπὸ κοινοῦ μὲ τὴν Ἐκκλησία.

Οὔτε καὶ ἡ Ἐκκλησία ἀνεγνώριζε τὴν ὑποχρεωτικὴ καὶ ἀκρι-

παρὰ τὴν ἀρχὴν πᾶσιν ἔδοξε τοῖς πατράσι διῃρημένοις ὁμοῦ συνελθεῖν καὶ ταύτην ὁρίσαι τὴν ἡμέραν, τὴν συμφωνίαν πανταχοῦ τιμῶσα καὶ τὴν ὁμόνοιαν ἀγαπῶσα, κατεδέξατο τὸ ἐπιταχθέν. Ὅτι γὰρ ἀδύνατον ἢ ἡμᾶς ἢ ὑμᾶς ἢ ἕτερον ὁντιναοῦν αὐτῆς ἐπιλαβέσθαι τῆς Κυριακῆς ἡμέρας, ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἀποδέδεικται. Μὴ τοίνυν σκιομαχῶμεν, μηδὲ ὑπὲρ τῶν τυχόντων φιλονεικοῦντες, ἐν τοῖς μεγάλοις ἑαυτοὺς καταβλάπτωμεν. Τὸ μὲν γὰρ τῷδε ἢ τῷδε ἢ τῷδε χρόνῳ νηστεῦσαι οὐκ ἔγκλημα, τὸ δὲ σχίσαι Ἐκκλησίαν καὶ φιλονείκως διατεθῆναι καὶ διχοστασίας ἐμποιεῖν καὶ τῆς συνόδου διηνεκῶς ἑαυτὸν ἀποστερεῖν, ἀσύγγνωστον καὶ κατηγορίας ἄξιον, καὶ πολλὴν ἔχει τὴν τιμωρίαν.

Ἐνῆν μὲν οὖν καὶ πλείονα τούτων εἰπεῖν, ἀλλὰ τοῖς μὲν προσέχουσιν καὶ τὰ εἰρημένα ἀρκεῖ, τοῖς δὲ μὴ προσέχουσιν οὐδὲ εἰ πλείω τούτων λεχθείη, ἔσται τι πλέον. Διόπερ ἐνταῦθα καταλύσαντες τὸν λόγον, κοινῇ πάντες εὐξώμεθα τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους ἐπανελθεῖν πρὸς ἡμᾶς καὶ τὴν εἰρήνην ἀσπάσασθαι καὶ τῆς ἀκαίρου φιλονεικίας ἀποστῆναι καὶ τῆς ψυχρότητος ταύτης καταγελάσαντας, ὑψηλήν τινα καὶ μεγάλην λαβεῖν διάνοιαν καὶ τῆς τῶν ἡμερῶν ἀπαλλαγῆναι παρατηρήσεως, ἵνα ὁμοθυμαδὸν πάντες ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

βῆ τήρηση τῶν καιρῶν. Ἀλλ' ἐπειδὴ ἀπὸ τὴν ἀρχὴ φάνηκε καλὸ στοὺς πατέρες, ποὺ ἦταν διασκορπισμένοι παντοῦ, νὰ συνέλθουν καὶ νὰ ὁρίσουν τὴν ἡμέρα αὐτή, ἡ Ἐκκλησία, τιμώντας πάντοτε τὴ συμφωνία καὶ ἀγαπώντας τὴν ὁμόνοια, ἀποδέχθηκε τὴν ἀπόφαση. Γιατί, τὸ ὅτι καὶ σὲ μᾶς καὶ σὲ σᾶς καὶ σὲ ὁποιονδήποτε ἄλλον εἶναι ἀδύνατο νὰ καθορίση ἐπακριβῶς τὴν ἡμέρα, κατὰ τὴν ὁποία ὁ Κύριος τέλεσε τὸ μυστήριο, ἀποδείχθηκε ἱκανοποιητικὰ μὲ τὰ ὅσα ἔχουν λεχθῆ. Ἂς μὴ σκιαμαχοῦμε λοιπὸν κι ἂς μὴ βλάπτουμε τοὺς ἑαυτούς μας στὰ μεγάλα πράγματα, φιλονεικώντας γιὰ τὰ ἀνάξια λόγου. Γιατὶ δὲν ἀποτελεῖ ἔγκλημα τὸ νὰ νηστεύουμε αὐτὴ ἢ τὴν ἄλλη περίοδο, ἀλλ' ἔγκλημα, καὶ μάλιστα ἀσυγχώρητο καὶ ἄξιο καταδίκης καὶ πρόξενο μεγάλης τιμωρίας, εἶναι ἡ διαίρεση τῆς Ἐκκλησίας, ὁ διαπληκτισμός, ἡ σπορὰ τῆς διχόνοιας, καὶ ἡ συνεχὴς ἀποστέρηση τοῦ ἑαυτοῦ μας ἀπὸ τὶς συνάξεις τῶν πιστῶν.

Μποροῦσα βέβαια νὰ πῶ πολὺ περισσότερα, ἀπὸ ὅσα σᾶς εἶπα, ἀλλὰ γι' αὐτοὺς ποὺ προσέχουν εἶναι ἀρκετὰ τὰ ὅσα ἔχουν λεχθῆ, ἐνῶ γιὰ ἐκείνους ποὺ δὲν προσέχουν καμμιὰ ὠφέλεια δὲν θὰ πρόεκυπτε, ἔστω κι ἂν λέγονταν πολὺ περισσότερα. Γι' αὐτό, τερματίζοντας ἐδῶ τὴν ὁμιλία, ἂς εὐχηθοῦμε ἀπὸ κοινοῦ ὅλοι, νὰ ἐπιστρέψουν οἱ ἀδελφοί μας κοντά μας, καὶ ἀφοῦ ἀσπασθοῦν τὴν εἰρήνη, ἀποφύγουν τὴν ἄκαιρη φιλονεικία, καταγελάσουν τὴν ψυχρότητα τῶν αἰσθημάτων τους, σκεφθοῦν πιὸ σοβαρὰ καὶ ἀπαλλαγοῦν ἀπὸ τὴ τήρηση τῶν ἡμερῶν, ὅλοι μαζὶ τότε μ' ἕνα στόμα νὰ δοξάζουμε τὸν Θεὸ καὶ Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ τὸ κράτος, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

ΕΙΣ ΤΑΣ ΣΑΛΠΙΓΓΑΣ ΤΟΥ ΠΑΣΧΑ ΑΥΤΩΝ

Ἐλέχθη δὲ ἐν Ἀντιοχείᾳ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ

1. *Πάλιν οἱ δείλαιοι καὶ πάντων ἀνθρώπων ἀθλιώτεροι νηστεύειν μέλλουσιν Ἰουδαῖοι καὶ πάλιν ἀσφαλίσασθαι τὴν τοῦ Χριστοῦ ποίμνην ἀναγκαῖον. Ἐπεὶ καὶ ποιμένες, ἕως μὲν ἂν μηδὲν ἐνοχλῇ θηρίον, ὑπὸ δρῦν ἢ πεύκην ἑαυτοὺς ῥίψαντες, τῷ καλάμῳ συρίζουσιν, ἀφέντες ἐπ' ἐξουσίας ἁπάσης τὰ πρόβατα νέμεσθαι· ἐπειδὰν δὲ λύκων καταδρομὴν αἴσθωνται γινομένην, ταχέως τὸν κάλαμον ῥίψαντες, τὴν σφενδόνην μεταχειρίζονται καὶ τὴν σύριγγα ἀφέντες, ῥοπάλοις καὶ λίθοις ἑαυτοὺς καθοπλίζουσι καὶ πρὸ τῆς ποίμνης στάντες καὶ μέγα καὶ διωλύγιον ὀλολύξαντες, τῇ φωνῇ πολλάκις πρὸ τῆς βολῆς τὸ θηρίον ἀπήλασαν. Οὕτω δὴ καὶ ἡμεῖς ἐν μὲν ταῖς ἔμπροσθεν ἡμέραις, ὥσπερ ἐν λειμῶνί τινι, τῇ τῶν Γραφῶν διηγήσει σκιρτῶντες, οὐδενὸς ἡψάμεθα ἀγωνιστικοῦ λόγου· οὐδεὶς γὰρ ἦν ἡμῖν ὁ διενοχλῶν. Ἐπειδὴ δὲ σήμερον οἱ λύκων ἁπάντων χαλεπώτεροι Ἰουδαῖοι περιίστασθαι ἡμῶν τὰ πρόβατα μέλλουσιν, ἀνάγκη πυκτεύειν καὶ μάχεσθαι, ὅπως μηδὲν ἡμῖν θηριάλωτον γένηται. Καὶ μὴ θαυμάσητε, εἰ μετὰ δέκα καὶ πλείους ἡμέρας, τῆς νηστείας ἐκείνης ἀπαντᾶν μελλούσης, ἡμεῖς ἐντεῦθεν ἤδη καθοπλιζόμεθα καὶ περιφράττομεν τὰς ὑμετέρας ψυχάς, ἐπεὶ καὶ τῶν γεωργῶν οἱ φιλόπονοι, ἐπειδὰν ἔχωσι γείτονα χείμαρρον παρασύροντα τὰς γεωργίας, οὐκ ἐν τῷ καιρῷ τοῦ χειμῶνος, ἀλλὰ πρὸ τῆς ὥρας ἐκείνης καὶ ὄχθας περιφράττουσι καὶ χώματα ἐγείρουσι καὶ*

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

ΣΤΙΣ ΣΑΛΠΙΓΓΕΣ ΤΟΥ ΠΑΣΧΑ ΑΥΤΩΝ

Ἐκφωνήθηκε στὴ μεγάλη Ἐκκλησία τῆς Ἀντιοχείας

1. Πάλι οἱ ταλαίπωροι καὶ ἀθλιώτεροι ἀπ' ὅλους τοὺς ἀνθρώπο Ἰουδαῖοι πρόκειται νὰ νηστεύσουν καὶ πάλι πρέπει νὰ προφυλάξο με τὸ ποίμνιο τοῦ Χριστοῦ. Γιατὶ καὶ οἱ βοσκοί, ὅσο δὲν ὑπάρχ κίνδυνος κανενὸς θηρίου, ἀφήνουν τελείως ἐλεύθερα τὰ πρόβα νὰ βόσκουν, ἐνῶ ἐκεῖνοι, ξαπλωμένοι κάτω ἀπὸ κάποια βελανιδιὰ πεύκο, παίζουν ἀμέριμνοι τὴ φλογέρα τους· ὅταν ὅμως ἀντιληφθοῦ ἐπικείμενη ἐπιδρομὴ λύκων, ἀφήνοντας ἀμέσως κατὰ μέρος φλογέρα, ἁρπάζουν τὴ σφενδόνη, καὶ ἀφήνοντας τὸ μουσικὸ ὄργα νο, ἐξοπλίζονται μὲ ρόπαλα καὶ πέτρες, καὶ στεκόμενοι μπροστ ἀπὸ τὸ κοπάδι ἀρχίζουν νὰ κραυγάζουν δυνατὰ καὶ γιὰ πολλὴ ὥρ καὶ πολλὲς φορὲς ἔτσι ἀπομάκρυναν μὲ τὶς φωνὲς τὸ θηρίο, πρὶ ἀκόμη ἐκεῖνο ἐπιτεθῆ. Ἔτσι λοιπὸν καὶ ἐμεῖς, ποὺ κατὰ τὶς προη γούμενες ἡμέρες ἐντρυφούσαμε, σὰν σὲ κάποιο λειβάδι, στὴ διήγη ση τῶν Γραφῶν, δὲν ἀσχοληθήκαμε μὲ κανένα ἀγωνιστικὸ λόγο γιατὶ δὲν ὑπῆρχε κανεὶς ποὺ νὰ μᾶς ἐνοχλῆ. Ἐπειδὴ ὅμως σήμερα ο Ἰουδαῖοι, ποὺ εἶναι ἀπὸ ὅλους τοὺς λύκους φοβερώτεροι, πρόκειτα νὰ πλησιάσουν τὰ πρόβατά μας, εἶναι ἀνάγκη νὰ πυγμαχήσουμε κα νὰ πολεμήσουμε, ὥστε κανένα πρόβατό μας νὰ μὴ γίνη βορὰ τοῦ θηρίου. Καὶ μὴν ἀπορήσετε ποὺ ἐμεῖς, ἐνῶ ἡ νηστεία τους ἔρχετα μετὰ δέκα ἢ καὶ περισσότερες ἡμέρες, ἐξοπλιζόμαστε ἀπὸ τώρα κ' ὅλας καὶ περιφρουροῦμε τὶς ψυχές σας· γιατὶ καὶ οἱ φιλόπονοι γε- ωργοί, ἂν τύχη καὶ γειτονεύουν μὲ χείμαρρο, ποὺ παρασύρει τὸ χωράφια τους, δὲν περιφράσσουν τὶς ὄχθες ἐγείροντας ἀναχώματα καὶ ἀνοίγοντας τάφρους ὅταν ἔλθη ὁ χειμώνας, ἀλλὰ πολὺ πιὸ πρίν,

τάφρους ἐλαύνουσι καὶ παντὶ πρὸς αὐτὸν παρασκευάζονται τρόπῳ. Ἡσυχάζοντι μὲν γὰρ καὶ κατεσταλμένῳ ρᾴδιον ἐπιθέσθαι, αὐξομένῳ δὲ καὶ μετὰ πολλῆς φερομένῳ τῆς τῶν ὑδάτων ρύμης, οὐκέθ' ὁμοίως εὔκολον ἀπαντᾶν. Διὰ τοῦτο φθάνουσιν αὐτοῦ τὰς ἐπιβολὰς πρὸ πολλοῦ τοῦ χρόνου, πᾶσαν πανταχόθεν ἐπινοοῦντες ἀσφάλειαν.

Οὕτω καὶ στρατιῶται καὶ ναῦται καὶ γεωργοὶ καὶ θερισταὶ ποιεῖν εἰώθασι. Καὶ γὰρ ἐκεῖνοι πρὸ τοῦ καιροῦ τῆς μάχης καὶ θώρακα ἀποσμήχουσι καὶ ἀσπίδα περισκοποῦσι καὶ χαλινοὺς παρασκευάζουσι καὶ ἵππους τρέφουσι μετὰ πολλῆς τῆς ἐπιμελείας καὶ τὰ ἄλλα πάντα εὖ διατίθενται· καὶ ναῦται, πρὶν ἢ τὸ σκάφος εἰς λιμένα καθελκύσαι καὶ τρόπιν ἐπισκευάζουσι καὶ τοίχους ἀνανεοῦσι καὶ κώπας ἀποξέουσι καὶ ἱστία ράπτουσι καὶ τὴν ἄλλην ἅπασαν τοῦ πλοίου κατασκευὴν εὐτρεπίζουσιν. Καὶ θερισταὶ δὲ ὁμοίως πρὸ πολλῶν τῶν ἡμερῶν καὶ δρεπάνην θήγουσι καὶ ἅλωνα παρασκευάζουσι καὶ βοῦς καὶ ἅμαξαν καὶ ὅσα ἂν ἄλλα πρὸς τὸν ἄμητον αὐτοῖς συντελεῖ. Καὶ πάντας ἀνθρώπους ἴδοι τις ἂν πρὸ τοῦ καιροῦ τὰς τῶν πραγμάτων ποιουμένους παρασκευάς, ὥστε, τοῦ καιροῦ τῶν πραγμάτων ἐπιστάντος, εὔκολον αὐτοῖς γενέσθαι τὴν τῶν ἔργων ἐκπλήρωσιν.

Τούτους δὴ καὶ ἡμεῖς μιμούμενοι, πρὸ πολλῶν τῶν ἡμερῶν τὰς ὑμετέρας ἀσφαλιζόμεθα ψυχάς, παρακαλοῦντες ὑμᾶς, τὴν ἐναγῆ καὶ παράνομον ταύτην φεύγειν νηστείαν. Μὴ γάρ μοι τοῦτο εἴπῃς ὅτι νηστεύουσιν, ἀλλ' ἐκεῖνό μοι δεῖξον, εἰ κατὰ γνώμην τοῦ Θεοῦ τοῦτο ποιοῦσιν. Ὡς ἂν μὴ τοῦτο ᾖ, μέθης πάσης ἐστὶν ἡ νηστεία παρανομωτέρα. Οὐ γὰρ τὸ πραττόμενον ὑπ' αὐτῶν χρὴ σκοπεῖν μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν τῶν γινομένων ἐπιζητεῖν. Τὸ μὲν γὰρ κατὰ γνώμην τοῦ Θεοῦ γινόμενον, κἂν φαῦλον εἶναι δοκῇ, πάντων ἐστὶν ἄριστον, τὸ δὲ παρὰ γνώμην καὶ μὴ δοκοῦν ἐκείνῳ, κἂν ἄριστον εἶναι νομίζηται, πάντων ἐστὶ φαυλότατον καὶ παρανομώτατον. Κἂν φονεύσῃ τις κατὰ γνώμην τοῦ Θεοῦ, φιλανθρωπίας ἁπάσης βελτίων ἐστὶν ὁ φόνος· κἂν φείσηταί τις καὶ φιλανθρωπεύσηται παρὰ τὸ δοκοῦν ἐκείνῳ, φόνου παντὸς ἀνοσιωτέρα γένοιτ'

προετοιμάζονται νὰ τὸν ἀντιμετωπίσουν μὲ κάθε τρόπο. Γιατὶ ὅταν ὁ χείμαρρος ἡσυχάζη καὶ εἶναι ἤρεμος, εὐκολώτερα κάμνουν τὶς ἐργασίες αὐτές, ὅταν ὅμως αὐξηθοῦν τὰ νερά του καὶ τρέχουν μὲ μεγάλη ὁρμή, δὲν εἶναι τὸ ἴδιο εὔκολο νὰ τὸν πλησιάσουν. Γι' αὐτὸ πολὺ πιὸ μπροστὰ προλαμβάνουν τὶς πλημμύρες του, ἐπινοώντας ἀπὸ παντοῦ κάθε ἀσφάλεια.

Ἔτσι συνηθίζουν νὰ κάμνουν καὶ οἱ στρατιῶτες καὶ οἱ ναῦτες καὶ οἱ γεωργοὶ καὶ οἱ θεριστές. Γιατὶ καὶ ἐκεῖνοι πρὶν ἀπ' τὸν καιρὸ τῆς μάχης καὶ τὸν θώρακα ἀποστιλβώνουν καὶ τὴν ἀσπίδα ἐπιθεωροῦν καὶ τὰ χαλινάρια ἑτοιμάζουν καὶ μὲ πολλὴ φροντίδα τρέφουν τὰ ἄλογα καὶ ὅλα τὰ ἄλλα τὰ τακτοποιοῦν καλά· καὶ οἱ ναῦτες, προτοῦ ἀκόμη καθελκύσουν τὸ πλοῖο στὸ λιμάνι καὶ τὴν καρίνα ἐπιδιορθώνουν καὶ τὰ τοιχώματα ἀνανεώνουν καὶ τὰ κουπιὰ λειαίνουν καὶ τὰ πανιὰ ράβουν καὶ ὅλη τὴν ἄλλη κατασκευὴ τοῦ πλοίου τὴν εὐτρεπίζουν. Καὶ οἱ θεριστὲς ὅμοια προτοῦ ἀρχίση ὁ θερισμὸς καὶ τὸ δρεπάνι ἀκονίζουν καὶ τὸ ἁλώνι προετοιμάζουν καὶ τὰ βόδια καὶ τὸ ἁμάξι καὶ ὅ,τι ἄλλο χρησιμεύει στὸ θερισμό. Καὶ εἶναι δυνατὸ νὰ δῆ κανεὶς ὅλους τοὺς ἀνθρώπους νὰ φροντίζουν τὶς ὑποθέσεις τους ἔγκαιρα, ὥστε, ὅταν ἔλθη ὁ καιρός τους, μὲ περισσότερη εὐκολία νὰ ἐπιτελέσουν τὰ ἔργα τους.

Μιμούμενοι λοιπὸν καὶ ἐμεῖς αὐτούς, ἀσφαλίζουμε τὶς ψυχές σας πρὶν ἀπὸ πολλὲς ἡμέρες, προτρέποντάς σας νὰ ἀποφεύγετε τὴν ἀνίερη καὶ παράνομη αὐτὴ νηστεία. Μὴ μοῦ πῆς βέβαια ὅτι αὐτοὶ νηστεύουν, ἀλλὰ δεῖξε μου ἐκεῖνο, ἂν δηλαδὴ νηστεύουν σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ. Γιατί, ἂν δὲν συμβαίνη αὐτό, τότε ἡ νηστεία τους εἶναι πιὸ παράνομη ἀπὸ ὁποιαδήποτε μέθη. Καθόσον δὲν πρέπει νὰ ἐξετάζουμε μόνο αὐτὸ ποὺ κάμνουν, ἀλλὰ καὶ νὰ ψάχνουμε νὰ βροῦμε καὶ τὴν αἰτία τῶν πράξεών τους. Γιατί, ὅ,τι γίνεται σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, κι ἂν ἀκόμη φαίνεται ὅτι εἶναι κακό, εἶναι τὸ πιὸ καλὸ ἀπὸ ὅλα, ἐνῶ ὅ,τι γίνεται παρὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ παρὰ τὴν εὐαρέσκειά του, κι ἂν ἀκόμη θεωρῆται ἄριστο, εἶναι ἀπὸ ὅλα πιὸ φαῦλο καὶ πιὸ παράνομο. Κι ἂν ἀκόμη φονεύση κάποιος κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ὁ φόνος αὐτὸς εἶναι ἀπὸ κάθε φιλανθρωπία καλύτερος, ἐνῶ ἂν κάποιος ἀπὸ λύπη δείξη εὐσπλαγχνία καὶ φιλανθρωπία, παρὰ τὸ θέλημα τοῦ Θεοῦ, θὰ μποροῦσε ἡ φειδὼ αὐτὴ νὰ ἀποβῆ πιὸ μιαρὴ ἀπὸ ὁποιοδήποτε φόνο. Γιατὶ

ἂν ἡ φειδώ. Οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων, ἀλλ' αἱ τοῦ Θεοῦ ψῆφοι καλὰ καὶ φαῦλα εἶναι ταῦτα ποιοῦσι.

2. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον· βασιλέα τινὰ τῶν Σύρων λαβὼν ὁ Ἀχαάβ, παρὰ τὸ τῷ Θεῷ δοκοῦν αὐτὸν ἔσωσε καὶ προσεδρίας ἀπολαῦσαι ἐποίησε καὶ μετὰ πολλῆς ἀπέπεμψε τῆς τιμῆς. Εἶτα προφήτης τις παραγενόμενος εἶπε πρὸς τὸν πλησίον αὐτοῦ· «ἐν λόγῳ Κυρίου πάταξον δή με· καὶ οὐκ ἠθέλησεν ὁ ἄνθρωπος πατάξαι αὐτόν. Καὶ εἶπε πρὸς αὐτόν· ἀνθ' ὧν οὐχ ὑπήκουσας τῆς φωνῆς Κυρίου, ἰδοὺ σὺ ἀποτρέχεις ἀπ' ἐμοῦ, καὶ πατάξει σε ὁ λέων. Καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ καὶ εὗρεν αὐτὸν ὁ λέων καὶ ἐπάταξεν αὐτόν. Καὶ εὑρίσκει ἄνθρωπον ἄλλον καὶ εἶπε· πάταξον δή με. Καὶ ἐπάταξεν αὐτὸν ὁ ἄνθρωπος καὶ συνέτριψεν αὐτὸν καὶ κατεδήσατο τὸ πρόσωπον ἑαυτοῦ». Τί τούτου γένοιτ' ἂν παραδοξότερον; Ὁ τυπτήσας τὸν προφήτην ἐσώθη, καὶ ὁ φεισάμενος ἐκολάζετο, ἵνα μάθῃς ὅτι Θεοῦ προστάττοντος οὐ δεῖ περιεργάζεσθαι τὴν φύσιν τῶν γινομένων, ἀλλὰ πείθεσθαι μόνον. Ἵνα γὰρ μὴ τὸν προφήτην αἰδεσθεὶς φείσηται ὁ πρότερος, οὐχ ἁπλῶς εἶπεν αὐτῷ, 'πάταξόν με', ἀλλ' «ἐν λόγῳ Κυρίου», τουτέστιν, ὁ Θεὸς ἐπέταξε, μηδὲν περαιτέρω ζήτει· βασιλεύς ἐστιν ὁ νομοθετῶν· αἰδέσθητι τοῦ κελεύοντος τὸ ἀξίωμα, μετὰ πάσης ὑπάκουε τῆς προθυμίας. Ἀλλ' οὐκ ἠνέσχετο· διὰ τοῦτο δίκην ἔδωκε τὴν ἐσχάτην, τοῖς μετὰ ταῦτα δι' ὧν ἔπαθε παραινῶν, ἅπερ ἂν ὁ Θεὸς ἐπιτάξῃ, πάντα εἴκειν καὶ πείθεσθαι.

Εἶτα ἐπειδὴ ἐπάταξεν αὐτὸν ὁ δεύτερος ἐκεῖνος καὶ συνέτριψε, περιέδησε τὴν κεφαλὴν ἑαυτοῦ τελαμῶνι καὶ τοὺς ὀφθαλμοὺς ἀπέκρυψε καὶ ἄδηλον ἑαυτὸν κατέστησε. Τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησεν; Ἔμελλεν ἐλέγχειν τὸν βασιλέα καὶ καταψηφίζεσθαι κατ' αὐτοῦ, διὰ τὴν σωτηρίαν τοῦ Σύρων βασιλέως. Ἐπεὶ οὖν ἀεὶ πρὸς τοὺς προφήτας ἀπεχθῶς εἶχεν ἐκεῖνος, ἀσεβὴς ὤν, ἵνα μὴ ἰδὼν αὐτὸν ἀπὸ τῆς ὄψεως ἀπελάσῃ, εἶτα ἀπελάσας μὴ δέξηται τὴν διόρθωσιν, κρύπτει καὶ τὸ πρόσωπον ἑαυτοῦ καὶ τὴν τοῦ πράγματος

1. Γ' Βασιλ. 20,35–38.

δὲν εἶναι ἡ φύση τῶν πραγμάτων, ἀλλ' οἱ ἀποφάσεις τοῦ Θεοῦ εἶναι ἐκεῖνες ποὺ κάμνουν τὰ πράγματα νὰ εἶναι καλὰ ἢ κακά.

2. Καὶ γιὰ νὰ μάθης ὅτι αὐτὸ εἶναι ἀληθές, ἄκουσε. Ὁ Ἀχαάβ, συλλαμβάνοντας κάποτε κάποιον βασιλέα τῶν Σύρων, τὸν ἔσωσε, παρὰ τὴν ἀπόφαση τοῦ Θεοῦ, τὸν ἔβαλε νὰ καθίση δίπλα στὸ θρόνο του, καὶ τὸν ἐξαπέστειλε μὲ πολλὲς τιμές. Ἀκολούθως παρουσιάσθηκε κάποιος προφήτης καὶ εἶπε σὲ κάποιον ἀπὸ τοὺς συντρόφους του· «κατ' ἐντολὴ τοῦ Κυρίου κτύπησέ με. Καὶ ὁ ἄνθρωπος ἐκεῖνος δὲν θέλησε νὰ τὸν κτυπήση. Καὶ εἶπε πρὸς αὐτόν. Ἐπειδὴ δὲν ὑπάκουσες στὸν λόγο τοῦ Κυρίου, νά, καθὼς σὺ θὰ φεύγης ἀπὸ ἐμένα ἕνα λιοντάρι θὰ σὲ φονεύση. Ἔφυγε πράγματι ἀπ' αὐτὸν καὶ καθ' ὁδὸν τὸν εὑρῆκε ἕνα λιοντάρι καὶ τὸν ἐφόνευσε. Εὑρῆκε τότε ὁ προφήτης ἕναν ἄλλο ἄνθρωπο καὶ τοῦ εἶπε· 'κτύπησέ με'. Τὸν ἐκτύπησε ὁ ἄνθρωπος αὐτὸς καὶ τὸν καταπλήγωσε καὶ μετὰ ἔδεσε τὰ μάτια του»[1]. Τί θὰ μποροῦσε νὰ ὑπάρξη πιὸ παράδοξο ἀπ' αὐτό; Ἐκεῖνος ποὺ κτύπησε τὸν προφήτη σώθηκε, ἐνῶ ἐκεῖνος ποὺ τὸν λυπήθηκε τιμωρήθηκε, γιὰ νὰ μάθης ὅτι, ὅταν ὁ Θεὸς προστάζη κάτι, δὲν πρέπει νὰ περιεργάζεται κανεὶς τὴ φύση τῶν γινομένων, ἀλλ' ἁπλῶς νὰ ὑπακούη. Καὶ γιὰ νὰ μὴ λυπηθῆ ἀπὸ σεβασμὸ τὸν προφήτη ὁ πρῶτος, δὲν τοῦ εἶπε ἁπλῶς, «κτύπησέ με», ἀλλ' «κατ' ἐντολὴ τοῦ Κυρίου», δηλαδή, ὁ Θεὸς τὸ πρόσταξε καὶ μὴ ζητᾶς τίποτε περισσότερο. Αὐτὸς ποὺ δίνει τὴν ἐντολὴ εἶναι βασιλεύς· σεβάσου τὸ ἀξίωμα ἐκείνου ποὺ προστάζει καὶ ὑπάκουσε μὲ ὅλη τὴν προθυμία σου. Ὅμως ἐκεῖνος δὲν ὑπάκουσε· γι' αὐτὸ καὶ τιμωρήθηκε μὲ τὴν ἐσχάτη τῶν ποινῶν, συμβουλεύοντας μὲ τὰ ὅσα ἔπαθε τοὺς μεταγενεστέρους του, νὰ ὑπακούουν καὶ νὰ πειθαρχοῦν σ' ὅσα ὁ Θεὸς διατάσσει.

Ἔπειτα, ἀφοῦ ὁ δεύτερος ἐκεῖνος ἄνθρωπος τὸν ἐκτύπησε καὶ τὸν ἐπλήγωσε, ἔδεσε τὸ κεφάλι του μὲ κάποια ζώνη, κρύβοντας ἔτσι τὰ μάτια του καὶ καθιστώντας ἀγνώριστο τὸν ἑαυτό του. Γιατί ἄραγε τὸ ἔκαμε αὐτό; Γιατὶ ἐπρόκειτο νὰ ἐλέγξη τὸν βασιλέα καὶ νὰ τὸν κατηγορήση, ἐπειδὴ ἔσωσε τὴ ζωὴ τοῦ βασιλέως τῶν Σύρων. Ἐπειδὴ δηλαδὴ ὁ Ἀχαάβ, ὄντας ἀσεβής, συμπεριφερόταν πρὸς τοὺς προφῆτες πάντοτε μὲ ἀπέχθεια, γιὰ νὰ μὴν τὸν ἀναγνωρίση ἀπὸ τὸ πρόσωπο καὶ τὸν διώξη, καὶ διώχνοντάς τον δὲν δεχθῆ τὴν διόρθωση, ἀπέκρυψε τὸ πρόσωπό του καὶ τὸ ὅλο ἱστορικὸ τοῦ

διήγησιν, ὥστε καὶ περιγενέσθαι λέγων καὶ ἐν οἷς ἐβούλετο ἐκεῖνον συνομολογοῦντα λαβεῖν. Ἐπειδὴ γὰρ ὁ βασιλεὺς παρεπορεύετο, ἐβόησε πρὸς αὐτὸν καὶ εἶπεν· «ὁ δοῦλός σου ἐξῆλθεν ἐπὶ τὴν στρατείαν τοῦ πολέμου καὶ ἰδοὺ ἀνὴρ εἰσήγαγεν ἄνδρα πρός με καὶ εἶπέ μοι· φύλαξόν μοι τοῦτον· καὶ ἔσται ἐὰν ἐκπηδῶν ἐκπηδήσῃ, ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, ἢ τάλαντον ἀργυρίου τίσῃ. Καὶ ἐγένετο ὡς ὁ δοῦλός σου περιεβλέπετο ὧδε καὶ ὧδε· καὶ ἰδοὺ αὐτὸς οὐκ ἦν. Καὶ εἶπε πρὸς αὐτὸν ὁ βασιλεὺς Ἰσραήλ· ἰδοὺ σὺ δικαστὴς παρ' ἐμοί· ἐφόνευσας· καὶ ἔσπευσε καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ καὶ ἐπέγνω αὐτὸν ὁ βασιλεὺς Ἰσραήλ, ὅτι ἀπὸ τῶν υἱῶν τῶν προφητῶν οὗτος καὶ εἶπε πρὸς αὐτόν· τάδε λέγει Κύριος, ὅτι ἐξαπέστειλας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου· ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ».

Ὁρᾷς πῶς οὐχ ὁ Θεὸς μόνον, ἀλλὰ καὶ οἱ ἄνθρωποι ταύτην ἔχουσι τὴν ψῆφον, οὐ τῇ φύσει τῶν πραγμάτων προσέχοντες, ἀλλὰ τῷ τέλει καὶ ταῖς αἰτίαις; Ἰδοὺ γοῦν καὶ ὁ βασιλεὺς αὐτῷ φησιν· «δικαστὴς σὺ παρ' ἐμοί· ἐφόνευσας». Ἀνδροφόνος εἶ, φησίν, ἐπειδὴ τὸν πολέμιον ἀφῆκας. Διὰ γὰρ τοῦτο καὶ ὁ προφήτης τὸν τελαμῶνα περιεβάλετο καὶ ὡς ἐπὶ ἀλλοτρίου πράγματος τὴν δίκην εἰσήγαγεν, ἵνα μετὰ γνώμης ὀρθῆς τὴν ἀπόφασιν ὁ βασιλεὺς ἐξενέγκῃ· ὅπερ οὖν καὶ ἐγένετο. Ἐπειδὴ γὰρ κατεδίκασεν αὐτόν, περιελὼν τὸν τελαμῶνα, φησὶν ὁ προφήτης· «ὅτι ἐξαπέστειλας ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ».

Εἶδες φιλανθρωπίας οἵαν ἔδωκε δίκην; καὶ ἀντὶ τῆς φειδοῦς οἵαν ὑπέμεινε τιμωρίαν; Καὶ οὗτος μὲν σώσας κολάζεται, ἕτερος δὲ φονεύσας ηὐδοκίμησεν. Ὁ γοῦν Φινεὲς δύο φόνους ἐργασάμενος ἐν μιᾷ καιροῦ ῥοπῇ, καὶ ἄνδρα μετὰ γυναικὸς ἀνελών, ἱερωσύνῃ τιμᾶται· οὗτος δὲ οὐ μόνον οὐκ ἐμόλυνε τὴν χεῖρα τῷ αἵματι, ἀλλὰ καὶ καθαρωτέραν εἰργάσατο. Ὅταν οὖν ἴδῃς, τὸν μὲν τυπτήσαντα

2. Γ' Βασιλ. 20,36 ἑ.

πράγματος, ὥστε νὰ ὑπερισχύση κατὰ τὴ συνομιλία καὶ νὰ ἐπιτύχη τὴ συγκατάθεσή του σ' ὅ,τι ἐπιθυμοῦσε. Ὅταν λοιπὸν περνοῦσε ὁ βασιλεύς, φώναξε δυνατὰ πρὸς αὐτὸν καὶ τοῦ εἶπε· «ἐγὼ ὁ δοῦλος σου ἔλαβα μέρος στὴν ἐκστρατεία τοῦ πολέμου καὶ νά, ἕνας ἄνδρας ἔφερε σὲ μένα ἕναν ἄλλο ἄνδρα καὶ μοῦ εἶπε· 'φύλαξέ μου αὐτόν'· ἂν αὐτὸς δραπετεύση, θὰ πληρώσης τὴ ζωή του μὲ τὴ δική σου ζωή, ἢ θὰ πληρώσης ἕνα τάλαντο ἀργυρίου. Συνέβηκε ὅμως, ἐνῶ ἐγὼ ὁ δοῦλος σου κοίταζα ἐδῶ καὶ ἐκεῖ, γιὰ μιὰ στιγμὴ βλέπω αὐτὸς νὰ μὴ εἶναι ἐκεῖ'. Εἶπε τότε πρὸς αὐτὸν ὁ βασιλεὺς τοῦ Ἰσραήλ. 'Νά, σὺ ὁ ἴδιος εἶσαι δικαστής. Ἔγινες αἰτία νὰ φονευθοῦν οἱ ἄνδρες μου'. Ὁ προφήτης τότε ἔβγαλε τὴ ζώνη ἀπὸ τὰ μάτια του καὶ ὁ βασιλεὺς τοῦ Ἰσραὴλ ἀντιλήφθηκε ὅτι αὐτὸς εἶναι ἕνας ἀπὸ τοὺς προφῆτες. Εἶπε τότε ὁ προφήτης πρὸς αὐτόν. 'Αὐτὰ λέγει ὁ Κύριος· ἐπειδὴ ἄφησες ἀπὸ τὰ χέρια σου ἐλεύθερο ἄνδρα ἐπικίνδυνο, θὰ τιμωρηθῆς σὺ ἀντὶ τοῦ λαοῦ σου καὶ ὁ λαός σου ἀντί τοῦ λαοῦ του»[2].

Βλέπεις πῶς δὲν εἶναι μόνο ὁ Θεός, ἀλλὰ καὶ οἱ ἄνθρωποι ἔχουν αὐτὴ τὴ γνώμη, προσέχουν δηλαδὴ ὄχι στὴ φύση τῶν πραγμάτων, ἀλλὰ στὸ ἀποτέλεσμα καὶ στὰ αἴτια; Γιατὶ νὰ καὶ ὁ βασιλεὺς τοῦ λέγει· «εἶσαι σὺ ὁ ἴδιος δικαστὴς τῆς πράξεώς σου· φόνευσες». Εἶσαι ἀνθρωποκτόνος, λέγει, γιατὶ ἄφησες τὸν ἐχθρὸ νὰ φύγη. Ἄλλωστε γι' αὐτὸ ὁ προφήτης φοροῦσε τὴ ζώνη στὸ πρόσωπό του, καὶ παρουσίασε τὴ δίκη σὰν νὰ ἐπρόκειτο γιὰ ξένη ὑπόθεση, γιὰ νὰ ἐκφέρη ὁ βασιλεὺς τὴν ἀπόφασή του κρίνοντας ὀρθά, πρᾶγμα βέβαια ποὺ καὶ ἔγινε. Ἀφοῦ δηλαδὴ ὁ βασιλεὺς καταδίκασε αὐτόν, βγάζοντας ὁ προφήτης τὴ ζώνη ἀπὸ τὸ πρόσωπό του εἶπε· «ἐπειδὴ ἄφησες ἐλεύθερο καὶ νὰ φύγη ἄνδρα ἐπικίνδυνο, γι' αὐτὸ θὰ τιμωρηθῆς σὺ ἀντὶ αὐτοῦ καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ».

Εἶδες ποιά τιμωρία δέχθηκε γιὰ τὴ φιλάνθρωπη ἐνέργειά του; καὶ ποιά τιμωρία ὑπέμεινε γιὰ τὴν ἄκαιρη συμπάθειά του; Καὶ αὐτὸς βέβαια ἐνῶ ἔσωσε τιμωρεῖται, ἐνῶ ὁ ἄλλος ἂν καὶ φόνευσε εὐδοκίμησε. Ὁ Φινεὲς λοιπόν, ποὺ διέπραξε σὲ μιὰ στιγμὴ δυὸ φόνους, φονεύοντας ἕνα ἄνδρα καὶ μιὰ γυναῖκα, τιμήθηκε μὲ τὸ ἀξίωμα τῆς ἱερωσύνης, ἐνῶ αὐτὸς ὄχι μόνο δὲν μόλυνε μὲ τὸ αἷμα τὰ χέρια του, ἀλλὰ καθαρώτερα τὰ ἔκαμε. Ὅταν λοιπὸν δῆς ἐκεῖνον ποὺ ἐκτύπησε τὸν προφήτη νὰ σώζεται, καὶ ἐκεῖνον ποὺ ἀρνήθηκε νὰ τὸν κτυπήση νὰ χάνεται, καὶ ἀκόμη ἐκεῖνος ποὺ τὸν λυπήθηκε νὰ τιμωρῆ-

ἀπολλύμενον καὶ τὸν μὲν φεισάμενον κολαζόμενον, τὸν δὲ μὴ φεισάμενον εὐδοκιμοῦντα, πανταχοῦ πρὸ τῆς φύσεως τῶν πραγμάτων τοῦ Θεοῦ τὰς ψήφους ἐξέταζε· κἂν εὕρῃς τι κατὰ τὸ δοκοῦν ἐκείνῳ γινόμενον, ἐκεῖνο ἀποδέχου μόνον.

3. Τούτῳ τῷ κανόνι χρώμενοι καὶ τὴν νηστείαν ταύτην ἐξετάζωμεν. Εἰ γὰρ δὴ μὴ μέλλοιμεν τοῦτο ποιεῖν, ἀλλὰ γυμνὰ τὰ πράγματα καθ' ἑαυτὰ φέροντες εἰς μέσον σκοποῖμεν μόνον, πολλὴ ἡ σύγχυσις ἔσται καὶ πολὺς ὁ θόρυβος. Καὶ γὰρ καὶ λῃσταὶ τὰ πλευρὰ καταξαίνονται καὶ τυμβωρύχοι καὶ γόητες· ἀλλὰ καὶ μάρτυρες τὸ αὐτὸ πάσχουσι. Καὶ τὰ μὲν γινόμενα τὰ αὐτά, ἡ γνώμη δὲ καὶ ἡ αἰτία, μεθ' ἧς γίνεται, οὐχ ἡ αὐτή· καὶ διὰ τοῦτο πολὺ τὸ μέσον τούτων κἀκείνων. Ὥσπερ οὖν ἐπ' ἐκείνων οὐ μόνον τὰς βασάνους ἐξετάζομεν, ἀλλὰ πρὸ ἐκείνων τὴν διάνοιαν καὶ τὴν αἰτίαν, ἀφ' ἧς αἱ βάσανοι γίνονται· διὰ τοῦτο δὲ καὶ τοὺς μάρτυρας φιλοῦμεν, οὐκ ἐπειδὴ βασανίζονται, ἀλλ' ἐπειδὴ διὰ τὸν Χριστὸν βασανίζονται, καὶ τοὺς λῃστὰς ἀποστρεφόμεθα, οὐκ ἐπειδὴ κολάζονται, ἀλλ' ἐπειδὴ διὰ κακίαν κολάζονται· οὕτω δὴ καὶ ἐνταῦθα τοῖς γινομένοις ἐπιψηφίζου, κἂν μὲν ἴδῃς διὰ τὸν Θεὸν νηστεύοντας, ἀποδέχου τὸ γινόμενον, ἂν δὲ ἴδῃς παρὰ γνώμην τοῦ Θεοῦ τοῦτο ποιοῦντας, τῶν μεθυόντων καὶ παροινούντων καὶ κωμαζόντων μᾶλλον ἀποστρέφου καὶ μίσει.

Ἐπὶ δὲ τῆς νηστείας ταύτης οὐκ αἰτίαν χρὴ ζητεῖν μόνον, ἀλλὰ καὶ τόπον καὶ καιρόν. Μᾶλλον δὲ πρὶν ἢ πρὸς Ἰουδαίους ἀποτείνασθαι, τοῖς ἡμετέροις ἡδέως διαλεξώμεθα μέλεσι, τοῖς δοκοῦσι μὲν μαθ' ἡμῶν τετάχθαι, θεραπεύουσι δὲ τὰ ἐκείνων καὶ τὸν ἀγῶνα ἅπαντα ὑπὲρ αὐτῶν ἀνῃρημένοις, οὓς καὶ πλείονος κατὰ τοῦτο κατακρίσεως τῶν Ἰουδαίων ἁπάντων ἀξίους ὄντας ὁρῶ. Καὶ τοῦτο οὐχ οἱ σοφοὶ καὶ συνετοὶ μόνον, ἀλλὰ καὶ οἱ ὁπωσοῦν λόγου καὶ διανοίας μετέχοντες συνομολογήσαιεν ἂν ἡμῖν. Οὐ γὰρ χρεία σοφισμάτων καὶ κατασκευῆς καὶ μακρῶν περιόδων, ὥστε

ται, ἐνῶ ἐκεῖνος ποὺ δὲν τὸν λυπήθηκε νὰ ἀμείβεται, παντοῦ πρὶν ἀπὸ τὴ φύση τῶν πραγμάτων ἐξέταζε τὶς ἀποφάσεις τοῦ Θεοῦ· κι ἂν βρῆς νὰ γίνεται κάτι σύμφωνα μὲ τὸ θέλημά του, αὐτὸ ν' ἀποδέχεσαι.

3. Ἀκολουθώντας λοιπὸν τὸν κανόνα αὐτὸν ἂς ἐξετάσουμε καὶ τὴ νηστεία αὐτῶν. Γιατί, ἂν δὲν θελήσουμε νὰ τὸ κάνουμε αὐτό, ἀλλὰ φέρουμε μπροστά μας τὰ πράγματα αὐτὰ καθ' ἑαυτὰ καὶ ἐξετάσουμε αὐτὰ καὶ μόνο, τότε θὰ γίνη μεγάλη σύγχυση καὶ πολὺς θόρυβος. Γιατὶ καὶ οἱ ληστὲς καταμαστιγώνονται στὰ πλευρὰ καὶ οἱ τυμβωρύχοι καὶ οἱ ἀπατεῶνες, ἀλλὰ τὸ ἴδιο παθαίνουν καὶ οἱ μάρτυρες. Καὶ αὐτὰ ποὺ γίνονται σ' αὐτοὺς εἶναι τὰ ἴδια, ἀλλ' ἡ πρόθεση καὶ ἡ αἰτία γιὰ τὴν ὁποία γίνονται δὲν εἶναι ἡ ἴδια, καὶ γι' αὐτὸ μεταξὺ αὐτῶν καὶ ἐκείνων ὑπάρχει μεγάλη διαφορά. Ὅπως ἀκριβῶς δηλαδὴ στὴν περίπτωση ἐκείνων δὲν ἐξετάζουμε μόνο τὰ βασανιστήρια, ἀλλὰ πρὶν ἀπὸ ἐκεῖνα τὴ διάθεση ἐκείνων καὶ τὴν αἰτία γιὰ τὴν ὁποία γίνονται τὰ βασανιστήρια, καὶ γι' αὐτὸ τοὺς τοὺς μάρτυρες τοὺς ἀγαποῦμε, ὄχι ἐπειδὴ βασανίζονται, ἀλλ' ἐπειδὴ ὑφίστανται τὰ βάσανα γιὰ τὸν Χριστό, ἐνῶ τοὺς ληστὲς τοὺς ἀποστρεφόμαστε, ὄχι γιατὶ τιμωροῦνται, ἀλλὰ γιατὶ τιμωροῦνται γιὰ κακή τους πράξη, ἔτσι λοιπὸν νὰ κρίνης καὶ γιὰ ὅσα συμβαίνουν ἐδῶ. Ἂν δῆς νὰ νηστεύουν γιὰ τὸν Θεό, ν' ἀποδέχεσαι τὴ νηστεία τους, ἂν ὅμως δῆς νὰ νηστεύουν παρὰ τὴ θέληση τοῦ Θεοῦ, νὰ τοὺς ἀποφεύγης καὶ νὰ τοὺς μισῆς πολὺ περισσότερο ἀπ' ὅσο τοὺς μέθυσους καὶ ἐκείνους ποὺ ἀσχημονοῦν ἐξ αἰτίας τῆς μέθης καὶ συμμετέχουν σὲ ἀπρεπεῖς διασκεδάσεις.

Καὶ ὡς πρὸς τὴ νηστεία αὐτὴ δὲν πρέπει νὰ ἐξετάζουμε τὴν αἰτία μόνο, ἀλλὰ καὶ τὸν τόπο καὶ τὴν ἐποχή. Ἢ καλύτερα προτοῦ στρέψω τὸν λόγο μου πρὸς τοὺς Ἰουδαίους, θ' ἀπευθυνθῶ μὲ εὐχαρίστηση πρὸς τὰ δικά μας μέλη, ποὺ νομίζουν βέβαια ὅτι εἶναι ταγμένοι μὲ μᾶς, λατρεύουν ὅμως ὅλα ἐκείνων, καὶ ἐπειδὴ ἀμφισβητοῦν ὅλο τὸν ἀγῶνα μας ἐναντίον τους, τοὺς θεωρῶ γι' αὐτὸ ἄξιους μεγαλύτερης καταδίκης, παρὰ τοὺς Ἰουδαίους. Καὶ θὰ συμφωνοῦσαν σ' αὐτὸ μαζί μας ὄχι μόνο οἱ σοφοὶ καὶ οἱ συνετοί, ἀλλὰ καὶ ὅσοι διαθέτουν λίγο μυαλὸ καὶ σκέψη. Γιατὶ δὲν χρειάζονται σοφίσματα, ἐπινοήσεις καὶ συλλογισμοὶ μακροσκελεῖς γιὰ ν' ἀποδεί-

ἀποδεῖξαι τοῦτο, ἀλλ' ἀρκεῖ ψιλήν τινα ἐρώτησιν ἐρόμενον ἑλεῖν αὐτοὺς ἀπὸ τῆς ἀποκρίσεως.

Τί οὖν; Ἕκαστον τῶν τοῦτο νοσούντων ἐρήσομαι, Χριστιανός εἶ; Τίνος οὖν ἕνεκεν τὰ Ἰουδαίων ζηλοῖς; Ἀλλὰ Ἰουδαῖος εἶ. Τίνος οὖν ἕνεκεν ἐνοχλεῖς τῇ Ἐκκλησίᾳ; Ὁ Πέρσης οὐ τὰ Περσῶν φρονεῖ; ὁ βάρβαρος οὐ τὰ βαρβάρων ζηλοῖ; ὁ τὴν Ρωμαίων χώραν οἰκῶν οὐ τὴν ἡμετέραν μέτεισι πολιτείαν; Ἂν ἁλῷ τις, εἰπέ μοι, τῶν παρ' ἡμῖν οἰκούντων τὰ ἐκείνων φρονῶν, οὐκ εὐθέως χωρὶς λόγου καὶ ἐξετάσεως κολάζεται, κἂν μυρία ἀπολεῖσθαι ἔχῃ; Ἂν φανῇ τις παρ' ἐκείνοις τοῖς Ρωμαίων χρώμενος νόμοις, οὐ τοῦτο αὐτὸ πείσεται πάλιν; Πῶς οὖν σὺ πρὸς τὴν παράνομον ἐκείνην μεθιστάμενος πολιτείαν ἀξιοῖς σώζεσθαι; Μὴ γὰρ ὀλίγον ἐστὶ τὸ μέσον ἡμῶν τῶν Ἰουδαίων; Μὴ γὰρ ὑπὲρ τῶν τυχόντων ἐστὶν ἡ ἀμφισβήτησις, ἵνα ἓν καὶ τὸ αὐτὸ νομίσῃς εἶναι; Τί μιγνύεις τὰ ἄμικτα; Ἐσταύρωσαν ἐκεῖνοι τὸν Χριστόν, ὃν σὺ προσκυνεῖς. Ὁρᾷς πόσον τὸ μέσον; Πῶς οὖν πρὸς ἐκείνους τρέχεις τοὺς ἀνελόντας, ὁ προσκυνεῖν λέγων τὸν ἐσταυρωμένον;

Μὴ γὰρ ἐγὼ τοῦτον εἰσάγω τῶν ἐγκλημάτων τὸν νόμον καὶ τὸ τῆς κατηγορίας εἶδος; Οὐχὶ καὶ ἡ Γραφὴ τούτῳ κέχρηται πρὸς αὐτοὺς τῷ τρόπῳ; Ἄκουσον τί φησιν Ἰερεμίας πρὸς αὐτοὺς ἐκείνους· «ἀπέλθετε εἰς Κηδὰρ καὶ ἴδετε· ἀποστείλατε εἰς τὰς νήσους Χετιεὶμ καὶ ἴδετε καὶ γνῶτε εἰ γέγονε τοιαῦτα, εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν καὶ αὐτοὶ οὔκ εἰσι θεοί· ὑμεῖς δὲ ἠλλάξασθε τὴν δόξαν ὑμῶν, ἐξ ἧς οὐκ ὠφεληθήσεσθε». Οὐκ εἶπεν, 'ἠλλάξασθε τὸν Θεὸν ὑμῶν', ἀλλὰ «τὴν δόξαν». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐκεῖνοι, φησίν, εἴδωλα προσκυνοῦντες καὶ δαίμονας θεραπεύοντες, τοσοῦτον περὶ τὴν πλάνην ἔχουσι συνειδός, ὡς μηδὲ ἑλέσθαι καταλιπεῖν ἐκεῖνα καὶ πρὸς τὴν ἀλήθειαν αὐτομολῆσαι· ὑμεῖς δὲ τὸν ἀληθῆ Θεὸν προσκυνοῦντες, ἀφέντες τὴν πατρῴαν εὐσέβειαν, πρὸς τὰ ἀλλότρια ηὐτομολήσατε· καὶ ὅσην ἔχουσιν ἐκεῖνοι περὶ τὴν πλάνην συνείδησιν, οὐδὲ τοσαύτην περὶ τὴν ἀλήθειαν ὑμεῖς ἐπεδείξασθε.

3. Ἰερ. 2,10–11.

ξουμε αὐτό, ἀλλ' ἀρκεῖ νὰ τοὺς κάμη κανεὶς μιὰ μόνο ἁπλῆ ἐρώτηση, καὶ νὰ τοὺς συλλάβη ἀπὸ τὴν ἀπάντησή τους.

Τί λοιπόν; Θὰ ἐρωτήσω τὸν καθένα ποὺ πάσχει ἀπὸ τὴ νόσο αὐτή. Εἶσαι Χριστιανός; Γιὰ ποιό λόγο λοιπὸν δείχνεις τόσο ζῆλο γιὰ πράγματα τῶν Ἰουδαίων; Μήπως εἶσαι Ἰουδαῖος; Καὶ γιατί ἐνοχλεῖς τὴν Ἐκκλησία; Ὁ Πέρσης δὲν σκέπτεται τὰ περσικά; ὁ βάρβαρος δὲν δείχνει ζῆλο γιὰ τὰ τῶν βαρβάρων; Ὅποιος κατοικεῖ στὴ χώρα τῶν Ρωμαίων δὲν ζῆ σύμφωνα μὲ τὸ πολίτευμά μας; Πές μου λοιπόν, ἂν κάποιος, ποὺ κατοικεῖ στὰ μέρη μας, συλληφθῆ νὰ φρονῆ ὅ,τι καὶ ἐκεῖνοι, δὲν τιμωρεῖται ἀμέσως χωρὶς νὰ λογοδοτήση καὶ νὰ ἐξετασθῆ, καὶ ἂν ἀκόμη μπορῆ νὰ προβάλη μύριες δικαιολογίες; Ἂν πάλι φανῆ κάποιος μεταξὺ τῶν βαρβάρων νὰ συμμορφώνεται πρὸς τοὺς Ρωμαϊκοὺς νόμους δὲν θὰ πάθη πάλι τὰ ἴδια; Πῶς λοιπὸν ἐσὺ ἔχεις τὴν ἀξίωση νὰ σωθῆς, προσχωρώντας στὸ παράνομο πολίτευμα ἐκείνων; Μήπως εἶναι μικρὴ ἡ ἀπόσταση ἀνάμεσα σ' ἐμᾶς καὶ τοὺς Ἰουδαίους; μήπως ἡ ἀμφισβήτηση εἶναι γιὰ πράγματα μικρά, ὥστε νὰ νομίζης ὅτι πρόκειται γιὰ ἕνα καὶ τὸ αὐτὸ πρᾶγμα; Γιατί ἀναμειγνύεις ἐκεῖνα ποὺ δὲν ἀναμειγνύονται; Ἐκεῖνοι σταύρωσαν τὸν Χριστό, τὸν ὁποῖο σὺ προσκυνεῖς. Βλέπεις πόση εἶναι ἡ ἀπόσταση; Πῶς λοιπὸν τρέχεις πρὸς ἐκείνους ποὺ φόνευσαν τὸν Χριστό, σὺ ποὺ λὲς ὅτι προσκυνεῖς τὸν Ἐσταυρωμένο;

Μήπως ἄραγε ἐγὼ εἰσάγω τὸν νόμο γιὰ τὰ ἐγκλήματα καὶ τὸ εἶδος τῆς κατηγορίας; Δὲν χρησιμοποιεῖ πρὸς αὐτοὺς τὸν ἴδιο τρόπο κατηγορίας καὶ ἡ Γραφή; Ἄκουσε τί λέγει πρὸς αὐτοὺς τοὺς ἴδιους ὁ Ἰερεμίας· «πηγαίνετε στὴν Κηδὰρ καὶ ἴδετε· στείλατε ἀνθρώπους καὶ στὰ νησιὰ Χετιεὶμ καὶ ἴδετε καὶ μάθετε ἂν ἔγιναν τέτοια, ἂν δηλαδὴ ἄλλαξαν οἱ εἰδωλολάτρες τοὺς θεούς τους, ἂν καὶ αὐτοὶ δὲν εἶναι θεοί· σεῖς ὅμως ἀλλάξατε τὴ δόξα σας μὲ ἄλλη, ἀπὸ τὴν ὁποία δὲν θὰ ὠφεληθῆτε»[3]. Δὲν εἶπε, 'ἀλλάξατε τὸν Θεό σας', ἀλλὰ «τὴ δόξα σας». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἐκεῖνοι, λέγει, ἂν καὶ προσκυνοῦν τὰ εἴδωλα καὶ λατρεύουν τοὺς δαίμονες, ἔχουν τόση σταθερὴ πίστη στὴν πλάνη τους, ὥστε δὲν θὰ ἤθελαν νὰ τὴν ἐγκαταλείψουν καὶ ν' ἀσπασθοῦν τὴν ἀλήθεια, ἐνῶ σεῖς, ἂν καὶ προσκυνεῖτε τὸν ἀληθινὸ Θεό, ἀπορρίπτοντας τὴν πατρικὴ εὐσέβεια, προσχωρήσατε σὲ ξένα σεβάσματα, καὶ δὲν ἐπιδείξατε σταθερότητα στὴν πίστη τόση, ὅση ἐκεῖνοι ἐπιδεικνύουν στὴν πλά-

Διὰ τοῦτό φυσιν· «εἰ γέγονε τοιαῦτα, εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν καὶ αὐτοὶ οὔκ εἰσι θεοί· ὑμεῖς δὲ ἠλλάξασθε τὴν δόξαν ὑμῶν, ἐξ ἧς οὐκ ὠφεληθήσεσθε». Οὐκ εἶπεν, 'ἠλλάξασθε τὸν Θεὸν ὑμῶν'· ὁ Θεὸς γὰρ οὐκ ἀλλάσσεται· ἀλλά, «ἠλλάξασθε τὴν δόξαν ὑμῶν».

Μὴ γὰρ ἐμέ, φησίν, ἠδικήσατε· μὴ γὰρ ἐμοὶ ἐγένετο βλάβη· ὑμεῖς ἑαυτοὺς ἠτιμώσατε· τὴν ἐμὴν οὐκ ἠλαττώσατε δόξαν, ἀλλὰ τὴν ὑμετέραν. Δότε δὴ κἀμοὶ τοῦτο καὶ πρὸς τοὺς ἡμετέρους εἰπεῖν, εἴγε ἡμετέρους χρὴ καλεῖν τοὺς τὰ ἐκείνων φρονοῦντας. Πορεύεσθε εἰς τὰς συναγωγὰς καὶ ἴδετε εἰ ἠλλάξαντο Ἰουδαῖοι τὴν νηστείαν αὐτῶν, εἰ τὸ πάσχα μεθ' ἡμῶν ἐνήστευσαν, εἰ ταύτην τὴν ἡμέραν ποτὲ ἔφαγον. Καὶ αὕτη οὐκ ἔστι νηστεία, ἀλλὰ παρανομία καὶ ἁμαρτία καὶ πλημμέλεια· ἀλλ' ὅμως οὐκ ἤλλαξαν. Ὑμεῖς δὲ «ἠλλάξασθε τὴν δόξαν ὑμῶν, ἐξ ἧς οὐκ ὠφεληθήσεσθε», καὶ πρὸς τὰ ἐκείνων ηὐτομολήσατε. Πότε τὸ πάσχα ἐνήστευσαν ἐκεῖνοι; πότε μαρτύρων μεθ' ἡμῶν ἑορτὴν ἐπετέλεσαν; πότε εἰς τὴν τῶν Ἐπιφανίων ἡμέραν ἡμῖν ἐκοινώνησαν; Ἐκεῖνοι πρὸς τὴν ἀλήθειαν οὐ τρέχουσι, καὶ ὑμεῖς πρὸς τὴν παρανομίαν τρέχετε, παρανομίαν δὲ λέγω, ἐπειδὴ παρὰ τὸν προσήκοντα ταῦτα γίνεται καιρόν. Ἦν ποτε καιρός, ὅτε ταῦτα φυλάττεσθαι ἔδει, ἀλλὰ νῦν οὐκ ἔστι. Διὰ τοῦτο τὸ ποτὲ ἔννομον παράνομόν ἐστι νῦν.

4. Δότε μοι τὸ τοῦ Ἠλία πρὸς αὐτοὺς εἰπεῖν. Καὶ γὰρ ἐκεῖνος, ὁρῶν τοὺς Ἰουδαίους ἀσεβοῦντας καί ποτε μὲν τῷ Θεῷ προσέχοντας, ποτὲ δὲ τὰ εἴδωλα θεραπεύοντας, οὕτω πως φησίν· «ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις; Εἰ ἔστι Κύριος ὁ Θεὸς ἡμῶν μεθ' ὑμῶν, δεῦτε καὶ πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δὲ ὁ Βάαλ, πορεύεσθε ὀπίσω αὐτοῦ». Τοῦτο καὶ ἐγὼ νῦν λέγω πρὸς αὐτούς. Εἰ τὸν Ἰουδαϊσμὸν νομίζετε ἀλήθειαν εἶναι, τίνος ἕνεκεν ἐνοχλεῖτε τῇ Ἐκκλησίᾳ; Εἰ δὲ ὁ Χριστιανισμός ἐστιν ἀληθής, ὥσπεροῦν καὶ ἔστι, μένετε καὶ πορεύεσθε ὀπίσω αὐτοῦ. Τῶν μυστηρίων κοινωνεῖς, εἰπέ μοι, τὸν Χριστὸν προσκυνεῖς ὡς Χριστιανός, παρ' ἐκείνου τὰ ἀγαθὰ αἰτεῖς, καὶ μετὰ τῶν ἐχθρῶν ἑορτάζεις τῶν ἐκείνου; Καὶ ποίᾳ γνώμῃ εἰς τὴν Ἐκκλησίαν ἀπαντᾷς λοιπόν;

4. Γ' Βασ. 18,21.

νη τους. Γι' αὐτὸ λέγει· «ἂν ἔχουν γίνει τέτοια, ἂν ἄλλαξαν οἱ εἰδωλολάτρες τοὺς θεούς τους, ἂν καὶ αὐτοὶ δὲν εἶναι θεοί· σεῖς ὅμως ἀλλάξατε τὴ δόξα σας μὲ ἄλλη, ἀπὸ τὴν ὁποία δὲν θὰ ὠφεληθῆτε». Δὲν εἶπε, 'ἀλλάξατε τὸν Θεό σας', γιατὶ ὁ Θεὸς δὲν ἀλλάσσεται, ἀλλά, «ἀλλάξατε τὴ δόξα σας».

Μήπως, λέγει, ἀδικήσατε ἐμένα; μήπως προκλήθηκε σὲ μένα βλάβη; Σεῖς οἱ ἴδιοι ἀτιμάσατε τοὺς ἑαυτούς σας· τὴ δική μου δόξα δὲν τὴν μειώσατε, ἀλλὰ τὴ δική σας. Ἐπιτρέψτε μου λοιπὸν νὰ πῶ κι ἐγὼ αὐτὸ πρὸς τοὺς δικούς μας, ἂν βέβαια πρέπει νὰ ὀνομάζω δικούς μας ἐκείνους ποὺ φρονοῦν τὰ τῶν Ἰουδαίων. Πηγαίνετε στὶς συναγωγὲς καὶ δέστε ἂν οἱ Ἰουδαῖοι ἄλλαξαν τὴ νηστεία τους, ἂν νήστευσαν μαζί μας τὸ Πάσχα, ἂν κάποτε ἔφαγαν κατὰ τὴν ἡμέρα αὐτή. Καὶ ἂν καὶ ἡ νηστεία τους δὲν εἶναι νηστεία, ἀλλὰ παρανομία καὶ ἁμαρτία καὶ ἀσέβεια, ὅμως δὲν τὴν ἄλλαξαν. Σεῖς ἀντίθετα «ἀλλάξατε τὴ δόξα σας μὲ ἄλλη, ἀπὸ τὴν ὁποία δὲν θὰ ὠφεληθῆτε» καὶ αὐτομολήσατε πρὸς τὰ ἐκείνων. Πότε ἐκεῖνοι νήστεψαν τὸ Πάσχα; πότε ἑώρτασαν μαζί μας ἑορτὴ μαρτύρων μας; πότε ἔλαβαν μέρος στὴν ἑορτὴ τῶν Θεοφανίων μαζὶ μὲ μᾶς; Ἐκεῖνοι δὲν τρέχουν πρὸς τὴν ἀλήθεια καὶ σεῖς τρέχετε πρὸς τὴν παρανομία; Καὶ λέγοντας παρανομία ἐννοῶ ὅ,τι δὲν γίνεται στὸν κατάλληλο καιρό. Ὑπῆρχε κάποτε καιρός, κατὰ τὸν ὁποῖο ἔπρεπε αὐτὰ νὰ τηρηθοῦν, ἀλλὰ τώρα δὲν εἶναι καιρός. Γι' αὐτὸ καὶ τὸ ἄλλοτε ἔννομο εἶναι τώρα παράνομο.

4. Ἐπιτρέψτε με νὰ πῶ πρὸς αὐτοὺς τὸν λόγο τοῦ Ἠλία. Γιατὶ καὶ ἐκεῖνος, βλέποντας τοὺς Ἰουδαίους νὰ ἀσεβοῦν καὶ ἄλλοτε νὰ ἔχουν στραμμένη τὴν προσοχή τους στὸν Θεό, καὶ ἄλλοτε νὰ λατρεύουν τὰ εἴδωλα, εἶπε τὰ ἑξῆς· «μέχρι πότε θὰ χωλαίνετε καὶ μὲ τὰ δυό σας πόδια; Ἂν ὁ Κύριος καὶ Θεός σας εἶναι ἀληθινός, ἐμπρὸς ἀκολουθῆστε αὐτόν, ἂν πάλι εἶναι ὁ Βάαλ, ἀκολουθῆστε αὐτόν»[4]. Αὐτὸ λέγω καὶ ἐγὼ τώρα πρὸς αὐτούς. Ἂν νομίζετε ὅτι ὁ Ἰουδαϊσμὸς εἶναι ἀλήθεια, τότε γιὰ ποιό λόγο ἐνοχλεῖτε τὴν Ἐκκλησία; Ἂν ὅμως ὁ Χριστιανισμὸς εἶναι ἀλήθεια, ὅπως καὶ εἶναι, παραμείνετε πιστοὶ σ' αὐτὸν καὶ ἀκολουθῆστε τον. Πές μου, κοινωνεῖς τῶν μυστηρίων, προσκυνεῖς τὸν Χριστὸ σὰν Χριστιανὸς ποὺ εἶσαι, ζητᾶς ἀπ' αὐτὸν τὰ ἀγαθά, καὶ συνεορτάζεις μαζὶ μὲ τοὺς ἐχθρούς του; Μὲ ποιό φρόνημα τότε ἔρχεσαι στὴν Ἐκκλησία;

Πρὸς μὲν οὖν τοὺς τὰ ἡμέτερα λέγοντας φρονεῖν καὶ τὰ ἐκείνων ζηλοῦντας, ἀρκεῖ οὗτος ὁ λόγος ἡμῖν· ἐπειδὴ δὲ καὶ πρὸς ἐκείνους ἀποτείνασθαι βούλομαι, δότε μοι μακροτέραν προσενεγκεῖν τὴν διδασκαλίαν καὶ δεῖξαι, πῶς τὸν νόμον ἀτιμάζουσιν οἱ Ἰουδαῖοι, νηστεύοντες νῦν καὶ τὰ τοῦ Θεοῦ καταπατοῦντες προστάγματα, ἀπεναντίας τοῖς ἐκείνῳ δοκοῦσι πάντα ποιοῦντες ἀεί. Ὅτε γοῦν ἐβούλετο αὐτοὺς νηστεύειν, λιπαίνοντες ἐπλατύνοντο· ὅτε ἐβούλετο αὐτοὺς μὴ νηστεύειν, ἐνήστευον· ὅτε ἤθελεν αὐτοὺς θυσίαν προσάγειν, πρὸς τὰ εἴδωλα ἔτρεχον· ὅτε ἐβούλετο αὐτοὺς ἑορτὰς ἐπιτελεῖν, ἐσπούδαζον μὴ ἑορτάζειν. Διὰ τοῦτο ὁ Στέφανος ἔλεγε πρὸς αὐτούς· «ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε». Ἓν τοῦτο, φησίν, ἐσπουδάκατε μόνον, ἐναντία ποιεῖν ὧν ἂν ὁ Θεὸς ἐπιτάσσῃ· καθάπερ οὖν καὶ νῦν ποιοῦσι. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτοῦ τοῦ νόμου. Καὶ γὰρ ἐπὶ τῶν ἑορτῶν τῶν ἰουδαϊκῶν οὐ καιρὸν μόνον, ἀλλὰ καὶ τόπον παρατηρεῖν ἐκέλευσεν ὁ νόμος. Καὶ γὰρ περὶ τοῦ πάσχα τούτου πρὸς αὐτοὺς διαλεγόμενος, οὕτω πώς φησιν· «οὐ δύνασθε ποιεῖν τὸ πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεων, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι». Ἀλλ' ὥσπερ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνός, οὕτω καὶ ἐν τοῖς Ἱεροσολύμοις αὐτὸ κελεύει ποιεῖν· καὶ τὴν πεντηκοστὴν ὁμοίως καὶ χρόνου καὶ τόπου παρατηρήσει συνέκλεισεν, μετὰ ἑπτὰ ἑβδομάδας κελεύσας αὐτὴν ἐπιτελεῖν, καὶ πάλιν προσθείς, ὅτι «ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου». Οὕτω καὶ τὰς σκηνοπηγίας.

Ἀλλ' ἴδωμεν ἀμφοτέρων τούτων, τοῦ καιροῦ καὶ τοῦ τόπου, τί ἐστιν ἀναγκαιότερον, ὅταν ἀμφότερα μὴ ἐξῆν σῶσαι, πότερον τοῦ τόπου δεῖ καταφρονῆσαι, τὸν καιρὸν δὲ φυλάξαι, ἢ τοῦ καιροῦ καταφρονήσαντας, τὸν τόπον τηρῆσαι. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Ἐπέταξε καὶ ἐν τῷ πρώτῳ μηνὶ καὶ ἐν Ἱεροσολύμοις τὸ πάσχα γίνεσθαι καὶ ἐν καιρῷ διωρισμένῳ. Ὑποθώμεθα τοίνυν δύο τινὰς εἶναι ποιοῦντας τὸ πάσχα, καὶ ὁ μὲν παραβαινέτω τὸν τόπον, τὸν δὲ

5. Πράξ. 7,51.
6. Δευτ. 16,5–6.
7. Πρόκειται γιὰ τὸν μῆνα Νισάν.
8. Δευτ. 12,11.

Πρὸς ἐκείνους ποὺ λέγουν ὅτι ἔχουν τὸ ἴδιο φρόνημα μὲ ἐμᾶς καὶ ἐπιδεικνύουν ζῆλο γιὰ τὰ ἰουδαϊκά, εἶναι ἀρκετὸς αὐτὸς ὁ λόγος μου. Ἐπειδὴ ὅμως ἐπιθυμῶ νὰ ἀπεθυνθῶ καὶ πρὸς ἐκείνους, ἐπιτρέψτε μου νὰ ὁμιλήσω πιὸ ἐκτενῶς καὶ νὰ ἀποδείξω, πῶς οἱ Ἰουδαῖοι, νηστεύοντας τώρα, ἀτιμάζουν τὸν νόμο καί, ἐνεργώντας πάντοτε ἀντίθετα μὲ τὸ θέλημά του, καταπατοῦν τὰ θεῖα προστάγματα. Ὅταν ὁ Θεὸς ἤθελε νὰ νηστεύουν, αὐτοὶ ἔτρωγαν ὑπερβολικὰ καὶ πάχαιναν· ὅταν ἤθελε νὰ μὴ νηστεύουν, αὐτοὶ νήστευαν. Ὅταν ἤθελε νὰ τοῦ προσφέρουν θυσία, αὐτοὶ ἔτρεχαν πρὸς τὰ εἴδωλα· ὅταν ἤθελε νὰ ἐπιτελοῦν τὶς ἑορτές, τότε αὐτοὶ φρόντιζαν νὰ μὴ ἑορτάζουν. Γι' αὐτὸ καὶ ὁ Στέφανος ἔλεγε πρὸς αὐτούς· «σεῖς πάντοτε ἀντιτίθεσθε πρὸς τὸ ἅγιο Πνεῦμα»[5]. Ἕνα καὶ μόνο, λέγει, ἀποτελεῖ τὴ φροντίδα σας· νὰ πράττετε ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ διατάσσει ὁ Θεός, πρᾶγμα ποὺ καὶ τώρα κάμνουν. Ἀπὸ ποῦ γίνεται αὐτὸ φανερό; Ἀπὸ τὸν ἴδιο τὸν νόμο. Γιατὶ σχετικὰ μὲ τὶς ἑορτὲς τῶν Ἰουδαίων ὁ νόμος ὥρισε νὰ τηροῦν ὄχι μόνο τὸν καιρό, ἀλλὰ καὶ τὸν τόπο. Πραγματικὰ μιλώντας πρὸς αὐτοὺς γιὰ τὴν ἑορτὴ τοῦ Πάσχα, λέγει τὰ ἑξῆς· «δὲν μπορεῖτε νὰ ἑορτάζετε τὸ Πάσχα σὲ καμμιὰ ἄλλη ἀπὸ τὶς πόλεις ποὺ ὁ Κύριος ὁ Θεός σου σοῦ ἔδωσε»[6]. Ἀλλ' ὅπως ὁρίζει νὰ τελεῖται τὸ Πάσχα κατὰ τὴν δεκάτη τετάρτη τοῦ πρώτου μηνός[7], ἔτσι ὁρίζει καὶ νὰ τελῆται αὐτὸ στὰ Ἰεροσόλυμα. Ὁμοίως καθώρισε καὶ τὸν χρόνο καὶ τὸν τόπο τελέσεως τῆς ἑορτῆς τῆς πεντηκοστῆς, ὁρίζοντας νὰ τελῆται αὐτὴ ἑπτὰ ἑβδομάδες μετὰ τὸ πάσχα, προσθέτοντας· «στὸν τόπο ποὺ θὰ διαλέξῃ ὁ Κύριος ὁ Θεός σου»[8]. Τὸ ἴδιο καθώρισε καὶ τὰ τῆς ἑορτῆς τῆς σκηνοπηγίας.

Ἀλλ' ἂς δοῦμε ἀπὸ αὐτὰ τὰ δύο, τὸν καιρὸ καὶ τὸν τόπο, ποιό εἶναι πιὸ ἀναγκαῖο, ὅταν δὲν εἶναι δυνατὸ νὰ τηροῦνται καὶ τὰ δύο. Ποιό ἀπὸ τὰ δυό, πρέπει νὰ ἀδιαφορήσουμε γιὰ τὸν τόπο καὶ νὰ τηρήσουμε τὸν καιρὸ ἢ νὰ ἀδιαφορήσουμε γιὰ τὸν καιρὸ καὶ νὰ τηρήσουμε τὸν τόπο; Αὐτὸ ποὺ λέγω σημαίνει τὸ ἑξῆς. Ὁ νόμος καθώρισε νὰ τελῆται τὸ πάσχα κατὰ τὸν πρῶτο μῆνα καὶ στὰ Ἰεροσόλυμα, δηλαδὴ σὲ καιρὸ καὶ τόπο καθωρισμένο. Ἂς ὑποθέσουμε λοιπὸν ὅτι δύο ἄνθρωποι ἑορτάζουν τὸ πάσχα καὶ ἀπὸ αὐτοὺς ὁ ἕνας παραβαίνει τὸν τόπο, ἀλλὰ τηρεῖ τὸν καιρό· ὁ ἄλλος πάλι τηρεῖ τὸν τόπο, παραβαίνει ὅμως τὸν καιρό. Καὶ ἐκεῖνος ποὺ τηρεῖ τὸν καιρὸ ἑορτάζει τὸ πάσχα τὸν πρῶτο μῆνα, ἀλλὰ μακριὰ ἀπὸ τὰ Ἰε-

καιρὸν τηρείτω· ὁ δὲ τηρείτω μὲ τὸν τόπον, παραβαινέτω δὲ τὸν καιρόν· καὶ ποιείτω ὁ μὲν τὸν καιρὸν τηρῶν, παραβαίνων δὲ τὸν τόπον ἐν τῷ πρώτῳ μηνί, καὶ τῶν Ἱεροσολύμων ἔξω που μακράν· ὁ δὲ τὸν τόπον τηρῶν, παραβαίνων δὲ τὸν καιρόν, ποιείτω μὲν ἐν Ἱεροσολύμοις τὸ πάσχα, μὴ τῷ πρώτῳ δὲ μηνί, ἀλλὰ τῷ δευτέρῳ. Εἶτα ἴδωμεν τίς τῶν δύο τούτων ἐστὶν ὁ ἐγκαλούμενος, τίς δὲ ὁ εὐδοκιμῶν, ὁ παραβὰς τὸν καιρὸν καὶ ἐν τῷ τόπῳ ποιήσας, ἢ ὁ τὸ τόπον καταλιπὼν καὶ τὸν καιρὸν φυλάξας. Ἂν γὰρ ὁ τὸν καιρὸν παραβὰς ἵνα εἴσω ποιήσῃ τῆς πόλεως, ἀποδοχῆς ἄξιος ὢν φανῇ· ὁ δὲ τὸν καιρὸν μὲν φυλάξας, καταλιπὼν δὲ τὸν τόπον, ἐγκλημάτων καὶ κατηγορίας ὥσπερ ἀσεβήσας, εὔδηλον, ὅτι καὶ οὗτοι παρανομοῦσιν, ἐν τῷ τόπῳ μὴ ποιοῦντες, κἂν μυριάκις λέγωσι τὸν καιρὸν τηρεῖν.

Πόθεν οὖν τοῦτο ἔσται δῆλον; Ἀπ' αὐτοῦ τοῦ Μωϋσέως. Ἐπειδὴ γὰρ ἐποίησαν ἔξω τὸ πάσχα, προσῆλθον, φησί, τινὲς τῷ Μωϋσῇ, λέγοντες· «ἡμεῖς ἀκάθαρτοί ἐσμεν ἐπὶ ψυχῇ ἀνθρώπου· μὴ ὑστερήσομεν προσενεγκεῖν τὸ δῶρον Κυρίου κατὰ καιρὸν αὐτοῦ ἐν μέσῳ υἱῶν Ἰσραήλ;». Καὶ εἶπε πρὸς αὐτοὺς Μωϋσῆς· «στῆτε αὐτοῦ, καὶ ἀκούσομαι τί ἐντελεῖται Κύριος περὶ ὑμῶν. Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν, λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραήλ, λέγων· ἄνθρωπος ὃς ἐὰν γένηται ἀκαθάρτος ἐπὶ ψυχὴν ἀνθρώπου, ἢ ἐν ὁδῷ μακρᾷ, ἢ ἐν ὑμῖν, ἐν ταῖς γενεαῖς ὑμῶν, ποιήσει τὸ πάσχα ἐν τῷ μηνὶ τῷ δευτέρῳ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὃς ἂν ᾖ, φησίν, ἐν ἀποδημίᾳ κατὰ τὸν πρῶτον μῆνα, μὴ ποιείτω τῆς πόλεως ἔξω, ἀλλ' ἐν τῷ δευτέρῳ μηνί, ἵνα φθάσῃ εἰς Ἱεροσόλυμα καὶ παραβαινέτω τὸν καιρόν, ἵνα μὴ τῆς πόλεως ἐκπέσῃ· δεικνύς, ὅτι ἡ τοῦ τόπου παρατήρησις τῆς τοῦ καιροῦ παρατηρήσεώς ἐστιν ἀναγκαιοτέρα.

Τί τοίνυν ἔχοιεν ἂν εἰπεῖν οἱ τῆς πόλεως ἔξω ποιοῦντες; Ὅταν γὰρ τὸ ἀναγκαιότερον παραβῶσιν, οὐδὲ ἐν τῷ μικροτέρῳ παρατήρησις ὑπὲρ αὐτῶν ἀπολογήσασθαι δύναται. Ὥστε εἰ μυριάκις δοκῶσι μὴ παραβαίνειν τὸν καιρόν, ἐσχάτην παρανομίαν παρανομοῦσι. Καὶ τοῦτο οὐκ ἐντεῦθεν δῆλον μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν

9. Ἀριθμ. 9,7–11.

ροσόλυμα, ἐνῶ ἐκεῖνος ποὺ τηρεῖ τὸν τόπο καὶ παραβαίνει τὸν καιρό, τελεῖ τὸ πάσχα στὰ Ἱεροσόλυμα, ὄχι ὅμως τὸν πρῶτο μῆνα, ἀλλὰ τὸν δεύτερο. Στὴ συνέχεια ἂς ἐξετάσουμε ποιός ἀπὸ τοὺς δυὸ κατηγορεῖται καὶ ποιός ἐπαινεῖται, ἐκεῖνος ποὺ παρέβηκε τὸν καιρὸ καὶ τήρησε τὸν τόπο ἢ ἐκεῖνος ποὺ παρέβηκε τὸν τόπο καὶ τήρησε τὸν καιρό. Ἂν ἐκεῖνος ποὺ παρέβηκε τὸν καιρό, γιὰ νὰ ἑορτάση τὸ πάσχα μέσα στὰ Ἱεροσόλυμα, εἶναι ἄξιος παραδοχῆς, καὶ ἐκεῖνος ποὺ τήρησε τὸν καιρὸ ἀλλὰ δὲν ἐφύλαξε τὸν τόπο, φανῆ ὅτι εἶναι ἄξιος ἐγκλημάτων καὶ κατηγορίας, καθ' ὅτι ἀσέβησε, εἶναι φανερό, ὅτι καὶ αὐτοὶ παρανομοῦν, ἀφοῦ δὲν τελοῦν τὸ πάσχα στὸν καθωρισμενο τόπο, ἔστω κι ἂν προβάλλουν μύριους ἰσχυρισμούς, ὅτι τηροῦν τὸν καιρό.

Ἀπὸ ποῦ λοιπὸν αὐτὸ θὰ γίνη φανερό; Ἀπὸ τὸν ἴδιο τὸν Μωϋσῆ. Ἐπειδὴ δηλαδὴ μερικοὶ ἑώρτασαν ἔξω τὸ πάσχα, προσῆλθον, λέγει, πρὸς τὸν Μωϋσῆ καὶ τοῦ εἶπαν· «'ἐμεῖς εἴμαστε ἀκάθαρτοι, γιατὶ πλησιάσαμε νεκρὸν ἄνθρωπο· μήπως λοιπὸν θ' ἀποκλεισθοῦμε ἐμεῖς ἀνάμεσα ἀπὸ ὅλους τοὺς Ἰσραηλῖτες ἀπὸ τὸ νὰ προσφέρουμε τὶς θυσίες μας πρὸς τὸν Κύριο κατὰ τὴν ἡμέρα αὐτή;' Καὶ εἶπε πρὸς αὐτοὺς ὁ Μωϋσῆς· 'σταματῆστε ἐδῶ καὶ θ' ἀκούσω τί θὰ διατάξη ὁ Κύριος γιὰ σᾶς'. Καὶ ὁ Κύριος μίλησε πρὸς τὸν Μωϋσῆ καὶ εἶπε· 'Πὲς στὰ τέκνα τοῦ Ἰσραήλ· ἂν κάποιος ἀπὸ σᾶς ἢ τοὺς ἀπογόνους σας γίνη ἀκάθαρτος πλησιάζοντας νεκρὸν ἄνθρωπο ἢ εὑρεθῆ μακριὰ κατὰ τὴν ἡμέρα τοῦ πάσχα, θὰ ἑορτάση αὐτὸ κατὰ τὸν δεύτερο μῆνα»[9]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἂν κάποιος, λέγει, βρεθῆ σὲ ταξίδι κατὰ τὸν πρῶτο μήνα, ἂς μὴν ἑορτάση τὸ πάσχα μακριὰ ἀπὸ τὴν πόλη, ἀλλ' ἂς τὸ ἑορτάση κατὰ τὸν δεύτερο μῆνα, ὅταν θὰ ἐπιστρέψη στὰ Ἱεροσόλυμα, καὶ ἂς παραβῆ τὸν καιρό, γιὰ νὰ μὴ παραβῆ τὴν τήρηση τοῦ τόπου, δείχνοντας ὅτι ἡ τήρηση τοῦ τόπου εἶναι περισσότερο ἀναγκαία ἀπὸ τὴν τήρηση τοῦ καιροῦ.

Τί θὰ μποροῦσαν λοιπὸν νὰ ποῦν οἱ Ἰουδαῖοι, ποὺ τελοῦν τὸ Πάσχα ἔξω ἀπὸ τὰ Ἱεροσόλυμα; Γιατί, ὅταν παραβοῦν τὸ ἀναγκαιότερο, δὲν εἶναι δυνατὸ νὰ δικαιολογηθοῦν τηρώντας τὸ κατώτερο. Ὥστε, καὶ ἂν ἀκόμη μυριάκις νομίζουν ὅτι δὲν παραβαίνουν τὸν καιρό, διαπράττουν τὴν ἐσχάτη παρανομία. Καὶ αὐτὸ δὲν γίνεται φανερὸ ἀπὸ αὐτὸ μόνο, ἀλλὰ καὶ ἀπὸ τοὺς προφῆτες. Γιατί, ὅταν

προφητῶν. Ὅταν γὰρ φαίνωνται ἐκεῖνοι μήτε θύσαντες, μήτε ᾠδὴν ᾄσαντες ἐπὶ γῆς ἀλλοτρίας, μήτε νηστείαν τοιαύτην τινὰ νηστεύσαντες, ποίαν ἔχοιεν ἂν οὗτοι συγγνώμην; Καίτοι γε ἐκεῖνοι προσδοκῶντες ἀπολήψεσθαι τὴν τοιαύτην αὐτῶν πολιτείαν, ὅμως ἔμενον τῷ νόμῳ πειθόμενοι καὶ τὰ τοῦ νόμου πληροῦντες· τοῦτο γὰρ ὁ νόμος ἔλεγεν· οὗτοι δὲ μηδὲ ἐλπίδα τινὰ ἔχοντες τὴν προτέραν ἀπολήψεσθαι πολιτείαν (ποῦ γὰρ ἔχουσιν ἀπὸ τῶν προφητῶν· δεῖξαι τοῦτο;) οὐδὲ οὕτως ἀνέχονται ἡσυχάζειν. Καίτοι εἰ καὶ προσεδόκων ἀπολήψεσθαι καὶ οὕτω μιμεῖσθαι ἔδει τοὺς ἁγίους καὶ μὴ νηστεύειν, μηδὲ ἄλλο τοιοῦτον ποιεῖν.

5. Ὅτι γὰρ οὐδὲν τούτων ἐποίησαν ἐκεῖνοι, ἄκουσον τί πρὸς τοὺς ἐρωτῶντας ἔλεγον. Ἐπειδὴ γὰρ ἐπέκειντο βιαζόμενοι καὶ ἀναγκάζοντες αὐτοὺς οἱ βάρβαροι, κεχρῆσθαι τοῖς ὀργάνοις αὐτῶν λέγοντες, «ᾄσατε ἡμῖν τὴν ᾠδὴν Κυρίου», ἐκεῖνοι τὸν νόμον σαφῶς ἐπιστάμενοι οὐκ ἐπτρέποντα ταῦτα ἔξω ποιεῖν, ἔλεγον· «πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;». Καὶ πάλιν οἱ παῖδες οἱ τρεῖς ἐν Βαβυλῶνι διατρίβοντες ἔλεγον· «οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος». Καίτοι γε πολὺς ἦν ἐκεῖ τόπος, ἀλλ' ἐπειδὴ ὁ ναὸς οὐκ ἦν, ἔμενον μὴ θύοντες. Καὶ πρὸς ἑτέρους δὲ πάλιν ὁ Θεὸς διὰ τοῦ Ζαχαρίου, «μὴ νηστείαν νενηστεύκατέ μοι ἔτη ἑβδομήκοντα;», τὰ τῆς αἰχμαλωσίας λέγων. Πῶς οὖν σὺ νῦν νηστεύεις, εἰπέ μοι, τῶν προγόνων τῶν σῶν οὔτε θυσάντων, οὔτε νηστευσάντων, οὔτε ἑορτασάντων; Ὅτι γὰρ οὔτε τὸ πάσχα ἐπετέλουν, μάλιστα μὲν καὶ ἐκ τούτων δῆλον. Ὅπου γὰρ θυσία οὐκ ἦν, οὐδὲ ἑορτὴ ἦν, ἐπειδὴ πάσας οὕτως ἐπιτελεῖσθαι ἔδει. Ἵνα δὲ καὶ αὐτοῦ τοῦ πράγματαος τὴν ἀπόδειξιν παρασχώμεθα, ἄκουσον τί φησιν ὁ Δανιήλ· «ἐν ταῖς ἡμέραις ἐκείναις ἤμην ἐγὼ Δανιὴλ πενθῶν, τρεῖς ἑβδομάδας ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον καὶ οἶνος καὶ κρέας οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου καὶ ἄλειμμα οὐκ ἠλειψάμην ἐν ταῖς ἑβδομάσιν ἐκείναις. Καὶ ἐγένετο τῇ τετάρτῃ καὶ εἰκάδι ἡμέρᾳ τοῦ

10. Ψαλμ. 136,3–4.
11. Δαν. 3,38.
12. Ζαχ. 7,5.
13. Δαν. 10,2–4.

ἐκεῖνοι φαίνωνται νὰ μὴ θυσιάζουν οὔτε νὰ ψάλλουν σὲ ξένη γῆ οὔτε νὰ τηροῦν κάποια παρόμοια νηστεία, ποιά συγγνώμη θὰ μποροῦσαν νὰ ἔχουν αὐτοί; Ἂν καὶ βέβαια ἐκεῖνοι προσδοκώντας ν' ἀποκτήσουν καὶ πάλι τὸν παλαιὸ τρόπο ζωῆς τους, ἔμειναν πιστοὶ στὸν νόμο καὶ τηροῦσαν τὶς διατάξεις του, γιατὶ τὸ ἀπαιτοῦσε ὁ νόμος· ἐνῶ αὐτοί, μὴ ἔχοντας καμμιὰ ἐλπίδα ὅτι θὰ ἐπανεύρουν τὸ παλαιὸ πολίτευμά τους (γιατὶ σὲ ποιόν προφήτη θὰ μποροῦσαν νὰ τὸ δείξουν αὐτό;) οὔτε ἔτσι ἀνέχονται νὰ ἡσυχάσουν. Ἀλλά, κι ἂν ἀκόμη ὑπῆρχε τὸ ἐνδεχόμενο νὰ πραγματοποιηθοῦν οἱ προσδοκίες τους, θὰ ἔπρεπε καὶ τότε νὰ μιμηθοῦν τοὺς ἁγίους, καὶ οὔτε νὰ νηστεύουν, οὔτε νὰ κάμνουν τίποτε ἄλλο παρόμοιο.

5. Τὸ ὅτι βέβαια ἐκεῖνοι δὲν ἔπραξαν τίποτε ἀπ' ὅλα αὐτά, ἄκουσε τί ἔλεγαν πρὸς ἐκείνους ποὺ τοὺς ἐρωτοῦσαν. Ἐπειδὴ δηλαδὴ οἱ βάρβαροι τοὺς ἐξεβίαζαν καὶ τοὺς ἐξανάγκαζαν νὰ χρησιμοποιήσουν τὰ μουσικά τους ὄργανα, λέγοντάς τους, «ψάλατέ μας τὴν ᾠδὴ τοῦ Κυρίου», ἐκεῖνοι, γνωρίζοντας πάρα πολὺ καλὰ τὸν νόμο, ποὺ δὲν ἐπέτρεπε νὰ τὰ κάμνουν αὐτὰ μακριὰ ἀπὸ τὰ Ἱεροσόλυμα, ἔλεγαν· «πῶς νὰ ψάλουμε τὴν ᾠδὴ τοῦ Κυρίου σὲ ξένη γῆ;»[10]. Ἐπίσης καὶ οἱ τρεῖς παῖδες, ὄντας αἰχμάλωτοι στὴ Βαβυλῶνα, ἔλεγαν· «δὲν ὑπάρχει στὸν καιρό μας ἄρχοντας καὶ προφήτης, οὔτε τόπος γιὰ νὰ προσφέρουμε τὶς θυσίες μας καὶ νὰ βροῦμε ἔλεος»[11]. Ἂν καὶ βέβαια ὑπῆρχε ἐκεῖ πολὺς τόπος, ἀλλ' ἐπειδὴ δὲν ὑπῆρχε ὁ ναός, ζοῦσαν χωρὶς νὰ τελοῦν τὶς θυσίες. Καὶ σὲ ἄλλους πάλι ὁ Θεὸς μὲ τὸ στόμα τοῦ Ζαχαρία ἔλεγε· «μήπως ἐπὶ ἑβδομήντα χρόνια κάνατε νηστεία γιὰ μένα;»[12], ἐννοώντας βέβαια τὰ χρόνια τῆς αἰχμαλωσίας. Πές μου λοιπόν, πῶς σὺ τώρα νηστεύεις, τὴ στιγμὴ ποὺ οἱ πρόγονοί σου οὔτε θυσίασαν οὔτε νήστεψαν οὔτε ἑώρτασαν; Γιατὶ τὸ ὅτι οὔτε τὸ πάσχα ἑώρταζαν, γίνεται φανερὸ πρὸ πάντων ἀπὸ αὐτὰ ἐδῶ. Ὅπου δηλαδὴ δὲν ὑπῆρχε θυσία, ἐκεῖ δὲν ὑπῆρχε οὔτε ἑορτή, ἐπειδὴ ἔπρεπε νὰ ἐπιτελοῦνται ὅλες ἔτσι. Γιὰ νὰ δώσουμε ὅμως καὶ αὐτοῦ τοῦ πράγματος τὴν ἀπόδειξη, ἄκουσε τί λέγει σχετικὰ ὁ Δανιήλ· «κατὰ τὶς ἡμέρες ἐκεῖνες ἐγὼ ὁ Δανιὴλ πενθοῦσα τρεῖς ἑβδομάδες· ψωμὶ γευστικὸ καὶ εὐχάριστο δὲν ἔφαγα, κρασὶ καὶ κρέας δὲν μπῆκε στὸ στόμα μου, καὶ μὲ μύρα δὲν ἀλείφθηκα κατὰ τὶς ἑβδομάδες ἐκεῖνες. Καὶ συνέβηκε κατὰ τὴν εἰκοστὴ τέταρτη ἡμέρα τοῦ πρώτου μηνὸς νὰ δῶ τὴν ὅραση»[13]. Συγκεντρῶστε στὸ σημεῖο αὐτό,

πρώτου μηνός, εἶδον τὴν ὅρασιν». Ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε· ἀπὸ γὰρ τούτων δῆλον, ὅτι τὸ πάσχα οὐκ ἐπετέλεσαν. Καὶ πῶς; Ἐγὼ λέγω.

Ἐν ταῖς ἡμέραις τῶν ἀζύμων νηστεύειν Ἰουδαίοις οὐ θέμις· οὗτος δὲ ἡμέραις εἴκοσι καὶ μίαν οὐδενὸς ὅλως μετέλαβεν. Καὶ πόθεν δῆλον, φησίν, ὅτι αἱ εἴκοσι ἡμέραι καὶ μία κατὰ τὰς ἡμέρας τῶν ἀζύμων ἦσαν; Ἐξ ὧν εἶπεν, ὅτι «τετάρτῃ καὶ εἰκάδι τοῦ πρώτου μηνός»· καίτοι γε τὸ πάσχα εἰς μίαν καὶ εἰκάδα τελευτᾷ. Ἀρξάμενοι γὰρ ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης τοῦ πρώτου μηνός, εἶτα ἡμέρας ἑπτὰ ἑορτάσαντες, εἰς τὴν εἰκάδα καὶ πρώτην ἀπαντῶσιν. Ἀλλ' ὅμως καὶ παρελθόντος τοῦ πάσχα ἔμεινεν αὐτὸς νηστεύων. Ἀρξάμενος γὰρ ἀπὸ τῆς τρίτης ἡμέρας τοῦ πρώτου μηνός, εἶτα εἴκοσι καὶ μίαν πληρώσας, τὴν τεσσαρασκαιδεκάτην παρῆλθε καὶ μετ' ἐκείνην ἑπτὰ καὶ τρεῖς ἡμέρας ἑτέρας· ὡς οὐκ ἐναγεῖς οὗτοι καὶ μιαροί, τῶν ἁγίων ἐκείνων οὐδὲν τοιοῦτον τῶν νομίμων φυλαττόντων ἐπὶ τῆς ἀλλοτρίας, αὐτοὶ τὰ ἐναντία ποιοῦντες πρὸς φιλονεικίαν καὶ ἔριν; Καὶ γὰρ εἰ μὲν ῥᾴθυμοί τινες ἦσαν καὶ ἀνευλαβεῖς οἱ ταῦτα λέγοντες καὶ ποιοῦντες, ἴσως ἄν τις ῥᾳθυμίας ἐνόμισεν εἶναι τὸ μὴ φυλάττειν· εἰ δὲ φιλόθεοι καὶ εὐλαβεῖς καὶ τὰς ψυχὰς τὰς ἑαυτῶν ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων ἔδωκαν, εὔδηλον ὅτι τὸ μὴ φυλάξαι τὸν νόμον οὐ κατὰ ῥᾳθυμίαν ἐποίουν, ἀλλὰ παρὰ τὸ πεπεῖσθαι παρ' αὐτοῦ τοῦ νόμου, ὅτι τὰς παρατηρήσεις ταύτας ἁπάσας ἔξω τῶν Ἱεροσολύμων φυλάττειν οὐ χρή.

Καὶ ἕτερον δὲ ἀπὸ τούτου συνωμολόγηται μέγιστον· ὅτι θυσιῶν παρατηρήσεις καὶ σαββάτων καὶ νουμηνιῶν καὶ πάντων τῶν τοιούτων, ἐκ περιουσίας ἀπῄτει ἡ τότε πολιτεία· καὶ οὔτε τηρούμενα πρὸς ἀρετὴν μέγα συντελεῖν ἐδύνατο, οὔτε καταλιμπανόμενα φαῦλον ποιῆσαι τὸν σπουδαῖον ἴσχυε καὶ μειῶσαί τι τῆς ἐν τῇ ψυχῇ φιλοσοφίας. Οὗτοι γοῦν οἱ τῇ φιλοσοφίᾳ τῶν ἀγγέλων ἐπιδειξάμενοι ἐφαμίλλους πολιτείας ἐπὶ γῆς, οὐδὲν τούτων ἐπιτελοῦντες, οὐ θυσίαν καταβαλόντες, οὐχ ἑορτὴν τηρήσαντες, οὐ νηστείαν τοιαύτην ἐπιδειξάμενοι, οὕτως ἤρεσαν τῷ Θεῷ, ὡς καὶ αὐτῆς περιγενέ-

παρακαλῶ, ὅλη τὴν προσοχή σας, γιατὶ ἀπὸ αὐτὰ γίνεται φανερὸ ὅτι δὲν ἑώρτασαν τὸ πάσχα. Καὶ πῶς γίνεται φανερό; Ἐγὼ θὰ σᾶς τὸ πῶ.

Κατὰ τὶς ἡμέρες τῶν ἀζύμων δὲν ἐπιτρεπόταν στοὺς Ἰουδαίους νὰ νηστεύουν, ὁ Δανιὴλ ὅμως γιὰ εἴκοσι μία ἡμέρες δὲν ἔφαγε καθόλου. Καὶ ἀπὸ ποῦ γίνεται φανερό, ὅτι αὐτὲς οἱ εἴκοσι μία ἡμέρες συνέπεσαν μὲ τὶς ἡμέρες τῶν ἀζύμων; Ἀπ' αὐτὰ ποὺ εἶπε· «τὴν εἰκοστὴ τετάρτη τοῦ πρώτου μηνός»· ἂν καὶ βέβαια τὸ πάσχα τελειώνει τὴν εἰκοστὴ πρώτη τοῦ ἰδίου μηνός. Ἀρχίζοντας λοιπὸν ἀπὸ τὶς δέκα τέσσερες τοῦ πρώτου μηνὸς καὶ ἑορτάζοντας ἐπὶ ἑπτὰ ἡμέρες, ἔφθαναν στὴν εἰκοστὴ πρώτη. Ἀλλ' ὅμως, ἂν καὶ πέρασε τὸ πάσχα, ὁ Δανιὴλ συνέχισε τὴ νηστεία. Γιατί, ἀρχίζοντας ἀπὸ τὴν τρίτη ἡμέρα τοῦ πρώτου μηνὸς καὶ συμπληρώνοντας ἀκολούθως εἴκοσι μία ἡμέρες, ξεπέρασε τὴν δεκάτη τετάρτη καὶ μετὰ ἀπὸ αὐτὴν ἀκόμη ἑπτὰ καὶ τρεῖς ἄλλες ἡμέρες. Ἑπομένως, πῶς δὲν εἶναι αὐτοὶ βέβηλοι καὶ μιαροί, νὰ κάμνουν ἀπὸ φιλονεικία καὶ διάθεση ἐριστικὴ τὰ ἀντίθετα, τὴ στιγμὴ ποὺ οἱ ἅγιοι ἐκεῖνοι δὲν φύλαξαν σὲ ξένη γῆ τίποτε παρόμοιο ἀπὸ τὰ νόμιμα; Καὶ ἂν αὐτοὶ ποὺ ἔλεγαν καὶ ἔκαμναν αὐτὰ ἦταν κάποιοι ἀδιάφοροι καὶ ἀνευλαβεῖς, θὰ νόμιζε ἴσως κανείς, ὅτι ἡ μὴ τήρηση τῶν διατάξεων προερχόταν ἀπὸ ἀδιαφορία, ἐφ' ὅσον ὅμως αὐτοὶ ἦταν καὶ φιλόθεοι καὶ εὐλαβεῖς καὶ τὴ ζωή τους θυσίασαν γιὰ ὅ,τι ὁ Θεὸς εὐαρεστεῖται, γίνεται φανερό, ὅτι ἡ μὴ φύλαξη τοῦ νόμου δὲν προερχόταν ἀπὸ ἀδιαφορία, ἀλλὰ ἀπὸ τὴν πίστη τους στὸ νόμο, ὅτι δηλαδὴ δὲν πρέπει νὰ ἐπιτελοῦν τὶς θρησκευτικές τους ὑποχρεώσεις μακριὰ ἀπὸ τὰ Ἱεροσόλυμα.

Ἀλλὰ καὶ κάτι ἄλλο πιὸ σπουδαῖο ἐπιβεβαιώνεται ἀπ' αὐτό· τὸ ὅτι δηλαδὴ ἡ τότε θρησκευτικὴ ζωὴ ἀπαιτοῦσε μὲ τὸ παρὰ πάνω τὴν τήρηση τῶν θυσιῶν καὶ τῶν σαββάτων καὶ τῶν νουμηνιῶν καὶ ὅλων τῶν ἄλλων παρομοίων, καὶ ὅτι ὅλα αὐτά, οὔτε τηρούμενα μποροῦσαν νὰ συμβάλουν πάρα πολὺ στὴν ἀρετή, οὔτε παραλειπόμενα μποροῦσαν νὰ μεταβάλουν τὸν σπουδαῖο σὲ φαῦλο καὶ νὰ μειώσουν σὲ κάτι τὴν ἀρετὴ τῆς ψυχῆς. Αὐτοὶ λοιπόν, ποὺ ἐπέδειξαν στὴ γῆ πολιτεία ἐφάμιλλη τῶν ἀγγέλων, χωρὶς νὰ κάμουν τίποτε ἀπὸ αὐτά, χωρὶς νὰ προσφέρουν θυσία, χωρὶς νὰ τηρήσουν ἑορτή, χωρὶς νὰ ἐπιδείξουν ἀνάλογη νηστεία, τόσο πολὺ ἔγιναν ἀρεστοὶ στὸν Θεό, ὥστε καὶ τὴν ἴδια τὴ φύση νὰ ὑπερινικήσουν καὶ νὰ προσελκύσουν,

σθαι τῆς φύσεως καὶ τὴν οἰκουμένην ἅπασαν διὰ τῶν εἰς αὐτοὺς συμβάντων εἰς θεογνωσίαν ἐπισπάσασθαι. Τί γὰρ ἂν ἴσον γένοιτο τοῦ Δανιήλ; τί δαὶ τῶν τριῶν παίδων, οἳ τὸ μέγιστον ἐν τοῖς εὐαγγελίοις παράγγελμα καὶ τῶν ἀγαθῶν ἁπάντων κεφάλαιον προλαβόντες, ἤδη διὰ τῶν ἔργων ἐπεδείξαντο; «Μείζονα γὰρ ταύτης», φησίν, «ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ θήσῃ». Ἐκεῖνοι δὲ τὴν ψυχὴν αὐτῶν ἔθηκαν ὑπὲρ τοῦ Θεοῦ. Καὶ οὐ διὰ τοῦτο μόνον θαυμαστοί, ἀλλ' ὅτι οὐδὲ ἐπὶ μισθῷ τινι τοῦτο ἔπραττον. Διὰ τοῦτο ἔλεγον, ὅτι «ἔστι Θεὸς ἐν τῷ οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν». Ἀρκετὸν ἡμῖν ἐστιν ὁ μισθός, φησίν, ὅτι διὰ τὸν Θεὸν ἀποθνήσκομεν. Καὶ ταῦτα ἐποίουν καὶ τοσαύτην ἀρετὴν ἐπεδείκνυντο, οὐδὲν τῶν νομιζομένων παρατηροῦντες.

6. Καὶ τίνος ἕνεκεν, φησί, ταῦτα ἐπέταξεν ὁ Θεός, εἰ μὴ ἐβούλετο γίνεσθαι; καὶ εἰ ἐβούλετο γίνεσθαι, τίνος οὖν ἕνεκα τὴν πόλιν σου κατέλυσε; Δυοῖν θάτερον ἐχρῆν ποιεῖν αὐτόν, βουλόμενον αὐτὰ μένειν, ἢ μὴ κελεῦσαι ἐν ἑνὶ τόπῳ θύειν, πανταχοῦ τῆς οἰκουμένης μέλλοντα διασπείρειν ὑμᾶς, ἢ βουλόμενος ὑμᾶς ἐκεῖ θύειν μόνον, μὴ πανταχοῦ τῆς οἰκουμένης διασπείρειν καὶ μόνην ἐκείνην τὴν πόλιν ποιῆσαι ἄβατον ἐχρῆν, ἐν ᾗ μόνῃ τὴν θυσίαν ἀναφέρεσθαι ἐκέλευσε. Τί οὖν; ἑαυτῷ μάχεται, φησί, θῦσαι μὲν ἐν ἑνὶ τόπῳ κελεύσας, αὐτὸν δὲ πάλιν ἀποκλείσας τὸν τόπον ἐκεῖνον; Οὐδαμῶς, ἀλλὰ καὶ σφόδρα ἑαυτῷ συμφωνεῖ. Οὐδὲ γὰρ παρὰ τὴν ἀρχὴν ὑμῖν δοῦναι τὰς θυσίας ἠβούλετο. Αὐτὸν τὸν προφήτην παράγω μάρτυρα, λέγοντα οὕτως· «ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ ὑμῶν λαὸς Γομόρρας»· οὐ πρὸς Σοδομίτας καὶ τοὺς ἐν Γομόρροις οἰκοῦντας διαλεγόμενος, ἀλλὰ πρὸς Ἰουδαίους. Καλεῖ δὲ αὐτοὺς οὕτως, ἐπειδὴ τῇ τῆς κακίας μιμήσει τὴν πρὸς ἐκείνους ἐπεσπάσαντο συγγένειαν. Οὕτω γοῦν καὶ κύνας καλεῖ καὶ ἵππους θηλυμανεῖς, οὐκ ἐπειδὴ πρὸς τὴν φύσιν ἐκείνων μετέπεσαν, ἀλλ' ἐπειδὴ τὴν τῶν ζώων τούτων λαγνείαν ἐδίωκον. «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος». Οἱ δὲ ἐν Σοδό-

14. Ἰω. 15,13.
15. Δαν. 3,17.
16. Ἠσ. 1,10.
17. Ἠσ. 56,11 καὶ Ἱερ. 5,8.
18. Ἠσ. 1,11.

μὲ ὅσα συνέβηκαν σ' αὐτούς, ὁλόκληρη τὴν οἰκουμένη πρὸς τὴ θεογνωσία. Πραγματικὰ τί θὰ μποροῦσε νὰ ἐξισωθῆ μὲ τὸν Δανιήλ; τί ἐπίσης μὲ τοὺς τρεῖς παῖδες, οἱ ὁποῖοι, προλαβαίνοντας τὸ μέγιστο παράγγελμα τῶν εὐαγγελίων καὶ τὸ ἀποκορύφωμα ὅλων τῶν ἀγαθῶν, τὸ ἀπέδειξαν μὲ τὰ ἔργα τους; Γιατὶ λέγει, «μεγαλύτερη ἀγάπη ἀπὸ αὐτὴν κανένας δὲν ἔχει, ὥστε νὰ θυσιάση τὴ ζωή του ὑπὲρ τῶν φίλων του»[14]. Ἀλλ' ἐκεῖνοι θυσίασαν τὴ ζωή τους γιὰ τὸν Θεό. Καὶ δὲν εἶναι γι' αὐτὸ μόνο θαυμαστοί, ἀλλὰ καὶ γιατὶ δὲν τὸ ἔκαμαν αὐτὸ γιὰ νὰ λάβουν κάποιο μισθό. Γι' αὐτὸ ἔλεγαν· «ὑπάρχει στὸν οὐρανὸ Θεὸς ποὺ ἔχει τὴ δύναμη νὰ μᾶς σώση· καὶ ἂν δὲν γίνη αὐτό, μάθε, βασιλεῦ, ὅτι ἐμεῖς δὲν λατρεύουμε τοὺς θεούς σου»[15]. Μᾶς εἶναι, λέγει, ἀρκετὸς ὁ μισθός, τὸ ὅτι πεθαίνουμε γιὰ τὸν Θεό. Καὶ τὰ ἔκαμναν αὐτὰ καὶ τόση μεγάλη ἀρετὴ ἔδειχναν, χωρὶς νὰ τηροῦν τίποτε ἀπὸ τὰ καθιερωμένα.

6. Καὶ γιὰ ποιό λόγο, λέγει, τὰ πρόσταξε αὐτὰ ὁ Θεός, ἂν δὲν ἤθελε νὰ γίνωνται; καὶ ἂν ἤθελε νὰ γίνωνται, γιατί τότε σοῦ κατέστρεψε τὴν πόλη; Τὸ ἕνα ἀπὸ τὰ δύο ἔπρεπε νὰ κάμη ὁ Θεός, ἂν ἤθελε νὰ τηροῦνται αὐτά· ἢ δὲν ἔπρεπε νὰ διατάξη νὰ τελοῦνται οἱ θυσίες σὲ ἕνα τόπο, ἀφοῦ ἐπρόκειτο νὰ σᾶς διασκορπίση σ' ὁλόκληρη τὴν οἰκουμένη, ἢ ἂν ἤθελε νὰ προσφέρετε ἐκεῖ μόνο τὶς θυσίες σας, νὰ μὴ σᾶς διασκορπίση σὲ κάθε γωνιὰ τῆς γῆς, καὶ ἔπρεπε νὰ καταστήση ἐκείνην τὴν πόλη μόνο ἄβατη, στὴν ὁποία καὶ μόνο διέταξε νὰ προσφέρεται ἡ θυσία. Τί λοιπόν; Ἀντιμάχεται, λέγει, τὸν ἑαυτό του, διατάσσοντας ἀπὸ τὸ ἕνα μέρος νὰ γίνεται ἡ θυσία σ' ἕνα καὶ μόνο τόπο, ἀπὸ τὸ ἄλλο πάλι ἀποκλείοντας τὸν τόπο ἐκεῖνον; Καθόλου δὲν ἀντιμάχεται, ἀλλὰ καὶ πάρα πολὺ συμφωνεῖ μὲ τὸν ἑαυτό του. Γιατὶ δὲν ἤθελε ὁ Θεὸς νὰ σᾶς δώση ἀπὸ τὴν ἀρχὴ τὶς θυσίες. Καὶ φέρνω μάρτυρα τὸν ἴδιο τὸν προφήτη, ποὺ λέγει τὰ ἑξῆς· «ἄρχοντες τῶν Σοδόμων, ἀκοῦστε λόγον Κυρίου· λαὸς τῆς Γομόρρας, προσέχετε νόμο τοῦ Θεοῦ σας»[16], ὁμιλώντας ὄχι πρὸς τοὺς κατοίκους τῶν Σοδόμων καὶ τῶν Γομόρρων, ἀλλὰ πρὸς τοὺς Ἰουδαίους. Καὶ τοὺς ὀνομάζει ἔτσι, ἐπειδή, μιμούμενοι τὴν κακία τους, ἔγιναν συγγενεῖς μὲ ἐκείνους. Ἔτσι λοιπὸν τοὺς ὀνομάζει καὶ σκύλους καὶ ἵππους θηλυμανεῖς, ὄχι γιατὶ μετέπεσαν στὴ φύση τῶν ἀλόγων ζώων, ἀλλὰ γιατὶ ἐπεδιώκαν τὴ λαγνεία τῶν ζώων αὐτῶν[17]. «Τί μοὺ χρειάζεται τὸ πλῆθος τῶν θυσιῶν σας; λέγει ὁ Κύριος»[18].

μοις οὐδέ ποτε ἀνεφάνησαν ἀναφέροντες θυσίας· ἀλλὰ νῦν ὁ λόγος ἀποτείνεται πρὸς Ἰουδαίους, ἀπὸ τῆς ἐκείνων ἐπωνυμίας, διὰ τὴν αἰτίαν, ἣν εἶπον. «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος. Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι· οὐδὲ ἐὰν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα πάντα ἐκ τῶν χειρῶν ὑμῶν;».

Ἤκουσας σαφεστάτης φωνῆς λεγούσης, ὅτι οὐκ ἐξεζήτει ταῦτα παρ' ὑμῶν παρὰ τὴν ἀρχήν; Εἰ γὰρ ταῦτα ἐπεζήτει, τοὺς παλαιοὺς πάντας τοὺς πρὸ αὐτῶν λάμψαντες πρώτους ἂν εἰς ταύτην εἰσήγαγε τὴν πολιτείαν. Πῶς οὖν ἄρτι, φησίν, ἐπέτρεψε; Τῇ ἀσθενείᾳ τῇ ὑμετέρᾳ συγκαταβαίνων. Καὶ καθάπερ ἰατρός, πυρέττοντα ὁρῶν ἄνθρωπον, δυσάρεστόν τινα καὶ ἀκαρτέρητον, ἐπιθυμοῦντα ψυχροποσίας καὶ ἀπειλοῦντα, εἰ μὴ λάβοι, βρόχον ἀνάψειν καὶ κατὰ κρημνῶν ἑαυτὸν ἀφήσειν, τὸ μεῖζον βουλόμενος κωλῦσαι κακόν, τὸ ἔλαττον δίδωσι καὶ βουλόμενος βιαίου τελευτῆς αὐτὸν ἀπαγαγεῖν· οὕτω δὴ καὶ ὁ Θεὸς ἐποίησεν. Ἐπειδὴ γὰρ εἶδεν μαινομένους, ἀγχομένους, ἐπιθυμοῦντας θυσιῶν, παρεσκευασμένους, εἰ μὴ λάβοιεν, πρὸς τὰ εἴδωλα αὐτομολῆσαι, μᾶλλον δὲ οὐ παρεσκευασμένους μόνον, ἀλλὰ καὶ αὐτομολήσαντας ἤδη, ἐπέτρεψε τὰς θυσίας. Καὶ ὅτι αὕτη ἐστὶν ἡ αἰτία καὶ ἀπ' αὐτου τοῦ χρόνου γένοιτ' ἂν καταφανὲς τὸ λεγόμενον. Μετὰ γὰρ τὴν ἑορτήν, ἣν ἐπετέλεσαν τοῖς πονηροῖς δαίμοσι, τότε τὰς θυσίας ἐπέτρεψε, μονονουχὶ λέγων· μαίνεσθε καὶ βούλεσθε θύειν, οὐκοῦν κἂν ἐμοὶ θύετε. Ἀλλ' ὅμως καὶ τοῦτο ἐπιτρέψας οὐ μέχρι τέλους ἀφῆκεν, ἀλλὰ διὰ τῆς σοφωτάτης μεθόδου πάλιν ἀπήγαγεν. Καὶ καθάπερ ὁ ἰατρὸς ἐκεῖνος (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ παραδείγματι χρήσασθαι πάλιν), χαρισάμενος τῇ ἐπιθυμίᾳ τοῦ κάμνοντος, φιάλην οἴκοθεν κομίσας ἐκέλευσεν ἐν ταύτῃ μόνῃ τῆς ψυχροποσίας ἀπολαύειν καὶ τοῦ κάμνοντος πεισθέντος, λάθρα τοῖς ἐπιδιδοῦσι προσέταξε συντρίψαι τὴν φιάλην αὐτήν, ἵνα ἀνυπόπτως καὶ λαθραίως αὐτὸν ἀπαγάγῃ τῆς ἐπιθυμίας ἐκείνης, οὕτω καὶ ὁ Θεὸς ἐποίησε, θύειν ἐπιτρέψας, ἐν οὐδενὶ

19. Ἡσ. 1,11.

Οἱ Σοδομῖτες ὅμως ποτὲ δὲν παρουσιάσθηκαν νὰ προσφέρουν θυσίες στὸν Θεό· συνεπῶς ὁ λόγος ἀπευθύνεται πρὸς τοὺς Ἰουδαίους, ὀνομάζοντάς τους μὲ τὰ ὀνόματα ἐκείνων, γιὰ τὴν αἰτία ποὺ εἶπα. «Τί μου χρειάζεται τὸ πλῆθος τῶν θυσιῶν σας; λέγει ὁ Κύριος. Εἶμαι χορτασμένος ἀπὸ ὁλοκαυτώματα κριῶν καὶ στέαρ ἀρνιῶν καὶ αἷμα ταύρων καὶ τράγων δὲν θέλω· οὔτε καὶ νὰ ἔρχεσθε καὶ νὰ παρουσιάζεσθε ἐνώπιόν μου ἔτσι. Γιατὶ ποιός τὰ ζήτησε αὐτὰ ἀπὸ τὰ χέρια σας;»[19].

Ἄκουσες σαφέστατα λόγια ποὺ λέγουν, ὅτι ὁ Θεὸς δὲν ἐζητοῦσε αὐτὰ ἀπὸ σᾶς ἀπὸ τὴν ἀρχή; γιατί, ἂν ζητοῦσε αὐτά, θὰ ὡδηγοῦσε σ' αὐτὸν τὸν τρόπο ζωῆς καὶ λατρείας ὅλους τοὺς παλαιούς, ποὺ ἔλαμψαν πρὶν ἀπ' αὐτούς. Καὶ πῶς ἀργοτερα, λέγει, τὸ ἐπέτρεψε; Δείχνοντας συγκατάβαση στὴν ἀδυναμία σας. Καὶ ὅπως ἀκριβῶς ὁ ἰατρός, βλέποντας τὸν ἀσθενῆ του νὰ ἔχῃ ὑψηλὸ πυρετὸ καὶ νὰ εἶναι δύστροπος καὶ ἀνυπόμονος, νὰ θέλῃ νὰ πιῇ κρύο νερὸ καὶ νὰ ἀπειλῇ, ὅτι ἂν δὲ τοῦ δώσουν, θὰ κρεμασθῇ ἢ θὰ πέσῃ στὸ γκρεμό, θέλοντας νὰ τὸν ἀποτρέψῃ ἀπὸ τὸ μεγαλύτερο κακὸ ὑποχωρεῖ στὸ μικρότερο, ὥστε νὰ τὸν σώσῃ ἀπὸ τὸν βίαιο θάνατο, παρόμοια ἐνήργησε καὶ ὁ Θεός. Ἐπειδὴ δηλαδὴ τοὺς εἶδε νὰ μαίνωνται, νὰ στενοχωροῦνται, νὰ ἐπιθυμοῦν θυσίες, νὰ εἶναι ἕτοιμοι νὰ ἐγκαταλείψουν τὸν ἀληθινὸ Θεό, ἂν δὲν τὶς λάβουν, καὶ νὰ λατρεύσουν τὰ εἴδωλα, καὶ ὄχι μόνο νὰ εἶναι ἕτοιμοι, ἀλλὰ καὶ νὰ ἔχουν ἤδη λιποτακτήσει, τοὺς ἐπέτρεψε τὶς θυσίες. Καὶ ὅτι αὐτὴ εἶναι ἡ αἰτία, θὰ μποροῦσε νὰ ἐπιβεβαιωθῇ τὸ λεγόμενο καὶ ἀπὸ τὸν ἴδιο τὸν χρόνο. Μετὰ δηλαδὴ τὴν ἑορτή, ποὺ τέλεσαν στοὺς πονηροὺς δαίμονες, τότε ἐπέτρεψε τὶς θυσίες, λέγοντάς τους κατὰ κάποιο τρόπο· 'μαίνεσθε καὶ θέλετε νὰ θυσιάζετε· λοιπὸν προσφέρατε καὶ σὲ μένα θυσία'. Ἐπιτρέποντάς το ὅμως καὶ αὐτὸ δὲν τὸ ἄφησε ἐπ' ἀόριστο, ἀλλά, ἐνεργώντας μὲ τὴ σοφώτατη μέθοδό του, τὸ περιώρισε καὶ πάλι. Καὶ ὅπως ἀκριβῶς ὁ ἰατρὸς ἐκεῖνος (γιατὶ τίποτε δὲν μᾶς ἐμποδίζει νὰ χρησιμοποιήσουμε τὸ ἴδιο παράδειγμα), ὑποχωρώντας στὴν ἐπιθυμία τοῦ ἀσθενοῦς, ἀφοῦ προσκόμισε ἀπὸ τὸ σπίτι του φιάλη, ἔδωσε ἐντολὴ ἀπ' αὐτὴ καὶ μόνο νὰ πίνῃ κρύο νερό, καὶ ἀφοῦ ὁ ἀσθενὴς πείσθηκε, τότε ὁ ἰατρὸς διέταξε κρυφὰ τοὺς νοσοκόμους νὰ σπάσουν τὴ φιάλη, ὥστε ἀνύποπτα καὶ κρυφὰ νὰ τὸν ἀπαλλάξῃ ἀπὸ τὴν ἐπιθυμία του ἐκείνη· ἔτσι ἐνήργησε καὶ ὁ Θεός·

ἑτέρῳ τόπῳ τῆς οἰκουμένης εἴασε τοῦτο γίνεσθαι, ἀλλ' ἐν τοῖς Ἱεροσολύμοις μόνον.

Εἶτα, ἐπειδὴ χρόνον ἔθυσαν βραχύν, καθεῖλε τὴν πόλιν, ἵν', ὥσπερ ὁ ἰατρὸς διὰ τῆς τοῦ σκεύους συντριβῆς, οὕτω καὶ ὁ Θεὸς διὰ τῆς κατασκαφῆς τῆς κατὰ τὴν πόλιν καὶ ἄκοντας αὐτοὺς ἀπαγάγῃ τοῦ πράγματος. Εἰ γὰρ φανερῶς εἶπεν, «ἀπόστητε», οὐκ ἂν ἠνέσχοντο ῥᾳδίως· διὰ τῆς κατὰ τὸν τόπον ἀνάγκης λανθανόντως αὐτοὺς ἀπήγαγε τῆς περὶ τὸ πρᾶγμα μανίας. Ἔστω τοίνυν ὁ μὲν ἰατρὸς ὁ Θεός, ἡ φιάλη δὲ ἡ πόλις, ὁ δὲ νοσῶν ὁ δυσάρεστος τῶν Ἰουδαίων δῆμος, ἡ δὲ ψυχροποσία ἡ τῶν θυσιῶν ἐπιτροπὴ καὶ ἐξουσία. Ὥσπερ οὖν ὁ ἰατρὸς ἵστησι τῆς ἀκαίρου ταύτης αἰτήσεως τὸν ἄρρωστον, τὸ σκεῦος ἀφανίσας, οὕτω καὶ ὁ Θεὸς τῶν θυσιῶν ἀπήγαγε, τὴν πόλιν αὐτὴν καθελὼν καὶ ποιήσας αὐτὴν ἄβατον πᾶσιν. Εἰ γὰρ μὴ τοῦτο κατασκευάσαι ἐβούλετο, τίνος ἕνεκεν εἰς τόπον ἕνα συνέκλεισε τὴν τοιαύτην ἁγιστείαν, «ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν;». Τίνος οὖν ἕνεκεν τὴν μὲν λατρείαν εἰς θυσίαν, τὰς δὲ θυσίας εἰς τόπον, τὸν δὲ τόπον εἰς καιρόν, τὸν δὲ καιρὸν εἰς μίαν πόλιν συναγαγών, αὐτὴν πάλιν ἐκείνην τὴν πόλιν κατέστρεψε;

Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ἡ μὲν οἰκουμένη πᾶσα ἀνεῖται τοῖς Ἰουδαίοις, ἔνθα οὐκ ἔξεστι θύειν, μόνη δὲ ἡ Ἱερουσαλὴμ ἄβατος γέγονεν, ἔνθα μόνον θύειν ἐξῆν. Ἆρα οὐχὶ καὶ τοῖς σφόδρα ἀνοήτοις δήλη καὶ καταφανὴς γένοιτ' ἂν ἡ αἰτία τῆς κατασκαφῆς ἐκείνης; Ὥσπερ γὰρ οἰκοδόμος θεμελίους θείς, τοίχους ἀναστήσας, ὄροφον καμαρώσας, τὴν καμάραν ἐκείνην εἰς ἕνα μέσον συνδήσας λίθον, ἂν ἐκεῖνον ἀφέλῃ, τὸν πάντα τῆς οἰκοδομῆς διέλυσε σύνδεσμον· οὕτω καὶ ὁ Θεός, καθάπερ τινὰ σύνδεσμον λατρείας τὴν πόλιν ποιήσας, εἶτα ταύτην ἀνατρέψας, καὶ τὴν λοιπὴν τῆς πολιτείας ἐκείνης οἰκοδομὴν κατέλυσεν ἅπασαν.

7. Ἡ μὲν οὖν πρὸς Ἰουδαίους μενέτω τέως μάχη. Σήμερον γὰρ ἠκροβολισάμεθα πρὸς αὐτούς, μόνον τοσοῦτον εἰπόντες, ὅσον ἤρκει πρὸς ἀσφάλειαν τοῖς ἀδελφοῖς τοῖς ἡμετέροις, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Ἀνάγκη δὲ λοιπὸν παρακαλέσαι ὑμᾶς τοὺς παρόν-

ἐπιτρέποντας τὴ θυσία, δὲν ἄφησε νὰ γίνεται αὐτὸ σὲ κανένα ἄλλο τόπο τῆς οἰκουμένης, ἀλλὰ στὰ Ἱεροσόλυμα μόνο.

Ἔπειτα, ἀφοῦ θυσίασαν γιὰ σύντομο χρονικὸ διάστημα, κατέστρεψε τὴν πόλη, ὥστε, ὅπως ὁ ἰατρὸς μὲ τὴ θραύση τῆς φιάλης, ἔτσι καὶ ὁ Θεὸς μὲ τὴν καταστροφή της νὰ τοὺς ἀπομακρύνη, καὶ χωρὶς νὰ τὸ θέλουν, ἀπὸ τὸ πρᾶγμα αὐτό. Ἂν φανερὰ τοὺς ἔλεγε, 'ἀπομακρυνθῆτε', δὲν θὰ τὸ δέχονταν εὔκολα· λόγω ὅμως τῆς ἀνάγκης τοῦ τόπου, τοὺς ἀπομάκρυνε κρυφὰ ἀπὸ τὴ μανία τοῦ πράγματος αὐτοῦ. Ἂς ὑποθέσουμε λοιπὸν ὅτι ἰατρὸς εἶναι ὁ Θεός, φιάλη ἡ πόλη, ἄρρωστος ὁ δύστροπος λαὸς τῶν Ἰουδαίων, καὶ ψυχροποσία ἡ ἄδεια καὶ ἡ δυνατότητα τελέσεως τῶν θυσιῶν. Ὅπως λοιπὸν ὁ ἰατρὸς συγκρατεῖ τὸν ἄρρωστο ἀπὸ τὴ βλαβερὴ ἀπαίτησή του καταστρέφοντας τὸ σκεῦος, ἔτσι καὶ ὁ Θεὸς ἀπομάκρυνε ἀπὸ τὶς θυσίες καταστρέφοντας τὴ πόλη αὐτὴ καὶ καθιστώντας την ἄβατη. Γιατί, ἂν δὲν ἤθελε νὰ κάμη αὐτό, τότε γιὰ ποιό λόγο περιώρισε τὴν ἱεροτελεστία αὐτὴ σὲ ἕναν τόπο, «αὐτὸς ποὺ εἶνα παντοῦ παρὼν καὶ πληροῖ τὰ πάντα»; Γιὰ ποιό λόγο λοιπὸν περιορίζοντας τὴ λατρεία σὲ θυσία, τὶς θυσίες σὲ τόπο, τὸν τόπο σὲ καιρὸ καὶ τὸν καιρὸ σὲ μιὰ πόλη, κατέστρεψε πάλι τὴν πόλη ἐκείνη;

Καὶ τὸ θαυμαστὸ βέβαια καὶ παράδοξο εἶναι, ὅτι ὅλη ἡ οἰκουμένη εἶναι διάπλατα ἀνοικτὴ στοὺς Ἰουδαίους, ὅπου ὅμως δὲν τοὺς ἐπιτρέπεται νὰ τελέσουν τὴ θυσία, καὶ μόνο ἡ Ἰερουσαλὴμ κατέστη ἄβατη σ' αὐτούς, ὅπου μόνο ἐπιτρεπόταν ἡ προσφορὰ τῆς θυσίας. Ἄρα δὲν εἶνα ὁλοφάνερη καὶ σ' αὐτοὺς ἀκόμη τοὺς πιὸ ἠλίθιους ἡ αἰτία τῆς καταστροφῆς ἐκείνης; Γιατί, ὅπως ἀκριβῶς ὁ οἰκοδόμος, ἀφοῦ τοποθετήση τὰ θεμέλια, ὑψώση τοὺς τοίχους, κατασκευάση θολωτὴ ὀροφὴ καὶ συνδέση τὴν καμάρα ἐκείνη σὲ μιὰ κεντρικὴ πέτρα, ἂν θελήση νὰ τὴν ἀφαιρέση, διέλυσε ὅλον τὸν σύνδεσμο τῆς οἰκοδομῆς, ἔτσι καὶ ὁ Θεός· ἀφοῦ κατέστησε κατὰ κάποιο τρόπο τὴν πόλη σύνδὲσμο λατρείας, στὴ συνέχεια καταστρέφοντάς την, κατέλυσε ταυτόχρονα καὶ ὁλόκληρο τὸ ὑπόλοιπο θρησκευτικὸ οἰκοδόμημα.

7. Ἡ μάχη λοιπὸν κατὰ τῶν Ἰουδαίων ἂς σταματήση ἐδῶ. Γιατὶ σήμερα ρίψαμε τὰ βέλη ἐναντίον τους, λέγοντας μόνο τόσα, ὅσα ἀρκοῦσαν γιὰ τὴν ἀσφάλεια τῶν ἀδελφῶν μας, ἢ καλύτερα καὶ πολὺ περισσότερα. Πρέπει ὅμως τώρα νὰ παρακαλέσω ἐσᾶς τοὺς παρό-

τας, ἵνα πολλὴν τῶν μελῶν τῶν ἡμετέρων ποιήσωνται πρόνοιαν, ἵνα μὴ λέγητε· ‘τί δέ μοι μέλει; τί δὲ ἐγὼ περιεργάζομαι καὶ πολυπραγμονῶ;’ Ὁ Δεσπότης ἡμῶν δι᾽ ἡμᾶς ἀπέθανε, σὺ δὲ οὐδὲ λόγον προΐεσαι; Καὶ ποίαν ἔχεις συγγνώμην; ποίας ἀπολογίας τεύξῃ; πῶς ἐπὶ τοῦ βήματος στήσῃ τοῦ Χριστοῦ μετὰ παρρησίας, εἰπέ μοι, τοσούτων ψυχῶν ἀπώλειαν παρορῶν; Εἴθε μοι δυνατὸν ἦν τοὺς ἐκεῖ τρέχοντας εἰδέναι, καὶ οὐκ ἂν ἐδεήθην ὑμῶν, ἀλλὰ τὴν ταχίστην ἐποιησάμην ἂν διόρθωσιν. Ὅταν τὸν ἀδελφὸν δέῃ διορθῶσαι, κἂν τὴν ψυχὴν ἐπιδοῦναι δέῃ, μὴ παραιτήσῃ· μίμησαί σου τὸν Δεσπότην. Κἂν οἰκέτην ἔχῃς, κἂν γυναῖκα, κάτεχε ἐπὶ τῆς οἰκίας μετὰ πολλῆς τῆς σφοδρότητος. Εἰ γὰρ εἰς θέατρον οὐκ ἐπιτρέπεις ἀπελθεῖν, πολλῷ μᾶλλον ἐπὶ συναγωγῆς τοῦτο χρὴ ποιεῖν. Μείζων γὰρ ἡ παρανομία ἐκείνης αὕτη· ἐκεῖ ἁμαρτία τὸ γινόμενον, ἐνταῦθα δὲ ἀσέβεια. Ταῦτα δὲ λέγομεν, οὐχ ἵνα εἰς θέατρον ἀφῆτε ἀναβαίνειν, κακὸν γὰρ κἀκεῖνο, ἀλλ᾽ ἵνα καὶ τοῦτο πολλῷ πλέον κωλύσητε.

Τί τρέχεις ἰδεῖν ἐν τῇ συναγωγῇ τῶν θεομάχων Ἰουδαίων, εἰπέ μοι; σαλπίζοντας ἀνθρώπους; δέον σε οἴκοι καθήμερον στενάζειν ὑπὲρ ἐκείνων καὶ δακρύειν, ὅτι τῷ προστάγματι τοῦ Θεοῦ μάχονται, ὅτι τὸν διάβολον ἔχουσι μεθ᾽ ἑαυτῶν χορεύοντα. Ὅπερ γὰρ ἔφθην εἰπών, τὸ παρὰ γνώμην τοῦ Θεοῦ γινόμενον, εἰ καί ποτε συγκεχωρημένον ἦν, ὕστερον παρανομία τίς ἐστι, καὶ μυρίων τιμωριῶν ὑπόθεσις. Ἐσάλπιζον οἱ Ἰουδαῖοί ποτε, ὅτε τὰς θυσίας εἶχον, νῦν δὲ αὐτοῖς οὐκ ἀφίεται τοῦτο ποιεῖν. Ἄκουσον γοῦν καὶ διὰ τί τὰς σάλπιγγας ἔλαβον· «ποίησον σεαυτῷ», φησί, «σάλπιγγας ἐλατὰς ἀργυρᾶς». Εἶτα λέγων αὐτῶν τὴν χρείαν, ἐπήγαγε· «καὶ σαλπιεῖτε ἐν αὐταῖς ἐπὶ τοῖς ὁλοκαυτώμασιν ὑμῶν καὶ ταῖς θυσίαις τῶν σωτηρίων ὑμῶν». Ποῦ τοίνυν ἐστὶν ὁ βωμός; ποῦ δὲ ἡ κιβωτός; ποῦ δὲ ἡ σκηνὴ καὶ τὰ ἅγια τῶν ἁγίων; ποῦ δὲ ὁ ἱερεύς; ποῦ δὲ τὰ Χερουβὶμ τῆς δόξης; ποῦ δὲ τὸ χρυσοῦν θυμιατήριον; ποῦ δὲ τὸ ἱλαστήριον; ποῦ αἱ φιάλαι; ποῦ τὰ σπονδεῖα; ποῦ τὸ πῦρ τὸ ἄνω-

20. Ἀριθμ. 10,2.
21. Ἀριθμ. 10,10.

ντες, ὥστε νὰ δείξετε πολλὴ φροντίδα γιὰ τὰ μέλη μας καὶ νὰ μὴ λέτε· 'τί μὲ μέλλει; γιατί ν' ἀσχολοῦμαι καὶ νὰ καταγίνωμαι ἐγὼ μὲ τοὺς ἄλλους;' Ὁ Κύριός μας πέθανε γιὰ μᾶς, καὶ σὺ δὲν λὲς οὔτε μιὰ λέξη; Καὶ ποιά συγχώρηση θὰ ἔχῃς; ποιὰ δικαιολογία θὰ προβάλῃς; πῶς θὰ σταθῇς, πές μου, μὲ θάρρος ἐνώπιον τοῦ βήματος τοῦ Χριστοῦ, ἀδιαφορώντας γιὰ τὴν ἀπώλεια τόσων ψυχῶν; Μακάρι νὰ μποροῦσα νὰ γνωρίζω ὅλους ἐκείνους ποὺ τρέχουν ἐκεῖ καὶ δὲν θὰ χρειαζόμουν τὴ βοήθειά σας, ἀλλὰ θὰ μποροῦσα νὰ τοὺς διορθώσω τάχιστα. Ὅταν χρειάζεται νὰ διορθώσῃς τὸν ἀδελφό σου, κι ἂν ἀκόμη χρειασθῇ νὰ προσφέρῃς τὴ ζωή σου, μὴ ἀποφύγῃς νὰ τὸ κάμῃς, ἀλλὰ μιμήσου τὸν Κύριό σου. Καὶ εἴτε ἔχεις δοῦλο, εἴτε ἔχεις γυναῖκα, κράτησέ τους στὸ σπίτι μὲ πολλὴ αὐστηρότητα. Γιατί, ἂν δὲν τοὺς ἐπιτρέπεις νὰ πηγαίνουν στὸ θέατρο, πολὺ περισσότερο πρέπει νὰ τὸ κάνῃς αὐτὸ γιὰ τὴ συναγωγή· γιατὶ αὐτὴ ἡ παρανομία εἶναι μεγαλύτερη ἀπὸ ἐκείνη. Στὴν περίπτωση ἐκείνη τὸ πρᾶγμα εἶναι ἁμαρτία, ἐνῶ σ' αὐτὴν εἶναι ἀσέβεια. Καὶ αὐτὰ τὰ λέμε ὄχι γιὰ νὰ τοὺς ἀφήνετε νὰ πηγαίνουν στὰ θέατρα, γιατὶ καὶ αὐτὸ εἶναι κακό, ἀλλὰ γιὰ νὰ τὸ ἐμποδίσετε καὶ αὐτὸ πολὺ περισσότερο.

Πές μου, τί τρέχεις νὰ δῇς στὴ συναγωγὴ τῶν θεομάχων Ἰουδαίων; ἀνθρώπους ποὺ παίζουν σάλπιγγες; Ἔπρεπε νὰ κάθεσαι στὸ σπίτι σου καὶ νὰ στενάζῃς γιὰ ἐκείνους καὶ νὰ δακρύζῃς, ποὺ ἀντιμάχονται τὰ προστάγματα τοῦ Θεοῦ, ποὺ ἔχουν μαζί τους τὸν διάβολο καὶ χορεύουν. Γιατί, ὅπως εἶπα παραπάνω, ἐκεῖνο ποὺ γίνεται παρὰ τὸ θέλημα τοῦ Θεοῦ, κι ἂν ἀκόμη κάποτε εἶχε ἐπιτραπῇ νὰ γίνεται, στὴ συνέχεια ὅμως γινόμενο εἶναι παρανομία καὶ αἰτία ἀπείρων τιμωριῶν. Σάλπιζαν κάποτε οἱ Ἰουδαῖοι, τότε ποὺ τελοῦσαν τὶς θυσίες, ἀλλὰ τώρα δὲν τοὺς ἐπιτρέπεται νὰ τὸ κάμουν αὐτό. Ἄκουσε ὅμως καὶ γιὰ ποιό λόγο ἔλαβαν τὶς σάλπιγγες· «κατασκεύασε», λέγει, «γιὰ τὸν ἑαυτό σου μὲ σφυρηλασία σάλπιγγες ἀργυρές»[20]. Ἔπειτα ἀνακοινώνοντας τὴ χρήση αὐτῶν πρόσθεσε· «καὶ θὰ σαλπίζετε μὲ αὐτὲς ὅταν θὰ προσφέρετε τὰ ὁλοκαυτώματά σας καὶ τὶς θυσίες πρὸς σωτηρία σας»[21]. Ποῦ εἶναι λοιπὸν ὁ βωμός; ποῦ εἶναι ἡ κιβωτός; ποῦ εἶναι ἡ σκηνὴ καὶ τὰ ἅγια τῶν ἁγίων; ποῦ ὁ ἱερεύς; ποῦ τὰ χερουβὶμ τῆς δόξης; ποῦ τὸ χρυσὸ θυμιατήρι; ποῦ τὸ ἱλαστήριο; ποῦ οἱ φιάλες; ποῦ τὰ σκεύη τοῦ λιβανισμοῦ; ποῦ ἡ φωτιὰ ποὺ

θεν κατενεχθέν; Πάντα ἀφῆκας καὶ τὰς σάλπιγγας κατέχεις μόνον; Ὁρᾷς ὅτι παίζουσι μᾶλλον, ἢ λατρεύουσιν;

Ἀλλ' ὥσπερ ἐκείνοις ἐγκαλοῦμεν, ὅτι παρανομοῦσιν, οὕτω καὶ πολλῷ μᾶλλον ὑμῖν, ὅτι τοῖς παρανομοῦσι συνέρχεσθε καὶ οὐχὶ τοῖς συντρέχουσι μόνον, ἀλλὰ καὶ τοῖς κυρίοις οὖσι κωλῦσαι καὶ μὴ βουλομένοις. Μή μοι λέγε· 'τί γὰρ ἔχω κοινὸν πρὸς ἐκεῖνον; Ἀλλότριός ἐστι καὶ ἄγνωστος'. Ἕως ἂν ᾖ πιστὸς καὶ τῶν αὐτῶν σοι μετέχων μυστηρίων καὶ εἰς τὴν αὐτὴν Ἐκκλησίαν ἀπαντᾷ καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ ἐπιτηδείων πάντων ἐστὶν οἰκειότερος. Ὥσπερ οὖν οὐχ οἱ κλέπτοντες μόνον, ἀλλὰ καὶ οἱ κύριοι μὲν ὄντες κωλῦσαι, μὴ κωλύοντες δέ, τὴν αὐτὴν ἐκείνοις διδόασι δίκην· οὕτως οὐχ οἱ ἀσεβοῦντες μόνον, ἀλλὰ καὶ οἱ δυνάμενοι μὲν ἀπαγαγεῖν τῆς ἀσεβείας, μὴ βουλόμενοι δέ, ἢ δι' ὄκνον ἢ διὰ νωθρίαν, ὁμοίως κολάζονται. Ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο κατορύξας, ὁλόκληρον ἀπέδωκε τῷ ἰδίῳ δεσπότῃ· ἀλλ' ὅμως ἐπειδὴ μὴ ἐπλεόνασεν αὐτὸ ἐκολάζετο. Καὶ σὺ τοίνυν αὐτός, ἂν καθαρὸς διαμείνῃς καὶ ἀκέραιος, μὴ πλεονάσῃς δέ σου τὸ τάλαντον, μηδὲ ἕτερον ἀδελφὸν ἀπολλύμενον ἐπαναγάγῃς εἰς σωτηρίαν, τὰ αὐτὰ ἐκείνῳ πείσῃ.

Τί μέγα αἰτῶ παρ' ὑμῶν, ἀγαπητοί; Ἕκαστος ὑμῶν ἕνα μοι τῶν ἀδελφῶν ἀνασωσάτω, περιεργασάσθω, πολυπραγμονησάτω, ἵνα εἰς τὴν ἐπιοῦσαν σύναξιν μετὰ πολλῆς παρρησίας ἀπαντήσωμεν, δῶρα τῷ Θεῷ κομίζοντες, δῶρα πάντων τιμιώτερα, τὰς ψυχὰς τῶν πεπλανημένων ἐπαναγαγόντες· κἂν ὑβρισθῆναι δέῃ, κἂν πληγὰς λαβεῖν, κἂν ὁτιοῦν ἕτερον ὑπομεῖναι, πάντα ποιήσωμεν, ὥστε αὐτοὺς ἀνακτήσασθαι. Καὶ γὰρ λακτιζόντων τῶν νοσούντων καὶ ὑβριζόντων καὶ λοιδορούντων ἀνεχόμεθα, οἱ δακνόμεθα ταῖς ὕβρεσιν, ἀλλ' ἓν μόνον ἐπιθυμοῦμεν ἰδεῖν, τοῦ τὰ τοιαῦτα ἀσχημοῦντος τὴν ὑγίειαν. Καὶ ἰατροῦ πολλάκις ἐσθῆτα διέρρηξεν ὁ κάμνων· ἀλλ' οὐ διὰ τοῦτο ἀπέστη ἐκεῖνος τῆς θεραπείας. Πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν τῶν σωμάτων προνοοῦντας τοσαύτην ποιεῖσθαι τὴν ἐπιμέλειαν, ψυχῶν δὲ τοσούτων ἀπολλυμένων, ῥᾳθυμεῖν καὶ μηδὲν ἡγεῖσθαι πάσχειν δεινόν, τῶν μελῶν ἡμῶν σηπομένων;

22. Ματθ. 25,15 ἑ.

κατέβηκε ἀπὸ τὸν οὐρανό; Ὅλα τὰ ἄφησες καὶ κρατᾶς μόνο τὶς σάλπιγγες; Βλέπεις ὅτι παίζουν μᾶλλον παρὰ λατρεύουν;

Ἀλλ' ὅπως κατηγοροῦμε ἐκείνους, γιατὶ παρανομοῦν, ἔτσι καὶ πολὺ περισσότερο κατηγοροῦμε ἐσᾶς, γιατὶ συναναστρέφεσθε μὲ ἐκείνους ποὺ παρανομοῦν, καὶ ὄχι μόνο ἐκείνους ποὺ τρέχουν μαζί τους στὶς συναγωγές, ἀλλὰ καὶ ἐκείνους ποὺ μποροῦν νὰ τοὺς ἐμποδίσουν καὶ δὲν θέλουν. Μὴ μοῦ λές· 'Τί σχέση ἔχω ἐγὼ μὲ ἐκεῖνον; μοῦ εἶναι ξένος καὶ ἄγνωστος'. Ὅσο εἶναι πιστὸς καὶ μετέχει μαζί σου στὰ μυστήρια καὶ συχνάζει στὴν ἴδια ἐκκλησία, εἶναι πιὸ συγγενὴς καὶ ἀπὸ τοὺς ἀδελφοὺς καὶ ἀπὸ τοὺς συγγενεῖς καὶ ἀπὸ τοὺς φίλους. Ὅπως δηλαδὴ ὄχι μόνο οἱ κλέπτες, ἀλλὰ καὶ ὅσοι μποροῦν ν' ἀποτρέψουν τὴ κλοπὴ καὶ δὲν τὸ κάμνουν, τιμωροῦνται μὲ τὴν ἴδια τιμωρία, ἔτσι τιμωροῦνται ὅμοια ὄχι μόνον οἱ ἀσεβεῖς, ἀλλὰ καὶ ὅσοι μποροῦν ν' ἀπομακρύνουν ἀπὸ τὴν ἀσέβεια, ἀλλὰ δὲν θέλουν νὰ τὸ κάνουν, ἢ ἀπὸ ὀκνηρία ἢ ἀπὸ νωθρότητα. Γιατὶ καὶ ἐκεῖνος ποὺ ἀπέκρυψε στὴ γῆ τὸ τάλαντο, τὸ ἐπέστρεψε ὁλόκληρο στὸν κύριό του, ἀλλὰ τιμωρήθηκε, γιατὶ δὲν τὸ πολλαπλασίασε[22]. Καὶ σὺ λοιπόν, ἂν παραμείνης καθαρὸς καὶ ἀκέραιος, δὲν πολλαπλασιάσης ὅμως τὸ τάλαντό σου οὔτε καὶ ὁδηγήσης ἀδελφὸ ποὺ χάνεται στὴ σωτηρία, θὰ πάθης τὰ ἴδια μὲ ἐκεῖνον.

Τί μεγάλο πρᾶγμα ζητῶ ἀπὸ σᾶς, ἀγαπητοί μου; Ὁ καθένας σας γιὰ χάρη μου ἂς σώση κάποιον ἀπὸ τοὺς ἀδελφούς, ἂς ἐνδιαφερθῆ κι ἂς φροντίση, ὥστε στὴν ἑπόμενη σύναξή μας νὰ συναντηθοῦμε μὲ πολλὴ παρρησία, προσφέροντας στὸν Θεὸ δῶρα, ποὺ εἶναι τιμιώτερα ἀπὸ ὅλα, ἐπαναφέροντας στὴ σωτηρία τὶς ψυχὲς τῶν πλανημένων ἀδελφῶν μας. Κι ἂν χρειασθῆ νὰ ὑβρισθοῦμε, ἢ νὰ δεχθοῦμε πλήγματα, ἢ νὰ ὑπομείνουμε ὁ,τιδήποτε ἄλλο, ἂς κάμουμε τὰ πάντα, ὥστε νὰ τοὺς ἐπανακτήσουμε. Γιατὶ καὶ ὅταν μᾶς κλωτσοῦν οἱ ἀσθενεῖς καὶ μᾶς ὑβρίζουν καὶ μᾶς ἐμπαίζουν τοὺς ἀνεχόμαστε καὶ δὲν ντρεπόμαστε γιὰ τὶς ὕβρεις τους, ἀλλ' ἕνα μόνο ἐπιθυμοῦμε νὰ δοῦμε, τὴν ὑγεία ἐκείνου ποὺ κάμνει αὐτὲς τὶς ἀσχημοσύνες. Ὁ ἄρρωστος πολλὲς φορὲς ξέσχισε τὴ στολὴ τοῦ ἰατροῦ, ἀλλ' ἐκεῖνος δὲν παραιτεῖται γι' αὐτὸ ἀπὸ τὴ θεραπεία του. Πῶς λοιπὸν δὲν εἶναι παράλογο, ἐκεῖνοι ποὺ ἔχουν τὴν πρόνοια τῶν σωμάτων νὰ δείχνουν τόση φροντίδα, καὶ ἐμεῖς, βλέποντας τόσες ψυχὲς νὰ χάνωνται, ν' ἀδιαφοροῦμε καὶ νὰ νομίζουμε, ὅτι δὲν πα-

Ἀλλ᾽ οὐχ ὁ Παῦλος οὕτως· ἀλλὰ πῶς; «Τίς», φησίν, «ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;». Τοῦτο καὶ σὺ δέξαι τὸ πῦρ· κἂν ἴδῃς ἀδελφὸν ἀπολλύμενον, κἂν λοιδορῇ, κἂν ὑβρίζῃ, κἂν τύπτῃ, κἂν ἀπειλῇ ἐχθρὸς γενέσθαι, κἂν ὁτιοῦν ἕτερον ἐπανατείνηται, πάντα φέρε γενναίως, ὅπως αὐτοῦ κερδάνῃς τὴν σωτηρίαν. Ἐὰν οὗτος ἐχθρός σου γένηται, ὁ Θεὸς ἔσται σου φίλος καὶ μεγάλοις σε κατὰ τὴν ἡμέραν ἐκείνην ἀμείψεται τοῖς ἀγαθοῖς.

Γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων τούς τε πεπλανημένους ἀνασωθῆναι, ὑμᾶς τε τῆς ἄγρας περιγενέσθαι, αὐτούς τε τοὺς βλασφήμους ἐκείνους τῆς ἀσεβείας ἀπαλλαγέντας, ἐπιγνῶναι τὸν ὑπὲρ αὐτῶν σταυρωθέντα Χριστόν, ἵνα πάντες ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θαίνομε κανένα κακό, τὴ στιγμὴ ποὺ σαπίζουν τὰ μέλη μας; Ὅμως ὁ Παῦλος δὲν ἐνεργεῖ ἔτσι, ἀλλὰ πῶς; «Ποιός», λέγει, «εἶναι ἀσθενὴς καὶ δὲν εἶμαι καὶ ἐγώ; Ποιός σκανδαλίζεται καὶ δὲν φλογίζομαι ἐγὼ ἀπὸ πόνο;»[23]. Αὐτὴ λοιπὸν τὴ φλόγα δέξου καὶ σύ, κι ἂν δῆς κάποιον ἀδελφὸ νὰ χάνεται, εἴτε σὲ κακολογεῖ, εἴτε σὲ ὑβρίζει, εἴτε σὲ κτυπᾶ, εἴτε σὲ ἀπειλεῖ ὅτι θὰ γίνη ἐχθρός σου, εἴτε σὲ ἀπειλεῖ ὅτι θὰ κάμη ὁ,τιδήποτε ἄλλο, ὅλα ὑπόμεινέ τα μὲ γενναιότητα, ὥστε νὰ κερδίσης τὴ σωτηρία του. Ἂν αὐτὸς γίνη ἐχθρός σου, ὁ Θεὸς θὰ γίνη φίλος σου καὶ κατὰ τὴν ἡμέρα ἐκείνη θὰ σὲ ἀνταμείψη μὲ μεγάλα ἀγαθά.

Εὔχομαι μὲ τὶς εὐχὲς τῶν ἁγίων καὶ οἱ πλανημένοι νὰ σωθοῦν, ἀφοῦ σεῖς φροντίσετε νὰ τοὺς βρῆτε καὶ νὰ τοὺς ἐπαναφέρετε, καὶ ἀφοῦ ἀπαλλαγοῦν οἱ βλάσφημοι ἐκεῖνοι ἀπὸ τὴν ἀσέβεια, νὰ γνωρίσουν τὸν Χριστό, ποὺ σταυρώθηκε γι' αὐτούς, ὥστε ὅλοι μαζὶ καὶ μὲ ἕνα στόμα νὰ δοξάζουμε τὸν Θεὸ καὶ Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ τὸ κράτος, μαζὶ καὶ στὸ ἅγιο Πνεῦμα, σ' ὅλους τοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

23. Β' Κορ. 11,29.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

1. Πόθεν ἡμῖν ἄρα πλείων ὁ σύλλογος γέγονε σήμερον; Πρὸς τὴν ἀπαίτησιν τῆς ὑποσχέσεως ἀπηντήσατε πάντως καὶ τὸ ἀργύριον τὸ πεπυρωμένον, ὅπερ ὑπεσχόμην καταβαλεῖν, ὑποδέξασθαι παρεγένεσθε. «Τὰ λόγια γάρ», φησί, «Κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ». Εὐλογητὸς ὁ Θεός, ὁ τοσαύτην ὑμῖν περὶ τὴν πνευματικὴν ἀκρόασιν ἐπιθυμίαν ἐνθείς. Καθάπερ γὰρ οἱ φίλοινοι καὶ φιλοπόται, ἐναγόμενοι καθ' ἑκάστην ἡμέραν, περιεργάζονται καὶ πολυπραγμονοῦσι ποῦ πότοι καὶ συμπόσια καὶ δεῖπνα καὶ κῶμοι καὶ μέθαι καὶ φιάλαι καὶ κρατῆρες καὶ ποτήρια, οὕτω δὴ καὶ ὑμεῖς, καθ' ἑκάστην ἡμέραν ἀνιστάμενοι περιεργάζεσθε, ποῦ παραίνεσις καὶ συμβουλὴ καὶ παράκλησις καὶ διδασκαλία καὶ λόγος εἰς δόξαν Χριστοῦ συντείνων. Διὰ ταῦτα καὶ ἡμεῖς αὐτοὶ προθυμότερον ταύτης ἁπτόμεθα τῆς ὑποθέσεως καί, ἅπερ ὑπεσχόμεθα, μετὰ πάσης κατατίθεμεν τῆς εὐγνωμοσύνης.

Ἡ μὲν οὖν πρὸς Ἰουδαίους μάχη τέλος ἔλαβε τὸ προσῆκον καὶ τὸ τρόπαιον ἕστηκε καὶ ὁ στέφανος ἡμῖν ἀπήρτισται καὶ τὸ βραβεῖον ἡρπάσαμεν καὶ ἀπὸ τῆς προτέρας διαλέξεως. Τὸ γὰρ σπουδαζόμενον ἦν ἡμῖν ἀποδεῖξαι, ὅτι τὰ γινόμενα νῦν ὑπ' αὐτῶν παρανομία τίς ἐστι καὶ παράβασις καὶ ἀνθρώπων πρὸς Θεὸν μάχη καὶ πόλεμος· καὶ τοῦτο σὺν Θεῷ μετὰ ἀκριβείας ἁπάσης ἀπεδείχθη. Εἰ γὰρ καὶ μέλλοιεν ἀπολαμβάνειν τὴν ἑαυτῶν πόλιν καὶ ἐπὶ τὴν προτέραν ἐπανιέναι πολιτείαν καὶ τὸν ναὸν ὁρᾶν ἀνιστάμενον, ὅπερ οὐδέ ποτε ἔσται, οὐδὲ οὕτως ἔχουσί τινα ἀπολογίαν ἐν τοῖς νῦν ὑπ' αὐτῶν γινομένοις. Ἐπεὶ καὶ οἱ παῖδες οἱ τρεῖς καὶ Δανιὴλ

1. Ψαλμ. 11,7.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

Γιὰ ποιό λόγο ἄραγε ἡ συγκέντρωσή μας σήμερα ἔγινε μεγαλύτερη; Ὁπωσδήποτε ἀνταποκριθήκατε στὴν ἀπαίτηση τῆς ὑποσχέσεως καὶ ἤλθατε νὰ λάβετε τὸ δοκιμασμένο ἀργύριο, ποὺ ὑποσχέθηκα νὰ σᾶς δώσω. Γιατὶ λέγει, «τὰ λόγια τοῦ Κυρίου εἶναι λόγια ἁγνά· ἀργύριο πυρακτωμένο καὶ δοκιμασμένο στὴ γῆ»[1]. Εὐλογητὸς ὁ Θεός, ποὺ ἔβαλε μέσα σας τόση μεγάλη ἐπιθυμία γιὰ τὴν πνευματικὴ ἀκρόαση. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἀγαποῦν τὸ κρασὶ καὶ τὰ ἄλλα ποτά, ἀφοῦ σηκωθοῦν ἀπὸ τὸν ὕπνο κάθε ἡμέρα ἐρευνοῦν καὶ ψάχνουν ἐπίμονα νὰ μάθουν ποῦ ὑπάρχει πολυποσία καὶ συμπόσια καὶ δεῖπνα καὶ διασκεδάσεις καὶ μεθύσια καὶ φιάλες καὶ βαρέλια καὶ ποτήρια, ἔτσι λοιπὸν καὶ ἐσεῖς, κάθε ἡμέρα, ἀφοῦ σηκωθῆτε ἀπὸ τὸν ὕπνο, ἀναζητεῖτε νὰ μάθετε ποῦ ὑπάρχει παραίνεση καὶ συμβουλὴ καὶ παράκληση καὶ διδασκαλία καὶ λόγος, ποὺ ἀποσκοπεῖ στὴ δόξα τοῦ Χριστοῦ. Γι' αὐτὸ καὶ ἐγὼ μὲ μεγαλύτερη προθυμία ἀσχολοῦμαι μὲ τὴν ὑπόθεση αὐτὴ καὶ ἐκεῖνα ποὺ ὑποσχέθηκα σᾶς τὰ προσφέρω μ' ὅλη μου τὴν εὐχαρίστηση.

Ὁ ἀγώνας λοιπὸν κατὰ τῶν Ἰουδαίων ἔλαβε τὸ τέλος ποὺ ἔπρεπε, τὸ τρόπαιο στήθηκε πιά, τὸ στεφάνι κατασκευάσθηκε καὶ πήραμε τὸ βραβεῖο ἀπὸ τὸν προηγούμενο λόγο. Ἡ προσπάθειά μας δηλαδὴ ἦταν ν' ἀποδείξουμε, ὅτι τὰ ὅσα αὐτοὶ πράττουν τώρα εἶναι παρανομία καὶ παράβαση καὶ μάχη καὶ πόλεμος τῶν ἀνθρώπων ἐναντίον τοῦ Θεοῦ, πρᾶγμα ποὺ μὲ τὴ βοήθεια τοῦ Θεοῦ ἀποδείχθηκε ἐπακριβῶς. Καὶ ἂν ἀκόμη δηλαδὴ ἐπρόκειτο νὰ ἐπανακτήσουν τὴν πόλη τους καὶ νὰ ἐπανέλθουν στὸν παλιὸ τρόπο ζωῆς καὶ νὰ δοῦν νὰ ἀνοικοδομῆται ὁ ναός, πρᾶγμα ποὺ δὲν πρόκειται νὰ γίνη ποτέ, οὔτε καὶ τότε θὰ εἶχαν κάποια δικαιολογία γιὰ τὰ ὅσα γίνονται τώρα ἀπ' αὐτούς. Γιατὶ καὶ οἱ τρεῖς παῖδες καὶ ὁ Δανιὴλ καὶ ὅλοι

καὶ οἱ ἄλλοι ἅπαντες, οἱ ἐπὶ τῆς αἰχμαλωσίας διατρίβοντες, προσεδόκων ἀπολήψεσθαι τὴν ἑαυτῶν πόλιν καὶ μετὰ ἑβδομήκοντα ἔτη τὸ ἔδαφος ὄψεσθαι τῆς πατρίδος καὶ ἐν τοῖς νόμοις τοῖς προτέροις βιώσεσθαι· ἀλλ' ὅμως καὶ φανερὰν ὑπόσχεσιν ἔχοντες καὶ ὡμολογημένην, οὐδὲ οὕτως ἐτόλμων πρὸ τῆς ὑποσχέσεως καὶ τῆς ἐπανόδου ποιῆσαί τι τῶν νομίμων, ὧν οὗτοι ποιοῦσι νῦν· οὕτω καὶ σὺ δυνήσῃ τὸν Ἰουδαῖον ἐπιστομίσαι.

Ἐρώτησον γὰρ αὐτόν, 'τίνος ἕνεκεν νηστεύεις, οὐκ ἔχων τὴν πόλιν'; Κἂν εἴπῃ, ὅτι 'προσδοκῶ τὴν πόλιν ἀπολαμβάνειν', εἰπὲ πρὸς αὐτόν· 'οὐκοῦν ἕως ἂν ἀπολάβῃς ἡσύχαζε. Καὶ γὰρ οἱ ἅγιοι ἐκεῖνοι, ἕως ὅτε πρὸς τὴν πατρίδα τὴν ἑαυτῶν ἐπανῆλθον, οὐδὲν ἐτόλμων ποιεῖν, ὧν σὺ ποιεῖς νῦν. Ὅθεν δῆλον ὅτι παρανομεῖς νῦν, κἂν μέλλῃς τὴν πόλιν ἀπολαμβάνειν, ὡς σύ φῄς, καὶ τὰς πρὸς Θεὸν παραβαίνεις συνθήκας καὶ τὴν πολιτείαν αὐτὴν ἐνυβρίζεις'. Πρὸς μὲν οὖν τὸ τὴν τῶν Ἰουδαίων ἀναισχυντίαν ἐπιστομίσαι καὶ δεῖξαι παρανομοῦντας αὐτούς, ἱκανὰ καὶ τὰ τῇ προτέρᾳ διαλέξει πρὸς τὴν ἀγάπην ὑμῶν εἰρημένα. Ἐπειδὴ δὲ οὐ τοῦτο ἐσπουδάκαμεν μόνον, ἐκείνων ἀπορράψαι τὰ στόματα, ἀλλὰ καὶ τὴν Ἐκκλησίαν παιδεῦσαι μειζόνως τὰ οἰκεῖα δόγματα, φέρε ἐκ περιουσίας τοῦτο ἀποδείξωμεν πάλιν, ὅτι οὔτε ἀναστήσεται λοιπὸν ὁ ναός, οὐδὲ εἰς τὴν προτέραν ἐπανήξουσι πολιτείαν. Οὕτω γὰρ ὑμεῖς τε ἀκριβέστερον εἴσεσθε τὰ ἀποστολικὰ δόγματα, ἐκεῖνοί τε μειζόνως ἀσεβοῦντες ἁλώσονται. Παρέξομεν δὲ μάρτυρα τούτων οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον, ἀλλ' αὐτὸν τὸν τῆς οἰκουμένης ἁπάσης Δεσπότην, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Εἰσελθὼν γὰρ εἰς τὰ Ἱεροσόλυμα καὶ τὸν ναὸν ἰδών, ἔλεγεν, ὅτι «ἔσται Ἰερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν πολλῶν, ἕως οὗ πληρωθῶσι καιροὶ ἐθνῶν πολλῶν», τὸν μέχρι συντελείας λέγων χρόνον. Καὶ πάλιν περὶ τοῦ ναοῦ ταῦτα ἠπείλησε, τοῖς μαθηταῖς εἰπών· «οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ἐν τῷ τόπῳ τούτῳ, ἕως οὗ καταλυθῇ», τὸν ἀφανισμὸν τὸν παντελῆ καὶ τὴν ἐρήμωσιν προαναφωνῶν τὴν εἰς τέλος.

2. Λουκᾶ 21,24.
3. Ματθ. 24,2.
4. Ἡ προφητεία ἐκπληρώθηκε τὸ 70 μ. Χ., ὅταν ὁ Ρωμαῖος αὐτοκράτορας Τίτος κυρίευσε τὰ Ἱεροσόλυμα καὶ κατέστρεψε ἐκ θεμελίων τὸν ναό.

οἱ ἄλλοι, ποὺ ἔζησαν στὴν αἰχμαλωσία, μὲ ἀγωνία περίμεναν νὰ ἐπανέλθουν στὴν πόλη τους καὶ ὕστερα ἀπὸ ἑβδομήντα χρόνια νὰ δοῦν τὸ χῶμα τῆς πατρίδας τους καὶ νὰ ζήσουν σύμφωνα μὲ τοὺς παλιοὺς νόμους. Ἀλλ' ὅμως, ἂν καὶ εἶχαν φανερὴ ὑπόσχεση καὶ ἐπιβεβαιωμένη, οὔτε καὶ ἔτσι τόλμησαν πρὶν ἀπὸ τὴν ἐκπλήρωση τῆς ὑποσχέσεως καὶ τὴν ἐπάνοδό τους νὰ πράξουν κάτι ἀπὸ τὰ νόμιμα, τὰ ὁποῖα τώρα αὐτοὶ πράττουν. Ἔτσι καὶ σὺ θὰ μπορέσης μὲ αὐτὰ ν' ἀποστομώσης τὸν Ἰουδαῖο.

Ρώτησέ τὸν λοιπόν. 'Γιὰ ποιό λόγο νηστεύεις, ἀφοῦ δὲν βρίσκεσαι στὴν πόλη σου;' Καὶ ἂν σοῦ πῆ, 'περιμένω νὰ ἐπιστρέψω στὴν πόλη', τότε πές του. 'Μέχρι λοιπὸν νὰ ἐπιστρέψης, ἡσύχαζε. Γιατὶ καὶ οἱ ἅγιοι ἐκεῖνοι, πρὶν ἀπὸ τὴν ἐπάνοδό τους στὴν πατρίδα, δὲν τόλμησαν νὰ κάμουν τίποτε ἀπὸ αὐτὰ ποὺ τώρα σὺ κάμνεις. Ἄρα εἶναι φανερό, ὅτι παρανομεῖς τώρα, ἔστω καὶ ἄν, ὅπως λές, πρόκειται ν' ἀνακτήσης τὴν πόλη, παραβαίνεις τὶς συμφωνίες σου μὲ τὸν Θεὸ καὶ μὲ τὸν τρόπο αὐτὸ ζωῆς καὶ λατρείας τὸν καθυβρίζεις'. Γιὰ ν' ἀποστομώσης λοιπὸν τὴν ἀναίδεια τῶν Ἰουδαίων καὶ ν' ἀποδείξης, ὅτι αὐτοὶ παρανομοῦν, σοῦ εἶναι ἀρκετὰ τὰ ὅσα λέχθηκαν πρὸς τὴν ἀγάπη σας κατὰ τὴν προηγούμενη ὁμιλία. Ἐπειδὴ ὅμως δὲν ἦταν ἡ προσπάθειά μας μόνο αὐτό, τὸ νὰ κλείσουμε τὰ στόματά τους, ἀλλὰ καὶ νὰ διδάξουμε στοὺς πιστοὺς τῆς Ἐκκλησίας τὰ δόγματά μας, ἐμπρὸς ἂς τὸ ἀποδείξουμε καὶ πάλι μὲ περισσότερα ἐπιχειρήματα, ὅτι οὔτε θὰ ἀνοικοδομηθῆ ὁ ναὸς οὔτε καὶ αὐτοὶ θὰ ἐπανέλθουν στὸ παλιὸ πολίτευμά τους. Γιατὶ ἔτσι σεῖς ἀκριβέστερα θὰ γνωρίσετε τὴν ἀποστολικὴ διδασκαλία, ἐνῶ ἐκεῖνοι θὰ συλληφθοῦν νὰ ἀσεβοῦν πιὸ πολύ. Καὶ θὰ παρουσιάσω γι' αὐτὰ μάρτυρα ὄχι ἄγγελο ἢ ἀρχάγγελο, ἀλλὰ τὸν ἴδιο τὸν Δεσπότη ὅλης τῆς οἰκουμένης, τὸν Κύριό μας Ἰησοῦ Χριστό. Γιατί, μπαίνοντας στὰ Ἱεροσόλυμα καὶ ἀντικρύζοντας τὸν ναὸ εἶπε· «καὶ θὰ καταπατῆται ἡ Ἰερουσαλὴμ ἀπὸ πολλὰ ἔθνη, μέχρι ποὺ νὰ συμπληρωθοῦν οἱ χρόνοι κυριαρχίας τῶν πολλῶν ἐθνῶν»[2], ἐννοώντας τὸν χρόνο μέχρι τὴ συντέλεια. Ἀλλὰ καὶ σὲ ἄλλη περίπτωση διατύπωσε ἐνώπιον τῶν μαθητῶν του κατὰ τοῦ ναοῦ τὴν ἀπειλὴ αὐτή· «δὲ θὰ μείνη στὸν τόπο αὐτὸ λίθος ἐπάνω σὲ λίθο, μέχρι ποὺ θὰ καταστραφῆ»[3], προφητεύοντας ἔτσι τὸν παντελῆ ἀφανισμὸ καὶ τὴν ἐρήμωσή του[4].

Ἀλλ' ὁ Ἰουδαῖος παραγράφεται τὴν μαρτυρίαν πάντως καὶ οὐκ ἀνέχεται τῶν εἰρημένων. 'Ἐχθρός', γὰρ φησίν, 'ἐστὶν ἐμὸς ὁ ταῦτα λέγων· ἐγὼ αὐτὸν ἐσταύρωσα, καὶ πῶς αὐτοῦ παραδέξομαι τὴν μαρτυρίαν;' Τοῦτο γάρ ἐστι τὸ θαυμαστόν, ὦ Ἰουδαῖε, ὅτι ὃν ἐσταύρωσας, μετὰ τὸ σταυρωθῆναι τότε σου τὴν πόλιν καθεῖλε, τότε σου τὸν δῆμον διεσκόρπισε, τότε τὸ ἔθνος πανταχοῦ διέσπειρε· διδάσκων, ὅτι ἀνέστη καὶ ζῇ καὶ νῦν ἐστιν ἐν τοῖς οὐρανοῖς. Ἐπειδὴ γὰρ διὰ τῶν εὐεργεσιῶν οὐκ ἠθέλησας αὐτοῦ γνῶναι τὴν δύναμιν, διὰ τῶν κολάσεων καὶ τῶν τιμωριῶν ἐπαίδευσέ σε τὴν ἄμαχον αὐτοῦ καὶ ἀκαταγώνιστον ἰσχύν. Ἀλλ' οὐδὲ οὕτω πιστεύεις, οὐδὲ νομίζεις αὐτὸν εἶναι Θεὸν καὶ τῆς οἰκουμένης Δεσπότην, ἀλλ' ἄνθρωπον ἕνα τῶν πολλῶν. Φέρε οὖν, ὡς ἐπ' ἀνθρώπῳ ποιησώμεθα τὴν ἐξέτασιν. Πῶς δὲ ἐπ' ἀνθρώπων ποιούμεθα τὴν ἐξέτασιν; Ὅταν ἴδωμέν τινας ἀνθρώπους ἐν ἅπασιν ἀληθεύοντας καὶ ἐν μηδενὶ ψευδομένους· κἂν ἐχθροὶ τυγχάνοντες ὦσι καὶ νοῦν ἔχομεν, δεχόμεθα τὰ ὑπ' αὐτῶν λεγόμενα. Ὥσπερ οὖν ὅταν ἴδωμεν ψευδομένους, κἂν ἀληθεύωσιν ἔν τισιν, οὐδὲ ἐκεῖνα ῥᾳδίως παραδεχόμεθα.

2. Φέρε οὖν, ἴδωμεν ὁποῖον τὸ ἦθος τοῦ Χριστοῦ καὶ ποῖος ὁ τρόπος. Οὐδὲ γὰρ τοῦτο μόνον προεῖπε καὶ προανεφώνησεν, ἀλλὰ καὶ ἄλλα τινὰ πολλὰ τῶν μελλόντων ἐκβήσεσθαι μετὰ μακρὸν ὕστερον χρόνον προανηγόρευσε τότε. Ἀγάγωμεν τοίνυν ἐκείνας τὰς προρρήσεις εἰς μέσον, κἂν ἴδῃς ἐν ἐκείναις ψευδόμενον, μηδὲ ταύτην καταδέξῃ, μηδὲ νομίσῃς εἶναι πιστόν· ἂν δὲ ἴδῃς ἐν ἅπασιν ἀληθεύοντα καὶ ταύτην τέλος εἰληφυῖαν τὴν πρόρρησιν καὶ τὸν ἄφατον μαρτυροῦντα χρόνον τῇ τῶν προειρημένων ἀληθείᾳ, μὴ ἀναισχύντει περαιτέρω, μηδὲ φιλονείκει τοῖς ἡλίου φανερωτέροις πράγμασιν. Τί οὖν καὶ ἄλλο προεῖπεν, ἴδωμεν. «Προσῆλθεν αὐτῷ γυνή, ἀλάβαστρον μύρου ἔχουσα πολυτίμου, καὶ κατέχεε τὸ ἔλαιον. Ἐπετίμησαν ὁ μαθηταὶ τῷ γενομένῳ, λέγοντες· διὰ τί μὴ ἐπράθη τοῦτο τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς;». Ἐγκαλῶν τοί-

5. Ματθ. 26,7–9. Ἰω. 1,3–5.

Ἀλλ' ὁ Ἰουδαῖος ἀπορρίπτει ἀσφαλῶς τὴ μαρτυρία αὐτὴ καὶ δὲν δέχεται τὰ λεχθέντα. Γιατὶ λέγει, 'εἶναι ἐχθρός μου αὐτὸς ποὺ τὰ εἶπε· ἐγὼ τὸν σταύρωσα· καὶ πῶς εἶναι δυνατὸ ν' ἀποδεχθῶ τὴ μαρτυρία του;' Κι ὅμως, Ἰουδαῖε, αὐτὸ εἶναι τὸ ἀξιοθαύμαστο, ὅτι αὐτός, ποὺ τὸν σταύρωσες ἐσύ, ἀφοῦ τὸν σταύρωσες, τότε σοῦ κατέστρεψε τὴν πόλη, τότε διασκόρπισε τὸν λαό σου, τότε διέσπειρε τὸ ἔθνος σου παντοῦ, διδάσκοντας, ὅτι ἀναστήθηκε καὶ ζεῖ καὶ βρίσκεται στοὺς οὐρανούς. Ἐπειδὴ ὅμως δὲν θέλησες μὲ τὶς εὐεργεσίες του νὰ γνωρίσης τὴ δύναμή του, σοῦ δίδαξε μὲ τὰ βάσανα καὶ τὶς τιμωρίες τὴν ἀκαταμάχητη καὶ ἀκαταγώνιστη ἰσχύ του. Ὅμως οὔτε καὶ ἔτσι πιστεύεις, οὔτε τὸν ἀναγνωρίζεις Θεὸ καὶ Κύριο τῆς οἰκουμένης, ἀλλὰ τὸν θεωρεῖς ἄνθρωπο σὰν ἕνα ἀπὸ τοὺς πολλούς. Ἐμπρὸς λοιπὸν ἂς κάνουμε τὴν ἐξέταση, σὰν νὰ πρόκειται γιὰ ἄνθρωπο. Καὶ πῶς κάμνουμε τὴν ἐξέταση σχετικὰ μὲ τοὺς ἀνθρώπους; Ὅταν δοῦμε μερικῶν ἀνθρώπων τὰ λόγια νὰ εἶναι γιὰ ὅλα ἀληθινὰ καὶ σὲ τίποτε νὰ μὴ ψεύδονται, καὶ ἂν ἀκόμη αὐτοὶ συμβαίνη νὰ εἶναι ἐχθροί μας, ἂν εἴμαστε λογικοί, ἀποδεχόμαστε τὰ λεγόμενά τους. Ὅπως βέβαια ὅταν τοὺς βλέπουμε νὰ ψεύδωνται, καὶ ἂν ἀκόμη σὲ ὡρισμένα ἐπαληθεύουν τὰ λόγια τους, τότε οὔτε καὶ αὐτὰ τὰ ἀποδεχόμαστε εὔκολα.

2. Ἐμπρὸς λοιπόν, ἂς ἐξετάσουμε ποιό ἦταν τὸ ἦθος τοῦ Χριστοῦ καὶ ποιός ὁ ὅλος τρόπος ζωῆς του. Γιατὶ δὲν εἶναι αὐτὸ μόνο ποὺ προεῖπε καὶ προανήγγειλε, ἀλλὰ προφήτευσε τότε καὶ πολλὰ ἄλλα ποὺ ἐπρόκειτο νὰ πραγματοποιηθοῦν ὕστερα ἀπὸ ἀρκετὸ χρόνο. Ἂς φέρουμε λοιπὸν στὸ μέσο ὅλες ἐκεῖνες τὶς προφητεῖες, καὶ ἂν δῆς σ' ἐκεῖνες νὰ διαψεύδεται, τότε μὴ παραδεχθῆς καὶ αὐτὴν καὶ μὴ τὴν θεωρήσης ἀληθινή. Ἂν ὅμως δῆς σ' ὅλα νὰ ἐπαληθεύωνται τὰ λεγόμενά του καὶ νὰ ἔχη ἐκπληρωθῆ ἡ προφητεία αὐτὴ καὶ ὁ τόσος χρόνος ποὺ ἔχει περάσει νὰ ἐπιβεβαιώνη τὴν ἀλήθεια ὅσων ἔχουν προφητευθῆ, τότε μὴ συνεχίσης νὰ φέρεσαι μὲ ἀδιαντροπιὰ οὔτε καὶ νὰ φιλονεικῆς γιὰ πράγματα ποὺ εἶναι πιὸ φανερα κι ἀπὸ τὸν ἥλιο. Ἂς δοῦμε λοιπὸν καὶ τί ἄλλο προεῖπε. «Τὸν πλησίασε μιὰ γυναῖκα, ἔχοντας ἀλάβαστρο μὲ μύρο πολύτιμο, καὶ ἔχυσε τὸ ἔλαιο ἐπάνω του. Ἐπιτίμησαν οἱ μαθητὲς τὴν πράξη αὐτή, λέγοντας· Γιατί δὲν πωλήθηκε αὐτὸ ἔναντι τριακοσίων δηναρίων καὶ νὰ δοθοῦν τὰ χρήματα στοὺς φτωχούς;»[5]. Ἐπιτιμώντας τους τότε ὁ Κύριος τοὺς

νυν αὐτοῖς, οὕτω πως φησίν· «τί κόπους παρέχετε τῇ γυναικί; Ἔργον γὰρ καλὸν ἐποίησε. Λέγω γὰρ ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο εἰς πᾶσαν τὴν γῆν, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς». Ἆρ' οὖν ἐψεύσατο ἢ ἠλήθευσεν; Ἔλαβε τέλος ἡ προφητεία ἢ διέπεσεν; Ἐρώτησον τὸν Ἰουδαῖον· κἂν μυριάκις ἀναισχυντῇ, πρὸς τὴν πρόρρησιν ταύτην ἀντιβλέψαι οὐκ ἔχει. Καὶ γὰρ ἐν Ἐκκλησίαις ἁπάσαις ἀκούομεν τὴν γυναῖκα λαλουμένην καὶ ἑστήκασιν ὕπατοι, στρατηγοί, ἄνδρες, γυναῖκες, περιφανεῖς, ἐπίσημοι, λαμπροὶ ἐν ἁπάσαις πόλεσιν· καὶ ὅπου περ ἂν ἀφίκῃ τῆς οἰκουμένης, μετὰ πάσης ἡσυχίας ἀκούσῃ τὸ κατόρθωμα τῆς γυναικός, καὶ οὐκ ἔστι μέρος τῆς οἰκουμένης, ὃ τὸ γενόμενον ἠγνόησεν.

Καί τοι πόσοι βασιλεῖς πολλὰ καὶ μεγάλα εἰργάσαντο τὰς πόλεις ἀγαθὰ καὶ πολέμους κατώρθωσαν καὶ τρόπαια πολλὰ ἔστησαν καὶ ἔθνη διέσωσαν καὶ πόλεις ἀνέστησαν καὶ προσόδους μυρίας εἰργάσαντο, ἀλλ' ὅμως σεσίγηνται μετὰ τῶν οἰκείων κατορθωμάτων. Καὶ βασιλίδες πολλαὶ καὶ μεγάλαι γυναῖκες μυρία τοὺς ἀρχομένους εὐεργετήσασαι, οὐδὲ ἐξ ὀνόματός εἰσί τισι γνώριμαι. Ἡ δὲ εὐτελὴς αὕτη γυνή, ἔλαιον καταχέουσα μόνον, πανταχοῦ τῆς οἰκουμένης ᾄδεται καὶ χρόνου πλῆθος τοσοῦτον οὐκ ἔσβεσεν αὐτῆς τὴν μνήμην, οὐδὲ σβέσει ποτέ· καί τοι οὐδὲ τὸ ἔργον περιφανές· τί γὰρ ἦν, τὸ ἔλαιον καταχέειν; οὐδὲ τὸ πρόσωπον ἐπίσημον· γυνὴ γὰρ ἦν ἀπερριμμένη· οὐδὲ οἱ μάρτυρες πολλοί· μεταξὺ γὰρ τῶν μαθητῶν ἐποίησεν· οὐδὲ ὁ τόπος κατάδηλος· οὐδὲ γὰρ ἐν θεάτρῳ παρελθοῦσα τοῦτο εἰργάσατο, ἀλλ' ἐν οἰκίᾳ, δέκα μόνον παρόντων ἀνθρώπων. Ἀλλ' ὅμως οὔτε ἡ εὐτέλεια τοῦ προσώπου, οὔτε ἡ ὀλιγότης τῶν μαρτύρων, οὔτε τὸ ἄσημον τοῦ τόπου, οὔτε ἄλλο οὐδὲν ἴσχυσεν αὐτῆς ἀφανίσαι τὴν μνήμην· ἀλλὰ βασιλίδων πασῶν καὶ βασιλέων ἁπάντων λαμπροτέρα νῦν ἐστιν ἡ γυνή, καὶ χρόνος οὐδεὶς λήθῃ τὸ γενόμενον παρέδωκε.

Πόθεν, εἰπέ μοι; τίνος ταῦτα ἐργασαμένου; Οὐχὶ τοῦ θεραπευθέντος τότε Θεοῦ, πανταχοῦ τὴν φήμην ταύτην διασπείραντος;

6. Ματθ. 26,10 ἑ.

εἶπε τὰ ἑξῆς. «Γιατί ἐνοχλεῖτε τὴ γυναῖκα; Γιατὶ ἔκαμε καλὴ πράξη. Σᾶς λέγω λοιπόν, ὅπου καὶ ἂν κηρυχθῆ τὸ Εὐαγγέλιο αὐτὸ σ' ὅλη τὴ γῆ, θὰ κηρυχθῆ καὶ αὐτὸ ποὺ ἔκαμε αὐτὴ στὴ μνήμη αὐτῆς»[6]. Ἄραγε λοιπὸν διαψεύσθηκε ἢ ἐπαληθεύθηκε ὁ λόγος του; Πραγματοποιήθηκε ἡ προφητεία ἢ ὄχι; Ρώτησε γι' αὐτὸ τὸν Ἰουδαῖο. Καὶ ἂν ἀκόμη εἶναι ὑπερβολικὰ ἀδιάντροπος, δὲν μπορεῖ ν' ἀπορρίψη τὴν προφητεία αὐτή, καθ' ὅσον σὲ ὅλες τὶς ἐκκλησίες ἀκοῦμε νὰ ἀναφέρεται ἡ γυναῖκα αὐτὴ καὶ βλέπουμε σὲ ὅλες τὶς πόλεις νὰ κάθωνται καὶ μὲ προσοχὴ νὰ ἀκοῦν τὴ διήγηση αὐτὴ ὕπατοι, στρατηγοί, ἄνδρες, γυναῖκες, περιφανεῖς, ἐπίσημοι καὶ λαμπροί. Καὶ σ' ὅποιο μέρος τῆς οἰκουμένης κι ἂν μεταβῆς, θ' ἀκούσης νὰ διαλαλῆται μὲ πολλὴ ἡσυχία τὸ κατόρθωμα τῆς γυναίκας, καὶ δὲν ὑπάρχει μέρος τῆς οἰκουμένης, ποὺ νὰ ἀγνοῆ τὸ γεγονὸς αὐτό.

Ἂν καὶ βέβαια πόσοι βασιλεῖς πρόσφεραν στὶς πόλεις τους πολλὰ καὶ μεγάλα ἀγαθά, ἔκαμαν πολέμους ἐπιτυχεῖς καὶ ἔστησαν τρόπαια πολλά, διέσωσαν λαούς, ἀνοικοδόμησαν πόλεις καὶ ἐπέτυχαν οἰκονομικὰ κατορθώματα, ἀλλ' ὅμως μένουν στὴ σιωπὴ αὐτοὶ καὶ τὰ κατορθώματά τους. Καὶ πολλὲς βασίλισσες καὶ γυναῖκες σπουδαῖες, ποὺ τόσο πολὺ εὐεργέτησαν τοὺς ὑπηκόους τους, δὲν εἶναι οὔτε κατ' ὄνομα γνωστὲς σὲ μερικούς. Ἐνῶ ἡ μοναδικὴ αὐτὴ γυναῖκα, χύνοντας μόνο λάδι, διακηρύσσεται σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, καὶ τόσος χρόνος ποὺ πέρασε δὲν ἔσβησε τὴ μνήμη της, οὔτε καὶ θὰ τὴ σβήση ποτέ, μολονότι ἡ πράξη της αὐτὴ δὲν εἶναι τίποτε τὸ σπουδαῖο· γιατὶ τί ἦταν τὸ νὰ χύση λίγο λάδι; οὔτε καὶ τὸ πρόσωπο ἦταν σπουδαῖο, γιατὶ ἦταν μιὰ γυναῖκα περιφρονημένη· οὔτε καὶ οἱ μάρτυρες ἦταν πολλοί, γιατὶ ἡ πράξη της ἔγινε στὸν κύκλο τῶν μαθητῶν· ἀλλ' οὔτε καὶ ὁ τόπος ἦταν σπουδαῖος, γιατὶ δὲν τὸ ἔκαμε αὐτὸ πηγαίνοντας στὸ θέατρο, ἀλλὰ μέσα σὲ σπίτι, παρουσία δέκα μόνο ἀνθρώπων. Ἀλλ' ὅμως οὔτε ἡ εὐτέλεια τοῦ προσώπου οὔτε τὸ λιγοστὸ τῶν μαρτύρων οὔτε τὸ ἄσημο τοῦ τόπου οὔτε τίποτε ἄλλο κατώρθωσε νὰ ἐξαφανίση τὴ μνήμη της, ἀλλ' ἀπ' ὅλες τις βασίλισσες κι ἀπ' ὅλους τοὺς βασιλεῖς πιὸ λαμπρὴ εἶναι τώρα ἡ γυναῖκα, καὶ κανένας χρόνος δὲν παρέδωσε στὴ λήθη τὴν πράξη της.

Πές μου λοιπόν, ἀπὸ ποῦ αὐτό; τίνος ἔργο εἶναι; Δὲν εἶναι ἔργο τοῦ Θεοῦ, ποὺ δέχθηκε τότε τὴν περιποίηση καὶ διέσπειρε παντοῦ

Ταῦτα οὖν ἀνθρωπίνης δυνάμεως, εἰπέ μοι, τὸ τοιαῦτα προαναφωνεῖν; Καὶ τίς ἂν ταῦτα εἴποι νοῦν ἔχων; Τὸ μὲν γάρ τι τῶν ὑπ' αὐτοῦ γενομένων προλέγειν, θαυμαστὸν μὲν καὶ παράδοξον, τὸ δὲ καὶ τὰ παρ' ἑτέρων γινόμενα προλέγειν καὶ ποιεῖν εὔπιστα γίνεσθαι καὶ πᾶσι κατάδηλα, πολλῷ μεῖζον καὶ θαυμαστότερον. Πάλιν προεῖπε τῷ Πέτρῳ, «ἐπὶ τὴν πέτραν ταύτην οἰκοδομήσω μου τὴν Ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». Τί οὖν, εἰπέ μοι, ἔχεις ἐπιλαβέσθαι τῶν εἰρημένων, ὦ Ἰουδαῖε, καὶ δεῖξαι ψευδῆ ταύτην εἶναι τὴν προαναφώνησιν; Ἀλλ' οὐκ ἀνέξεται τῶν πραγμάτων ἡ μαρτυρία, κἂν μυριάκις αὐτὸς φιλονεικῇς. Πόσοι γοῦν πόλεμοι κατὰ τῆς Ἐκκλησίας ἀνερριπίσθησαν; Καὶ στρατόπεδα πολλὰ παρεσκευάσθησαν καὶ ὅπλα ἠκονήθησαν καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας ἐπενοήθη καὶ τήγανα καὶ καταπέλται καὶ λέβητες καὶ κάμινοι καὶ λάκκοι καὶ κρημνοὶ καὶ θηρίων ὀδόντες, καὶ πελάγη καὶ δημεύσεις καὶ ἕτερα μυρία βασανιστήρια, οὐδὲ λόγῳ ῥητά, οὐδὲ ἔργῳ φορητά, καὶ οὐ παρὰ τῶν ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τῶν οἰκείων αὐτῶν. Καὶ γὰρ ἐμφύλιός τις τότε τὰ πάντα κατεῖχε πόλεμος, μᾶλλον δὲ ἐμφυλίου παντὸς χαλεπώτερος.

Οὐ γὰρ πολῖται πολίταις μόνον, ἀλλὰ καὶ συγγενεῖς συγγενέσι καὶ οἰκεῖοι οἰκείοις καὶ φίλοι φίλοις συνερρήγνυντο· ἀλλ' ὅμως οὐδὲν τούτων κατέλυσε τὴν Ἐκκλησίαν, οὐδὲ ἐποίησεν ἀσθενεστέραν· καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι ἐν τοῖς προοιμίοις ταῦτα πάντα ἐκινεῖτο. Εἰ μὲν γὰρ τότε ἐπήγετο τὰ δεινά, ὅτε ἐρριζώθη καὶ πανταχοῦ τῆς οἰκουμένης κατεφυτεύθη τὸ κήρυγμα, οὐχ οὕτω θαυμαστὸν ἦν, τὸ μὴ παρατραπῆναι τὴν Ἐκκλησίαν. Τὸ δὲ ἐν ἀρχῇ τῆς διδασκαλίας, ἄρτι τῆς πίστεως καταβληθείσης καὶ τῆς διανοίας τῶν ἀκουόντων ἁπαλωτέρας οὔσης, τοσούτους συρραγῆναι πολέμους, καὶ μὴ μόνον μηδὲν ἐλαττωθῆναι τὰ καθ' ἡμᾶς πράγματα, ἀλλὰ καὶ ἐπιδοῦναι πλέον, τοῦτό ἐστι τὸ παντὸς θαύματος ἔχον ὑπερβολήν. Ἵνα γὰρ μὴ λέγῃς, ὅτι νῦν ἡ Ἐκκλησία ἀπὸ

7. Ματθ. 16,18.
8. Τηγάνι: ὄργανο βασανισμοῦ κατὰ τοὺς πρωτοχριστιανικοὺς χρόνους.
9. Καταπέλτης: πολεμικὴ μηχανὴ μὲ τὴν ὁποία ἔρριχναν βέλη.

τὴ φήμη αὐτή; Ἡ πρόρρηση τέτοιων πραγμάτων, πές μου, εἶναι ἔργο τῆς ἀνθρώπινης δυνάμεως; Καὶ ποιός λογικὸς ἄνθρωπος θὰ μποροῦσε νὰ τὸ ἰσχυρισθῆ αὐτό; Γιατί, τὸ νὰ προλέγη κανεὶς κάτι ἀπὸ τὶς πράξεις του εἶναι θαυμαστὸ καὶ παράδοξο, τὸ νὰ προλέγη ὅμως τὶς πράξεις τῶν ἄλλων καὶ νὰ τὶς κάμνη πιστευτὲς καὶ σ' ὅλους ὁλοφάνερες, αὐτὸ εἶναι πολὺ μεγαλύτερο καὶ πιὸ θαυμαστό. Ἐπίσης στὸν Πέτρο προεῖπε· «ἐπάνω στὴν πέτρα αὐτὴ θὰ οἰκοδομήσω τὴν Ἐκκλησία μου καὶ οἱ πύλες τοῦ ἅδη δὲν θὰ καταβάλουν αὐτήν»[7]. Πές μου λοιπόν, Ἰουδαῖε, τί ἔχεις ν' ἀντιτάξης στὰ λεγόμενα αὐτὰ καὶ ν' ἀποδείξης ψευδῆ τὴν προφητεία αὐτή; Ἀλλ' ὅμως δὲν θὰ ἀντέξη μπροστὰ στὴ ἐπιβεβαίωση τῶν πραγμάτων, ἔστω κι ἂν ἐπιμένης ἀσταμάτητα νὰ φιλονεικῆς. Πόσοι λοιπὸν πόλεμοι δὲν ξέσπασαν ἐναντίον τῆς Ἐκκλησίας; Καὶ στρατόπεδα πολλὰ δημιουργήθηκαν καὶ ὅπλα ἀκονίσθηκαν καὶ ἐπινοήθηκε κάθε εἶδος βασανισμοῦ καὶ τιμωρίας, ὅπως τὰ τηγάνια[8], οἱ καταπέλτες[9], οἱ λέβητες, τὰ καμίνια, οἱ λάκκοι, οἱ κρημνοί, τὰ θηρία, τὰ πελάγη, οἱ δημεύσεις περιουσιῶν καὶ ἀναρίθμητα ἄλλα βασανιστήρια, ποὺ οὔτε μὲ λίγα περιγράφονται οὔτε καὶ εἶναι δυνατὸ νὰ τὰ ὑποφέρη κανείς, καὶ δὲν ἔγιναν αὐτὰ μόνο ἀπὸ τοὺς ἐξωτερικοὺς ἐχθρούς, ἀλλὰ καὶ ἀπὸ τοὺς οἰκείους. Καθ' ὅσον τότε εἶχε ξεσπάσει παντοῦ ἕνας ἐμφύλιος πόλεμος, ποὺ ἦταν μάλιστα φοβερώτερος ἀπὸ κάθε ἄλλον ἐμφύλιο πόλεμο.

Πραγματικὰ στὸν πόλεμο αὐτὸν δὲν συγκρούονταν μόνο πολῖτες μὲ πολῖτες, ἀλλὰ καὶ συγγενεῖς μὲ συγγενεῖς καὶ οἰκεῖοι μὲ οἰκείους καὶ φίλοι μὲ φίλους· ἀλλ' ὅμως τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν κατέλυσε τὴν Ἐκκλησία οὔτε καὶ τὴν ἐξασθένισε. Καὶ τὸ πιὸ θαυμαστὸ βέβαια καὶ παράδοξο εἶναι, ὅτι ὅλα αὐτὰ συνέβηκαν στὴν ἀρχὴ τῆς ἱδρύσεώς της. Γιατί, ἂν τὰ δεινὰ αὐτὰ ἐπέρχονταν ἐναντίον της τότε, ὅταν εἶχε ριζώσει τὸ κήρυγμα καὶ εἶχε διαδοθῆ σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης, δὲν θὰ ἦταν τόσο θαυμαστὸ τὸ νὰ μὴ καταλυθῆ ἡ Ἐκκλησία. Τὸ νὰ ξεσπάσουν ὅμως τὸσοι πόλεμοι στὴ ἀρχὴ τοῦ κηρύγματος καὶ μόλις ἡ πίστη εἶχε φυτευθῆ στὶς καρδιὲς τῶν ἀνθρώπων καὶ ἡ διάνοια τῶν ἀκροατῶν ἦταν ἀκόμη πιὸ ἁπαλή, καὶ ὄχι μόνο νὰ μὴν ἐλαττωθοῦν ὅλα τὰ σχετικὰ μὲ τὴν πίστη μας, ἀλλὰ καὶ νὰ σημειώσουν μεγαλύτερη ἐπίδοση, αὐτὸ εἶναι ποὺ ξεπερνᾶ κάθε θαῦμα. Γιὰ νὰ μὴ λὲς λοιπόν, ὅτι ἡ Ἐκκλησία τώρα σταθερο-

τῆς τῶν βασιλέων εἰρήνης συνέστηκεν, ὅτε ἐλάττων ἦν, ὅτε ἀσθενεστέρα εἶναι ἐδόκει, τότε αὐτὴν πολεμεῖσθαι συνεχώρησεν ὁ Θεός, ἵνα μάθῃς, ὅτι καὶ ἡ νῦν ἀσφάλεια αὐτῆς, οὐκ ἀπὸ τῆς τῶν βασιλέων εἰρήνης, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως γίνεται.

3. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἀναλόγισαι, πόσοι δόγματα ἠβουλήθησαν εἰσαγαγεῖν παρ' Ἕλλησι καὶ πολιτείαν ἐνστήσασθαι ξένην, οἷον Ζήνων, Πλάτων, Σωκράτης, Διαγόρας, Πυθαγόρας, καὶ ἕτεροι μύριοι· ἀλλ' ὅμως τοσοῦτον ἀπέσχον περιγενέσθαι, ὡς μηδὲ ἐξ ὀνόματος εἶναι τοῖς πολλοῖς γνώριμοι. Ὁ δὲ Χριστὸς οὐκ ἔγραψε πολιτείαν μόνον, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης αὐτὴν κατεφύτευσε. Πόσα λέγεται Ἀπολλώνιος ὁ ἐκ Τυάνων πεποιηκέναι; Ἀλλ' ἵνα μάθῃς ὅτι ψεῦδος πάντα ἐκεῖνα ἦν καὶ φαντασία καὶ ἀληθὲς οὐδέν, ἔσβεσται καὶ τέλος ἔλαβεν. Καὶ μηδεὶς ὕβριν εἶναι νομιζέτω τοῦ Χριστοῦ, ὅτι ἐν τοῖς περὶ αὐτοῦ λόγοις Πυθαγόρα καὶ Πλάτωνος, Ζήνωνος καὶ τοῦ Τυανέως μεμνήμεθα· οὐ γὰρ ἐξ οἰκείας τοῦτο ποιοῦμεν γνώμης, ἀλλὰ τῇ ἀσθενείᾳ τῶν Ἰουδαίων συγκαταβαίνοντες, τῶν νομιζόντων αὐτὸν ἄνθρωπον εἶναι ψιλόν, ἐπεὶ καὶ Παῦλος οὕτως ἐποίησεν· εἰσελθὼν γὰρ εἰς τὰς Ἀθήνας, οὐκ ἀπὸ προφητῶν οὐδὲ ἐξ Εὐαγγελίων αὐτοῖς διελέγετο, ἀλλ' ἀπὸ τοῦ βωμοῦ τὴν παραίνεσιν ἐποιεῖτο· οὐκ ἐπειδὴ τὸν βωμὸν ἀξιοπιστότερον τῶν Εὐαγγελίων εἶναι ἐνόμιζεν, οὐδὲ ἐπειδὴ τὰ γράμματα τὰ ἐκεῖ κείμενα τῶν προφητῶν ἦσαν τιμιώτερα, ἀλλ' ἐπειδὴ πρὸς Ἕλληνας διελέγετο τοὺς οὐδενὶ τῶν ἡμετέρων πιστεύοντας, ἀπὸ τῶν οἰκείων αὐτοὺς ἐχειρώσατο δογμάτων. Διὰ τοῦτο, φησίν, «ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ».

Οὕτω καὶ ἡ Παλαιὰ περὶ τοῦ Θεοῦ διαλεγομένη πρὸς Ἰου-

10. Πρόκειται μᾶλλον γιὰ τὸ φιλόσοφο Ζήνωνα τὸν Κιτιέα (4ος π. Χ. αἰ.), τὸν ἱδρυτὴ τῆς σχολῆς τῆς Στοᾶς.

11. Ὁ Διαγόρας (5ος π. Χ. αἰ.), καταγόταν ἀπὸ τὴν Μῆλο καὶ καταδικάσθηκε τὸ 415 π. Χ. ἀπὸ τοὺς Ἀθηναίους γιὰ ἀθεΐα.

12. Ὁ Ἀπολλώνιος ὁ Τυανεὺς ἦταν Νεοπυθαγόρειος φιλόσοφος καὶ ἔζησε τὸν πρῶτο μετὰ Χριστὸν αἰώνα.

ποιήθηκε μὲ τὴν εἰρήνη ποὺ ἐπέβαλαν οἱ αὐτοκράτορες, ὅταν ἦταν μικρότερη, ὅταν φαινόταν ὅτι εἶναι ἀσθενέστερη, τότε ἐπέτρεψε ὁ Θεὸς νὰ πολεμηθῆ, γιὰ νὰ μάθης, ὅτι καὶ ἡ σημερινὴ ἀσφαλειά της δὲν ὀφείλεται στὴν εἰρήνη τῶν βασιλέων, ἀλλὰ στηρίζεται στὴ δύναμη τοῦ Θεοῦ.

3. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθές, σκέψου πόσοι ἀπὸ τοὺς Ἕλληνες θέλησαν νὰ εἰσαγάγουν νέες διδασκαλίες καὶ νὰ θεσπίσουν νέους τρόπους ζωῆς, ὅπως ὁ Ζήνων[10], ὁ Πλάτων, ὁ Σωκράτης, ὁ Διαγόρας[11], ὁ Πυθαγόρας καὶ ἄλλοι ἀμέτρητοι, ἀλλ' ὅμως τόσο πολὺ ἀπέτυχαν στὸ νὰ ἐπικρατήσουν αὐτῆς, ὥστε καὶ τὰ ὀνόματα πολλῶν ἐξ αὐτῶν νὰ μὴ εἶναι γνωστὰ στοὺς πολλούς. Ὁ Χριστὸς ὅμως δὲν θέσπισε μόνο πολίτευμα, ἀλλὰ καὶ τὸ καταφύτευσε σὲ κάθε μέρος τῆς γῆς. Πόσα δὲν λέγονται ὅτι ἔπραξε ὁ Ἀπολλώνιος, ποὺ καταγόταν ἀπὸ τὰ Τύανα[12]; Ἀλλὰ γιὰ νὰ μάθης, ὅτι ὅλα ἐκεῖνα ἦταν ψέμα καὶ φαντασία καὶ τίποτε τὸ ἀληθές, ἔσβησαν ὅλα καὶ ἔλαβαν τέλος. Κι ἂς μὴ θεωρήση κανεὶς ὕβρη τοῦ Χριστοῦ τὸ ὅτι, μιλώντας γι' αὐτόν, μνημονεύουμε τὸν Πυθαγόρα καὶ τὸν Πλάτωνα, τὸν Ζήνωνα καὶ τὸν Ἀπολλώνιο τὸν Τυανέα. Γιατὶ αὐτὸ δὲν τὸ κάμνουμε μὲ τὴ θέλησή μας, ἀλλὰ ἀπὸ συγκατάβαση πρὸς τοὺς Ἰουδαίους, ποὺ θεωροῦν τὸν Χριστὸ σὰν ἕνα ἁπλὸ ἄνθρωπο. Ἄλλωστε καὶ ὁ Παῦλος τὸ ἴδιο ἔκαμε. Μπαίνοντας δηλαδὴ μέσα στὴν πόλη τῶν Ἀθηνῶν, οὔτε ἀπὸ τοὺς προφῆτες οὔτε ἀπὸ τὰ εὐαγγέλια ἄρχισε νὰ συζητᾶ μαζί τους, ἀλλ' ἄρχισε τὴ διδασκαλία του, λαμβάνοντας ἀφορμὴ ἀπὸ τὸν βωμὸ[13]. Ὄχι γιατὶ νόμιζε, ὅτι ὁ βωμὸς εἶναι πιὸ ἀξιόπιστος ἀπὸ τὰ εὐαγγέλια, οὔτε ὅτι τάχα τὰ γραμμένα ἐπάνω στὸν βωμὸ ἦταν τιμιώτερα ἀπὸ τοὺς λόγους τῶν προφητῶν, ἀλλ' ἐπειδὴ συνωμιλοῦσε μὲ Ἕλληνες, ποὺ δὲν πίστευαν σὲ τίποτε ἀπὸ τὰ δικά μας, τοὺς ἔπεισε μὲ τὰ δικά τους. Γι' αὐτὸ λέγει· «ἔγινα γιὰ χάρη τῶν Ἰουδαίων σὰν Ἰουδαῖος, γιὰ χάρη τῶν ἀνόμων σὰν ἄνομος, χωρὶς νὰ εἶμαι ἔξω ἀπὸ τὸ νόμο τοῦ Θεοῦ, ἀλλὰ μέσα στὸ νόμο τοῦ Χριστοῦ»[14].

Ἔτσι κάμνει καὶ ἡ Παλαιὰ Διαθήκη, μιλώντας πρὸς τοὺς Ἰου-

13. Πράξ. 17,23.
14. Α΄ Κορ. 9,20–21.

δαίους ποιεῖ λέγουσα οὕτως· «τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε;». Τί λέγεις, ὦ Μωϋσῆ; ὅλως γάρ ἐστι σύγκρισις; Οὐ κατὰ σύγκρισιν τοῦτο ποιῶν εἶπον, φησίν, ἀλλ' ἐπειδὴ πρὸς Ἰουδαίους διαλέγομαι, τοὺς μεγάλην περὶ τῶν δαιμόνων ἔχοντας δόξαν, τῇ ἀσθενείᾳ αὐτῶν συγκαταβαίνων, τοῦτον τῆς διδασκαλίας εἰσήγαγον τὸν τρόπον. Ἐπεὶ οὖν καὶ ἡμῖν πρὸς Ἰουδαίους ὁ λόγος, τοὺς ἄνθρωπον ψιλὸν εἶναι νομίζοντας τὸν Χριστὸν καὶ παράνομόν τινα, διὰ τοῦτο καὶ ἀπὸ τῶν παρ' Ἕλλησι θαυμαζομένων ἐποιησάμεθα τὴν ἐξέτασιν. Εἰ δὲ βούλεσθε καὶ ἀπὸ τῶν παρ' αὐτοῖς τοῦτο ἐγχειρησάντων καὶ μαθητὰς συναγαγόντων, καὶ εἰς ἄρχοντας καὶ εἰς προστάτας ἀναρρηθέντων καὶ σβεσθέντων εὐθέως, ἐπιχειρήσωμεν ταῖς ἀποδείξεσι ταύταις.

Οὕτω γοῦν καὶ ὁ Γαμαλιὴλ αὐτοὺς ἐπεστόμισεν. Ἐπειδὴ γὰρ εἶδεν αὐτοὺς μαινομένους καὶ ἐπιθυμοῦντας τὸ αἷμα τῶν μαθητῶν ἐκχέειν, βουλόμενος αὐτοὺς τῆς ἀκαθέκτου μανίας κατασχεῖν, κελεύσας ἔξω ποιῆσαι βραχὺ τοὺς ἀποστόλους, οὕτω πρὸς αὐτοὺς ἔλεγεν· «προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί μέλλετε πράσσειν. Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν· καὶ ἠκολούθησαν αὐτῷ ἄνδρες τετρακόσιοι· κἀκεῖνος ἀπώλετο καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν· καὶ μετ' ἐκεῖνον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος, ὃς ἀπέστησεν ὄχλον ἱκανόν· κἀκεῖνος ἀπέθανε καὶ οἱ μαθηταὶ αὐτοῦ ἀπώλοντο. Καὶ τὰ νῦν λέγω ὑμῖν, προσέχετε ἑαυτοῖς, ὅτι, ἐὰν ᾖ ἐξ ἀνθρώπων τὸ ἔργον τοῦτο, καταλυθήσεται· εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτό, μή ποτε καὶ θεομάχοι εὑρεθῆτε». Πόθεν οὖν δῆλον ἔσται, ὅτι, «ἐὰν ᾖ ἐξ ἀνθρώπων, καταλυθήσεται»; Πεῖραν ἐλάβετε, φησίν, ἀπὸ Ἰούδα καὶ Θευδᾶ. Ὥστε καὶ οὗτος ὁ κηρυττόμενος ὑπὸ τούτων, εἰ τοιοῦτός ἐστιν, οἷοι ἐκεῖνοι, καὶ μὴ θείᾳ δυνάμει πάντα ἐργάζηται, μικρὸν ἀναμείνατε καὶ αὐτὴ τῶν πραγμάτων ὑμᾶς πιστώσεται ἡ ἔκβασις καὶ διὰ τοῦ τέλους εἴσεσθε σαφῶς, εἴτε ἄνθρωπός ἐστι πλάνος, ὡς φατέ, καὶ παράνομος, εἴτε Θεὸς ὁ

15. Ἔξ. 15,11.
16. Ἰω. 19,7.
17. Πράξ. 5,34–39.

δαίους περὶ Θεοῦ, λέγει· «ποιός εἶναι ὅμοιος μὲ σένα μεταξὺ τῶν θεῶν, Κύριε;»[15]. Τί λές, Μωϋσῆ; μπορεῖ νὰ γίνη μιὰ τέτοια σύγκριση; Δὲν τὸ εἶπα, λέγει, κάμνοντας σύγκριση, ἀλλ' ἐπειδὴ ὁ λόγος μου ἀπευθύνεται πρὸς τοὺς Ἰουδαίους, ποὺ δείχνουν μεγάλη πίστη πρὸς τοὺς δαίμονες, δείχνοντας συγκατάβαση στὴν ἀσθένειά τους, ἐφάρμοσα αὐτὸν τὸν τρόπο τῆς διδασκαλίας. Ἐπειδὴ λοιπὸν καὶ ὁ λόγος μου ἀπευθύνεται πρὸς τοὺς Ἰουδαίους, ποὺ θεωροῦν τὸν Χριστὸ σὰν ἄνθρωπο ἁπλὸ καὶ σὰν κάποιο παράνομο[16], γι' αὐτὸ καὶ ἄρχισα τὴν ἐξέταση ἀπὸ τοὺς ἄνδρες ἐκείνους τοὺς θαυμαζόμενους ἀπὸ τοὺς Ἕλληνες. Ἂν ὅμως θέλετε ἂς ἐπχειρήσουμε τὶς ἀποδείξεις αὐτὲς ἀπὸ τοὺς δικούς τους ποὺ ἐπεχείρησαν τὸ ἴδιο πρᾶγμα, συγκεντρώνοντας γύρω τους μαθητὲς καὶ ἀναδείχθηκαν ἔτσι καὶ ἀρχηγοὶ καὶ προστάτες τους, ἀλλ' ἐξαφανίσθηκαν ἀμέσως.

Ἔτσι λοιπὸν καὶ ὁ Γαμαλιὴλ τοὺς ἔκλεισε τὸ στόμα. Ὅταν δηλαδὴ τοὺς εἶδε νὰ κάμνουν σὰν μανιακοὶ καὶ νὰ θέλουν νὰ φονεύσουν τοὺς μαθητὲς τοῦ Χριστοῦ, θέλοντας νὰ τοὺς συγκρατήση ἀπὸ τὴν ὁρμητικὴ αὐτὴ μανία, ἀφοῦ διέταξε νὰ βγάλουν γιὰ λίγο τοὺς Ἀποστόλους ἔξω, εἶπε πρὸς τοὺς συνέδρους τὰ ἑξῆς· «νὰ εἶσθε προσεκτικοὶ ὡς πρὸς αὐτὰ ποὺ πρόκειται νὰ κάμετε στοὺς ἀνθρώπους αὐτούς. Γιατὶ πρὶν ἀπὸ λίγο καιρὸ ἐμφανίσθηκε ὁ Θευδᾶς, λέγοντας ὅτι εἶναι κάποιος σπουδαῖος, καὶ τὸν ἀκολούθησαν τετρακόσιοι ἄνδρες. Καὶ ἐκεῖνος χάθηκε καὶ ὅλοι ὅσοι πίστεψαν καὶ τὸν ἀκολούθησαν διασκορπίσθηκαν. Μετὰ ἀπὸ ἐκεῖνον παρουσιάσθηκε ὁ Ἰούδας ὁ Γαλιλαῖος, ὁ ὁποῖος παρέσυρε ἀρκετὸ πλῆθος· καὶ ἐκεῖνος πέθανε καὶ οἱ μαθητές του χάθηκαν. Καὶ τώρα σᾶς λέγω, νὰ εἶσθε προσεκτικοί, γιατί, ἂν τὸ ἔργο αὐτῶν εἶναι ἀνθρώπινο, θὰ καταλυθῆ, ἂν ὅμως προέρχεται ἀπὸ τὸν Θεό δὲν θὰ μπορέσετε νὰ τὸ καταλύσετε, καὶ ἐνδεχομένως νὰ βρεθῆτε καὶ θεομάχοι[17]. Ἀπὸ ποῦ ὅμως θὰ γίνη φανερό, ὅτι τὸ ἔργο τους, ἂν εἶναι ἀνθρώπινο, θὰ καταλυθῆ; Τὸ γνωρίσατε, λέγει, ἀπὸ τὸν Ἰούδα καὶ τὸν Θευδᾶ. Ἐπομένως κι αὐτός, ποὺ κηρύσσεται τώρα δὰ ἀπὸ αὐτούς, ἂν εἶναι ὅμοιος μ' ἐκείνους καὶ αὐτὰ ποὺ κάμνει δὲν τὰ κάμνει μὲ τὴ θεία δύναμη, περιμένετε λίγο καὶ ἡ ἴδια ἡ ἔκβαση τῶν πραγμάτων θὰ τὸ ἐπιβεβαιώση, καὶ ἀπὸ τὸ ἀποτέλεσμα θὰ γνωρίσετε πολὺ καλά, ἂν ὁ ἄνθρωπος αὐτὸς εἶναι λαοπλάνος, ὅπως λέτε, καὶ παράνομος, ἢ

πάντα συγκρατῶν καὶ ἀπορρήτῳ δυνάμει τὰ καθ' ἡμᾶς οἰκονομῶν πράγματα· ὅπερ οὖν καὶ ἐγένετο.

Ἀνέμειναν, καὶ δι' αὐτῶν τῶν πραγμάτων ἐδηλοῦτο ἡ θεία καὶ ἄμαχος δύναμις, καὶ τὸ σόφισμα τοῦτο καὶ πρὸς ἀπάτην τῶν πολλῶν γενόμενον, εἰς τὴν τοῦ διαβόλου περιετρέπετο κεφαλήν. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν παραγενόμενον, βουλόμενος συσκιάσαι αὐτοῦ τὴν παρουσίαν καὶ τὴν ἀληθῆ οἰκονομίαν, εἰσήνεγκεν ἀπατεῶνάς τινας, οὓς προείπομεν, ἵνα καὶ οὗτος εἷς ἐκείνων νομίζηται εἶναι. Καὶ ὅπερ ἐπὶ τοῦ σταυροῦ πεποίηκε, δύο παρασκευάσας λῃστὰς μετ' αὐτοῦ σταυρωθῆναι, τοῦτο καὶ ἐπὶ τῆς παρουσίας εἰργάσατο, τῇ παραθέσει τοῦ ψεύδους τὴν ἀλήθειαν συσκιάσαι σπεύδων· ἀλλ' οὐδὲ ἐκεῖ τι ἴσχυσεν, οὐδὲ ἐνταῦθα, ἀλλ' αὐτὸ δὴ τοῦτο μάλιστα τὴν δύναμιν ἔδειξε τοῦ Χριστοῦ.

Διὰ τί γάρ, εἰπέ μοι, τριῶν ὄντων τῶν σταυρωθέντων, ἐν τῷ αὐτῷ τόπῳ, ἐν τῷ αὐτῷ καιρῷ, ὑπὸ τῶν αὐτῶν δικαστῶν, ἐκεῖνοι μὲν σεσίγηνται, οὗτος δὲ μόνος προσκυνεῖται; Πάλιν, τί δή ποτε πολλῶν εἰσαγαγόντων πολιτείαν καινὴν καὶ μαθητὰς ἐσχηκότων, ἐκείνων μὲν οὐδὲ τοὔνομα μέχρι τήμερόν ἐστι γνώριμον, οὗτος δὲ πανταχοῦ τῆς οἰκουμένοης θεραπεύεται; Τὰ γὰρ πράγματα ἀπὸ συγκρίσεως μάλιστα φαίνεται. Σύγκρινον τοίνυν, ὦ Ἰουδαῖε, καὶ μάθε τῆς ἀληθείας τὴν ὑπεροχήν. Τίς πλάνος τοσαύτας πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίας ἐκτήσατο καὶ ἀπὸ περάτων τῆς οἰκουμένης εἰς πέρατα τήν τε αὐτοῦ θεραπείαν ἐξέτεινε καὶ πάντας ὑποκύπτοντας ἔσχε καὶ ταῦτα μυρίων ὄντων τῶν κωλυόντων; Οὐκ ἔστιν οὐδείς. Οὐκοῦν δῆλον, ὅτι ὁ Χριστὸς οὐχὶ πλάνος ἦν, ἀλλὰ σωτὴρ καὶ εὐεργέτης καὶ κηδεμὼν καὶ προστάτης τῆς ζωῆς τῆς ἡμετέρας.

Μίαν ἔτι πρόρρησιν προσθείς, ἐπὶ τὸ προκείμενον βαδιοῦμαι. «Οὐκ ἦλθον βαλεῖν εἰρήνην», φησίν, «ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν»· οὐ τὴν γνώμην τὴν ἑαυτοῦ λέγων, ἀλλὰ τὸ τέλος τῶν ἐκβαινόντων πραγμάτων. «Ἦλθον γὰρ διχάσαι», φησίν, «ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς». Πόθεν ταῦτα προεῖπεν, εἰπέ

18. Ματθ. 27,38. 44. Μάρκ. 15,27.
19. Ματθ. 10,34–35.

Θεός, ποὺ συγκρατεῖ τὰ πάντα καὶ ποὺ μὲ τὴν ἀπερίγραπτη δύναμή του κυβερνᾶ τὰ ἀνθρώπινα πράγματα, πρᾶγμα βέβαια καὶ ποὺ ἔγινε.

Περίμεναν, καὶ ἀπὸ τὰ ἴδια τὰ πράγματα φανερωνόταν ἡ θεία καὶ ἀκαταμάχητη δύναμη, καὶ τὸ τέχνασμα αὐτό, ἂν καὶ ἔγινε γιὰ ἐξαπάτηση τῶν πολλῶν, στράφηκε τελικὰ καὶ ἔπεσε στὸ κεφάλι τοῦ διαβόλου. Γιατί, μόλις εἶδε τὸν ἐρχομό του, θέλοντας νὰ ἀποκρύψη τὴν παρουσία του καὶ νὰ συσκοτίση τὸ μυστήριο τῆς ἐνανθρωπήσεώς του, παρουσίασε κάποιους ἀπατεῶνες, τοὺς ὁποίους προαναφέραμε, ὥστε νὰ θεωρηθῆ ὅτι καὶ αὐτὸς εἶναι ἕνας ἀπὸ ἐκείνους. Καὶ ἐκεῖνο ποὺ ἔκαμε τὴν ὥρα τοῦ σταυροῦ, ἑτοιμάζοντας νὰ σταυρωθοῦν δύο ληστὲς μαζί του[18], αὐτὸ ἔκαμε καὶ κατὰ τὴν παρουσία του, σπεύδοντας νὰ συσκοτίση τὴν ἀλήθεια μὲ τὴν παράθεση τοῦ ψεύδους. Ὅμως οὔτε ἐκεῖ κατώρθωσε νὰ ἐπιτύχη κάτι, οὔτε ἐδῶ, ἀλλ' ἀκριβῶς αὐτὸ τὸ πρᾶγμα κατ' εξοχὴν ἔδειξε τὴ δύναμη τοῦ Χριστοῦ. Γιατὶ πές μου, πῶς οἱ τρεῖς ποὺ σταυρώθηκαν μαζί του, ἐνῶ σταυρώθηκαν στὸν ἴδιο τόπο καὶ κρίθηκαν ταυτόχρονα ἀπὸ τοὺς ἴδιους δικαστές, ἐκεῖνοι ἔχουν ἀποσιωπηθῆ, καὶ αὐτὸς μόνο προσκυνεῖται; Ἐπίσης, γιατί ἄραγε, ἐνῶ πολλοὶ κήρυξαν νέα πολιτεία καὶ ἀπέκτησαν καὶ μαθητές, ἐκείνων οὔτε τὸ ὄνομα κἂν εἶναι γνωστὸ σὲ μᾶς, ἐνῶ αὐτὸς λατρεύεται σὲ ὅλα τὰ μέρη τῆς γῆς; Ἡ ἀλήθεια τῶν πραγμάτων φαίνεται καλύτερα ὅταν γίνη σύγκριση. Κάνε λοιπὸν τὴ σύγκριση, Ἰουδαῖε, καὶ μάθε τὴν ὑπεροχὴ τῆς ἀλήθειας. Ποιός ἀγύρτης δημιούργησε σ' ὅλη τὴν οἰκουμένη τόσες ἐκκλησίες καὶ ἐπεξέτεινε τὴ λατρεία του ἀπὸ τὴ μιὰ ἄκρη τῆς γῆς ὡς τὴν ἄλλη, δείχνοντας ὅλοι τους ὑπακοὴ σ' αὐτόν, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ ἦταν ἀμέτρητα τὰ ἐμπόδια; Δὲν ὑπάρχει κανείς. Εἶναι λοιπὸν φανερό, ὅτι ὁ Χριστὸς δὲν ἦταν λαοπλάνος, ἀλλὰ σωτήρας καὶ εὐεργέτης καὶ κηδεμόνας καὶ προστάτης τῆς ζωῆς μας.

Ἀφοῦ προσθέσω ἀκόμη μία προφητεία, θὰ προχωρήσω στὸ προκείμενο θέμα μας. «Δὲν ἦλθα», λέγει, «νὰ βάλω εἰρήνη στὴ γῆ, ἀλλὰ μάχαιρα», ἐξαγγέλλοντας μὲ αὐτὸ ὄχι τὴ δική του γνώμη, ἀλλὰ τὴν ἔκβαση ποὺ θὰ εἶχαν τὰ πράγματα. «Ἦλθα», λέγει, «γιὰ νὰ χωρίσω τὸν ἄνθρωπο ἀπὸ τὸν πατέρα του, τὴ νύφη ἀπὸ τὴν πεθερά της καὶ τὴ θυγατέρα ἀπὸ τὴ μητέρα της»[19]. Πές μου, ἀπὸ ποῦ τὰ εἶπε αὐτά, ἂν ἦταν ἁπλὸς ἄνθρωπος καὶ ἕνας ἀπὸ τοὺς πολλούς; Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἐπειδὴ συνέβαινε μέσα στὸ ἴδιο

μοι, εἴγε ψιλὸς ἄνθρωπος ἦν καὶ τῶν πολλῶν εἷς; Ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ συνέβαινον οἰκίᾳ ἐν μιᾷ τὸν μὲν εἶναι πιστόν, τὸν δὲ ἄπιστον, εἶτα τὸν πατέρα βούλεσθαι ἕλκειν ἐπὶ τὴν ἀσέβειαν τὸν υἱὸν τὸν ἑαυτοῦ, τοῦτο αὐτὸ προλέγων, φησίν· «οὕτω κρατήσει τοῦ κηρύγματος ἡ δύναμις, ὡς καὶ πατέρων παῖδας ὑπερορᾶν καὶ μητέρων θυγατέρας καὶ γονεῖς παίδων. Αἱρήσονται γὰρ οὐχὶ τῶν οἰκείων καταφρονεῖν μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν δοῦναι τὴν ἑαυτῶν καὶ πάντα ὑπομεῖναι καὶ παθεῖν, ὥστε μὴ ἀρνήσασθαι τὴν εὐσέβειαν».

Πόθεν τούτῳ ταῦτα καὶ εἰδέναι καὶ κατασκευάσαι δυνατόν, εἴγε ἄνθρωπος ἦν εἷς τῶν πολλῶν; Πόθεν ἐπῆλθεν αὐτῷ λογίσασθαι τοῦτο, ὅτι καὶ πατέρων ἔσται παισὶν αἰδεσιμώτερος καὶ πατράσι παίδων γλυκύτερος καὶ γυναιξὶν ἀνδρῶν ποθεινότερος; Καὶ ταῦτα οὐκ ἐν μιᾷ μόνῃ οἰκίᾳ, οὐδὲ ἐν δυσὶ καὶ τρισὶ καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατόν, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης, ἐν πόλεσιν ἁπάσαις καὶ χώραις καὶ γῇ καὶ θαλάσσῃ καὶ οἰκουμένῃ καὶ ἀοικήτῳ. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι εἶπε μὲν ταῦτα, οὐκ ἐπήγαγε δὲ τὸ τέλος. Πολλοὶ γοῦν ἐν προοιμίοις καὶ ἐν ἀρχῇ, μᾶλλον δὲ καὶ ἔτι καὶ νῦν, διὰ τὴν εὐσέβειαν μισοῦνται, ἐκβάλλονται τῶν οἰκιῶν τῶν πατρῴων καὶ πρὸς οὐδὲν ἐπιστρέφονται τούτων, ἱκανὴν παραμυθίαν ἔχοντες τὸ διὰ τὸν Χριστὸν ταῦτα πάσχειν. Τίς ταῦτα ἴσχυσέ ποτε ἐν ἀνθρώποις, εἰπέ μοι; Οὗτος τοίνυν ὁ ταῦτα ἅπαντα προειπών, τὰ περὶ τῆς γυναικὸς ἐκείνης, τὰ περὶ τῆς Ἐκκλησίας, τὰ περὶ τοῦ πολέμου τούτου, οὗτος προεῖπεν, ὅτι καὶ ὁ ναὸς πεσεῖται καὶ τὰ Ἱεροσόλυμα ἁλώσεται καὶ οὐκέτι τῶν Ἰουδαίων ἔσται πόλις ἡ πόλις, καθάπερ καὶ πρότερον. Εἰ μὲν οὖν ἐψεύσατο πάντα ἐκεῖνα καὶ μὴ ἔλαβε τέλος, ἀπίστει καὶ τούτοις. Εἰ δὲ ὁρᾷς ἐκεῖνα λάμποντα ἀπὸ τῆς ἐκβάσεως καὶ καθ' ἑκάστην ἡμέραν αὐξανόμενα καὶ οὐδὲ τῆς Ἐκκλησίας πύλαι ᾅδου κατίσχυσαν καὶ ὅπερ ἐποίησεν ἡ γυνὴ λαλεῖται πανταχοῦ τῆς οἰκουμένης μετὰ χρόνον τοσοῦτον, οἱ δὲ ἄνθρωποι οἱ πιστεύσαντες αὐτῷ καὶ πατέρων καὶ γυναικῶν καὶ τέκνων αὐτὸν προετίμησαν, τίνος ἕνεκεν ταύτῃ μόνῃ τῇ προρρήσει

20. Ματθ. 16,18.

σπίτι ὁ ἕνας νὰ εἶναι πιστὸς καὶ ὁ ἄλλος ἄπιστος, καὶ ὁ πατέρας νὰ ἐπιχειρῆ νὰ παρασύρη στὴν ἀσέβεια τὸν υἱό του, προλέγοντας αὐτὸ ὁ Κύριος λέγει· 'τόσο πολὺ θὰ ὑπερισχύση ἡ δύναμη τοῦ κηρύγματος, ὥστε τὰ ἀγόρια νὰ μὴν ὑπακούουν στοὺς πατέρες, οὔτε τὰ κορίτσια στὶς μητέρες, οὔτε καὶ οἱ γονεῖς στὰ παιδιά τους. Γιατὶ θὰ προτιμήσουν νὰ περιφρονοῦν ὄχι μόνο τοὺς συγγενεῖς, ἀλλὰ νὰ προσφέρουν καὶ τὴν ψυχή τους καὶ νὰ εἶναι πρόθυμοι νὰ πάθουν καὶ νὰ ὑπομείνουν τὰ πάντα, γιὰ νὰ μὴν ἀρνηθοῦν τὴν πίστη τους'.

Ἀπὸ ποῦ ἦταν δυνατὸν νὰ τὰ γνωρίζη αὐτὰ αὐτὸς καὶ νὰ τὰ ἐπινοῆ, ἂν ἦταν ἕνας ἄνθρωπος ἀπὸ τοὺς πολλούς; Ἀπὸ ποῦ τοῦ ἦλθε νὰ σκεφθῆ αὐτά, ὅτι δηλαδὴ θὰ γίνη σεβαστότερος ἀπὸ τοὺς γονεῖς στὰ παιδιὰ καὶ γλυκύτερος στοὺς γονεῖς ἀπὸ τὰ παιδιὰ καὶ πιὸ ποθητὸς ἀπὸ τοὺς ἄνδρες στὶς γυναῖκες; Κι ὅλα αὐτὰ δὲν συνέβηκαν μόνο σ' ἕνα σπίτι ἢ σὲ δύο καὶ τρία καὶ δέκα καὶ εἴκοσι καὶ ἑκατό, ἀλλὰ σ' ὁλόκληρη τὴν οἰκουμένη, σ' ὅλες τὶς πόλεις καὶ τὶς χῶρες, στὴ γῆ καὶ στὴ θάλασσα, σὲ κάθε μέρος κατοικούμενο καὶ ἀκατοίκητο. Καὶ δὲν μπορεῖ κανεὶς νὰ πῆ, ὅτι τὰ εἶπε βέβαια αὐτά, ἀλλὰ δὲν τὰ πραγματοποίησε. Πολλοὶ δηλαδὴ ἀπὸ τὴν ἀρχὴ καὶ τὴν πρώτη στιγμή, ἢ καλύτερα στὶς ἡμέρες μας ἀκόμη, μισοῦνται γιὰ τὴν εὐσέβειά τους, διώχνονται ἀπὸ τὰ πατρικά τους σπίτια, χωρὶς νὰ ἐπανέλθουν πιὰ σ' αὐτά, νιώθοντας μεγάλη παρηγοριὰ ἀπὸ τὸ ὅτι τὰ παθαίνουν αὐτὰ γιὰ τὴ δόξα τοῦ Χριστοῦ. Πές μου, ποιός ἀπὸ τοὺς ἀνθρώπους κατώρθωσε ποτὲ αὐτά; Αὐτὸς λοιπὸν ποὺ προεῖπε ὅλα αὐτά, τὰ σχετικὰ μὲ ἐκείνη τὴ γυναῖκα, τὰ σχετικὰ μὲ τὴν Ἐκκλησία καὶ τὸν πόλεμο αὐτόν, αὐτὸς εἶναι ἐκεῖνος ποὺ προεῖπε, ὅτι καὶ ὁ ναὸς θὰ καταστραφῆ καὶ τὰ Ἱεροσόλυμα θὰ κυριευθοῦν καὶ δὲν θὰ εἶναι πιὰ ἡ πόλη αὐτὴ πόλη τῶν Ἰουδαίων, ὅπως ἦταν προηγουμένως. Ἂν λοιπὸν ὅλα ἐκεῖνα διαψεύσθηκαν καὶ δὲν πραγματοποιήθηκαν, τότε καὶ σ' αὐτὰ μὴ πιστεύῃς. Ἂν ὅμως βλέπῃς, ὅτι ἐκεῖνα λάμπουν μὲ τὴν ἔκβασή τους καὶ καθημερινὰ πληθύνονται καὶ ὅτι οἱ πύλες τοῦ ἅδη δὲν κατώρθωσαν νὰ ὑπερισχύσουν τῆς Ἐκκλησίας[20], καὶ ἐκεῖνο ποὺ ἔκαμε ἡ γυναῖκα ἐκείνη διακηρύσσεται μετὰ ἀπὸ τόσο χρόνο σὲ ὅλα τὰ μέρη τῆς γῆς, καὶ οἱ ἄνθρωποι ποὺ πίστεψαν σ' αὐτὸν τὸν ἔθεσαν πιὸ πάνω καὶ ἀπὸ τοὺς πατέρες τους καὶ ἀπὸ τὶς γυναῖκες τους καὶ ἀπὸ τὰ παιδιά τους, πές μου, γιὰ ποιό λόγο ἀπιστεῖς σ' αὐτὴν καὶ μόνο τὴν προφητεία, τὴ στιγμὴ ποὺ ἡ

ἀπιστεῖς, εἰπέ μοι, καὶ ταῦτα τῆς ἀπὸ τῆς χρόνου μαρτυρίας ἐπιστομιζούσης σου τὴν ἀναισχυντίαν; Εἰ μὲν οὖν μετὰ τὴν ἅλωσιν δέκα μόνον ἔτη ἦν ἢ εἴκοσι ἢ τριάκοντα ἢ πεντήκοντα, μάλιστα μὲν οὐδὲ οὕτως ἐχρῆν ἀναισχυντεῖν· πλὴν ἀλλ' ὅμως ὑπελέλειπτό τις τοῖς φιλονεικεῖν βουλομένοις πρόφασις. Εἰ δὲ οὐχὶ πεντήκοντα μόνον, ἀλλὰ καὶ ἑκατὸν καὶ δὶς τοσαῦτα καὶ τρὶς καὶ πολλῷ πλείονα παρῆλθον ἔτη μετὰ τὴν ἅλωσιν καὶ οὐδὲ ἴχνος οὐδὲ σκιά τις ἐφάνη ποτὲ τῆς παρ' ὑμῶν προσδοκωμένης μεταβολῆς, τίνος ἕνεκεν εἰκῇ καὶ μάτην ἀναισχυντεῖς;

4. Ἤρκει μὲν οὖν τὰ εἰρημένα πρὸς ἀπόδειξιν ὑμῖν τοῦ μηδέποτε τὸν ναὸν ἀναστήσεσθαι. Πλὴν ἀλλ' ἐπειδὴ πολλὴ τῆς ἀληθείας ἡ περιουσία, τὰ Εὐαγγέλια ἀφείς, ἐπὶ τοὺς προφήτας τρέψομαι, οἷς μάλιστα δοκοῦσι πιστεύειν, καὶ ἀπ' ἐκείνων ποιήσομαι φανερόν, ὅτι οὔτε τὴν πόλιν, οὔτε τὸν ναὸν λοιπὸν ἀπολήψονται. Καίτοι γε οὐδεμίαν εἶχον ἀνάγκην ἀποδεῖξαι, ὅτι οὐκ ἀναστήσεται, οὐδὲ ἐμὸν τοῦτο ἦν, ἀλλ' ἐκείνων, δεῖξαι τοὐναντίον ὅτι ἀναστήσεται. Ἐγὼ μὲν γὰρ ἔχω τὴν ἀπὸ τοῦ χρόνου σύστασιν μαρτυροῦσάν μοι καὶ συναγωνιζομένην, ἐκεῖνοι δὲ οἱ δι' αὐτῆς μὲν τῆς ἐκβάσεως τῶν πραγμάτων ἡττώμενοι καὶ ἐν ἔργοις οὐδὲν ἔχοντες δεῖξαι ὧν λέγουσι, κομπάζοντες δὲ ἁπλῶς καὶ εἰκῇ, αὐτοὶ δίκαιοι ταύτην παρασχεῖν τὴν μαρτυρίαν εἰσίν. Ἃ μὲν γὰρ ἐγὼ λέγω, δείκνυμι διὰ τῶν ἔργων αὐτῶν ἐκβεβηκότα καὶ ὅτι ἔπεσε καὶ ὅτι οὐκ ἀνέστη χρόνον τοσοῦτον, ἃ δὲ ἐκεῖνοι λέγουσιν, ἐν ῥήμασίν ἐστι ψιλοῖς τοῖς αὐτῶν.

Καὶ ἐχρῆν αὐτοὺς δεῖξαι, ὅτι ἀναστήσεται πάλιν ἡ πόλις· ἐπεὶ καὶ ἐν τοῖς δικαστηρίοις οὕτως ὁρῶμεν γινομένας τὰς ἀποδείξεις. Ὅταν γάρ τινες ὑπὲρ ὁτουοῦν πρὸς ἀλλήλους ἀμφισβητῶσι καὶ θάτερος ὧν λέγει ἐγγράφως παρέχῃ τὰς ἀποδείξεις, εἶτα ὁ ἕτερος ἐπιλαμβάνεται τῶν λεγομένων, αὐτὸς ἀναγκάζεται λοιπὸν μάρτυρας ἢ καὶ ἑτέρους παρέχειν ἐλέγχους τοῦ μὴ ταῦτα οὕτως ἔχειν, ὡς τὰ γραμμάτιά φησιν, οὐκ ἐκεῖνος ὁ προφέρων τὰ γραμμάτια. Οὕτω καὶ νῦν ποιεῖν δεῖ τοὺς Ἰουδαίους καὶ παράγειν ἡμῖν προφήτην εἰς

ἐπιβεβαίωσή της ἀπὸ τὸν χρόνο ἀποστομώνει τὴν ἀδιαντροπιά σου; Ἂν βέβαια μετὰ τὴν ἅλωση τῆς Ἰερουσαλὴμ περνοῦσαν μόνο δέκα ἢ εἴκοσι ἢ τριάντα ἢ πενήντα χρόνια, ὁπωσδήποτε οὔτε καὶ τότε ἔπρεπε νὰ συμπεριφέρεσαι μὲ τέτοια ἀδιαντροπιά, πλὴν ὅμως θὰ ὑπῆρχε μιὰ πρόφαση σ' ὅσους θέλουν νὰ φιλονεικοῦν. Ἂν ὅμως μετὰ τὴν ἅλωση πέρασαν ὄχι μόνο πενήντα, ἀλλὰ καὶ ἑκατὸ καὶ διακόσια καὶ τριακόσια καὶ πολὺ περισσότερα ἀκόμη χρόνια, καὶ ποτὲ μέχρι τώρα δὲν φάνηκε οὔτε ἴχνος οὔτε κάποια σκιὰ τῆς μεταβολῆς ποὺ περιμένετε ἐσεῖς, γιὰ ποιό λόγο ἄσκοπα καὶ ἀνώφελα συμπεριφέρεσαι μὲ ἀδιαντροπιά;

Θ' ἀρκοῦσαν λοιπὸν τὰ ὅσα λέχθηκαν ν' ἀποδείξουν σὲ σᾶς, ὅτι ὁ ναὸς οὐδέποτε πιὰ θὰ ἀνοικοδομηθῆ. Πλὴν ὅμως, ἐπειδὴ ἡ ἀφθονία τῆς ἀλήθειας εἶναι μεγάλη, ἀφήνοντας κατὰ μέρος τὰ εὐαγγέλια, θὰ ἔλθω στοὺς προφῆτες, στοὺς ὁποίους φαίνεται μᾶλλον ὅτι πιστεύουν, καὶ μὲ τὶς μαρτυρίες αὐτῶν θ' ἀποδείξω περίτρανα, ὅτι οὔτε τὴν πόλη οὔτε καὶ τὸν ναὸ πιὰ θὰ ἐπανακτήσουν. Ἂν καὶ βέβαια δὲν εἶχα καμμιὰ ἀνάγκη νὰ τὸ ἀποδείξω, ὅτι δηλαδὴ δὲν θ' ἀνοικοδομηθῆ ὁ ναός, οὔτε καὶ εἶναι αὐτὸ ἔργο δικό μου, ἀλλὰ ἔργο δικό τους, ν' ἀποδείξουν τὸ ἀντίθετο, ὅτι δηλαδὴ θὰ ἀνοικοδομηθῆ. Γιατὶ ἐγὼ ἔχω μὲ τὸ μέρος μου σὰν μάρτυρα καὶ συναγωνιστὴ τὸν χρόνο ποὺ πέρασε, ἐνῶ ἐκεῖνοι νικημένοι ἀπὸ τὴν ἔκβαση τῶν πραγμάτων καὶ μὴ ἔχοντας τίποτε ν' ἀποδείξουν ἔμπρακτα αὐτὰ ποὺ λένε, ἀλλ' ἁπλῶς καὶ μόνο κομπάζουν ἀδικαιολόγητα, εἶναι δίκαιο αὐτοὶ οἱ ἴδιοι νὰ δώσουν αὐτὴ τὴ μαρτυρία. Γιατὶ αὐτὰ ποὺ λέγω ἐγὼ τὰ ἀποδεικνύω πραγματοποιημένα μὲ γεγονότα, καὶ ὅτι καταστράφηκε ἡ πόλη καὶ ὅτι μετὰ ἀπὸ τόσο χρόνο δὲν ἀνοικοδομήθηκε, ἐνῶ ὅσα λένε ἐκεῖνοι εἶναι ἁπλὰ λόγια αὐτῶν.

Ἔπρεπε αὐτοὶ νὰ δείξουν, ὅτι ἡ πόλη θὰ ἀνοικοδομηθῆ ξανά· γιατὶ αὐτὴ τὴ διαδικασία βλέπουμε ν' ἀκολουθῆται καὶ στὰ δικαστήρια. Ὅταν δηλαδὴ κάποιοι διαφωνοῦν μεταξύ τους γιὰ ἕνα ὁποιοδήποτε πρᾶγμα καὶ ὁ ἕνας ἀπὸ τοὺς δύο ἐγγράφως ἀποδεικνύη τὰ λεγόμενά του, ὁ ἄλλος ὀφείλει, πρὸς ἀπόκρουση τῶν ἰσχυρισμῶν τοῦ πρώτου, νὰ προσκομίση μάρτυρες ἢ ἄλλες ἀποδείξεις, γιὰ ν' ἀποδείξη ὅτι τὰ πράγματα δὲν ἔχουν ἔτσι, ὅπως καταχωροῦνται στὰ ἔγγραφα καὶ τοὺς ἰσχυρισμοὺς τοῦ πρώτου. Τὸ ἴδιο καὶ τώρα ἔπρεπε νὰ κάνουν οἱ Ἰουδαῖοι, νὰ παρουσιάσουν μάρτυρα κά-

μέσον τὸν λέγοντα, ὅτι ἀναστήσεται πάντως ἡ πόλις. Ὅτι γάρ, εἰ καὶ τέλος ἔμελλεν ἕξειν ὑμῖν ἡ παροῦσα αἰχμαλωσία, πᾶσα ἀνάγκη ἦν, τοὺς προφήτας ταῦτα προαναφωνεῖν, παντί που δῆλόν ἐστι, τῷ καὶ ὁπωσοῦν εἰς τὰ προφητικὰ παρακύψαντι βιβλία. Καὶ γὰρ ἔθος παρὰ Ἰουδαίοις παλαιόν, τὸ τὰ μέλλοντα αὐτοὺς καταλαμβάνειν κακὰ ἢ ἀγαθὰ προαγορεύειν τοὺς προφήτας ἄνωθεν. Τίνος ἕνεκεν καὶ διά τί; Διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην καὶ ἀναισχυντίαν· ἐπειδὴ γὰρ παρ' αὐτὰς τὰς εὐεργεσίας ἐπελενθάνοντο τοῦ ταῦτα πεποιηκότος Θεοῦ καὶ τοῖς δαίμοσιν ἐπέγραφον τὰ γινόμενα καὶ τὰ ἀγαθὰ ἐκείνοις ἐλογίζοντο.

Καὶ νῦν μὲν ἐξελθόντες ἐξ Αἰγύπτου, τῆς θαλάσσης σχισθείσης καὶ τῶν ἄλλων θαυμάτων γινομένων, ἐπιλαθόμενοι τοῦ ταῦτα πεποιηκότος Θεοῦ, τοῖς οὐ θεοῖς ἀνετίθεσαν τὰ γινόμενα καὶ τῷ Ἀαρὼν λέγουσι· «ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν». Καὶ τῷ Ἱερεμίᾳ δὲ φαίνονται λέγοντες, «τὸν λόγον, ὃν ἐλάλησας πρὸς ἡμᾶς τῷ ὀνόματι Κυρίου, οὐκ ἀκουσόμεθά σου, ὅτι ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον, ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν αὐτῇ σπονδάς, καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν καὶ οἱ βασιλεῖς ἡμῶν καὶ ὁ ἄρχοντες ἡμῶν· καὶ ἐνεπλήσθημεν ἄρτων καὶ ἐγενήθημεν χρηστοὶ καὶ κακὰ οὐκ εἴδομεν· καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδοντες αὐτῇ σπονδάς, ἠλαττώθημεν πάντες ἡμεῖς καὶ ἐν ρομφαίᾳ καὶ ἐν λιμῷ ἐξεπέσομεν». Ἵνα οὖν μηδὲν τῶν συμβαινόντων τοῖς εἰδώλοις λογίζωνται, ἀλλὰ καὶ τὰς εὐεργεσίας παρὰ τοῦ Θεοῦ πιστεύσωσιν αὐτοῖς ἀεὶ παραγίνεσθαι, τὰς μὲν διὰ τὰς ἁμαρτίας, τὰς δὲ διὰ φιλανθρωπίαν, ἄνωθεν αὐτοῖς προύλεγον οἱ προφῆται τὰ μέλλοντα ἔσεσθαι.

Καὶ ἵνα μάθῃς ὅτι αὕτη ἐστὶν ἡ αἰτία προρρήσεως, ἄκουε τί φησιν ὁ μεγαλοφωνότατος Ἠσαΐας· «γινώσκω ὅτι σκληρὸς εἶ σὺ πρὸς τὸν λαὸν τὸν ἰουδαϊκόν, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου»· τουτέστιν ἀκαμπής, «καὶ τὸ μέτωπόν σου χαλκοῦν», τουτέστιν ἀναίσχυντον. Οὕτω γοῦν καὶ ἡμῖν ἔθος πολλάκις, τοὺς ἐρυθριᾶν μὴ εἰδότας, χαλκοπροσώπους καλεῖν. «Καὶ ἀνήγγειλά σοι,

21. Ἔξ. 32,1.
22. Ἱερ. 44,16–18.
23. Ἠσ. 48,4.

ποιον προφήτη, ποὺ λέγει ὅτι ὁπωσδήποτε θ' ἀνοικοδομηθῆ ἡ πόλη. Γιατί, τὸ ὅτι ἔπρεπε, ἂν ἐπρόκειτο νὰ τερματισθῆ ἡ παροῦσα αἰχμαλωσία σας, οἱ προφῆτες νὰ τὰ προεξαγγείλουν αὐτά, εἶναι βέβαια φανερὸ στὸν καθένα, ποὺ ἔστω καὶ λίγο μελέτησε τὰ προφητικὰ βιβλία. Γιατὶ πραγματικὰ ὑπάρχει στοὺς Ἰουδαίους ἡ παλιὰ συνήθεια οἱ προφῆτες, φωτιζόμενοι ἀπὸ τὸ ἅγιο Πνεῦμα, νὰ προλέγουν τὰ κακὰ ἢ τὰ καλὰ ποὺ πρόκειται νὰ συμβοῦν. Γιὰ ποιό λόγο καὶ γιὰ ποιό σκοπό; Ἐξ αἰτίας τῆς μεγάλης ἀγνωμοσύνης καὶ ἀδιαντροπιᾶς τους. Ἐπειδὴ δηλαδὴ ξεχνοῦσαν ἀμέσως τὶς εὐεργεσίες ποὺ τοὺς ἔκαμνε ὁ Θεὸς καὶ ἀπέδιδαν στοὺς δαίμονες τὰ γινόμενα καὶ πίστευαν ὅτι τὰ ἀγαθὰ προέρχονται ἀπὸ ἐκείνους, καὶ ἄλλοτε, ὅπως στὴν περίπτωση τῆς ἐξόδου ἀπὸ τὴν Αἴγυπτο, ἀφοῦ ἡ θάλασσα χωρίσθηκε στὰ δυὸ καὶ ἐπακολούθησαν ὅλα ἐκεῖνα τὰ θαυμαστά, αὐτοί, ξεχνώντας τὸν Θεὸ ποὺ τὰ ἔκαμε αὐτά, ἀπέδωσαν ὅλα αὐτὰ σὲ ψεύτικους θεοὺς καὶ ἔλεγαν πρὸς τὸν Ἀαρών, «κατασκεύασέ μας θεούς, οἱ ὁποῖοι θὰ βαδίζουν μπροστὰ ἀπὸ μᾶς»[21]. Καὶ πρὸς τὸν Ἱερεμία φαίνονται νὰ λέγουν, «τὰ λόγια ποὺ μᾶς εἶπες ἐξ ὀνόματος τοῦ Κυρίου, δὲν θὰ τὰ ἀκούσουμε, ἀλλὰ θὰ κάνουμε ὅλα ἐκεῖνα ποὺ βγαίνουν ἀπὸ τὸ δικό μας στόμα, καὶ θὰ προσφέρουμε θυμίαμα καθὼς καὶ σπονδὲς στὴ βασίλισσα τοῦ οὐρανοῦ, ὅπως ἐκάμαμε καὶ ἐμεῖς καὶ οἱ πατέρες μας καὶ οἱ βασιλεῖς μας καὶ οἱ ἄρχοντές μας, καὶ ἐξ αἰτίας αὐτοῦ χορτάσαμε ἀπὸ ἄρτους καὶ ἐζήσαμε εὐτυχισμένα καὶ δὲν γνωρίσαμε κακά. Ὅταν ὅμως σταματήσαμε νὰ προσφέρουμε θυμίαμα καὶ σπονδὲς στὴ βασίλισσα τοῦ οὐρανοῦ, τὰ στερηθήκαμε ἐμεῖς ὅλα, καὶ ἐξολοθρευθήκαμε μὲ ρομφαία καὶ λιμό»[22]. Γιὰ νὰ μὴν ἀποδίδουν λοιπὸν στὰ εἴδωλα τὰ ὅσα συμβαίνουν σ' αὐτούς, ἀλλὰ γιὰ νὰ πιστεύουν, ὅτι τόσο οἱ εὐεργεσίες, ὅσο καὶ οἱ τιμωρίες προέρχονται ἀπὸ τὸν Θεό, οἱ προφῆτες, φωτιζόμενοι ἀπὸ τὸ ἅγιο Πνεῦμα, προέλεγαν σ' αὐτοὺς τὰ ὅσα ἐπρόκειτο νὰ συμβοῦν.

Καὶ γιὰ νὰ μάθης, ὅτι αὐτὴ εἶναι ἡ αἰτία τῆς προφητείας, ἄκουσε τί λέγει καὶ ὁ μεγαλοφωνότατος Ἠσαΐας· «γνωρίζω ὅτι εἶσαι σκληρὸς πρὸς τὸν λαὸ τὸ Ἰουδαϊκὸ καὶ νεῦρο σιδερένιο ὁ τράχηλός σου», δηλαδὴ ἄκαμπτος, «καὶ τὸ μέτωπό σου χάλκινο», δηλαδὴ ἀδιάντροπο[23]. Τὸ ἴδιο καὶ ἐμεῖς πολλὲς φορὲς συνηθίζομε νὰ ἀποκαλοῦμε ἐκείνους ποὺ δὲν γνωρίζουν νὰ κοκκινίζουν, 'χαλκοπρόσωπους'. «Καὶ σοῦ ἀνήγγειλα», λέγει, «ἐκεῖνα ποὺ πρόκειται

φησίν, ἃ μέλλει ἐπὶ σὲ ἔρχεσθαι πρὶν ἢ γενέσθαι, καὶ ἀκουστά σοι ἐποίησα». Εἶτα τὴν αἰτίαν τῆς προρρήσεως λέγων, ἐπήγαγεν· «μή ποτε εἴπης, ὅτι τὰ εἴδωλά μοι ἐποίησε καὶ τὰ γλυπτὰ καὶ τὰ χωνευτά μοι ἐνετείλατο». Καὶ πάλιν, ἐπειδὴ φιλόνεικοί τινες ὄντες καὶ ἀλαζόνες καὶ μετὰ τὴν ἔκβασιν ἠναισχύντουν ὡς μὴ προακηκοότες, οὐ προύλεγον οἱ προφῆται τὰ ἐσόμενα μόνον, ἀλλὰ καὶ μάρτυρας ἐλάμβανον τῶν γινομένων. Οὕτω γοῦν πάλιν ὁ αὐτὸς Ἠσαΐας φησίν· «μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸ Οὐρίαν καὶ τὸν Ζαχαρίαν, υἱὸν Βαραχίου, τὸν ἱερέα». Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν τόμῳ καινῷ τὴν προφητείαν γράψας ἀπέθετο, ἵνα μετὰ τὴν ἔκβασιν αὐτὰ αὐτῶν καταμαρτυρῇ τὰ γράμματα, ὅτι ἄνωθεν αὐτοῖς καὶ πρὸ πολλοῦ τοῦ χρόνου προηγόρευται. Διὰ τοῦτο οὐδὲ ἁπλῶς «ἐν τόμῳ» γράφει, ἀλλ' «ἐν τόμῳ καινῷ», δυναμένῳ πρὸς τὸ μῆκος ἀρκέσαι τοῦ χρόνου καὶ μὴ διαφθαρῆναι ῥᾳδίως, ἀλλὰ ἀναμεῖναι τὴν ἔκβασιν τῶν ἐν αὐτῷ γεγραμμένων πραγμάτων· καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς καὶ πάντα αὐτοῖς προανεφώνει τὰ μέλλοντα ἔσεσθαι ὁ Θεός, οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν συμβάντων αὐτοῖς, κακῶν τε καὶ ἀγαθῶν, ποιήσομαι τὴν ἀπόδειξιν.

5. Τρεῖς γοῦν δουλείας ὑπέμειναν χαλεπωτάτας οἱ Ἰουδαῖοι καὶ οὐδεμίαν χωρὶς προρρήσεως αὐτοῖς ἐπήγαγεν, ἀλλὰ πάσας αὐτοῖς προλεχθῆναι παρεσκεύασεν ὁ Θεός, καὶ τόπον καὶ χρόνον καὶ πρόσωπον καὶ εἶδος κακώσεως καὶ τὴν ἐπάνοδον καὶ τὰ ἄλλα πάντα μετὰ ἀκριβείας προλέγων. Καὶ τὴν πρώτην πρόρρησιν ἐρῶ τὴν ἐν Αἰγύπτῳ. Πρὸς γοῦν τὸν Ἀβραὰμ διαλεγόμενος, οὕτω πώς φησι· «γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια. Τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός. Τετάρτη δὲ γενεᾷ ἐπανελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς». Εἶδες πῶς τὸν ἀριθμὸν εἶπε τῶν ἐτῶν· τετρακόσια ἔτη· τὸν τρόπον τῆς δουλείας, ὅτι οὐχ ἁπλῶς δουλώσουσιν, ἀλλὰ καὶ κακώσουσιν. Ἄκουε γοῦν πῶς μετὰ ταῦτα ἐξηγεῖται ὁ Μωϋσῆς τὴν κάκωσιν· «τὰ ἄχυρα οὐ δίδοται τοῖς οἰκέταις σου καὶ λέγουσιν ἡμῖν τὴν πλιν-

24. Ἠσ. 48,5–6.
25. Αὐτόθι.
26. Ἠσ. 8,2.
27. Γέν. 15,13–16.

νὰ συμβοῦν, προτοῦ συμβοῦν, καὶ σοῦ τὰ ἔκανα γνωστά»[24]. Ἔπειτα, ἐξαγγέλλοντας τὴν αἰτία τῆς προφητείας, λέγει· «γιὰ νὰ μὴ πῆς κάποτε, ὅτι τὰ εἴδωλα μοῦ τὰ ἔκαμαν αὐτὰ καὶ μοῦ τὰ προεῖπαν τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἀγάλματα»[25]. Καὶ πάλι, ἐπειδὴ μερικοὶ ἦταν φιλόνεικοι καὶ ἀλαζόνες, καὶ μετὰ τὴν πραγματοποίηση τῆς προφητείας συμπεριφέρονταν μὲ ἀναίδεια, λέγοντας ὅτι δὲν τὰ εἶχαν ἀκούσει, οἱ προφῆτες δὲν προέλεγαν μόνο τὰ ὅσα ἐπρόκειτο νὰ συμβοῦν, ἀλλ' ἐπικαλοῦντο καὶ μάρτυρες γιὰ τὰ γινόμενα. Ἔτσι λοιπὸν πάλι ὁ Ἠσαΐας λέγει· «μάρτυρες γι' αὐτὸ φέρε δυὸ ἀξιόπιστους ἀνθρώπους, τὸν Οὐρία καὶ τὸν Ζαχαρία, τὸν υἱὸ τοῦ Βαραχίου, τὸν ἱερέα»[26]. Κι ὄχι μόνο αὐτό, ἀλλ' ἀφοῦ ἔγραψε τὴν προφητεία, τὴν καταχώρησε σὲ καινούργιο τόμο, γιὰ νὰ ἀποτελοῦν τὰ γραπτά του ἀδιάψευστη μαρτυρία, ὅτι ἡ πραγματοποιούμενη προφητεία μὲ τὸν φωτισμὸ τοῦ ἁγίου Πνεύματος εἶχε πρὸ πολλοῦ προαναγγελθῆ σ' αὐτούς. Γι' αὐτὸ δὲν γράφει ἁπλῶς «σὲ τόμο», ἀλλ' «σὲ καινούργιο τόμο», γιὰ νὰ μπορῆ νὰ ἀντέξη στὴν πολυκαιρία καὶ νὰ μὴ φθαρῆ εὔκολα, ἀλλὰ νὰ ἀναμείνη τὴν ἔκβαση τῶν πραγμάτων, ποὺ εἶναι γραμμένα στὸν τόμο. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθές, καὶ ὁ Θεὸς προανήγγελλε σ' αὐτοὺς ὅλα ὅσα ἐπρόκειτο νὰ συμβοῦν, ὄχι μόνο ἀπὸ αὐτά, ἀλλὰ θὰ ἐπιχειρήσω νὰ τὸ ἀποδείξω καὶ μὲ τὰ ὅσα κακὰ καὶ καλὰ συνέβηκαν σ' αὐτούς.

5. Τρεῖς λοιπὸν δουλεῖες πολὺ φοβερὲς ὑπέφεραν οἱ Ἰουδαῖοι καὶ καμμιὰ ἀπ' αὐτὲς δὲν ἐπέφερε ὁ Θεὸς σ' αὐτοὺς χωρὶς προφητεία, ἀλλὰ φρόντισε ὅλες νὰ τὶς προαναγγείλη, προλέγοντας καὶ τὸν τόπο καὶ τὸν χρόνο καὶ τὸ πρόσωπο καὶ τὸ εἶδος τῶν βασάνων καὶ τὴν ἐπάνοδο καὶ ὅλα τὰ ἄλλα μὲ κάθε ἀκρίβεια. Θὰ σᾶς μιλήσω τώρα γιὰ τὴν προφητεία ποὺ ἀναφέρεται στὴ δουλεία τῆς Αἰγύπτου. Συνομιλώντας λοιπὸν ὁ Θεὸς μὲ τὸν Ἀβρραὰμ λέγει τὰ ἑξῆς· «γνώριζε πολὺ καλὰ ὅτι οἱ ἀπόγονοί σου θὰ ζήσουν σὰν ξένοι σὲ ξένη χώρα καὶ ὄχι στὴ δική τους, θὰ γίνουν δοῦλοι ἐκεῖ καὶ θὰ τοὺς κακοποιήσουν γιὰ τετρακόσια χρόνια. Τὸ ἔθνος στὸ ὁποῖο θὰ γίνουν δοῦλοι θὰ τὸ τιμωρήσω ἐγώ, εἶπε ὁ Θεός. Ἡ τετάρτη γενεὰ θὰ ἐπιστρέψη ἐδῶ μὲ πολλὰ ἀγαθά»[27]. Εἶδες πῶς εἶπε τὸν ἀριθμὸν τῶν ἐτῶν, τετρακόσια ἔτη, τὴ μορφὴ τῆς δουλείας, ὅτι δηλαδὴ δὲν θὰ εἶναι ἁπλῶς δοῦλοι, ἀλλὰ καὶ θὰ ὑποστοῦν πολλὰ βάσανα; Ἄκουσε τώρα πῶς ὁ Μωϋσῆς ἐπεξηγεῖ ἀργότερα τὴν κακοποίηση τοῦ λαοῦ· «δὲν δίνουν τὰ ἄχυρα στοὺς δούλους σου καὶ μᾶς λένε νὰ κατα-

θουργίαν ποιεῖν». Καὶ ἐμαστιγοῦντο καθ' ἑκάστην ἡμέραν, ἵνα μάθῃς, τί ἐστι τό, «δουλώσουσι καὶ κακώσουσι», καί, «τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ»· τὸν καταποντισμὸν τῶν Αἰγυπτίων λέγων, τὸν διὰ τῆς Ἐρυθρᾶς θαλάσσης, ὃν ἐν ταῖς ᾠδαῖς Μωϋσῆς ἀναγράφων οὕτως ἔλεγεν· «ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν». Εἶτα καὶ τὸν τρόπον τῆς ἐπανόδου, «ὅτι ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. Χρήσασθε», φησίν, «ἕκαστος παρὰ τῆς γείτονος αὐτοῦ καὶ συσκήνου σκεύη χρυσᾶ καὶ ἀργυρᾶ». Ἐπειδὴ γὰρ πολὺν ἐδούλευσαν χρόνον καὶ τὸν μισθὸν οὐκ ἀπέλαβον, ἄκοντας αὐτοὺς ἀπαιτηθῆναι παρεσκεύασεν ὁ Θεός. Καὶ βοᾷ ὁ προφήτης, λέγων· «καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν». Μία μὲν αὕτη δουλεία μετὰ ἀκριβείας πάσης προδιηγόρευται.

Φέρε δὴ καὶ ἐφ' ἑτέραν τὸν λόγον ἀγάγωμεν. Ποίαν δή; Τὴν ἐν Βαβυλῶνι. Καὶ γὰρ καὶ ταύτην μετὰ ἀκριβείας προανεφώνησεν ὁ Ἱερεμίας, οὕτως εἰπών· «οὕτως εἶπε Κύριος· ὅταν μέλλῃ πληροῦσθαι τῇ Βαβυλῶνι ἑβδομήκοντα ἔτη, ἐπισκέψομαι ὑμᾶς καὶ ἐπιστήσω ἐφ' ὑμᾶς τοὺς λόγους μου τοὺς ἀγαθούς, τοῦ ἀποστρέψαι εἰς τόπον τοῦτον· καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν ὑμῶν καὶ ἀθροίσω ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν καὶ ἐκ πάντων τῶν τόπων, οὗ διέσπειρα ὑμᾶς ἐκεῖ, φησὶ Κύριος, καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον, ὅθεν ἀπῴκισα ὑμᾶς ἐκεῖθεν». Ὁρᾷς ὅπως ἐνταῦθα πάλιν καὶ τὴν πόλιν εἶπε καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν καὶ πόθεν αὐτοὺς μέλλει συνάγειν καὶ ποῦ συνάγειν; Διὰ τοῦτο καὶ ὁ Δανιήλ, οὐ πρότερον ὑπὲρ αὐτῶν τὴν ἱκετηρίαν ἔθηκεν, ἀλλ' ὅτε εἶδε πληρωθέντα τὰ ἑβδομήκοντα ἔτη. Καὶ τίς ταῦτά φησιν; Αὐτὸς ὁ Δανιὴλ οὕτω λέγων· «καὶ ἐγὼ Δανιὴλ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως καὶ ἐθαύμαζον τὴν ὅρασιν καὶ οὐκ ἦν ὁ συνιών· καὶ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὡς ἐγενήθη ὁ λόγος Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν τῆς ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. Καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν

28. Ἔξ. 5,16.
29. Γέν. 15,14.
30. Ἔξ. 15,1.
31. Ἔξ. 3,22.
32. Ψαλμ. 104,37.

σκευάσουμε τὴν ἴδια ποσότητα πλίνθων»[28]. Καὶ καθημερινὰ μαστιγώνονταν, γιὰ νὰ μάθης τί σημαίνει τό, «θὰ γίνουν δοῦλοι καὶ θὰ κακοποιηθοῦν». «Τὸ ἔθνος, στὸ ὁποῖο θὰ γίνουν δοῦλοι, θὰ τὸ τιμωρήσω ἐγώ»[29], ἐννοώντας τὸν καταποντισμὸ τῶν Αἰγυπτίων στὴν Ἐρυθρὰ θάλασσα, τὸν ὁποῖον περιγράφοντας ὁ Μωϋσῆς στὶς ᾠδές του ἔλεγε· «ἵππο καὶ ἀναβάτη ἔρριψε στὴ θάλασσα»[30]. Ἔπειτα προλέγει καὶ τὸν τρόπο ἐπιστροφῆς στὴν πατρίδα τους· «θὰ ἐπιστρέψουν ἐδῶ μὲ πολλὰ ἀγαθά». «Ζητῆστε», λέγει, «ὁ καθένας σας ἀπὸ τὸν γείτονα ἢ τὴν σύνοικό του σκεύη χρυσᾶ καὶ ἀργυρᾶ»[31]. Ἐπειδὴ δηλαδὴ ἔζησαν πολλὰ χρόνια στὴ δουλεία καὶ δὲν πῆραν τὸν μισθό τους, τοὺς προετοίμασε ὁ Θεὸς νὰ τὸν πάρουν παρὰ τὴ θέληση ἐκείνων. Καὶ φωνάζει ὁ προφήτης λέγοντας· «καὶ ἐξήγαγε αὐτοὺς μὲ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη καὶ δὲν ὑπῆρχε μεταξὺ τῶν φυλῶν τους κανένας ἀσθενής»[32]. Αὐτὴ λοιπὸν εἶναι ἡ μία δουλεία, ποὺ μὲ κάθε λεπτομέρεια προλέχθηκε.

Ἐμπρὸς λοιπὸν ἂς μεταφέρουμε τὸν λόγο καὶ σ᾽ ἄλλη. Σὲ ποιάν; Στὴν τῆς Βαβυλώνας· γιατὶ κι αὐτὴν τὴν προανήγγειλε μὲ ἀκρίβεια ὁ προφήτης Ἱερεμίας λέγοντας τὰ ἑξῆς· «αὐτὰ εἶπε ὁ Κύριος· ὅταν θὰ συμβῆ νὰ συμπληρωθοῦν στὴ Βαβυλώνα ἑβδομήντα ἔτη, θὰ σᾶς ἐπισκεφθῶ καὶ θὰ ἐκπληρώσω τοὺς λόγους μου τοὺς ἀγαθούς, τὸ νὰ ἐπιστρέψετε δηλαδὴ στὸν τόπο αὐτόν· καὶ θὰ σᾶς ἐπαναφέρω ἀπὸ τὴν αἰχμαλωσία σας, καὶ θὰ σᾶς συγκεντρώσω ἀπὸ ὅλα τὰ ἔθνη καὶ ἀπὸ ὅλα τὰ μέρη στὰ ὁποῖα σᾶς διεσκόρπισα, λέγει ὁ Κύριος, καὶ θὰ σᾶς ἐπαναφέρω στὸν τόπο, ἀπὸ τὸν ὁποῖο σᾶς μετώκισα»[33]. Βλέπεις πῶς καὶ ἐδῶ προεῖπε πάλι τὴν πόλη καὶ τὸν ἀριθμὸ τῶν ἐτῶν, καθὼς καὶ ἀπὸ ποῦ πρόκειται νὰ τοὺς συγκεντρώση καὶ ποῦ νὰ τοὺς ἐγκαταστήση; Γι᾽ αὐτὸ καὶ ὁ Δανιὴλ δὲν ἀνέπεμψε στὸν Θεὸ γιὰ χάρη τους τὴν ἱκετήρια προσευχὴ πρωτύτερα, ἀλλὰ τότε, ὅταν εἶδε ὅτι συμπληρώθηκαν τὰ ἑβδομήντα χρόνια. Καὶ ποιός τὰ λέγει αὐτά; Ὁ ἴδιος ὁ Δανιήλ, λέγοντας τὰ ἑξῆς· «καὶ ἐγὼ ὁ Δανιὴλ ἐκτελοῦσα τὰ ἔργα τοῦ βασιλέως καὶ θαύμαζα τὴν ὅραση ποὺ εἶδα καὶ δὲν μποροῦσα νὰ τὴν κατανοήσω. Μελέτησα τότε στὰ βιβλία τὸν ἀριθμὸ τῶν ἐτῶν, σύμφωνα μὲ τὸν λόγο τοῦ Κυρίου πρὸς τὸν προφήτη Ἱερεμία, κατὰ τὸν ὁποῖο ἡ ἐρήμωση τῆς Ἱερουσαλὴμ θὰ διαρκοῦσε ἑβδομήντα ἔτη. Καὶ ἔστρεψα τότε τὸ πρόσωπό μου

33. Ἱερ. 29,10. 5,14.

Θεὸν τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν ἐν νηστείᾳ καὶ σάκκῳ καὶ σποδῷ».

Ἤκουσας πῶς καὶ αὕτη δουλεία διηγόρευται καὶ ὁ προφήτης οὐκ ἐτόλμησε πρὸ τοῦ διωρισμένου χρόνου δέησιν καὶ ἱκετηρίαν προσαγαγεῖν τῷ Θεῷ, ἵνα μὴ μάτην καὶ εἰκῇ προσίῃ, ἵνα μὴ ἀκούσῃ ὅπερ ἤκουσεν ὁ Ἰερεμίας, «μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου καὶ μὴ ἀξίου περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου». Ἀλλ' ὅτε τὴν ἀπόφασιν εἶδε πληρωθεῖσαν καὶ τὸν καιρὸν συγκαλοῦντα πρὸς τὴν ἐπάνοδον, τότε προσεύχεται, καὶ οὐχ ἁπλῶς, ἀλλ' «ἐν νηστείᾳ καὶ ἐν σάκκῳ καὶ ἐν σποδῷ». Καὶ ὅπερ ἐπ' ἀνθρώπων συμβαίνειν ἔθος, τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ πεποίηκε. Καὶ γὰρ ἡμεῖς, ἐπειδάν τινας ἴδωμεν τοὺς αὐτῶν οἰκέτας μετὰ πολλὰ καὶ μεγάλα ἁμαρτήματα εἰς δεσμωτήριον ἐμβαλλόντας, οὐκ εὐθέως, οὐδὲ ἐν προοιμίοις, οὐδὲ ἐν ἀρχῇ τῆς κολάσεως, τὴν ἱκετηρίαν προσάγομεν· ἀλλ' ἀφέντες ὀλίγας ἡμέρας αὐτοὺς σωφρονισθῆναι, τότε προσίεμεν τοῖς δεσπόταις, ἔχοντες καὶ τὴν ἀπὸ τοῦ καιροῦ συμμαχίαν· τοῦτο δὴ καὶ ὁ προφήτης ἐποίησεν. Ἐπειδὴ γὰρ δίκην ἔδωκαν, οὐκ ἀξίαν μὲν τῶν ἁμαρτημάτων, ἔδωκαν δ' οὖν ὅμως, προσέρχεται τῷ Θεῷ λοιπόν, ὑπὲρ αὐτῶν διαλεξόμενος.

Εἰ δὲ βούλεσθε, καὶ τῆς εὐχῆς αὐτῆς ἀκούσωμεν· «ἐξωμολογησάμην», γὰρ φησί, «καὶ εἶπον· Κύριε ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε καὶ φυλάττουσι τὰς ἐντολάς σου». Τί ποιεῖς, ὦ Δανιήλ; Ὑπὲρ ἀνθρώπων ἡμαρτηκότων, προσκεκρουκότων πρεσβεύων, τῶν φυλασσόντων αὐτοῦ τοὺς νόμους μέμνησαι; Οὐκοῦν ἄξιοί εἰσι συγγνώμης παραβαίνοντες αὐτοῦ τὰς ἐντολάς; Ἀλλ' οὐ διὰ τούτους ταῦτα λέγω, φησίν, ἀλλὰ διὰ τοὺς προγόνους τοὺς ἄνωθεν, διὰ τὸν Ἀβραάμ, διὰ τὸν Ἰσαάκ, διὰ τὸν Ἰακώβ. Ἐκείνοις ἐπηγγείλατο, φησί, καὶ ὑπέσχετο, οἳ καὶ τὰς ἐντολὰς αὐτοῦ ἐφύλαξαν. Ἐπεὶ οὖν οὐδὲν ἔχουσιν οὗτοι δικαίωμα σωτηρίας, διὰ τοῦτο τῶν προγόνων μέμνημαι. Καὶ ἵνα μὴ νομίσῃς, ὅτι περὶ τούτων ταῦτά φησιν, εἰπών, «ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγα-

34. Δαν. 8,27. 9,2–3.
35. Ἱερ. 14,11–12.
36. Δαν. 9,4.

πρὸς τὸν Κύριο τὸν Θεό, γιὰ νὰ τοῦ ἀπευθύνω προσευχὴ καὶ δέηση μὲ νηστεία, φορώντας σάκκο καὶ καθισμένος ἐπάνω σὲ στάχτη»[34].

Ἄκουσες πῶς καὶ αὐτὴ ἡ δουλεία ἔχει προαγγελθῆ καὶ ὅτι ὁ προφήτης δὲν τόλμησε ν' ἀναπέμψη πρὸ τῆς συμπληρώσεως τοῦ ὁρισθέντος χρόνου τὴν ἱκετήρια πρὸς τὸν Θεὸ προσευχή, γιὰ νὰ μὴ προσέλθη πρὸς αὐτὸν ἄσκοπα καὶ ἀνώφελα καὶ νὰ μὴν ἀκούση ἐκεῖνο ποὺ καὶ ὁ προφήτης Ἱερεμίας ἄκουσε, «μὴ προσεύχεσαι γιὰ τὸν λαὸ αὐτὸ καὶ μὴ ζητᾶς τίποτε γι' αὐτούς, γιατὶ δὲν θὰ σὲ ἀκούσω»[35]; Ἀλλὰ μόλις εἶδε νὰ ἐκπληρώνεται ἡ ἀπόφαση κι ὁ καιρὸς τοὺς καλοῦσε νὰ ἐπιστρέψουν, τότε προσεύχεται, καὶ ὄχι ἔτσι ἁπλῶς, ἀλλὰ «μὲ νηστεία, φορώντας σάκκο καὶ καθισμένος ἐπάνω σὲ στάχτη». Κι αὐτὸ ποὺ συμβαίνει συνήθως μὲ τοὺς ἀνθρώπους, αὐτὸ ἀκριβῶς ἔκαμε καὶ στὴν περίπτωση τοῦ Θεοῦ. Ἐμεῖς δηλαδή, ὅταν δοῦμε κάποιους συνανθρώπους μας νὰ ρίχνουν στὴ φυλακὴ τοὺς ὑπηρέτες τους ὕστερα ἀπὸ πολλὰ καὶ μεγάλα ἁμαρτήματα, δὲν καταφεύγουμε στὶς παρακλήσεις ἀμέσως οὔτε στὴν ἀρχὴ τῆς τιμωρίας τους, ἀλλ' ἀφοῦ τοὺς ἀφήσουμε γιὰ λίγες ἡμέρες νὰ σωφρονισθοῦν καὶ νὰ συνέλθουν, τότε πλησιάζουμε τοὺς κυρίους τους, ἔχοντας σὰν σύμμαχο καὶ τὸν καιρό. Αὐτὸ λοιπὸν ἔκαμε καὶ ὁ προφήτης. Ἀφοῦ τιμωρήθηκαν ὄχι ἀνάλογα μὲ τὴν ἀξία τῶν ἁμαρτημάτων τους, ἀλλ' ὁπωσδήποτε τιμωρήθηκαν, προσέρχεται τότε πρὸς τὸν Θεὸ γιὰ νὰ διαλεχθῆ μαζί του ὑπὲρ αὐτῶν.

Κι ἂν θέλετε ἂς ἀκούσουμε καὶ τὴν προσευχὴ αὐτή. Λέγει λοιπόν· «ἐξωμολογήθηκα καὶ εἶπα· Κύριε ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ποὺ φυλάσσεις τὴ διαθήκη σου καὶ τὸ ἔλεός σου γιὰ ἐκείνους ποὺ ἀγαποῦν καὶ φυλάσσουν τὶς ἐντολές σου»[36]. Τί κάμνεις, Δανιήλ; Πρεσβεύοντας γιὰ ἀνθρώπους, ποὺ ἔχουν ἁμαρτήσει καὶ συγκρουσθῆ μὲ τὸν Θεό, μνημονεύεις ἐκείνους ποὺ φυλάσσουν τὸν νόμο του; Δηλαδὴ εἶναι ἄξιοι συγχωρήσεως παραβαίνοντας τὶς ἐντολές του; Ἀλλ' ἐγώ, λέγει, δὲν τὰ λέγω αὐτὰ γι' αὐτούς, ἀλλὰ γιὰ τοὺς ἀρχαίους προγόνους τους, δηλαδὴ γιὰ τὸν Ἀβραάμ, τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ. Σ' ἐκείνους ὁ Θεὸς ἔδωσε τὶς ἐπαγγελίες καὶ τὶς ὑποσχέσεις, καὶ ἐκεῖνοι τήρησαν τὶς ἐντολές τους. Ἐπειδὴ λοιπὸν αὐτοὶ δὲν ἔχουν κανένα δικαίωμα σωτηρίας, γι' αὐτὸ μνημονεύω τοὺς προγόνους τους. Καὶ γιὰ νὰ μὴ νομίσης ὅτι αὐτὰ τὰ λέγει γι' αὐτούς, ἀφοῦ εἶπε, «σὺ ποὺ φυλάσσεις τὴν διαθήκη σου καὶ τὸ ἔλε-

πῶσί σε καὶ φυλάσσουσι τὰς ἐντολάς σου», ἐπήγαγεν εὐθέως· «ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, ἠσεβήσαμεν, ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου καὶ ἀπὸ τῶν κριμάτων σου καὶ οὐκ ἠκούσαμεν τῶν δούλων σου τῶν προφητῶν».

Μία γὰρ τοῖς ἁμαρτάνουσιν ἀπολογία μόνη μετὰ τὰ ἁμαρτήματα ὑπολέλειπται, τὸ τὰς οἰκείας ἁμαρτίας ὁμολογεῖν. Σὺ δέ μοι σκόπει καὶ τοῦ δικαίου τὴν ἀρετὴν καὶ τῶν Ἰουδαίων τὴν ἀγνωμοσύνην. Ὁ μὲν γὰρ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, καταδικάζει μετὰ πολλῆς ἑαυτὸν σφοδρότητος, λέγων· «ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν», οἱ δὲ μυρίων γέμοντες κακῶν, τοὐναντίον ἐποίουν, λέγοντες· «ἐφυλάξαμεν τὰ προστάγματά σου καὶ νῦν μακαρίζομεν ἀλλοτρίους· καὶ ἀνοικοδομοῦνται οἱ ποιοῦντες ἀνομήματα». Ὥσπερ γὰρ τοῖς δικαίοις ἔθος μετὰ τὰ δικαιώματα μετριάζειν, οὕτω τοῖς πονηροῖς, μετὰ τὰ ἁμαρτήματα ἐπαίρεσθαι. Ὁ μηδὲν ἑαυτῷ συνειδώς, τοιοῦτον ἔλεγεν, «ἠνομήσαμεν, ἐξεκλίναμεν ἀπὸ τῶν ἐντολῶν σου». Ταῦτα λέγω, ὅτι τὰ μὲν φύγωμεν, τὰ δὲ ζηλώσωμεν.

6. Εἶτα, ἐπειδὴ κατέδραμεν αὐτῶν τῆς παρανομίας, λέγει καὶ τὴν τιμωρίαν, ἣν ἔδοσαν, καὶ ἀπὸ τούτου πάλιν τὸν Θεὸν εἰς ἔλεον ἐπισπάσασθαι βουλόμενος. «Καὶ ἐπῆλθε», φησίν, «ἐφ' ἡμᾶς ἡ κατάρα ἡ γεγραμμένη ἐν τῷ νόμῳ Μωσέως, δούλου τοῦ Θεοῦ, ὅτι ἡμάρτομεν». Ποία κατάρα αὕτη; Βούλεσθε ἵνα ἀναγνῶμεν αὐτήν; «Ἐὰν μὴ λατρεύσητε Κυρίῳ τῷ Θεῷ ὑμῶν», φησίν, «ἐπάξω ἐφ' ὑμᾶς ἔθνος ἀναιδές, οὗ οὐκ ἀκούσῃ τῆς φωνῆς αὐτοῦ, καὶ ἔσεσθε ἐν ἀριθμῷ βραχεῖς». Τοῦτο γοῦν αὐτὸ δηλοῦντες οἱ τρεῖς παῖδες καὶ δεικνύντες, ὅτι διὰ τῶν ἔργων αὐτῶν ἐξέβη τὸ τῆς κολάσεως εἶδος, καὶ αὐτοὶ πρὸς τὸν Θεὸν ἐξομολογούμενοι, περὶ τῶν κοινῶν ἁμαρτημάτων ἔλεγον· «παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν». Ὁρᾷς ὡς ἡ ἀρὰ ἐπληροῦτο ἐκείνη ἡ λέγου-

37. Δαν. 9,5.
38. Μαλαχ. 3,14–15.
39. Δαν. 9,11.
40. Δευτ. 28,49–50.
41. Δαν. 3,8.

ός σου γιὰ ἐκείνους ποὺ ἀγαποῦν καὶ φυλάσσουν τὶς ἐντολές σου», πρόσθεσε ἀμέσως· «ἁμαρτήσαμε, παρανομήσαμε, ἀδικήσαμε, ἀσεβήσαμε, ἀπομακρυνθήκαμε ἀπὸ τὶς ἐντολές σου καὶ ἀπὸ τὰ προστάγματά σου καὶ δὲν ἀκούσαμε τοὺς δούλους σου τοὺς προφῆτες»[37].

Γιὰ ὅσους ἁμαρτάνουν μία καὶ μόνη δικαιολογία ἀπομένει μετὰ τὰ ἁμαρτήματα, ἡ ἐξομολόγηση τῶν ἁμαρτημάτων τους. Σὺ ὅμως, σὲ παρακαλῶ, σκέψου καὶ τοῦ δικαίου τὴν ἀρετὴ καὶ τὴν ἀχαριστία τῶν Ἰουδαίων. Γιατὶ ἐκεῖνος, χωρὶς ἡ συνείδησή του νὰ βαρύνεται ἀπὸ κάποια κακὴ πράξη, καταδικάζει τὸν ἑαυτό του μὲ μεγάλη σφοδρότητα, λέγοντας· «ἁμαρτήσαμε, παρανομήσαμε, ἀδικήσαμε», ἐνῶ αὐτοί, γεμᾶτοι ἀπὸ ἀμέτρητα κακά, ἔκαμναν τὸ ἀντίθετο, λέγοντας· «φυλάξαμε τὰ προστάγματά σου καὶ τώρα μακαρίζομε τοὺς ξένους, καὶ εὐημεροῦν ἀνοικοδομώντας τὶς πόλεις τους ὅσοι διαπράττουν ἀνομήματα»[38]. Ὅπως δηλαδὴ οἱ δίκαιοι, μετὰ τὴν ἐπιτέλεση τῶν ἐντολῶν, συνηθίζουν νὰ εἶναι μετριόφρονες, ἔτσι καὶ οἱ κακοί, μετὰ τὴ διάπραξη τῶν κακῶν, ὑπερηφανεύονται. Ἐκεῖνος, ἐνῶ ἡ συνείδησή του δὲν βαρυνόταν μὲ καμμιὰ ἐνοχή, ἔλεγε, «παρανομήσαμε, ἀπομακρυνθήκαμε ἀπὸ τὶς ἐντολές σου», ἐνῶ αὐτοί, ποὺ ἦταν ἔνοχοι τόσων ἁμαρτημάτων, ἔλεγαν· «φυλάξαμε τὶς ἐντολές σου». Αὐτὰ τὰ λέγω, γιὰ ν' ἀποφύγουμε τὰ κακὰ καὶ νὰ ποθήσουμε τὰ καλά.

6. Ἔπειτα, ἀφοῦ τοὺς ὠνείδισε γιὰ τὴν παρανομία τους, ἀναφέρει καὶ τὴν τιμωρία ποὺ ὑπέστησαν, θέλοντας μὲ αὐτὸ καὶ πάλι ν' ἀποσπάση τὸ ἔλεος τοῦ Θεοῦ. «Καὶ ἔπεσε», λέγει, «σὲ μᾶς ἡ κατάρα ποὺ εἶναι γραμμένη στὸ νόμο τοῦ Μωϋσέως, τοῦ δούλου τοῦ Θεοῦ, γιατὶ ἁμαρτήσαμε»[39]. Ποιά εἶναι ἡ κατάρα αὐτή; Θέλετε νὰ τὴ διαβάσουμε; «Ἂν δὲν λατρεύσετε τὸν Κύριο τὸν Θεό σας, θὰ ὁδηγήσω ἐναντίον σας ἔθνος ἀδιάντροπο, τοῦ ὁποίου δὲν θὰ καταλαβαίνετε τὴ γλῶσσα του, καὶ θ' ἀπομείνετε πολὺ λίγοι»[40]. Αὐτὸ ἀκριβῶς δηλώνοντας καὶ οἱ τρεῖς παῖδες καὶ γιὰ νὰ δείξουν, ὅτι μὲ ὅσα συνέβηκαν σ' αὐτοὺς ἐκπληρώθηκε ὁ τρόπος τῆς τιμωρίας, ἐξομολογούμενοι καὶ αὐτοὶ πρὸς τὸν Θεὸ γιὰ τὰ κοινὰ ἁμαρτήματα, ἔλεγαν· «μᾶς παρέδωσες σὲ χέρια ἐχθρῶν παρανόμων καὶ πάρα πολὺ μισητῶν ἀποστατῶν, καὶ σὲ βασιλέα ἄδικο καὶ πιὸ κακὸν ἀπὸ ὅλους τοὺς βασιλεῖς τῆς γῆς»[41]. Βλέπεις ὅτι ἐκπληρωνόταν ἡ κατά-

σα, «ἔσεσθε ἐν ἀριθμῷ βραχεῖς», καὶ ἡ λέγουσα, ὅτι «ἐπάξω ἐφ' ὑμᾶς ἔθνος ἀναιδές»; Τοῦτο αὐτὸ καὶ ὁ Δανιὴλ ἐνταῦθα αἰνίττεται καί φησιν· «ἦλθεν ἐφ' ἡμᾶς κακά, οἷα οὐ γέγονε ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, κατὰ τὰ γενόμενα ἐν Ἰσραήλ». Ποῖα δὴ ταῦτα; «Μητέρες παίδων ἀπεγεύσαντο»· καὶ τοῦτο αὐτὸ προλέγει μὲν ὁ Μωϋσῆς, δείκνυσι δὲ ἐκβεβηκὸς ὁ Ἰερεμίας· ὁ μὲν γάρ φησιν, ὅτι «ἡ ἁπαλή, ἡ τρυφερά, ἧς οὐκ ἔλαβε πεῖραν ὁ πούς αὐτῆς ἐπιβῆναι ἐπὶ τοῦ βήματος, διὰ τὴν ἁπαλότητα καὶ τὴν τρυφερότητα, ἅψεται παρανόμου τραπέζης καὶ τῶν ἐκγόνων ἀπογεύσεται τῶν ἑαυτῆς». Ὁ δὲ Ἰερεμίας τοῦτο αὐτὸ δηλῶν ὅτι ἐξέβη, ἔλεγε· «χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν». Ἀλλ' ὅμως τὰς ἁμαρτίας αὐτῶν εἰπὼν ἃς ἥμαρτον, καὶ τὴν δίκην ἣν ὑπέμειναν εἰς μέσον ἀγαγών, οὐδὲ οὕτως ἐκ τούτων ἀξιοῖ σώζεσθαι.

Ὅρα οὖν εὐγνωμοσύνην οἰκέτου. Καὶ γὰρ καὶ οὗτος δεικνύς, ὅτι οὐδὲν οὐδέπω τῶν ἁμαρτημάτων ἄξιον ὑπέμειναν, οὐδὲ διελύσαντο τὰ πλημμελήματα δι' ὧν ἔπαθον, λοιπὸν ἐπὶ τοὺς οἰκτιρμοὺς καταφεύγει τοῦ Θεοῦ καὶ τὸν τῆς φιλανθρωπίας αὐτοῦ τρόπον καί φησι· «καὶ νῦν, Κύριε ὁ Θεὸς ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη· ἡμάρτομεν, ἠνομήσαμεν». Καὶ γὰρ ὡς ἐκείνους, φησίν, οὐκ ἀπὸ στενοχωρίαν καὶ τῆς κραυγῆς ἀκούσας, οὕτω δὴ καὶ ἡμᾶς ἀπάλλαξον τῶν παρόντων κακῶν, διὰ τὴν φιλανθρωπίαν σου μόνην· ἕτερον γὰρ οὐδὲν ἔχομεν δικαίωμα σωτηρίας; Εἰπὼν δὴ ταῦτα καὶ θρηνήσας ἱκανῶς, εἰσάγει λοιπὸν τὴν πόλιν, καθάπερ τινὰ γυναῖκα αἰχμάλωτον, καί φησιν· «ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου· κλῖνον ὁ Θεός μου τὸ οὖς σου καὶ ἄκουσον· ἄνοιξον τοὺς ὀφθαλμούς σου καὶ ἴδε τὸν ἀφανισμὸν ἡμῶν καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ' αὐτῆς». Ἐπειδὴ γὰρ τοὺς ἀνθρώπους περιελθών, οὐδένα ἑώρα δυνάμενον ἵλεω ποιῆσαι τὸν

42. Δευτ. 28,56.
43. Θρῆνοι Ἱερ. 4,10.
44. Δαν. 9,15.
45. Δαν. 9,17–18.

ρα ἐκείνη, ποὺ ἔλεγε, «θὰ ἀπομείνετε πάρα πολὺ λίγοι», καὶ ἐκείνη ποὺ λέγει, «θὰ ὁδηγήσω ἐναντίον σας ἔθνος ἀδιάντροποι»; Αὐτὸ ἀκριβῶς καὶ ὁ Δανιὴλ ὑπανίσσεται ἐδῶ καὶ λέγει· «συνέβηκαν σὲ μᾶς τέτοια κακά, ποὺ παρόμοια δὲν συνέβηκαν κάτω ἀπὸ τὸν οὐρανό, τὰ ὅσα δηλαδὴ συνέβηκαν στοὺς Ἰσραηλῖτες». Ποιά λοιπὸν εἶναι αὐτά; Οἱ μητέρες ἔφαγαν τὰ παιδιά τους», πρᾶγμα ποὺ τὸ προλέγει ὁ Μωϋσῆς καὶ δείχνει τὴν ἐκπλήρωσή του ὁ Ἰερεμίας. Ὁ Μωϋσῆς δηλαδὴ λέγει, «ἡ ἀπαλή, ἡ τρυφερή, ποὺ τὰ πόδια της ἐξ αἰτίας τῆς μαλθακότητας καὶ τῆς τρυφερότητας δὲν πάτησαν ἐπάνω στὴ γῆ, θὰ λάβη μέρος σὲ παράνομο τραπέζι καὶ θὰ καταφάγη τὰ τέκνα της»[42]. Ὁ Ἰερεμίας πάλι, δείχνοντας ὅτι αὐτὸ ἐκπληρώθηκε, ἔλεγε· «χέρια στοργικὰ γυναικῶν ἔψησαν τὰ τέκνα τους»[43]. Ἀλλ' ὅμως, ἂν καὶ ἀνέφερε τὶς ἁμαρτίες ποὺ διέπραξαν καὶ μνημόνευσε καὶ τὴν τιμωρία ποὺ ὑπέστησαν, παρ' ὅλα αὐτὰ οὔτε καὶ πάλι ζητεῖ νὰ λυτρωθοῦν ἀπ' αὐτά.

Πρόσεχε λοιπὸν εὐγνωμοσύνη δούλου. Καὶ αὐτὸς δηλαδή, γιὰ νὰ δείξη, ὅτι οὐδέποτε ὑπέστησαν κάτι ἀντάξιο τῶν ἁμαρτημάτων τους, οὔτε καὶ μετανόησαν γιὰ τὰ ἁμαρτήματά τους, ἐξ αἰτίας τῶν ὁποίων ἔπαθαν τὰ κακά, καταφεύγει στοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ τὴν φιλανθρωπία του, καὶ λέγει· «καὶ τώρα, Κύριε ὁ Θεός μας, σὺ ποὺ ἐξήγαγες τὸν λαό σου ἀπὸ τὴν Αἴγυπτο καὶ κατέστησες τὸ ὄνομά σου ἔνδοξο μέχρι τὴν ἡμέρα αὐτή, ὁμολογοῦμε, ἁμαρτήσαμε, παρανομήσαμε»[44]. Ὅπως δηλαδή, λέγει, ἔσωσες ἐκείνους ὄχι ἐξ αἰτίας τῶν ἀρετῶν καὶ τῶν κατορθωμάτων τους, ἀλλ' ἀφοῦ εἶδες τὴ θλίψη τους καὶ τὴ στενοχώρια τους καὶ ἄκουσες τὴν κραυγή τους, ἔτσι λοιπὸν καὶ μᾶς τώρα ἀπάλλαξέ μας ἀπὸ τὰ παρόντα κακά, ἐξ αἰτίας τῆς φιλανθρωπίας σου καὶ μόνο· γιατὶ δὲν ἔχουμε κανένα ἄλλο δικαίωμα σωτηρίας. Ἀφοῦ λοιπὸν τὰ εἶπε αὐτὰ καὶ θρήνησε πάρα πολύ, παρουσιάζει τότε τὴν πόλη σὰν μιὰ γυναῖκα αἰχμάλωτη καὶ λέγει· «ἄφησε τὸ πρόσωπό σου νὰ φανῆ εὐμενὲς πρὸς τὸν ἅγιο νάο σου. Κλίνε, σὺ ὁ Θεός μου, τὸ αὐτί σου καὶ ἄκουσε τὴν προσευχή μου. Ἄνοιξε τοὺς ὀφθαλμούς σου καὶ δὲς τὸν ἐξαφανισμὸ τὸν δικό μας καὶ τῆς πόλεώς σου, στὴν ὁποία ἀκουόταν δοξαζόμενο τὸ ὄνομά σου»[45]. Ἐπειδὴ δηλαδὴ ἐξέτασε τοὺς ἀνθρώπους καὶ δὲν βρῆκε κανένα ποὺ νὰ μπορῆ νὰ ἐξελεώση τὸν Θεό, καταφεύγει πρὸς οἰκοδομήματα καὶ παρουσιάζει τὴν ἴδια τὴν

Θεόν, πρὸς τὰ οἰκοδομήματα καταφεύγει καὶ τὴν πόλιν αὐτὴν προβάλλεται καὶ τὴν ἐρημίαν αὐτῆς προτείνεται, καὶ ἐν τούτοις καταλύσας τὸν λόγον, ἵλεω τὸν Θεὸν ἐποίησε· καὶ δῆλον ἐκ τῶν ἑξῆς.

Ἀλλ' ὅπερ ἔλεγον· δεῖ γὰρ ἐπὶ τὸ προκείμενον πάλιν ἐπανελθεῖν· καὶ γὰρ καὶ ταῦτα παρενέβαλλον οὐχ ἁπλῶς οὐδὲ εἰκῇ, ἀλλ' ὥστε μικρὸν ὑμῶν διαναπαῦσαι τὴν διάνοιαν ἀπὸ τῶν συνεχῶν ἀγωνισμάτων καμοῦσαν. Φέρε οὖν ἐπανίωμεν ὅθεν ἐξέβημεν ταῦτα εἰπεῖν· δείξωμεν τὰ μέλλοντα καταλήψεσθαι τοὺς Ἰουδαίους κακά, ἄνωθεν προηγορευμένα μετὰ ἀκριβείας ἁπάσης. Δύο μὲν δὴ ταύτας δουλείας ὁ λόγος ἀπέδειξε μετὰ προφητείας ἐπελθούσας αὐτοῖς καὶ οὐχ ἁπλῶς οὐδὲ ἀπροσδοκήτως. Λείπεται δὴ λοιπὸν τὴν τρίτην ἐπαγαγόντας καὶ περὶ ταύτης τῆς νῦν κατεχούσης αὐτοὺς εἰπεῖν καὶ δεῖξαι σαφῶς, πῶς οὐδὲ εἷς προφήτης ἐπηγγείλατό τινα λύσιν ἔσεσθαι τῶν κατεχόντων αὐτοὺς κακῶν, οὔτε ἀπαλλαγήν. Τίς οὖν ἐστιν ἡ τρίτη; Ἡ ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. Ἐπειδὴ γὰρ Ἀλέξανδρος, ὁ τῶν Μακεδόνων βασιλεύς, Δαρεῖον τὸν τῶν Περσῶν βασιλέα ἀνελών, εἰς ἑαυτὸν τὴν ἀρχὴν περιέστησε, τελευτήσαντος τούτου, τέσσαρες μετ' ἐκεῖνον ἐγένοντο βασιλεῖς· εἶτα ἐξ ἑνὸς τούτων τῶν τεσσάρων γενόμενος ὁ Ἀντίοχος, μετὰ πολὺν ὕστερον χρόνον, τό τε ἱερὸν ἐνέπρησε, τά τε ἅγια τῶν ἁγίων ἠρήμωσε, τάς τε θυσίας καθεῖλε, τούς τε Ἰουδαίους ὑπέταξε καὶ τὴν πολιτείαν αὐτῶν κατέλυσεν ἅπασαν.

7. Καὶ ταῦτα ἅπαντα μετ' ἀκριβείας ἁπάσης καὶ μέχρι τῆς ἡμέρας προηγόρευτο παρὰ τοῦ Δανιήλ, καὶ πότε ἔσται καὶ πῶς καὶ παρὰ τίνος καὶ τίνι τρόπῳ καὶ ποῦ τελευτήσει καὶ τίνα λήψεται μεταβολήν. Εἴσεσθε δὲ σαφέστερον, ἀκούσαντες αὐτῆς τῆς ὁράσεως, ἣν διὰ παραβολῆς ἡμῖν ὁ προφήτης ἀπήγγειλε, κριὸν μὲν καλῶν τὸν τῶν Περσῶν βασιλέα, τὸν Δαρεῖον, τράγον δὲ τὸν τῶν Ἑλλήνων βασιλέα, Ἀλέξανδρον λέγω τὸν Μακεδόνα, τέσσαρα κέρατα τοὺς μετ' ἐκεῖνον ἀναστάντας ὕστερον, κέρας ὕστατον αὐτὸν τὸν Ἀντίοχον καλῶν. Μᾶλλον δὲ αὐτῆς βέλτιον ἀκοῦσαι τῆς ὁράσεως.

πόλη καὶ προβάλλει τὴν ἐρήμωσή της, καὶ τελειώνοντας μὲ αὐτὰ τὸν λόγο, κατώρθωσε νὰ ἐξευμενίση τὸν Θεό, πρᾶγμα ποὺ γίνεται φανερὸ ἀπὸ τὰ ἑπόμενα.

Ἀλλ' ὅπως ἔλεγα (γιατὶ πρέπει νὰ ἐπανέλθω πάλι στὸ ἐξεταζόμενο θέμα· καθ' ὅσον καὶ αὐτὰ τὰ παρενέβαλα ὄχι τυχαῖα καὶ ἄσκοπα, ἀλλὰ γιὰ νὰ ξεκουράσω γιὰ λίγο τὴ σκέψη σας τὴ κουρασμένη ἀπὸ τοὺς συνεχεῖς ἀγῶνες). Ἐμπρὸς λοιπὸν ἂς ἐπανέλθουμε ἐκεῖ, ὅπου διακόψαμε τὸ λόγο γιὰ νὰ ποῦμε αὐτά, καὶ ἂς δείξουμε τὰ κακά, ποὺ πρόκειται νὰ συμβοῦν στοὺς Ἰουδαίους, ποὺ προλέχθηκαν μὲ ἀκρίβεια ἀπὸ τὸ ἅγιο Πνεῦμα. Στὴν ὁμιλία μας μέχρι τώρα ἀναφέραμε τὶς δυὸ δουλεῖες ποὺ συνέβηκαν σ' αὐτοὺς ἀφοῦ προλέχθηκαν καὶ ὄχι τυχαῖα καὶ ἀπροσδόκητα. Ὑπολείπεται λοιπὸν τώρα ἀφοῦ μιλήσουμε γιὰ τὴν τρίτη δουλεία, νὰ μιλήσουμε καὶ γιὰ τὴν τωρινή τους δουλεία, καὶ νὰ δείξουμε μὲ σαφήνεια, ὅτι οὔτε ἕνας προφήτης δὲν ἔχει προφητεύσει τὸν τερματισμὸ τῶν κακῶν ποὺ τοὺς μαστίζουν οὔτε τὴν ἀπαλλαγή τους ἀπ' αὐτά. Ποιά λοιπὸν εἶναι ἡ τρίτη δουλεία; Εἶναι ἐκείνη ποὺ ὑπέστησαν ἀπὸ τὸν Ἀντίοχο τὸν Ἐπιφανῆ. Ὅταν δηλαδὴ ὁ Ἀλέξανδρος, ὁ βασιλεὺς τῶν Μακεδόνων, φόνευσε τὸν Δαρεῖο, τὸν βασιλέα τῶν Περσῶν, καὶ συγκέντρωσε στὰ χέρια του ὅλην τὴν ἐξουσία, ἀφοῦ πέθανε ἐκεῖνος, ἀνακηρύχθηκαν μετὰ ἀπὸ ἐκεῖνον τέσσερις βασιλεῖς. Ἀκολούθως κι ἔπειτα ἀπὸ πολλὰ χρόνια ὑπῆρξε βασιλεὺς ἕνας ἀπ' αὐτοὺς ὁ Ἀντίοχος ὁ Ἐπιφανής, ὁ ὁποῖος καὶ τὸν ναὸ κατέκαυσε καὶ τὰ ἅγια τῶν ἁγίων ἐρήμωσε καὶ τὶς θυσίες κατήργησε καὶ τοὺς Ἰουδαίους ὑπέταξε καὶ ὁλόκληρο τὸ πολίτευμά τους κατέλυσε.

7. Κι ὅλα αὐτὰ εἶχαν προφητευθῆ μὲ κάθε λεπτομέρεια ἀπὸ τὸν Δανιήλ, προσδιοριζόμενης ἀκόμη καὶ τῆς ἡμέρας πραγματώσεώς τους· εἶπε δηλαδὴ καὶ πότε θὰ γίνουν καὶ πῶς καὶ ἀπὸ ποιόν καὶ μὲ ποιόν τρόπο καὶ ποῦ θὰ τελειώσουν καὶ ποιά μεταβολὴ θὰ συμβῆ. Θὰ τὰ μάθετε ὅμως σαφέστερα, ἀφοῦ ἀκούσετε τὴν ὅραση, ποὺ παραβολικὰ μᾶς περιέγραψε ὁ προφήτης, ὀνομάζοντας «κριὸ» τὸν βασιλέα τῶν Περσῶν τὸν Δαρεῖο, «τράγο» τὸν βασιλέα τῶν Ἑλλήνων, δηλαδὴ τὸν Ἀλέξανδρο τὸν Μακεδόνα, «τέσσερα κέρατα» τοὺς βασιλεῖς ποὺ τὸν διαδέχθηκαν, καὶ «κέρας τελευταῖο» ὀνομάζοντας τὸν Ἀντίοχο τὸν Ἐπιφανῆ. Μᾶλλον ὅμως εἶναι καλύτερο νὰ ἀκούσετε τὴν ἴδια τὴν ὅραση. Λέει λοιπόν· «εἶδα ὑπὸ μορφὴ ὁράματος

«Εἶδον», γὰρ φησίν, «ἐν ὁράματι, καὶ ἤμην ἐπὶ τοῦ Οὐβάλ» (τόπον τινὰ περσικῇ φωνῇ καλῶν οὕτω)· «καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ Οὐβὰλ καὶ αὐτῷ κέρατα ὑψηλὰ καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου καὶ τὸ ὑψηλὸν ἀνέβαινεν ἐπ' ἐσχάτων καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶν καὶ νότον καὶ πάντα τὰ θηρία οὐ στήσονται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ· καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ καὶ ἐμεγαλύνθη· καὶ ἐγὼ ἤμην συνιών»· τὴν δύναμιν λέγει τὴν περσικήν, καὶ τὴν ἀρχήν, ἣ πᾶσαν ἐπέδραμε τὴν γῆν. Εἶτα περὶ τοῦ Μακεδόνος Ἀλεξάνδρου διαλεγόμενος, φησί· «καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον τῆς γῆς πάσης καὶ οὐκ ἦν ἁπτόμενος τῆς γῆς· καὶ τῷ τράγῳ ἐκείνῳ κέρας θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ». Εἶτα λέγων τὴν συμβολὴν τοῦ Ἀλεξανδρου, τὴν πρὸς τὸν Δαρεῖον γενομένην, λέγει καὶ τὴν νίκην τὴν κατακράτος. «Καὶ ἦλθε», φησίν, «ὁ τράγος ἕως τοῦ κριοῦ, τοῦ τὰ κέρατα ἔχοντος, καὶ ἠγριώθη καὶ ἔπαισε τὸν κριὸν (δεῖ γὰρ ἐπιτεμεῖν), καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ». Καὶ μετὰ ταῦτα λέγων τὴν τελευτὴν Ἀλεξάνδρου καὶ τὴν τῶν τεσσάρων βασιλέων διαδοχήν· «καὶ ἐν τῷ ἰσχῦσαι αὐτόν», φησί, «συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα καὶ ἀνέβη ἕτερα τέσσαρα κέρατα ὑποκάτωθεν αὐτοῦ κατὰ τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ».

Ἐντεῦθεν λοιπὸν ἐπὶ τὴν Ἀντιόχου βασιλείαν ἐλθὼν καὶ δεικνύς, ὅτι ἐξ ἑνὸς ἐκείνων τῶν τεσσάρων ἐστίν, οὕτω πώς φησι· «καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυρὸν καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον καὶ πρὸς ἀνατολήν». Καὶ δηλῶν, ὅτι τὴν ἰουδαϊκὴν καθεῖλε πολιτείαν, φησί· «καὶ δι' αὐτὸν θυσία ἐταράχθη παραπτώματι καὶ ἐγενήθη καὶ κατευωδώθη αὐτῷ. Καὶ τὸ ἅγιον ἐρημωθήσεται καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία. Τοῦ γὰρ βωμοῦ καθαιρεθέντος καὶ τῶν ἁγίων καταπατηθέντων, εἴδωλον ἔστησεν

46. Πρόκειται μᾶλλον περὶ τοποθεσίας.
47. Δαν. 8,2.

ὅτι βρισκόμουν κοντὰ στὸν Οὐβάλ»[46], ἔτσι ὀνομάζει στὴν περσικὴ γλῶσσα κάποια τοποθεσία, «καὶ σήκωσα τὰ μάτια μου καὶ εἶδα ὅτι ἕνας κριὸς στεκόταν δίπλα στὸν Οὐβὰλ ποὺ εἶχε δύο κέρατα ὑψηλὰ καὶ τὸ ἕνα ἦταν ὑψηλότερο ἀπὸ τὸ ἄλλο, καὶ αὐτὸ τὸ ὑψηλὸ ὅλο καὶ ἀνέβαινε ὑψηλότερα. Καὶ εἶδα τὸν κριὸ νὰ χτυπὰ μὲ τὰ κέρατά του πρὸς δυσμάς, πρὸς βορρᾶ καὶ πρὸς νότο καὶ κανένα ἀπὸ τὰ θηρία δὲν ἦταν δυνατὸ νὰ ἀντισταθῆ μπροστά του καὶ νὰ γλυτώση ἀπὸ τὴ δύναμή του. Ἔκαμνε ὅ,τι ἤθελε καὶ ἔγινε μεγάλος καὶ ἔνδοξος. Ἐγὼ ἔβλεπα μὲ πολλὴ προσοχή»[47]. Ἐννοεῖ τὴν περσικὴ δύναμη καὶ ἐξουσία, ποὺ κατέκλυσε ὅλο τὸν κόσμο. Στὴ συνέχεια, μιλώντας γιὰ τὸν Μακεδόνα Ἀλέξανδρο, λέγει· «καὶ νά, φάνηκε τότε ἕνας τράγος αἰγῶν ποὺ ἐρχόταν ἀπὸ τὰ νοτιοδυτικὰ καὶ βάδιζε ἐπάνω σ' ὅλη τὴ γῆ, καὶ λόγω τῆς ταχύτητάς του φαινόταν ὅτι δὲν ἄγγιζε τὴ γῆ. Καὶ ὁ τράγος ἐκεῖνος εἶχε ἀνάμεσα στὰ μάτια του ἕνα κέρατο μεγαλόπρεπο». Ἔπειτα μιλώντας γιὰ τὴ σύγκρουση τοῦ Ἀλεξάνδρου πρὸς τὸν Δαρεῖο, περιγράφει καὶ τὴν συντριπτικὴ νίκη του, λέγοντας· «καὶ προχώρησε ὁ τράγος μέχρι τὸν κριό, ποὺ εἶχε τὰ κέρατα, καὶ ἐξαγριώθηκε καὶ ἔπιασε τὸν κριὸ» (γιατὶ πρέπει νὰ συντομεύσω τὴ διήγηση) «καὶ συνέτριψε καὶ τὰ δύο κέρατα αὐτοῦ καὶ δὲν ὑπῆρχε κανένας νὰ γλυτώση τὸν κριὸ ἀπὸ τὰ χέρια αὐτοῦ». Στὴ συνέχεια περιγράφοντας τὸν θάνατο τοῦ Ἀλεξάνδρου καὶ τὴν διαδοχὴ τῶν τεσσάρων βασιλέων, λέγει· «καὶ ἐνῶ ἡ δύναμή του μεγάλωσε τόσο πολύ, συντρίφθηκε τὸ κέρατό του τὸ μεγάλο καὶ φύτρωσαν ἄλλα τέσσερα κέρατα κάτω ἀπὸ αὐτό, ἔχοντας κατεύθυνση πρὸς τὰ τέσσερα σημεῖα τοῦ ὁρίζοντα».

Ἀπὸ τὸ σημεῖο αὐτὸ καὶ πέρα, ἀφοῦ διηγήθηκε τὰ τῆς βασιλείας τοῦ Ἀντιόχου καὶ ἔδειξε, ὅτι εἶναι ἕνας ἀπὸ τοὺς τέσσερεις διαδόχους, λέγει τὰ ἑξῆς· «καὶ ἀπὸ τὸ ἕνα αὐτὰ φύτρωσε ἕνα κέρατο ἰσχυρὸ ποὺ μεγάλωσε ὑπερβολικὰ μὲ κατεύθυνση πρὸς τὸν νότο καὶ πρὸς τὴν ἀνατολή». Καὶ δείχνοντας ὅτι κατέστρεψε τὴν ἰουδαϊκὴ πολιτεία, λέγει· «καὶ ἐξ αἰτίας αὐτοῦ διαταράχθηκαν οἱ προσφορὲς τῶν θυσιῶν καὶ αὐτὸς προχώρησε μὲ ἐπιτυχία στὶς ἐνέργειές του. Ὁ ναὸς τότε ἐρημώθηκε καὶ ὑπῆρξε αἰτία ὅλων αὐτῶν τὸ ὅτι πρόσφερναν τὶς θυσίες ἄνθρωποι ἁμαρτωλοί». Γιατί, ἀφοῦ καταστράφηκε ὁ βωμὸς καὶ καταπατήθηκαν τὰ ἅγια, ἔστησε μέσα στὸ ναὸ ἄγαλμα καὶ πρόσφερνε θυσίες παράνομες στοὺς δαίμονες. «Καὶ

ἔνδον καὶ θυσίας ἐπετέλει τοῖς δαίμοσι παρανόμους· «καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη. Καὶ ἐποίησε καὶ εὐωδώθη». Εἶτα ἐκ δευτέρου πάλιν αὐτὴν ταύτην τὴν βασιλείαν λέγων, τὴν Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καὶ τὴν αἰχμαλωσίαν καὶ τὴν ἅλωσιν καὶ τὴν ἐρήμωσιν τοῦ ἱεροῦ, καὶ τὸν χρόνον προστίθησιν. Ἀρξάμενος γὰρ ἀπὸ τῆς Ἀλεξάνδρου βασιλείας, πάλιν τε πρὸς τῷ τέλει τοῦ βιβλίου καὶ τὰ μεταξὺ πάντα διηγησάμενος, ὅσα οἱ Πτολεμαῖοι καὶ οἱ Σέλευκοι συρραγέντες ἀλλήλοις ἐποίησαν καὶ οἱ στρατηγοὶ τούτων εἰργάσαντο, τοὺς δόλους, τὰς νίκας, τὰς στρατιάς, τὰς ναυμαχίας, τὰς πεζομαχίας· προϊὼν εἰς Ἀντίοχον, τελευτᾷ πάλιν, καί φησι· «βραχίονες ἐξ αὐτοῦ ἀναστήσονται καὶ βεβηλώσουσι τὸ ἁγίασμα καὶ μεταστήσουσι τὸν ἐνδελεχισμόν»· (ἐνδελεχισμὸν λέγων τὰς συνεχεῖς θυσίας καὶ καθημερινάς)· «καὶ δώσουσιν εἰς αὐτὸν βδέλυγμα καὶ τοὺς ἀνομοῦντας διαθήκην», τουτέστι τοὺς παραβαίνοντας τῶν Ἰουδαίων,«ἀπάξουσιν ἐν ὀλισθήμασι καὶ μεθ' ἑαυτῶν ἕξουσι καὶ μεταστήσουσι καὶ ὁ λαὸς ὁ γινώσκων τὸν Θεὸν αὐτοῦ κατισχύσουσι», τὰ ἐπὶ τῶν Μακκαβαίων λέγει, ἐπὶ Ἰούδα καὶ Σίμωνος καὶ Ἰωάννου· «καὶ οἱ συνετοὶ λαοῦ συνήσουσιν εἰς πολλὰ καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ καὶ ἐν φλογί», τὸν ἐμπρησμὸν τῆς πόλεως πάλιν διηγούμενος· «καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρπαγῇ ἡμερῶν· καὶ ἐν τῷ ἀσθενῆσαι αὐτοὺς βοηθήσονται βοήθειαν μικράν», ἐμφαίνων, ὅτι μεταξὺ τῶν κακῶν ἐκείνων δυνήσονται ἀναπνεῦσαι καὶ ἀνενεγκεῖν ἐκ τῶν κατειληφότων αὐτοὺς δεινῶν· «καὶ προστεθήσονται πρὸς αὐτοὺς πολλοὶ ἐν ὀλισθήμασι καὶ ἀπὸ τῶν συνιόντων ἀσθενήσουσιν». Ταῦτα δὲ ἔλεγε δεικνύς, ὅτι πολλοὶ καὶ τῶν ἑστώτων πεσοῦνται.

Εἶτα καὶ τὴν αἰτίαν, δι' ἣν συνεχώρησεν αὐτοὺς ὁ Θεὸς ἐν τοσούτοις γενέσθαι κακοῖς. Τίς δέ ἐστιν αὕτη; «Τοῦ πυρῶσαι», φησίν, «αὐτοὺς καὶ τοῦ ἐκλέξασθαι καὶ τοῦ ἐκλευκᾶναι ἕως καιροῦ πέρατος». Διὰ ταῦτα γάρ, φησί, συνεχώρησεν ὁ Θεός, ὥστε αὐτοὺς

48. Ὁ Ἰωάννης Ὑρκανός, τρίτος υἱὸς τοῦ Σίμωνα, ποὺ μνημονεύεται ἐδῶ, διαδέχθηκε αὐτὸν στὴν ἀρχιερατεία (135–104 π. Χ.). Ἐπὶ ἀρχιερατείας του πολιορκήθηκαν τὰ Ἱεροσόλυμα ἀπὸ τὸν Ἀντίοχο Γ' (135–134 π. Χ.), ἀλλ' ὁ κίνδυνος ἀποφεύχθηκε μετὰ ἀπὸ ταπεινωτικὴ συνθήκη γιὰ τοὺς Ἰουδαίους.

49. Δαν. 11,33.

ποδοπατήθηκε ἡ δικαιοσύνη, ἀλλ' αὐτὸς ποὺ τὰ ἔκαμνε αὐτὰ σημείωνε ἐπιτυχίες στὶς ἐνέργειές του». Ἔπειτα μιλώντας γιὰ δεύτερη φορὰ γιὰ τὴ βασιλεία τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καθὼς καὶ γιὰ τὴν αἰχμαλωσία καὶ τὴν ἅλωση καὶ τὴν ἐρήμωση τοῦ ναοῦ, προσθέτει καὶ τὸν χρόνο. Ἀρχίζοντας δηλαδὴ τὴ διήγησή του ἀπὸ τὴ βασιλεία τοῦ Ἀλεξάνδρου καὶ διηγούμενος πάλι στὸ τέλος τοῦ βιβλίου του ὅσα ἐν τῷ μεταξὺ ἔπραξαν οἱ μεταξύ τους συγκρουσθέντες Πτολεμαῖοι καὶ Σέλευκοι, καθὼς καὶ ὅσα ἔπραξαν οἱ στρατηγοί τους, δηλαδὴ τὶς μηχανορραφίες, τὶς νίκες, τὶς ἐκστρατεῖες, τὶς ναυμαχίες, τὶς πεζομαχίες, προχωρεῖ καὶ τελειώνει πάλι στὸν Ἀντίοχο, καὶ λέγει· «καὶ θὰ προέλθουν ἀπὸ αὐτὸν ἄνθρωποι ἰσχυροὶ καὶ θὰ βεβηλώσουν τὸν ἅγιο ναὸ καὶ θὰ σταματήση ὁ ἐνδελεχισμὸς» (ἐνδελεχισμὸ ὀνομάζει τὶς συνεχεῖς καὶ καθημερινὲς θυσίες) καὶ θὰ στήσουν μέσα σ' αὐτὸν βδελυρὰ εἴδωλα καὶ οἱ παρανομοῦντες» ὅσοι δηλαδὴ Ἰουδαῖοι θ' ἀποστατήσουν, «θὰ συνάψουν δόλια συμφωνία μεταπηδώντας πρὸς τὸ μέρος τους, ὁ λαὸς ὅμως ποὺ γνωρίζει καὶ πιστεύει στὸν Θεὸ θὰ ὑπερισχύση ὅλων αὐτῶν»· ἐννοεῖ τὰ ὅσα συνέβηκαν κατὰ τὴν ἐποχὴ τῶν Μακκαβαίων, τοῦ Ἰούδα, τοῦ Σίμωνα καὶ τοῦ Ἰωάννη[48]. «Οἱ συνετοὶ ὅμως τοῦ λαοῦ θὰ ὑποστοῦν πάρα πολλά, θὰ περιέλθουν σὲ ἀδυναμία καὶ θὰ φονευθοῦν ἀπὸ ρομφαία καὶ θὰ κατακαοῦν»[49], περιγράφοντας τὸν ἐμπρησμὸ τῆς πόλεως. Καὶ δείχνοντας, ὅτι κατὰ τὴ διάρκεια τῶν συμφορῶν θὰ μπορέσουν νὰ ἀναπνεύσουν καὶ νὰ συνέλθουν ἀπὸ τὰ δεινὰ ποὺ θὰ τοὺς βροῦν, λέγει· «καὶ θὰ ὁδηγηθοῦν αἰχμάλωτοι γιὰ ὡρισμένο καιρό, ἀφοῦ διαρπαγοῦν τὰ ὑπάρχοντά τους. Καὶ εὑρισκόμενοι σ' αὐτὴ τὴν ἀδυναμία θὰ λάβουν κάποια μικρὴ βοήθεια»[50]. «Καὶ πολλοὶ θὰ προστεθοῦν σ' αὐτοὺς μὲ δόλιο τρόπο ἀλλὰ καὶ ἀπὸ τοὺς συνετοὺς πολλῶν θὰ κλονισθῇ ἡ δύναμή τους»[51]. Αὐτὰ τὰ ἔλεγε γιὰ νὰ δείξη, ὅτι πολλοὶ ἀπὸ τοὺς ἰσχυροὺς θὰ πέσουν.

Ἔπειτα προσθέτει καὶ τὴν αἰτία, γιὰ τὴν ὁποία ὁ Θεὸς ἐπέτρεψε νὰ πέσουν σὲ τόσα κακά. Καὶ ποιά εἶναι αὐτή; «Καὶ θὰ καθαρισθοῦν», λέγει, «κατὰ κάποιο τρόπο μὲ τὸ πῦρ, γιὰ νὰ ἐκλέξη ὁ Κύριος τοὺς ἀξίους ἀφοῦ ἀποκαλυφθοῦν οἱ ἀνάξιοι, καὶ ὅλα αὐτὰ

50. Δαν. 11,33–34.
51. Αὐτόθι.

ἐκκαθᾶραι καὶ δεῖξαι τοὺς δοκίμους τοὺς ἐν αὐτοῖς. Εἶτα διηγούμενος τοῦ βασιλέως τὴν δύναμιν αὐτοῦ ἐκείνου, φησί· «καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ καὶ ὑψωθήσεται καὶ μεγαλυνθήσεται»· καὶ τὴν βλάσφημον αὐτοῦ γνώμην λέγων, προσέθηκεν, ὅτι «ἐπὶ τὸν Θεὸν τῶν θεῶν λαλήσει ὑπέρογκα καὶ κατευθυνεῖ μέχρι συντελεσθῆναι τὴν ὀργήν», δεικνύς, ὅτι οὐκ ἀπὸ τῆς οἰκείας γνώμης, ἀλλὰ διὰ τὴν ὀργὴν τοῦ Θεοῦ τὴν κατὰ τῶν Ἰουδαίων οὕτως ἐκεῖνος ἐκράτει. Εἰπὼν δὲ δι' ἑτέρων πλειόνων ὁ Δανιήλ, ὅσα κακὰ ἐργάσεται τὴν Αἴγυπτον καὶ τὴν Παλαιστίνην· πῶς ἐπανήξει καὶ τίνος καλοῦντος καὶ ποίας αἰτίας καταναγκαζούσης, λέγει λοιπὸν καὶ τὴν τῶν καιρῶν μεταβολὴν καὶ ὅτι, διελθόντες οἱ Ἰουδαῖοι διὰ τούτων ἁπάντων, τεύξονταί τινος ἀντιλήψεως, ἀγγέλου πεμφθέντος εἰς τὴν αὐτῶν βοήθειαν. «Ἐν τῷ καιρῷ γὰρ ἐκείνῳ», φησίν, «ἀναστήσεται Μιχαήλ, ὁ ἄρχων ὁ μέγας, ὁ ἐφεστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου, καὶ ἔσται καιρὸς θλίψεως, οἷος οὐ γέγονεν, ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς· καὶ ἕως τοῦ καιροῦ ἐκείνου καὶ ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαὸς πᾶς, ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῷ βιβλίῳ», τουτέστιν, οἱ σωτηρίας ὄντες ἄξιοι.

8. Ἀλλὰ τὸ ζητούμενον οὔπω καὶ νῦν ἀποδέδεικται ἡμῖν. Τί δὲ τοῦτό ἐστιν; Ὅτι καὶ χρόνους ὥρισεν ἐν τοῖς κακοῖς τούτοις, ὥσπερ ἐκεῖ εἰς τὴν πρώτην δουλείαν τετρακόσια ἔτη καὶ εἰς τὴν δευτέραν ἑβδομήκοντα. Ἴδωμεν τοίνυν καὶ ἐνταῦθα, εἴ τινα χρόνον ὁρίζει. Ποῦ δὴ τοῦτό ἐστιν εὑρεῖν; Ἐν τοῖς μετὰ ταῦτα λεχθήσεσθαι μέλλουσιν. Ἐπειδὴ γὰρ τὰ πολλὰ καὶ μεγάλα ἤκουσε κακά, ἐμπρησμόν, τῆς πολιτείας τὴν ἀνατροπήν, τὴν τῶν οἰκείων αἰχμαλωσίαν, ἐπεθύμει λοιπὸν τὸ τέλος αὐτῶν μαθεῖν καὶ εἴ τις ἔσται τῶν συμφορῶν τούτων μεταβολή. Καὶ ἐρωτῶν ἔλεγεν οὕτως· «Κύριε, τί τὰ ἔσχατα τούτων; Καὶ εἶπε· δεῦρο Δανιήλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι οἱ λόγοι» (τὸ ἀσαφὲς τῶν εἰρημένων αἰνιττόμενος), «ἕως καιροῦ πέρατος». Εἶτα καὶ τὴν αἰτίαν τῆς συγχωρήσεως τῶν

52. Δαν. 11,35.
53. Δαν. 11,36.
54. Αὐτόθι.
55. Δαν. 12,1.
56. Δαν. 12,8.

μέχρι τὸ τέλος τοῦ καθωρισμένου καιροῦ»[52]. Γι' αὐτό, λέγει, τὰ ἐπέτρεψε ὁ Θεός, γιὰ νὰ τοὺς καθαρίση καὶ νὰ φανερώση τοὺς ἀξίους ἀνάμεσά τους. Στὴ συνέχεια διηγούμενος τὴ δύναμη τοῦ βασιλέως ἐκείνου, λέγει· «Καὶ αὐτὸς θὰ ἐνεργῆ σύμφωνα μὲ τὸ θέλημά του καὶ θὰ ὑψωθῆ καὶ θὰ γίνη πολὺ μεγάλος καὶ λαμπρός»[53]. Μιλώντας ἐπίσης καὶ γιὰ τὴ βλάσφημη γνώμη του, πρόσθεσε· «Θὰ συμπεριφερθῆ μὲ ἀλαζονεία ἐνώπιον τοῦ Θεοῦ τῶν θεῶν, σημειώνοντας ὅμως ἐπιτυχίες, μέχρι ποὺ νὰ ἱκανοποιηθῆ ἡ ὀργὴ τοῦ Θεοῦ»[54], δείχνοντας ὅτι ἐκεῖνος ὑπερίσχυσε ὄχι ἀπὸ δική του θέληση, ἀλλ' ἐξ αἰτίας τῆς ὀργῆς τοῦ Θεοῦ κατὰ τῶν Ἰουδαίων. Ἀφοῦ περιέγραψε ὁ Δανιὴλ καὶ μὲ ἄλλα πολλὰ ὅσα δεινὰ θὰ ἐπιφέρη στὴν Αἴγυπτο καὶ στὴν Παλαιστίνη, πῶς θὰ ἐπανέλθη δηλαδὴ καὶ ποιός θὰ τὸν καλέση καὶ ἀπὸ ποιά αἰτία καὶ ἀνάγκη, ὁμιλεῖ πλέον καὶ γιὰ τὴ μεταβολὴ ποὺ θὰ πάρουν τὰ πράγματα, καὶ ὅτι οἱ Ἰουδαῖοι, ἀφοῦ περάσουν ἀπ' ὅλα αὐτὰ τὰ κακά, θὰ λάβουν κάποια βοήθεια ἀπὸ ἄγγελο ποὺ θὰ σταλῆ πρὸς αὐτούς. Γιατὶ λέγει· «κατὰ τὸν καιρὸ ἐκεῖνο θὰ σηκωθῆ ὁ Μιχαήλ, ὁ ἄρχοντας ὁ μεγάλος, ὁ προστάτης τῶν τέκνων τοῦ λαοῦ σου, καὶ τότε θὰ συμβῆ θλίψη, τέτοια ποὺ δὲν συνέβηκε ἀπὸ τότε ποὺ ἐμφανίσθηκε ἔθνος ἐπάνω στὴ γῆ καὶ μέχρι τὸν καιρὸ ἐκεῖνο, καὶ κατὰ τὸν καιρὸ ἐκεῖνο θὰ σωθῆ ὅλος ὁ λαὸς ποὺ εἶναι γραμμένος στὸ βιβλίο τῆς ζωῆς»[55], δηλαδὴ ὅσοι θὰ εἶναι ἄξιοι σωτηρίας.

8. Ὅμως καὶ τώρα ἀκόμη δὲν ἀποδείξαμε αὐτὸ ποὺ ζητοῦμε. Καὶ ποιό εἶναι αὐτό; Τὸ ὅτι δηλαδὴ ὁ Θεὸς καθώρισε καὶ τὸ πόσα χρόνια θὰ βρίσκωνται αὐτοὶ σὲ κακά, ὅπως ἀκριβῶς καθώρισε στὴν πρώτη δουλεία τετρακόσια χρόνια, καὶ στὴ δεύτερη ἑβδομήντα. Ἂς δοῦμε λοιπὸν καὶ ἐδῶ, ἂν ὁρίζη κάποιο χρόνο. Ποῦ λοιπὸν μποροῦμε νὰ τὸ βροῦμε αὐτό; Σὲ ὅσα πρόκειται νὰ λεχθοῦν στὴ συνέχεια. Ἐπειδὴ δηλαδὴ ἄκουσε τὰ πολλὰ καὶ μεγάλα κακά, ὅπως τὸν ἐμπρησμό, τὴν ἀνατροπὴ τοῦ πολιτεύματος, τὴν αἰχμαλωσία τῶν συγγενῶν, ἤθελε τότε νὰ μάθη καὶ τὸ τέλος τους, καὶ ἂν θὰ συνέβαινε κάποια μεταβολὴ στὶς συμφορὲς αὐτές. Καὶ ἐρωτώντας τὸν Θεό, ἔλεγε τὰ ἑξῆς· «'Κύριε, ποιό εἶναι τὸ τέλος αὐτῶν;' Καὶ μοῦ εἶπε. 'Ἄκουσε, Δανιήλ, οἱ λόγοι αὐτοὶ εἶναι κλεισμένοι καὶ σφραγισμένοι» (ὑπαινισσόμενος τὴν ἀσάφεια τῶν λεχθέντων) μέχρι τὸ τέλος τοὺ καθωρισμένου καιροῦ»[56]. Ἔπειτα λέγει καὶ τὴν αἰτία τῆς

κακῶν· «ἕως ἂν ἐκλεγῶσι καὶ λευκανθῶσι καὶ πυρωθῶσιν οἱ πολλοὶ καὶ ἀνομήσωσιν ἄνομοι καὶ συνήσωσι πάντες ἀσεβεῖς καὶ οἱ νοήμονες συνήσωσιν». Εἶτα τὸν καιρὸν προλέγων, ὅσον μέλλει κατέχειν ταῦτα τὰ δεινά, φησίν· «ἀπὸ καιροῦ παραλλάξεως ἐνδελεχισμοῦ». Ἐνδελεχισμὸς ἐκαλεῖτο ἡ καθημερινὴ θυσία· τὸ γὰρ ἐνδελεχὲς τὸ πυκνόν ἐστι καὶ τὸ συνεχές. Τοῖς γὰρ Ἰουδαίοις ἔθος ἦν καὶ ἐν ἑσπέρᾳ καὶ ὑπὸ τὴν ἕω καὶ καθ' ἑκάστην ἡμέραν τῷ Θεῷ θύειν· διὸ τὴν θυσίαν ἐκείνην ἐνδελεχισμὸν ἐκάλει. Ἐπεὶ οὖν ἐλθὼν ὁ Ἀντίοχος τοῦτο τὸ ἔθος κατέλυσε, καὶ «περιήλλαξεν» αὐτό, φησὶν ὁ ἄγγελος, ὅτι «ἀπὸ τοῦ καιροῦ τῆς ἀλλάξεως τοῦ ἐνδελεχισμοῦ», τουτέστιν ἀπὸ τῆς καταλύσεως τῆς θυσίας ταύτης, ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα, ὅπερ ἐστὶν ἔτη τρία καὶ ἥμισυ καὶ μικρόν τι πρός.

Εἶτα δηλῶν ὅτι κατάλυσις ἔσται τῶν κακῶν τούτων καὶ ἀπαλλαγή, ἐπήγαγε· «μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα πέντε»· ταῖς χιλίαις διακοσίαις ἐνενήκοντα τεσσαρακονταπέντε προσθείς. Ἐπειδὴ γὰρ ἐν μηνὶ καὶ ἡμίσει μηνὸς συνέβη γενέσθαι τὴν συμβολήν, ἐν ταύτῃ ἡ νίκη ἡ καθαρὰ γέγονε καὶ ἡ παντελὴς τῶν ἐπικειμένων κακῶν ἀπαλλαγή· εἰπὼν δέ, ὅτι «μακάριος ὁ ὑπομείνας εἰς ἡμέρας χιλίας τριακοσίας τριακονταπέντε», τὴν ἀπαλλαγὴν ἐδήλωσε. Καὶ οὐχ ἁπλῶς εἶπεν, «ὁ φθάσας», ἀλλ' «ὁ ὑπομένων καὶ φθάσας». Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀσεβησάντων εἶδον τὴν μεταβολήν, οὐκ ἐκείνους μακαρίζει ἁπλῶς, ἀλλὰ τοὺς ἐν τοῖς καιροῖς τῶν κακῶν μαρτυρήσαντας καὶ μὴ προδόντας τὴν εὐσέβειαν, εἶτα τυχόντας τῆς ἀνέσεως. Διὰ τοῦτο οὐχ ἁπλῶς εἶπεν, «ὁ φθάσας», ἀλλ' «ὁ ὑπομένων καὶ φθάσας». Ἆρα τί τούτου σαφέστερον γένοιτ' ἄν; Ὁρᾷς πῶς οὐ μόνον μέχρις ἐνιαυτῶν καὶ μηνῶν, ἀλλὰ καὶ ἕως ἡμέρας μιᾶς, μετ' ἀκριβείας ἁπάσης, καὶ τὴν αἰχμαλωσίαν καὶ τὴν ἀπαλλαγὴν τῆς αἰχμαλωσίας προανεφώνησεν ὁ προφήτης; Καὶ ὅτι ταῦτα οὐ στοχαζόμενος λέγω, φέρε καὶ ἕτερον τῶν εἰρημένων παραγάγωμεν μάρτυρα, ὃν μάλιστα

57. Δαν. 12,8–10.

συγχωρήσεως τῶν κακῶν· «μέχρι ποὺ ν' ἀναδειχθοῦν καὶ λευκανθοῦν καὶ καθαρισθοῦν ὡς διὰ πυρὸς πολλοί, ἐνῶ παράλληλα οἱ ἄνομοι θὰ παρανομήσουν, χωρὶς νὰ ἐννοήσουν τίποτε οἱ ἀσεβεῖς ἀπὸ τὰ προφητευόμενα, ἐνῶ οἱ εὐσεβεῖς θὰ τὰ κατανοήσουν ὅλα»[57]. Ἀκολούθως προφητεύοντας τὸν χρόνο διάρκειας τῶν δεινῶν, λέγει· «Ἀπὸ τὴ στιγμὴ ποὺ θὰ καταργηθῆ ὁ ἐνδελεχισμός». «Ἐνδελεχισμὸς» ὀνομαζόταν ἡ καθημερινὴ θυσία· γιατὶ 'ἐνδελεχὲς' σημαίνει κάτι ποὺ γίνεται πυκνὰ καὶ συνεχῶς. Στοὺς Ἰουδαίους μάλιστα ὑπῆρχε ἡ συνήθεια νὰ θυσιάζουν καθημερινὰ καὶ τὸ πρωὶ καὶ τὸ βράδυ, γι' αὐτὸ καὶ ἡ θυσία ὠνομάσθηκε «ἐνδελεχισμός». Ὅταν ὅμως ἦλθε ὁ Ἀντίοχος κατάργησε τὴ συνήθεια αὐτή· καὶ «κατάργησε» αὐτήν, λέγει ὁ ἄγγελος, γιατὶ «ἀπὸ τὴν ἡμέρα ποὺ θὰ ἀλλάξη ὁ ἐνδελεχισμός», δηλαδὴ ἀπὸ τὴ στιγμὴ τῆς καταργήσεως τῆς θυσίας αὐτῆς θὰ περάσουν χίλιες διακόσιες ἡμέρες, τρία καὶ μισὸ χρόνια καὶ κάτι παραπάνω.

Ἔπειτα, δηλώνοντας ὅτι θὰ τελειώσουν τὰ δεινὰ καὶ θ' ἀπαλλαγοῦν ἀπ' αὐτά, πρόσθεσε· «μακάριος εἶναι ἐκεῖνος ποὺ θὰ δείξη ὑπομονὴ καὶ θὰ φθάση στὸ τέλος τῶν χιλίων τριακοσίων τριάντα πέντε ἡμερῶν», προσθέτοντας στὶς χίλιες διακόσιες ἐνενήντα ἡμέρες ἄλλες σαρανταπέντε. Ἐπειδὴ ὅμως ἡ μάχη συνέβηκε νὰ γίνη μέσα σ' ἕνα καὶ μισὸ μῆνα, κατ' αὐτὴν σημειώθηκε καὶ ἡ μεγαλύτερη νίκη καὶ ἡ ὁλοκληρωτικὴ ἀπαλλαγὴ ἀπὸ τὰ ἐπικείμενα κακά. Ἀφοῦ εἶπε, «μακάριος εἶναι ἐκεῖνος ποὺ θὰ δείξη ὑπομονὴ μέχρι τὸ τέλος τῶν χιλίων τριακοσίων τριάντα πέντε ἡμερῶν», δήλωσε τὴν ἀπαλλαγὴ ἀπὸ τὰ δεινά. Καὶ δὲν εἶπε ἁπλῶς «ποὺ θὰ φθάση», ἀλλὰ «ποὺ θὰ δείξη ὑπομονὴ καὶ θὰ φθάση». Ἐπειδὴ δηλαδὴ πολλοὶ ἀπὸ τοὺς ἀσεβεῖς εἶδαν τὴν μεταβολή, δὲν μακαρίζει ἁπλῶς ἐκείνους, ἀλλὰ μακαρίζει ἐκείνους ποὺ μαρτύρησαν κατὰ τοὺς καιροὺς τῶν κακῶν καὶ δὲν πρόδωσαν τὴν εὐσέβεια καὶ στὴ συνέχεια ἐπέτυχαν τὴν ἄνεση. Γι' αὐτὸ δὲν εἶπε ἁπλῶς «ποὺ θὰ φθάση», ἀλλὰ «ποὺ θὰ ὑπομείνη αὐτὰ καὶ θὰ φθάση». Ἄραγε θὰ μποροῦσε νὰ ὑπάρξη τίποτε σαφέστερο ἀπ' αὐτό; Βλέπεις πῶς ὁ προφήτης προεῖπε μὲ ἀκρίβεια τὴν αἰχμαλωσία καὶ τὴν ἀπαλλαγὴ ἀπ' αὐτὴν προσδιορίζοντας ὄχι μόνο τοὺς χρόνους καὶ τοὺς μῆνες διαρκείας της, ἀλλὰ καὶ μέχρι τὴν τελευταία ἡμέρα; Καὶ ὅτι αὐτὰ ποὺ λέγω δὲν εἶναι γεννήματα τῆς σκέψεώς μου, ἐμπρὸς ἂς παρουσιάσουμε καὶ ἄλλον

ἀξιόπιστον εἶναι νομίζουσιν, Ἰώασηπον λέγω, τὸν καὶ τὰς συμφορὰς αὐτῶν τραγῳδήσαντα καὶ τὴν παλαιὰν διαθήκην παραφράσαντα πᾶσαν· ὅς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν γενόμενος καὶ τὴν αἰχμαλωσίαν τὴν ὑπ' αὐτοῦ προρρηθεῖσαν εἰπὼν καὶ περὶ ταύτης διελέχθη τῆς αἰχμαλωσίας τῆς γενομένης, τὴν τοῦ προφήτου ἑρμηνεύων ὅρασιν, τὴν ἐπὶ τοῦ κριοῦ καὶ τοῦ τράγου καὶ τῶν τεσσάρων κεράτων καὶ τοῦ ὑστέρου τοῦ μετ' ἐκεῖνα ἀνελθόντος.

Καὶ ἵνα μή τις ὑποπτεύῃ τὰ παρ' ἡμῶν εἰρημένα, φέρε καὶ αὐτὰς παραθώμεθα τὰς ῥήσεις ἐκείνου. Ἐπαινέσας γὰρ καὶ θαυμάσας τὸν Δανιὴλ μεθ' ὑπερβολῆς ἁπάσης καὶ τῶν ἄλλων αὐτὸν προθεὶς προφητῶν ἁπάντων, ἦλθε καὶ ἐπὶ ταύτην τὴν ὅρασιν, καί φησιν οὕτως· «κατέλιπε δὲ γραφάς, ὅθεν ἡμῖν τὸ τῆς προφητείας ἀκριβὲς αὐτοῦ καὶ ἀπαράλλακτον ἐποίησε δῆλον. Φησί γάρ· ἐν Σούσοις τῇ μητροπόλει τῆς Περσίδος ἐξελθεῖν μὲν εἰς τὸ πεδίον μετὰ ἑταίρων αὐτοῦ τινῶν, σεισμοῦ δὲ καὶ κλόνου τῆς γῆς ἐξαίφνης γενομένου, καταλειφθῆναι μόνον, φυγόντων τῶν φίλων. Καὶ πεσεῖν μὲν ἐπὶ στόμα καὶ στηριχθῆναι ἐπὶ τὰς δύο χεῖρας, τινὸς δὲ ἁπτομένου αὐτοῦ καὶ μεταξὺ κελεύοντος ἀναστῆναι καὶ τὰ μέλλοντα συμβήσεσθαι τοῖς πολίταις ἰδεῖν μετὰ πολλὰς γενεάς, ἀναστάντι αὐτῷ δειχθῆναι κριὸν μέγαν, πολλὰ μὲν ἐκπεφυκότα κέρατα, τὸ δὲ τελευταῖον αὐτῶν ὑψηλότερον ἔχοντα. Ἔπειτα ἀναβλέψαι μὲν πρὸς τὴν δύσιν, θεάσασθαι δὲ τράγον δι' ἀέρος φερόμενον, συρρήξαντα τῷ κριῷ, καὶ τοῖς κέρασι πλήξαντα δὶς καταβαλεῖν αὐτὸν ἐπὶ τῆς γῆς καὶ πατῆσαι. Εἶτα τὸν τράγον ἰδεῖν ὑψηλότερον, ἐκ τοῦ μετώπου μέγιστον ἀναφύσαντα κέρας, οὗ κλασθέντος, ἄλλα ἀναβλαστῆσαι τέσσαρα καθ' ἕκαστα τῶν ἀνέμων τετραμμένα, ἐξ αὐτῶν δὲ ἀνασχεῖν καὶ ἄλλο μικρότερον ἀνέγραψεν αὐξῆσαν. Ἔλεγε δὲ αὐτῷ ὁ ταῦτα ἐπιδεικνὺς Θεός, πολεμήσειν αὐτοῦ τὸ ἔθνος καὶ τὴν πόλιν ἀναιρήσειν κατακράτος καὶ συλήσειν τὸν ναὸν καὶ τὰς θυσίας κωλύσειν, γενέσθαι δὲ ἐφ' ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. Ταῦτα μὲν ἰδεῖν ἐν τῷ πεδίῳ τῷ ἐν Σούσοις ὁ Δανιὴλ ἀ-

58. Ἡ παράφραση αὐτὴ περιέχεται στὰ βιβλία 1–10 τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας, ὅπου ἐκτίθεται ἡ ἱστορία τοῦ Ἰουδαϊκοῦ λαοῦ ἀπὸ τὴν ἐποχὴ τῶν Πατριαρχῶν μέχρι τὴ Βαβυλώνεια αἰχμαλωσία.

μάρτυρα τῶν λεχθέντων, ἐκεῖνον ποὺ τὸν θεωροῦν ὡς τὸν πιὸ ἀξιόπιστο, ἐννοῶ τὸν Ἰώσηπο, ὁ ὁποῖος καὶ τὶς συμφορές τους διεκτραγώδησε καὶ ὁλόκληρη τὴν Παλαιὰ Διαθήκη παρέφρασε[58]. Αὐτὸς ζώντας μετὰ τὸν ἐρχομὸ τοῦ Χριστοῦ, μίλησε καὶ γιὰ τὴν αἰχμαλωσία, ποὺ εἶχε προφητεύσει ὁ Χριστός, καὶ γιὰ τὴ δουλεία, ποὺ ἔγινε ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ἑρμηνεύοντας τὸ ὅραμα τοῦ προφήτου σχετικὰ μὲ τὸν κριό, τὸν τράγο, τὰ τέσσερα κέρατα, καὶ τὸ τελευταῖο κέρατο, ποὺ φύτρωσε μετὰ ἀπὸ ἐκεῖνα.

Καὶ γιὰ νὰ μὴ ἔχῃ κανεὶς ὑπόνοιες γιὰ τὰ λεγόμενά μας, ἐμπρὸς ἂς παραθέσουμε καὶ αὐτὰ τὰ λόγια ἐκείνου. Ἀφοῦ δηλαδὴ ἐγκωμίασε καὶ θαύμασε τὸν Δανιὴλ ὑπερβολικά, καὶ τὸν τοποθέτησε πάνω ἀπ' ὅλους τοὺς προφῆτες, ἦλθε καὶ στὸ ὅραμα αὐτὸ καὶ λέγει τὰ ἑξῆς· «μᾶς ἄφησε συγγράμματα, μὲ τὰ ὁποῖα μᾶς φανέρωσε τὴν ἀκρίβεια καὶ τὸ ἀσύγκριτο τῆς προφητείας του. Γιατὶ λέγει· 'Βγαίνοντας ἀπὸ τὰ Σοῦσα, τὴν πρωτεύουσα τῆς Περσίας, μὲ μερικοὺς φίλους του στὴν ἐξοχή, ξαφνικὰ συγκλονίστηκε καὶ σείστηκε ἀπὸ σεισμὸ ἡ γῆ καί, ἀφοῦ οἱ φίλοι τὸν ἐγκατέλειψαν καὶ ἔφυγαν, ἔμεινε μόνος. Ἔπεσε τότε μὲ τὰ μοῦτρα κατὰ γῆς καὶ στηρίχθηκε στὰ χέρια του, ἐνῶ κάποιος τὸν ἔπιασε καὶ τὸν εἶπε νὰ σηκωθῆ καὶ νὰ δῆ ὅσα ἐπρόκειτο νὰ συμβοῦν ὕστερα ἀπὸ πολλὰ χρόνια στοὺς συμπολίτες του. Κι ἀφοῦ σηκώθηκε εἶδε ἕνα μεγάλο κριό, ποὺ εἶχε πολλὰ κέρατα στὸ κεφάλι του, ἀπὸ τὰ ὁποῖα τὸ τελευταῖο ἦταν ὑψηλότερο. Ἔπειτα τὸν διέταξε νὰ στραφῆ πρὸς τὴ δύση, καὶ εἶδε ἕναν τράγο, ποὺ κινοῦνταν μὲ ὁρμὴ ἀέρος, καὶ ὁ ὁποῖος, ἀφοῦ συγκρούσθηκε μὲ τὸν κριὸ καὶ τὸν ἔπληξε μὲ τὰ κέρατά του δυὸ φορές, τὸν ἔρριψε κάτω καὶ τὸν ποδοπάτησε. Στὴ συνέχεια εἶδε τὸν τράγο νὰ στέκη ὑψηλότερα καὶ ἀπὸ τὸ μέτωπό του εἶδε νὰ βγαίνη ἕνα κέρατο πάρα πολὺ μεγάλο, τὸ ὁποῖο, ἀφοῦ ἔσπασε, φύτρωσαν ἄλλα τέσσερα, μὲ κατεύθυνση πρὸς τὰ τέσσερα σημεῖα τοῦ ὁρίζοντα, καὶ ἀπὸ αὐτὰ ἔγραψε ὅτι βγῆκε ἀκόμη ἕνα κέρας μικρότερο, ποὺ μεγάλωνε. Ὁ Θεὸς τότε, ἐπεξηγώντας του ὅλα αὐτά, τοῦ εἶπε, ὅτι ὁ τράγος θὰ πολεμήση τὸ ἔθνος του καὶ θὰ καταστρέψη ἐξ ὁλοκλήρου τὴν πόλη, θὰ βεβηλώση τὸν ναὸ καὶ θὰ ἐμποδίση τὴν τέλεση τῶν θυσιῶν, καὶ ὅλα αὐτὰ θὰ πραγματοποιηθοῦν μέσα σὲ χίλιες διακόσιες ἐνενήντα ἡμέρες. Αὐτὰ ποὺ τὰ εἶδε ὁ Δανιὴλ στὴν ἐξοχὴ τῶν Σου-

νέγραψε, κρῖναι δὲ αὐτῷ τὴν ὄψιν τοῦ φαντάσματος ἐδεῖτο τοῦ Θεοῦ, ὅς τὸν μὲν κριὸν βασιλείας τὰς Περσῶν καὶ Μήδων σημαίνειν ἔφασκε, τὰ δὲ κέρατα τοὺς βασιλεύειν μέλλοντας· τὸ δὲ ἔσχατον κέρας σημαίνειν τὸν ἔσχατον βασιλέα, τὸν μέλλοντα τούτων διοίσειν ἁπάντων πλούτῳ τε καὶ δόξῃ· τὸν δὲ τράγον δηλῶν, ὡς ἐξ Ἑλλήνων τε ὁ βασιλεύων ἔσται, ὅς τῷ Πέρσῃ συμβαλὼν δίς, κρατήσει τῇ μάχῃ καὶ ἀφαιρεθήσεται τὴν ἡγεμονίαν ἅπασαν. Δηλοῦσθαι δὲ διὰ τοῦ πρώτου μεγάλου κέρατος τοῦ ἐν τῷ μετώπῳ τοῦ τράγου τὸν πρῶτον βασιλέα καὶ τὴν τῶν τεσσάρων ἀναβλάστησιν· ἐκπεσόντος δὲ ἐκείνου καὶ τὴν πρὸς τὰ τέσσαρα κέρατα ἀποστροφὴν ἑκάστου τῶν διαδόχων μετὰ τὸν θάνατον τοῦ πρώτου βασιλέως ἐμφαίνεσθαι καὶ διαμερισμὸν αὐτοῦ τῆς βασιλείας, οὔτε παῖδας ὄντας αὐτοῦ οὔτε συγγενεῖς πολλοῖς ἔτεσιν ἄρξειν τῆς οἰκουμένης. Ἔσεσθαι δὲ ἐκ τούτων ἕνα τινὰ βασιλέα, τὸν ἐκπολεμήσοντα καὶ τοὺς νόμους αὐτῶν, καὶ τὴν κατ' αὐτοὺς ἀφαιρησόμενον πολιτείαν καὶ συλήσοντα τὸν ναὸν καὶ τὰς θυσίας ἐπὶ ἔτη τρία κωλύσοντα ἐπιτελεσθῆναι. Καὶ δὴ ταῦτα ὑμῶν συνέβη τῷ ἔθνει παθεῖν ὑπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καθὼς εἶπε Δανιὴλ πολλοῖς ἔτεσιν ἔμπροσθεν καὶ ἀνέγραψε τὰ γενόμενα». Ἄρα τί τούτου σαφέστερον γένοιτ' ἄν;

9. Ὥρα λοιπόν, εἰ μὴ δοκοῦμεν διενοχλεῖν, ἐπ' αὐτὸ τὸ ζητούμενον ἐλθεῖν, τὴν παροῦσαν αἰχμαλωσίαν καὶ τὴν δουλείαν τὴν σήμερον, δι' ἣν ἅπαντα ταῦτα ἐκινήσαμεν. Ἀλλὰ διανάστητέ μοι νῦν· οὐδὲ γὰρ ὑπὲρ τῶν τυχόντων ἡμῖν ὁ ἀγών. Καὶ γὰρ ἄτοπον, ἐν Ὀλυμπιακοῖς μὲν καθημένους θεάτροις ἐκ μέσων νυκτῶν εἰς μεσημβρίαν μέσην καρτερεῖν, ἀναμένοντας ἰδεῖν, εἰς τίνα ὁ στέφανος περιστήσεται, καὶ γυμνῇ τῇ κεφαλῇ θερμὴν δέχεσθαι τὴν ἀκτῖνα, καὶ μὴ πρότερον ἀφίστασθαι, ἕως ἂν κρίσιν τὰ ἀγωνίσματα λάβῃ· νῦν δὲ ἡμῖν οὐχ ὑπὲρ στεφάνου τοιούτου, ἀλλ' ὑπὲρ τοῦ τῆς ἀφθαρσίας στεφάνου τῶν ἀγώνων ὄντων, ἐκλύεσθαι καὶ ταλαιπωρεῖν. Ὅτι μὲν οὖν αἱ τρεῖς προανηγορεύθησαν αἰχμαλωσίαι, ἡ μὲν τετρακόσια ἔτη ἔχουσα, ἡ δὲ ἑβδομήκοντα, ἡ δὲ τρία καὶ ἥμισυ, τοῦ-

59. *Ἰουδαϊκὴ Ἀρχαιολογία*, Βιβλίο 10, κεφ. 11.

σῶν τὰ ἔγραψε καὶ παρακαλοῦσε τὸν Θεὸ νὰ τοῦ ἑρμηνεύση τὰ ὅσα εἶδε στὸ ὅραμα. Καὶ αὐτὸς τοῦ εἶπε, ὅτι ὁ κριὸς συμβολίζει τὸν βασιλέα τῶν Περσῶν καὶ τῶν Μήδων, τὰ τέσσερα κέρατα τοὺς βασιλεῖς ποὺ θὰ βασίλευαν μετὰ ἀπὸ ἐκεῖνον, καὶ τὸ τελευταῖο κέρατο τὸν τελευταῖο βασιλέα, ποὺ θὰ διαφέρη ἀπὸ ὅλους καὶ κατὰ τὸν πλοῦτο καὶ κατὰ τὴ δόξα. Ἐξηγώντας τὸν τράγο λέγει ὅτι θὰ εἶναι ὁ βασιλεὺς τῶν Ἑλλήνων, ὁ ὁποῖος, ἀφοῦ συγκρουσθῆ δυὸ φορὲς μὲ τὸν βασιλέα τῶν Περσῶν, θὰ τὸν νικήση καὶ θὰ τοῦ ἀφαιρέση ὁλόκληρη τὴν ἐξουσία. Μὲ τὸ πρῶτο μεγάλο κέρατο, ποὺ φύτρωσε στὸ μέτωπο τοῦ τράγου, συμβολίζεται ὁ πρῶτος βασιλεύς. Ἡ βλάστηση τῶν τεσσάρων κεράτων, ποὺ ἦταν στραμμένα πρὸς τὰ τέσσερα σημεῖα τοῦ ὁρίζοντα, καὶ ποὺ ἔγινε μετὰ τὴν πτώση καὶ τὴν καταστροφὴ τοῦ πρώτου μεγάλου κέρατος, συμβολίζουν τοὺς διαδόχους του καὶ τὴν διαίρεση σ' αὐτοὺς τῆς βασιλείας του, οἱ ὁποῖοι, ἂν καὶ δὲν εἶναι οὔτε παιδιά του οὔτε συγγενεῖς του, θὰ κυβερνήσουν γιὰ πολλὰ χρόνια τὴν οἰκουμένη. Ἕνας ἀπὸ αὐτοὺς τοὺς βασιλεῖς θὰ καταπολεμήση τοὺς νόμους τους, θὰ καταργήση τὸ πολίτευμά τους, θὰ βεβηλώση τὸν ναὸ καὶ ἐπὶ τρία χρόνια θὰ ἐμποδίση τὴν τέλεση τῶν θυσιῶν'. Ὅλα αὐτὰ βέβαια τὰ ἔπαθε τὸ ἔθνος μας ἀπὸ τὸν Ἀντίοχο τὸν Ἐπιφανῆ, ὅπως τὰ προέβλεψε ἐδῶ καὶ πολλὰ χρόνια καὶ τὰ κατέγραψε ὁ Δανιήλ»[59]. Τί θὰ μποροῦσε ἄραγε νὰ ὑπάρξη πιὸ σαφὲς ἀπ' αὐτό;

9. Ἀλλ' εἶναι καιρὸς πιὰ νὰ ἔλθωμε, ἂν δὲν γινώμαστε ἐνοχλητικοί, στὸ ζητούμενο θέμα, δηλαδὴ στὴν παροῦσα αἰχμαλωσία καὶ τὴ σημερινὴ δουλεία, γιὰ τὴν ὁποία καὶ εἴπαμε ὅλα αὐτά. Ἀλλὰ σᾶς παρακαλῶ συγκεντρῶστε ὅλη τὴν προσοχή σας, γιατὶ ὁ ἀγώνας μας δὲν εἶναι γιὰ τυχαῖα πράγματα. Γιατὶ πραγματικὰ εἶναι παράλογο, ἐνῶ στοὺς Ὀλυμπιακοὺς ἀγῶνες ἀπὸ τὰ μεσάνυκτα ὡς τὸ μεσημέρι καθόστατε καὶ μὲ ἀγωνία περιμένετε νὰ δῆτε ποιός θὰ στεφανωθῆ, καὶ μὲ γυμνὸ κεφάλι δέχεσθε τὴν καυστικὴ ἀκτῖνα τοῦ ἥλιου καὶ δὲν ἐγκαταλείπετε τὰ στάδια προτοῦ γίνη ἡ κρίση τῶν ἀγωνισμάτων, τώρα, ποὺ οἱ ἀγῶνες δὲν εἶναι γιὰ ἕνα τέτοιο στεφάνι, ἀλλὰ γιὰ τὸ στεφάνι τῆς ἀφθαρσίας, νὰ παραλύετε καὶ νὰ δυσανασχετῆτε. Μὲ τὰ ὅσα εἴπαμε λοιπὸν μέχρι τώρα ἀποδείξαμε ἱκανοποιητικά, ὅτι οἱ τρεῖς αἰχμαλωσίες εἶχαν προφητευθῆ, καὶ ὅτι ἡ πρώτη θὰ διαρκοῦσε τετρακόσια χρόνια, ἡ δεύτερη ἑβδομήντα καὶ ἡ τρίτη

το ἱκανῶς ἐντεῦθεν ἡμῖν ἀποδέδεικται. Φέρε δὴ λοιπὸν καὶ περὶ ταύτης εἴπωμεν. Ὅτι γὰρ καὶ περὶ ταύτης προανεφώνησεν ὁ προφήτης, αὐτὸν τοῦτον πάλιν παρέξομαι μάρτυρα τὸν Ἰώσηπον, τὸν τὰ ἐκείνων φρονοῦντα. Ἐπειδὴ γὰρ εἶπεν ἐκεῖνα, ἄκουσον τί φησι μετὰ ταῦτα· «τὸν αὐτὸν δὲ τρόπον Δανιὴλ καὶ περὶ τῆς Ρωμαίων ἡγεμονίας ἀνέγραψε, καὶ ὅτι ὑπ' αὐτῶν αἱρεθήσεται τὰ Ἱεροσόλυμα καὶ ὁ ναὸς ἐρημωθήσεται».

Σὺ δέ μοι σκόπει, ὡς εἰ καὶ Ἰουδαῖος ἦν ὁ ἀνὴρ ὁ ταῦτα γράψας, ἀλλ' οὖν οὐκ ἠνέσχετο τὴν ὑμετέραν ζηλῶσαι φιλονεικίαν. Εἰπὼν γὰρ ὅτι αἱρεθήσεται τὰ Ἱεροσόλυμα, οὐκ ἐτόλμησε προσθεῖναι καὶ εἰπεῖν, ὅτι ἀναστήσεται πάλιν, οὐδὲ χρόνον γράψαι διωρισμένον. Ἀλλ' ἐπειδὴ συνεῖδε τὸν προφήτην οὐχ ὁρίσαντα χρόνον, καίτοι ἀνωτέρω εἰπὼν ἐπὶ τῆς Ἀντιόχου νίκης καὶ τῆς ἐρημώσεως, καὶ ἡμέρας καὶ ἔτη, ὅσα ἔμελλεν ἡ αἰχμαλωσία κρατεῖν, ἐπὶ τῆς Ρωμαίων μὲν οὐδὲν τοιοῦτον εἶπεν· ἀλλ' ὅτι μὲν ἐρημωθήσεται τὰ Ἱεροσόλυμα καὶ ὁ ναὸς ἔγραψεν, ὅτι δὲ στήσεταί που τὰ τῆς ἐρημώσεως, οὐκ ἔτι προσέθηκεν, ἐπεὶ μηδὲ τὸν προφήτην εἶδε τοῦτο προσθέντα. «Ταῦτα δὲ πάντα», φησί, «τοῦ Θεοῦ δείξαντος αὐτῷ, συγγράψας κατέλιπεν, ὥστε τοὺς ἀναγινώσκοντας καὶ τὰ συμβαίνοντα σκοποῦντας, θαυμάζειν ἐπὶ τῇ παρὰ τοῦ Θεοῦ τιμῇ τὸν Δανιήλ». Ποῦ τοίνυν εἶπεν ὁ Δανιήλ, ὅτι ὁ ναὸς ἐρημωθήσεται, ἡμεῖς λοιπὸν σκοπήσωμεν.

Ἐπειδὴ γὰρ τὴν προσευχὴν ἐκείνην τὴν ἐν σάκκῳ καὶ σποδῷ ἐποιήσατο, ἦλθε Γαβριὴλ πρὸς αὐτὸν καί φησιν· «ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν». Ἰδοὺ καὶ ἐνταῦθα χρόνος εἴρηται, φησί· χρόνος, οὐ τῆς αἰχμαλωσίας, ἀλλὰ μεθ' ὅσον ἔμελλεν ἡ αἰχμαλωσία ἀπαντήσεσθαι χρόνον πάλιν. Ἕτερον δέ ἐστιν εἰπεῖν χρόνον, ὅσον ἔμελλε κρατεῖν ἡ αἰχμαλωσία, καὶ χρόνον μεθ' ὃν ἀπαντᾶν ἔμελλε καὶ παραγίνεσθαι. «Ἑβδομήκοντα ἑβδομάδες», φησί, «συνετμήθησαν ἐπὶ τὸν λαόν σου»· οὐκ ἔτι «πὶ τὸν λαὸν τὸν ἐμόν», καί τοι ὁ προφήτης

60. Ὁ σάκκος καὶ ἡ σποδός, δηλαδὴ ἡ στάχτη, χρησιμοποιοῦνταν ἀπὸ τοὺς Ἰουδαίους ὅταν πενθοῦσαν γιὰ πολὺ θλιβερὰ γεγονότα. Βλ. Γεν. 37,34.
61. Δαν. 9,24.

τριά καὶ μισὸ χρόνια. Ἐμπρὸς λοιπὸν ἂς μιλήσουμε καὶ γιὰ τὴν παροῦσα. Τὸ ὅτι βέβαια καὶ αὐτὴν τὴν προφήτευσε ὁ προφήτης, θὰ παρουσιάσω καὶ πάλι μάρτυρα αὐτὸν τὸν ἴδιο, τὸν Ἰώσηπο, ποὺ ἔχει τὴν ἴδια πίστη μὲ τοὺς Ἰουδαίους. Ἀφοῦ δηλαδὴ εἶπε ὅσα προαναφέραμε, ἄκουσε καὶ τί λέγει στὴ συνέχεια· «κατὰ τὸν ἴδιο τρόπο ὁ Δανιὴλ προφήτευσε καὶ γιὰ τὴν κυριαρχία τῶν Ρωμαίων, καὶ ὅτι τὰ Ἱεροσόλυμα θὰ καταστραφοῦν ἀπ' αὐτοὺς καὶ ὁ ναὸς θὰ ἐρημωθῇ».

Σὺ ὅμως, σὲ παρακαλῶ, σκέψου πώς, ἂν καὶ ἦταν Ἰουδαῖος ὁ ἄνδρας, ποὺ ἔγραψε αὐτά, ὅμως κράτησε τὸν ἑαυτόν του μακριὰ ἀπὸ τὸ νὰ ζηλέψη τὴν ἐριστικὴ διάθεσή σας. Γιατί, ἀφοῦ εἶπε, ὅτι θὰ καταστραφοῦν τὰ Ἱεροσόλυμα, δὲν τόλμησε νὰ προσθέση καὶ νὰ πῆ, ὅτι θὰ ἀνοικοδομηθοῦν καὶ πάλι, οὔτε καὶ προσδιώρισε τὸν χρόνο τῆς ἀποκαταστάσεως. Ἀλλ' ἐπειδὴ κατανόησε πολὺ καλά, ὅτι ὁ προφήτης δὲν καθώρισε χρόνο, ἂν καὶ πιὸ πάνω, ἀναφερόμενος στὴ νίκη τοῦ Ἀντιόχου καὶ στὴν ἐρήμωση ἀπ' αὐτὸν τῆς πόλεως, εἶχε προσδιορίσει καὶ τὶς μέρες καὶ τὰ χρόνια ποὺ ἐπρόκειτο νὰ διαρκέση ἡ αἰχμαλωσία, ὅμως γιὰ τὴ Ρωμαϊκὴ κυριαρχία δὲν εἶπε τίποτε παρόμοιο, ἀλλά, τὸ ὅτι θὰ ἐρημωθοῦν τὰ Ἱεροσόλυμα καὶ ὁ ναὸς τὸ ἔγραψε, τὸ ὅτι ὅμως θὰ τερματισθῆ κάποτε ἡ ἐρήμωση δὲν τὸ πρόσθεσε, ἀφοῦ εἶδε ὅτι οὔτε καὶ ὁ προφήτης τὸ εἶχε ἀναφέρει. «Ὅλα αὐτα», λέγει, «ἀφοῦ τοῦ τὰ φενέρωσε ὁ Θεός, τὰ κατέγραψε καὶ τὰ παρέδωσε στοὺς ἀνθρώπους, ὥστε αὐτοὶ ποὺ τὰ διαβάζουν καὶ ἐρευνοῦν τὰ συμβάντα, νὰ θαυμάζουν τὸν Δανιὴλ γιὰ τὴν τιμὴ ποὺ τοῦ ἔκαμε ὁ Θεός». Ἂς ἐξετάσουμε λοιπὸν τώρα ποὺ εἶπε ὁ Δανιὴλ ὅτι ὁ ναὸς θὰ ἐρημωθῆ.

Ὅταν ὁ Δανιὴλ τελείωσε τὴν προσευχὴ ποὺ ἔκαμε, «φορώντας σάκκο καὶ καθισμένος ἐπάνω σὲ στάχτη»[60] παρουσιάσθηκε ὁ ἀρχάγγελος Γαβριὴλ καὶ τοῦ λέγει· «Σὲ ἑβδομήντα ἑβδομάδες περιωρίσθηκαν γιὰ τὸν λαό σου καὶ τὴν ἁγία πόλη σου»[61]. Νά, καὶ ἐδῶ, λέγει, ἔχει προσδιορισθῆ ὁ χρόνος· ὁ χρόνος ὄχι βέβαια τῆς αἰχμαλωσίας, ἀλλ' ἐκεῖνος, μετὰ τὴν πάροδο τοῦ ὁποίου ἐπρόκειτο πάλι νὰ ἔλθη ἡ αἰχμαλωσία. Ἄλλο πρᾶγμα εἶναι νὰ μιλήση γιὰ χρόνο ποὺ ἐπρόκειτο νὰ διαρκέση ἡ αἰχμαλωσία, καὶ ἄλλο πρᾶγμα γιὰ χρόνο κατὰ τὸν ὁποῖο ἐπρόκειτο ν' ἀρχίση καὶ νὰ τελειώση. «Σὲ ἑβδομήντα ἑβδομάδες περιωρίσθηκαν γιὰ τὸν λαό σου». Δὲν λέγει

ἔλεγεν, «ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν λαόν σου», ἀλλ' ὁ Θεὸς ἀλλοτριοῦται αὐτὸν λοιπόν, διὰ τὸ μέλλον ἔσεσθαι τόλμημα. Εἶτά φησι καὶ τὴν αἰτίαν, «ἕως τοῦ παλαιωθῆναι παράπτωμα καὶ τοῦ συντελεσθῆναι ἁμαρτίαν». Τί ἐστιν «ἕως τοῦ συνελεσθῆναι ἁμαρτίαν»; Πολλά, φησίν, ἁμαρτάνουσιν· ἀλλ' ἡ κορωνὶς τῶν κακῶν τότε ἔσται, ὅταν τὸν Δεσπότην αὐτῶν ἀνέλωσι. Τοῦτό φησι καὶ ὁ Χριστός· «πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν»· δούλους, φησίν, ἀπεκτείνατε, πρόσθετε καὶ αἷμα δεσποτικόν. Ὅρα σύμφωνα τὰ νοήματα. Ὁ Χριστὸς εἶπε «πληρώσατε», ὁ προφήτης φησὶ «τελεσθῆναι ἁμαρτίαν», καὶ «τοῦ σφραγίσαι ἁμαρτίας». Τί ἐστι «σφραγίσαι;» Ὥστε μηδὲν ὑπολελεῖφθαι λοιπόν. «Καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον». Ποία δὲ δικαιοσύνη αἰώνιος, ἀλλ' ἢ ἡ παρὰ τοῦ Χριστοῦ δοθεῖσα; «Καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων», τουτέστι, στῆσαι λοιπὸν τὰς προφητείας· τοῦτο γάρ ἐστι «σφραγίσαι»· «στῆσαι τὸ χρῖσμα», «στῆσαι τὰς ὁράσεις». Διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν· «ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου». Ὁρᾷς πῶς παντελῆ ἐνταῦθα ἀπειλεῖ ἐρήμωσιν καὶ τῶν ἁμαρτιῶν ἀνταπόδοσιν καὶ τῶν ἀδικιῶν; Οὐ γὰρ συγχωρεῖν, ἀλλ' ἐπεξιέναι τοῖς ἁμαρτήμασιν αὐτῶν ἠπείλησεν ὁ Θεός.

10. Καὶ πότε τοῦτο γέγονε; Πότε ἀνῃρέθησαν προφητεῖαι παντελῶς; Πότε τὸ χρῖσμα κατελύθη, ὡς μηκέτι πάλιν ἐπανελθεῖν; Κἂν ἡμεῖς σιγήσωμεν, οἱ λίθοι κεκράξονται, οὕτω λαμπρὰ τῶν πραγμάτων ἐστὶν ἡ φωνή· οὐδὲ γὰρ ἂν ἔχωσιν ἄλλον καιρὸν εἰπεῖν, ἐν ᾧ ταῦτα ὑπέστησαν, ἢ τοῦτον τὸν μακρὸν καὶ πολὺν καὶ πλείονα πάλιν ἐσόμενον. Εἶτα πάλιν ἀκριβέστερον λέγων φησί, «καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ, ἕως Χριστοῦ ἡγουμένου, ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξήκοντα δύο». Ἐνταῦθά μοι μετὰ ἀκριβείας προσέχετε· τὸ γὰρ πᾶν ζήτημα ἐνταῦθά ἐστιν. Ἑβδομάδες ἑπτά, καὶ ἑβδομάδες ἑξήκοντα δύο τετρακόσια ὀγδοηκοντατρία ἔτη· ἑβδομάδας γὰρ ἐνταῦθα οὐχ ἡμερῶν φησιν, οὐδὲ μηνῶν, ἀλλ' ἑβδομάδας ἐνιαυτῶν.

62. Ματθ. 23,32.
63. Ματθ. 11,13.
64. Δαν. 9,25.

ἀκόμη «γιὰ τὸν λαό μου», ἂν καὶ ὁ προφήτης ἔλεγε· «δεῖξε τὸ πρόσωπό σου στὸ λαό σου». Ὁ Θεὸς ὅμως τὸν ἀποξενώνει πλέον, ἐξ αἰτίας τοῦ τολμήματος ποὺ θὰ ἐπιχειροῦσε. Ἔπειτα λέγει καὶ τὴν αἰτία· «μέχρι ποὺ νὰ παλαιωθῆ τὸ παράπτωμα καὶ νὰ συντελεσθῆ ἡ ἁμαρτία;». Τί σημαίνει, «μέχρι ποὺ νὰ συντελεσθῆ ἡ ἁμαρτία»; Διαπράττουν, λέγει, πολλὲς ἁμαρτίες, ἀλλὰ τὸ μέγιστο τῶν κακῶν θὰ συμβῆ τότε, ὅταν θὰ φονεύσουν τὸν Δεσπότη τους. Αὐτὸ λέγει καὶ ὁ Χριστός· «συμπληρώσατε τὸ μέτρο τῶν πατέρων σας»[62]. Φονεύσατε, λέγει, δούλους· προσθέσατε καὶ αἷμα δεσποτικό. Πρόσεχε συμφωνία νοημάτων. Ὁ Χριστὸς εἶπε, «συμπληρώσατε», καὶ ὁ προφήτης λέγει, «νὰ τελεσθῆ ἡ ἁμαρτία» καὶ «νὰ σφραγισθῆ ἡ ἁμαρτία». Τί σημαίνει «νὰ σφραγισθῆ»; Ὥστε νὰ μὴ ἔχη ἀπομείνει τίποτε πλέον. «Καὶ νὰ δοθῆ δικαιοσύνη αἰώνια». Καὶ ποιά ἄλλη εἶναι ἡ αἰώνια δικαιοσύνη, παρὰ ἐκείνη ποὺ δόθηκε ἀπὸ τὸν Χριστό; «Καὶ νὰ σφραγισθῆ ἡ ὅραση καὶ ἡ προφητεία καὶ νὰ χρισθῆ ὁ ἅγιος τῶν ἁγίων»· δηλαδὴ μέχρι ποὺ νὰ σταματήσουν οἱ προφητεῖες. Γιατὶ αὐτὸ σημαίνει «νὰ σφραγισθῆ», «νὰ σταματήση τὸ χρίσμα», «νὰ σταματήσουν οἱ ὁράσεις». Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε· «ὁ νόμος καὶ οἱ προφῆτες ἴσχυσαν μέχρι τὸν Ἰωάννη»[63]. Βλέπεις πῶς ἐδῶ ἀπειλεῖ μὲ ὁλοκληρωτικὴ ἐρήμωση καὶ ἀνταπόδοση τῶν ἁμαρτιῶν καὶ ἀδικιῶν; Γιατὶ ὄχι μόνο ὁ Θεὸς δὲν τοὺς συγχωρεῖ, ἀλλὰ τοὺς ἀπείλησε καὶ ὅτι θὰ τοὺς τιμωρήση γιὰ τὶς ἁμαρτίες τους.

10. Καὶ πότε ἔγινε αὐτό; Πότε καταργήθηκαν ἐξ ὁλοκλήρου οἱ προφητεῖες; Πότε καταλύθηκε τὸ χρίσμα, ὥστε νὰ μὴ ἰσχύση ξανά; Κι ἂν ἀκόμη ἐμεῖς σιωπήσουμε, οἱ πέτρες ὅμως θὰ κράξουν· τόσο λαμπρὴ εἶναι ἡ φωνὴ τῶν πραγμάτων. Γιατὶ δὲν μποροῦν νὰ προβάλουν ἄλλον καιρό, κατὰ τὸν ὁποῖον συνέβηκαν αὐτά, παρὰ αὐτὸν τὸν μακρὸν καὶ πολὺν χρόνο, καὶ ποὺ θὰ γίνη πάλι μεγαλύτερος. Ἔπειτα, μιλώντας μὲ περισσότερη σαφήνεια, λέγει· «καὶ μάθε καλὰ καὶ κατανόησέ το, ὅτι ἀπὸ τὴ στιγμὴ ποὺ θὰ ἐκδοθῆ διάταγμα γιὰ τὴν ἀνοικοδόμηση τῆς Ἰερουσαλὴμ μέχρι τὸν ἄρχοντα ποὺ θὰ χρισθῆ ἀπὸ ἐμένα, θὰ περάσουν ἑπτὰ ἑβδομάδες ἐτῶν καὶ ἑξήντα δύο ἑβδομάδες ἐτῶν»[64]. Συγκεντρῶστε, παρακαλῶ, ἐδῶ ὅλη σας τὴν προσοχή· γιατὶ ἐδῶ βρίσκεται τὸ ὅλο ζήτημα. Ἑπτὰ ἑβδομάδες ἐτῶν καὶ ἑξήντα δύο ἑβδομάδες ἐτῶν κάμνουν τετρακόσια ὀγδόντα τρία χρόνια· γιατὶ μιλώντας γιὰ ἑβδομάδες ἐδῶ δὲν ἐννοεῖ ἑβδομά-

Ἀπὸ γὰρ Κύρου ἐπὶ Ἀντίοχον τὸν Ἐπιφανῆ καὶ τὴν αἰχμαλωσίαν ἐκείνην, τριακόσια ἐνενήκοντα τέσσαρα ἔτη. Δηλῶν τοίνυν, ὅτι οὐκ ἐκείνην λέγει τὴν ἐρήμωσιν τοῦ ναοῦ, ἀλλὰ τὴν μετ' ἐκείνην, τὴν ἐπὶ Πομπηΐου καὶ Οὐεσπασιανοῦ καὶ Τίτου, περαιτέρω προάγων τὸν χρόνον. Εἶτα διδάσκων ἡμᾶς, πόθεν ἀριθμεῖν χρή, δείκνυσιν ὅτι οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπανόδου. Ἀλλὰ πόθεν; «Ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ». Οὐκ ἐπὶ Κύρου δὲ ᾠκοδομήθη, ἀλλ' ἐπὶ τοῦ Ἀρταξέρξου τοῦ Μακρόχειρος. Μετὰ γὰρ τὴν κάθοδον ἐπανῆλθε Καμβύσης, εἶτα οἱ μάγοι καὶ μετ' ἐκείνους Δαρεῖος ὁ Ὑστάσπου, εἶτα Ξέρξης ὁ Δαρείου καὶ μετὰ τοῦτον Ἀρτάβανος· εἶτα μετὰ Ἀρτάβανον Ἀρταξέρξης ὁ Μακρόχειρ, ὃς ἐβασίλευσε τῆς Περσίδος· καὶ τούτου βασιλεύοντος, εἰκοστοῦ ἔτους τῆς βασιλείας αὐτοῦ, Νεεμίας ἀνελθών, τὴν πόλιν ἀνέστησεν. Καὶ ταῦτα ὁ Ἔσδρας ἡμῖν ἀκριβῶς διηγήσατο.

Ἂν τοίνυν ἐντεῦθεν τετρακόσια καὶ ὀγδοήκοντα τρία ἔτη ἀριθμήσωμεν, πάντως ἥξομεν ἐπὶ τὴν κατασκαφὴν ταύτην. Διὰ τοῦτό φησιν, «οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος». Ἐπειδὰν οὖν, φησίν, ἀναστῇ καὶ τὸ οἰκεῖον λάβῃ σχῆμα, ἀπ' ἐκείνου τὰς ἑβδομήκοντα ἀρίθμει καὶ ὄψει τὴν αἰχμαλωσίαν ταύτην οὐκ ἔτι τέλος ἔχουσαν. Καὶ τοῦτο δὲ αὐτὸ δηλῶν σαφέστερον, ὅτι οὐχ ἕξει τινὰ λύσιν τὰ κατέχοντα αὐτοὺς κακά, οὕτω φησί· μετὰ τὰς ἑβδομάδας τὰς ἑβδομήκοντα ἐξολοθρευθήσεται χρῖσμα καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῇ, καὶ τὴν πόλιν δὲ καὶ τὸ ἅγιον συνδιαφθαρεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ καὶ συγκοπήσονται ὡς ἐν κατακλυσμῷ»· οὐδὲ λείψανον ἔσται λοιπόν, οὐδὲ ῥίζα πάλιν ἀναβλαστάνουσα, «καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς». Καὶ πάλιν λέγων τὴν αἰχμαλωσίαν ταύτην φησίν· «ἀρθήσεται θυμίαμα καὶ σπονδή· καὶ ἐπὶ τούτοις ἐπὶ τὸ ἱερὸν τὸ βδέλυγμα τῆς ἐρημώσεως καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν».

Ὅταν δὲ ἀκούσῃς συντέλειαν, τί λοιπὸν ἕτερον προσδοκᾷς;

65. Β' Ἔσδρας 3.
66. Δαν. 9,27.

δες ἡμερῶν οὔτε καὶ μηνῶν, ἀλλὰ ἐτῶν. Ἀπὸ τὸν Κῦρο δηλαδὴ μέχρι τὸν Ἀντίοχο τὸν Ἐπιφανῆ καὶ τὴν αἰχμαλωσία ἐκείνη ἔχουμε τρακόσια ἐνενήντα τέσσερα χρόνια. Δηλώνει λοιπὸν ὅτι δὲν ἐννοεῖ τὴν ἐρήμωση ἐκείνη τοῦ ναοῦ, ἀλλὰ τὴν ἐρήμωση ποὺ ἔγινε μετὰ ἀπὸ ἐκείνην, ἐπὶ τῆς βασιλείας δηλαδὴ τοῦ Πομπηΐου, τοῦ Βεσπασιανοῦ καὶ τοῦ Τίτου, μεταθέτοντας τὸν χρόνο πιὸ πέρα. Ἔπειτα, διδάσκοντάς μας ἀπὸ ποῦ πρέπει νὰ ἀρχίσουμε τὴν ἀρίθμηση, δείχνει ὅτι δὲν πρέπει ν' ἀρχίσουμε ἀπὸ τὴν ἡμέρα τῆς ἐπανόδου. Ἀλλὰ ἀπὸ ποῦ; «Ἀπὸ τὴ στιγμὴ ποὺ θὰ ἐκδοθῆ διάταγμα περὶ ἀνοικοδομήσεως τῆς Ἰερουσαλήμ». Ἡ Ἰερουσαλὴμ ὅμως δὲν ἀνοικοδομήθηκε ἐπὶ βασιλείας Κύρου, ἀλλὰ ἐπὶ βασιλείας τοῦ Ἀρταξέρξη τοῦ Μακρόχειρα. Γιατὶ μετὰ τὴν ἐπάνοδο τῶν Ἰουδαίων ἐπανῆλθε ὁ Καμβύσης, ἀκολούθησαν οἱ μάγοι καὶ μετὰ ἀπὸ αὐτοὺς ὁ Δαρεῖος ὁ Ὑστάσπου, ἔπειτα ὁ Ξέρξης καὶ μετὰ ἀπὸ αὐτὸν ὁ Ἀρτάβανος. Μετὰ τὸν Ἀρτάβανο ἦλθε ὁ Ἀρταξέρξης ὁ Μακρόχειρ, ὁ ὁποῖος καὶ ἔγινε βασιλεὺς τῆς Περσίας. Καὶ ἐνῶ ἀκόμη αὐτὸς ἦταν βασιλεύς, διανύοντας τὸ εἰκοστὸ ἔτος τῆς βασιλείας του, ἐπανῆλθε ὁ Νεεμίας καὶ ἀνοικοδόμησε τὴν πόλη. Ὅλα αὐτὰ μᾶς τὰ διηγεῖται λεπτομερῶς ὁ Ἔσδρας[65].

Ἂν λοιπὸν ἀριθμήσουμε ἀπὸ ἐδῶ τετρακόσια ὀγδόντα τρία χρόνια, θὰ φθάσουμε στὴν καταστροφὴ αὐτή. Γι' αὐτὸ λέει· «θὰ οἰκοδομηθῆ πλατεῖα καὶ περίτειχος». Ἀφοῦ λοιπὸν ἀνοικοδομηθῆ, λέει, ἡ πόλη καὶ λάβη τὸ σχῆμά της, ἀρίθμησε ἀπὸ τότε τὶς ἑβδομήντα ἑβδομάδες, καὶ θὰ δῆς ὅτι ἡ αἰχμαλωσία αὐτὴ δὲν τελείωσε ἀκόμη. Καὶ γιὰ νὰ δηλώση αὐτὸ ἀκριβῶς σαφέστερα, ὅτι δηλαδὴ δὲν θὰ τερματισθοῦν τὰ δεινὰ αὐτά, λέγει· «μετὰ τὶς ἑβδομήντα ἑβδομάδες θὰ ἐξολοθρευθῆ τὸ χρίσμα, χωρὶς νὰ ὑπάρχη κατάκριση γι' αὐτήν· καὶ ἡ πόλη καὶ ὁ ναὸς θὰ καταστραφοῦν μαζὶ μὲ τὸν ἄρχοντά της καὶ οἱ κάτοικοί της θὰ κατακλυσθοῦν ἀπὸ συμφορές»· τότε οὔτε λείψανο θὰ ὑπάρξη, οὔτε ρίζα θὰ ξαναβλαστήση· «καὶ μέχρι τὸ τέλος τοῦ πολέμου θὰ συμβοῦν φοβεροὶ ἀφανισμοί». Καὶ πάλι μιλώντας γιὰ τὴν αἰχμαλωσία αὐτή, λέγει· «θὰ καταργηθῆ ἡ θυσία καὶ ἡ σπονδή· καὶ μαζὶ μὲ αὐτὰ θὰ στηθῆ τὸ βδελυρὸ ἄγαλμα τῆς ἐρημώσεως καὶ ὅταν συμπληρωθῆ ὁ ὡρισμένος χρόνος θὰ τεθῆ τέρμα στὴν καταστροφή»[66].

Ὅταν λοιπὸν ἀκούσης, «συντέλεια», τί ἄλλο περιμένεις πιά;

Καὶ «ἐπὶ τούτοις». Τί δέ ἐστιν, «ἐπὶ τούτοις»; Τουτέστι, πρὸς τούτοις τοῖς εἰρημένοις, τῇ τῆς θυσίας ἀναιρέσει καὶ τῆς σπονδῆς, ἕτερον ἔσται τι μεῖζον κακόν. Ποῖον δὴ τοῦτο; «Ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεως»· ἱερὸν τὸν ναὸν καλῶν, βδέλυγμα δὲ ἐρημώσεως τὸν ἀνδριάντα, ὃν ἔστησεν ὁ τὴν πόλιν καθελὼν ἔνδον ἐν τῷ ναῷ. Καὶ «ἕως συντελείας», φησίν, «ἐρήμωσις». Διὰ τοῦτό φησιν ὁ Χριστός, μετὰ Ἀντίοχον τὸν Ἐπιφανῆ παραγενόμενος τὸ κατὰ σάρκα καὶ προαναφωνῶν τὴν μέλλουσαν ἔσεσθαι αἰχμαλωσίαν καὶ δεικνύς, ὅτι περὶ αὐτῆς ὁ Δανιὴλ προεφήτευσε, φησίν· «ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, ὃ εἶπε Δανιὴλ ὁ προφήτης, ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω». Ἐπειδὴ γὰρ ἅπαν εἴδωλον καὶ πᾶν τύπωμα ἀνθρώπου παρὰ τοῖς Ἰουδαίοις βδέλυγμα ἐκαλεῖτο, αἰνιγματωδῶς ἐμφαίνων τὸν ἀνδριάντα ἐκεῖνον, ὁμοῦ καὶ πότε καὶ ὑπὸ τίνος ἡ αἰχμαλωσία ἔσται, προανεφώνησεν. Ὅτι δὲ περὶ Ρωμαίων ταῦτα εἴρηται, καὶ ὁ Ἰώσηπος, καθάπερ ἔμπροσθεν ἀπεδείξαμεν, εἴρηκεν.

Τίς οὖν ὑμῖν λοιπὸν ὑπολέλειπται λόγος, ὅταν τὰς μὲν ἄλλας φαίνωνται αἰχμαλωσίας οἱ προφῆται μετὰ διωρισμένων χρόνων εἰπόντες, ταύτῃ δὲ μηδένα χρόνον ὁρίσαντες, ἀλλὰ καὶ τὸ ἐναντίον προσειπόντες, ὅτι «ἕως συντελείας ἔσται ἡ ἐρήμωσις»; Καὶ ὅτι οὐ ψεῦδος τὰ εἰρημένα, φέρε καὶ τὴν ἀπὸ τῶν πραγμάτων αὐτῶν παράσχωμεν μαρτυρίαν. Εἰ μὲν γὰρ μὴ ἐπεχείρησαν οἰκοδομῆσαι τὸν ναόν, εἶχον ἂν λέγειν, ὅτι εἴγε ἠβουλήθημεν ἐπιχειρῆσαι καὶ τῆς οἰκοδομῆς ἅψασθαι, πάντως ἂν ἰσχύσαμεν καὶ ἠνύσαμεν. Νυνὶ δὲ αὐτοὺς δείκνυμι, ὅτι οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ τρὶς ἐπιχειρήσαντας καὶ ραγέντας, καθάπερ ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν, ὥστε ἀναμφισβήτητον εἶναι τῆς Ἐκκλησίας τὸν στέφανον. Ποῦ τοίνυν ἐπεχείρησαν οἱ ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες, οἱ νεωτεροποιοὶ καὶ στασιασταί;

11. Μετὰ γὰρ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν, ἐπὶ Ἀδριανοῦ συστάντες οὗτοι οἱ Ἰουδαῖοι ἐσπούδαζον ἐπὶ τὴν προτέραν πολιτείαν ἐπανελθεῖν, οὐκ εἰδότες, ὅτι ψήφῳ Θεοῦ πολε-

67. Ματθ. 24,15.

«Καὶ ἐπὶ τούτοις». Τί σημαίνει, «ἐπὶ τούτοις»; Δηλαδή, μαζὶ μὲ αὐτὰ ποὺ ἔχουν λεχθῆ, τὴν κατάργηση τῆς θυσίας καὶ τῆς σπονδῆς, θὰ συμβῆ κάποιο ἄλλο μεγαλύτερο κακό. Ποιὸ λοιπὸν εἶναι αὐτό; «Θὰ στηθῆ στὸ ἱερὸ τὸ βδέλυγμα τῆς ἐρημώσεως». «Ἱερὸ» ὀνομάζει τὸν ναό, ἐνῶ «βδέλυγμα τῆς ἐρημώσεως» τὸ ἄγαλμα, ποὺ ἔστησε μέσα στὸ ναὸ ὁ καταστροφέας τῆς πόλεως. Καὶ «ἡ ἐρήμωση θὰ κρατήση μέχρι τὴ συμπλήρωση τοῦ χρόνου». Γι' αὐτὸ καὶ ὁ Χριστός, ποὺ μετὰ τὸν Ἀντίοχο τὸν Ἐπιφανῆ ἦλθε σὰν ἄνθρωπος, προλέγοντας τὴν αἰχμαλωσία ποὺ ἐπρόκειτο νὰ συμβῆ καὶ δείχνοντας ὅτι γι' αὐτὴν εἶχε προφητεύσει ὁ Δανιήλ, εἶπε· «ὅταν δῆτε τὸ βδέλυγμα τῆς ἐρημώσεως, γιὰ τὸ ὁποῖο μίλησε ὁ Δανιὴλ ὁ προφήτης, στημένο μέσα στὸν ἅγιο ναό, αὐτὸς ποὺ τὸ διαβάζει ἂς καταλάβη τὸ νόημά του[67]. Ἐπειδὴ δηλαδὴ κάθε εἴδωλο καὶ κάθε ἀνθρώπινο ἀποτύπωμα καλοῦνταν ἀπὸ τοὺς Ἰουδαίους «βδέλυγμα», μιλώντας αἰνιγματικὰ γιὰ τὸν ἀνδριάντα ἐκεῖνον, προεῖπε μαζὶ μὲ αὐτὸ καὶ τὸ πότε καὶ ἀπὸ ποιόν θὰ γίνη ἡ αἰχμαλωσία. Καὶ ὅτι αὐτὰ ἔχουν εἰπωθῆ γιὰ τοὺς Ρωμαίους τὸ μαρτυρεῖ καὶ ὁ Ἰώσηπος, ὅπως ἀκριβῶς τὸ ἀποδείξαμε πιὸ πάνω.

Τί ἀπομένει λοιπὸν νὰ ποῦμε, ὅταν φαίνωνται οἱ προφῆτες γιὰ τὶς ἄλλες αἰχμαλωσίες νὰ μιλοῦν προσδιορίζοντας τοὺς χρόνους, ἐνῶ γι' αὐτὴ νὰ μὴ καθορίζουν τὸν χρόνο, ἀλλὰ καὶ νὰ προλέγουν τὸ ἀντίθετο, ὅτι δηλαδὴ «μέχρι τὴ συντέλεια θὰ κρατήση ἡ ἐρήμωση»; Καὶ ὅτι δὲν εἶναι ψεῦδος τὰ λεγόμενα, ἐμπρὸς ἂς παρουσιάσουμε καὶ τὴ μαρτυρία καὶ ἀπὸ τὰ ἴδια τὰ πράγματα. Γιατί, ἂν οἱ Ἰουδαῖοι δὲν εἶχαν ἐπιχειρήσει νὰ ἀνοικοδομήσουν τὸν ναό, θὰ μποροῦσαν νὰ λένε, 'ἂν θέλαμε νὰ ἐπιχειρήσουμε γιὰ ν' ἀνοικοδομήσουμε τὸν ναό, ὁπωσδήποτε θὰ μπορούσαμε νὰ τὸ κάνουμε καὶ νὰ κατορθώσουμε τὸ ἔργο. Τώρα ὅμως ἀποδεικνύω ὅτι αὐτοί, ὄχι μόνο μιὰ φορὰ οὔτε δύο, ἀλλὰ καὶ τρεῖς φορὲς ἐπεχείρησαν, κι ὅμως ἀπέτυχαν, ὅπως ἀκριβῶς συμβαίνει καὶ στοὺς Ὀλυμπιακοὺς ἀγῶνες, ὥστε νὰ εἶναι τῆς Ἐκκλησίας ὁ στέφανος ἀναμφισβήτητος. Πότε λοιπὸν ἐπεχείρησαν αὐτοί, ποὺ πάντοτε ἀντιλέγουν στὸ Πνεῦμα τὸ ἅγιο, οἱ νεωτεριστὲς δηλαδὴ καὶ ἐπαναστάτες;

11. Μετὰ τὴν καταστροφὴ τῆς πόλεως ἀπὸ τὸν Βεσπεσιανὸ καὶ τὸν Τίτο, οἱ Ἰουδαῖοι, ἀφοῦ στασίασαν ἐπὶ βασιλείας Ἀδριανοῦ, ἐπιχείρησαν ν' ἀποκαταστήσουν τὸ παλιὸ πολίτευμα, ἀγνοώντας ὅτι ἔτσι

μοῦσι, κελευούσῃ διὰ παντὸς ἐρημοῦσθαι τὴν πόλιν· τὸ δὲ Θεοῦ πολεμοῦντος περιγενέσθαι ἀμήχανον. Συρρήξαντες τοίνυν τῷ βασιλεῖ, πάλιν εἰς ἀνάγκην αὐτὸν κατέστησαν παντελοῦς ἐρημώσεως. Καθελὼν γὰρ αὐτοὺς ἐκεῖνος καὶ χειρωσάμενος καὶ τὰ λείψανα ἀφανίσας πάντα, ἵνα μηδὲ ἀναισχυντεῖν ἔχωσι λοιπόν, τὸν ἀνδριάντα ἔστησε τὸν ἑαυτοῦ· εἶτα συνιδών, ὅτι συμβαίνει χρόνῳ ποτὲ τοῦτον καταπεσεῖν, ὥστε αὐτοῖς ἐνθεῖναι καυτῆρα ἀνίατον τῆς ἥττης καὶ τῆς ἀναισχυντίας ἐκείνης ἔλεγχον, τὸ ὄνομα τὸ ἑαυτοῦ τοῖς τῆς πόλεως ἐπέθηκε λειψάνοις. Ἐπειδὴ γὰρ Αἴλιος ὁ Ἀδριανὸς ἐχρημάτιζεν, οὕτω καὶ τὴν πόλιν καλεῖσθαι ἐνομοθέτησεν, ἐκεῖθέν τε Αἰλία μέχρι καὶ νῦν ὀνομάζεται, ἀπὸ τῆς ἐπωνυμίας τοῦ κρατήσαντος καὶ καθελόντος αὐτήν.

Ὁρᾷς τὴν πρώτην ἐπιχείρησιν τῶν ἀναισχύντων Ἰουδαίων; Βλέπε καὶ τὴν μετ᾽ ἐκεῖνον. Πάλιν ἐπὶ Κωνσταντίνου τοῖς αὐτοῖς ἐπεχείρησαν. Ὁ δὲ βασιλεὺς ἰδὼν τὴν ἐπιχείρησιν αὐτῶν, τὰ ὦτα αὐτῶν ἀποτεμὼν καὶ τὸ τῆς παρακοῆς σύμβολον ἐνθεὶς αὐτῶν τῷ σώματι, πανταχοῦ περιῆγε καθάπερ τινὰς δραπέτας καὶ μαστιγίας, διὰ τῆς τοῦ σώματος πηρώσεως ἅπασι καταδήλους ποιῶν, καὶ τοὺς πανταχοῦ σωφρονίζων, μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν πράγμασιν. Ἀλλὰ ταῦτα μὲν ἀρχαῖα καὶ παλαιά· μᾶλλον δὲ τοῦτο μὲν τοῖς ἔτι πρεσβυτέροις καὶ γέρουσιν ὑμῶν ἐστι γνώριμον· ὃ δὲ μέλλω νῦν ἐρεῖν, καὶ τοῖς σφόδρα νέοις δῆλόν ἐστι καὶ καταφανές. Οὐδὲ γὰρ ἐπὶ Ἀδριανοῦ καὶ Κωνσταντίνου γέγονεν, ἀλλ᾽ ἐπὶ βασιλέως πρὸ εἴκοσι ἐτῶν γεγενημένου ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας. Ἰουλιανοῦ γάρ, τοῦ πάντας ἐν ἀσεβείᾳ τοὺς βασιλέας νικήσαντος, καλοῦντος αὐτοὺς ἐπὶ τὰς τῶν εἰδώλων θυσίας καὶ ἐπισπωμένου πρὸς τὴν οἰκείαν ἀσέβειαν· εἶτα τὸν παλαιὸν τῆς θεραπείας προβαλλόμενοι τρόπον καὶ λέγοντες, ὅτι καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων οὕτως ὁ Θεὸς ἐθεραπεύετο καὶ ἄκοντες ὡμολόγουν τότε ταῦτα, ἅπερ ἡμεῖς ἀπεδείξαμεν νῦν, ὅτι τῆς πόλεως ἔξω θύειν οὐκ ἔνι, ἀλλὰ παρανομοῦσι πᾶν ὁτιοῦν ἐπιτελοῦντες ἐπι γῆς ἀλλοτρίας. Ὥστε εἰ βούλει, φησίν, ἡμᾶς θύοντας ἰδεῖν, ἀπόδος ἡμῖν τὴν πόλιν, ἀνάστησον τὸν ναόν, δεῖξον ἡμῖν τὰ ἅγια τῶν ἁγίων, ἀνάστησον

ἀντιστρατεύονται στὴν ἀπόφαση τοῦ Θεοῦ, ποὺ προστάζει νὰ εἶναι γιὰ πάντα ἔρημη ἡ πόλη. Καὶ ὅταν ὁ Θεὸς μάχεται, εἶναι ἀδύνατο νὰ τὸν νικήση κανείς. Ἀφοῦ συγκρούσθηκαν λοιπὸν μὲ τὸν βασιλέα, τὸν ἐξανάγκασαν νὰ καταστρέψη ξανὰ τὴν πόλη ὁλοκληρωτικά. Ἀφοῦ δηλαδὴ τοὺς νίκησε ἐκεῖνος καὶ τοὺς ὑπέταξε καὶ ἐξαφάνισε κάθε ἴχνος, ὥστε νὰ μὴ μποροῦν πιὰ νὰ αὐθαδιάζουν, ἔστησε σ' αὐτὴν τὸ ἄγαλμά του. Στὴ συνέχεια, ἀντιλαμβανόμενος ὅτι μὲ τὴν πάροδο τοῦ χρόνου ὑπῆρχε τὸ ἐνδεχόμενο νὰ πέση, γιὰ νὰ τοὺς ἐμβάλη ἀθεράπευτο καϋμὸ τῆς ἥττας τους καὶ νὰ τοὺς ἐλέγχη γιὰ τὴν αὐθάδειά τους, ἔδωσε τὸ ὄνομά του στὰ ἐρείπια τῆς πόλεως. Ἐπειδὴ δηλαδὴ ὁ ἴδιος ὠνομαζόταν Αἴλιος ὁ Ἀδριανός, νομοθέτησε ἔτσι νὰ ὀνομάζεται καὶ ἡ πόλη, καὶ ἀπὸ τότε καὶ μέχρι σήμερα ὀνομάζεται Αἰλία, ἀπὸ τὸ ὄνομα τοῦ νικητῆ καὶ καταστροφέα της.

Βλέπεις τὴν πρώτη προσπάθεια τῶν ἀδιάντροπων Ἰουδαίων; Βλέπε καὶ ἐκείνην ποὺ ἔγινε μετὰ ἀπὸ ἐκεῖνον. Πάλι ἐπὶ Κωνσταντίνου τὰ ἴδια ἐπιχείρησαν. Ὁ βασιλεὺς ὅμως, μόλις ἀντιλήφθηκε τὶς προσπάθειές τους, τοὺς ἀπέκοψε τὰ αὐτιὰ καὶ φορώντας τους τὸ σύμβολο τῆς ἀνυπακοῆς, τοὺς περιέφερε σὲ ὅλα τὰ μέρη σὰν λιποτάκτες καὶ δούλους ἐλεεινοὺς καὶ ἄξιους μαστιγώσεως, καταξευτιλίζοντάς τους σ' ὅλους μὲ τὴ σωματικὴ ἀναπηρία, σωφρονίζοντας συνάμα ὅλους τοὺς ἄλλους, γιὰ νὰ μὴ ἐπιχειρήσουν νὰ πράξουν τὰ ἴδια πράγματα μ' αὐτούς. Ἀλλ' αὐτὰ εἶναι ἀρχαῖα καὶ παλιά· ἢ καλύτερα αὐτὸ τὸ γεγονὸς εἶναι γνωστὸ στοὺς πιὸ ἡλικιωμένους καὶ γέροντες ἀπὸ σᾶς, αὐτὸ ὅμως ποὺ πρόκειται νὰ πῶ τώρα εἶναι γνωστὸ καὶ φανερὸ καὶ στοὺς πάρα πολὺ νέους. Γιατὶ δὲν συνέβηκε ἐπὶ Ἀδριανοῦ καὶ Κωνσταντίνου, ἀλλὰ στὴν ἐποχὴ κάποιου βασιλέως τῆς γενεᾶς μας, ποὺ βασίλευσε εἴκοσι χρόνια πρίν. Ὁ Ἰουλιανὸς λοιπόν, ποὺ ξεπέρασε στὴν ἀσέβεια ὅλους τοὺς βασιλεῖς, καλώντας τοὺς Ἰουδαίους νὰ μετάσχουν στὶς θυσίες τῶν εἰδώλων, τοὺς κέρδισε στὴν ἀσέβεια μὲ τὸ μέρος του. Προβάλλοντας ἔπειτα τὸν παλιὸ τρόπο λατρείας καὶ λέγοντας ὅτι καὶ οἱ πατέρες τους ἔτσι λάτρευαν τὸν Θεό, καὶ παρὰ τὴ θέλησή τους ὡμολογοῦσαν τότε αὐτά, ποὺ μόλις τώρα ἀποδείξαμε, ὅτι δὲν ἐπιτρεπόταν νὰ τελοῦν θυσίες ἔξω ἀπὸ τὴν πόλη καὶ ὅτι παρανομοῦν ἐπιτελώντας ὁ,τιδήποτε σὲ ξένη γῆ. Ὥστε, τοῦ λένε, 'ἂν θέλης νὰ μᾶς δῆς νὰ προσφέρουμε θυσίες, δῶσε μας πίσω τὴν πόλη, ἀνοικοδόμησε τὸν ναό, δεῖξέ μας τὰ ἅγια

τὸν βωμόν, καὶ θύσομεν καὶ νῦν καθάπερ καὶ πρότερον. Καὶ οὐκ ᾐσχύνοντο οἱ μιαροὶ καὶ ἀναίσχυντοι παρὰ ἀνδρὸς ἀσεβοῦς καὶ Ἕλληνος ταῦτα αἰτοῦντες καὶ τὰς μιαρὰς ἐκείνου χεῖρας καλοῦντες ἐπὶ τὴν τῶν ἁγίων οἰκοδομήν· καὶ οὐκ ᾐσθάνοντο ἀδυνάτοις ἐπιχειροῦντες πράγμασιν, οὐδὲ συνεῖδον, ὅτι εἰ μὲν ἄνθρωπος ἦν ὁ καταλύσας ἐκεῖνα, ἐνῆν καὶ παρὰ ἀνθρώπους πάλιν λαβεῖν αὐτά· Θεοῦ δὲ ὄντος τοῦ καθελόντος αὐτῶν τὴν πόλιν, ἀμήχανον τὰ τῇ θείᾳ δόξαντα ψήφῳ δύναμιν ἀνθρωπίνην παρατρέψαι ποτέ. «Ἃ γὰρ ὁ Θεὸς ὁ ἅγιος βεβούλευται», φησί, «τίς διασκεδάσει; Καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλήν, τίς ἀποστρέψει;». Ὥσπερ γὰρ ἃ ἂν ἀναστήσῃ καὶ βουληθῇ μένειν, καθελεῖν ἀδύνατον ἀνθρώποις, οὕτως ἅπερ ἂν καθέλῃ καὶ βούληται μένειν καθῃρημένα, ἀναστῆσαι πάλιν οὐκ ἔνι.

Ἔστω δέ, Ἰουδαῖοι, ὅτι βασιλεὺς τὸν ναὸν ἐδίδου καὶ τὸν βωμὸν ἀνίστα, καθάπερ ὑμεῖς ὑποπτεύετε μάτην· μὴ καὶ τὸ πῦρ ἄνωθεν ὑμῖν ἀφεῖναι ἐκ τῶν οὐρανῶν δυνατὸς ἦν; Τούτου δὲ οὐκ ὄντος, ἐναγὴς καὶ ἀκάθαρτος ἦν ἡ θυσία ὑμῶν. Διὰ τοῦτο γοῦν οἱ παῖδες Ἀαρὼν ἀπώλοντο, ἐπειδὴ πῦρ ἀλλότριον εἰσήνεγκαν· ἀλλ' ὅμως εἰς ἅπαντα τυφλώττοντες, παρεκάλουν αὐτὸν καὶ ἱκέτευον συνάρασθαι καὶ συνεφάψασθαι τῆς οἰκοδομῆς τοῦ ναοῦ. Ὁ δὲ καὶ χρήματα ἀνήλωσε καὶ ἐπιστάτας τοῦ ἔργου ἔπεμψε τοὺς ἀπὸ τῆς μεγάλης ἀρχῆς καὶ τεχνίτας πάντοθεν ἐκίνησε καὶ πάντα ἐποίει καὶ ἐπραγματεύετο, ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς ἄχρις εἰς τὸ θύειν ἐμβάλῃ, προσδοκῶν ἐκεῖθεν ἐπὶ τὴν τῶν εἰδώλων θεραπείαν ἥξειν ῥᾳδίως, ὁμοῦ τε ἐλπίζων ὁ μεμηνὼς καὶ ἀνόητος τοῦ Χριστοῦ περιγράφειν τὴν ἀπόφασιν, τὴν οὐκ ἐῶσαν ἀναστῆναι τὸν ναὸν ἐκεῖνον. Ἀλλ' «ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν», εὐθέως διὰ τῶν ἔργων ἐδήλου, ὅτι αἱ τοῦ Θεοῦ ψῆφοι πάντων εἰσὶ δυνατώτεραι καὶ ἰσχυρὰ τὰ ἔργα τῶν λόγων τοῦ Θεοῦ.

Ὡς γὰρ ἥψαντο τῆς παρανόμου ταύτης σπουδῆς καὶ γυμνοῦν

68. Ἡσ. 14,27.
69. Α' Κορ. 3,10. Ἰὼβ 5,13.

τῶν ἁγίων, κτίσε ξανὰ τὸ θυσιαστήριο, καὶ τότε θὰ θυσιάσουμε καὶ τώρα, ὅπως ἀκριβῶς καὶ παλαιότερα'. Καὶ δὲν ντρέπονταν οἱ μιαροὶ καὶ ἀδιάντροποι νὰ ζητοῦν ὅλα αὐτὰ ἀπὸ ἄνδρα ἀσεβῆ καὶ εἰδωλολάτρη καὶ νὰ καλοῦν τὰ ἀκάθαρτα χέρια του νὰ κτίσουν τὰ ἱερὰ τῆς θρησκείας τους. Καὶ δὲν καταλάβαιναν ὅτι ἐπιχειροῦν πράγματα ἀδύνατα, ἀλλ' οὔτε καὶ ἀντιλήφθηκαν ὅτι, ἂν ἐκεῖνος ποὺ τὰ κατέλυσε ἦταν ἄνθρωπος, ἦταν δυνατὸ νὰ τὰ λάβουν πάλι ἀπὸ ἄνθρωπο, τὴ στιγμὴ ὅμως ποὺ ὁ Θεὸς ἦταν αὐτὸς ποὺ κατέστρεψε τὴν πόλη τους, ἦταν ἀδύνατο ἡ ἀνθρώπινη δύναμη νὰ μεταβάλη ποτέ, ὅσα ἡ θεία βούληση ἀπεφάσισε. Γιατὶ λέγει, «ἐκεῖνα ποὺ ὁ Θεὸς ὁ ἅγιος ἀποφασίζει, ποιός θὰ τὰ ἐμποδίση; Καὶ τὸ παντοδύναμο χέρι του ποὺ εἶναι ὑψωμένο ποιός θὰ τὸ στρέψη ἀλλοῦ;»[68]. Ὅπως λοιπὸν ἐκεῖνα ποὺ θὰ κάμη ὁ Θεὸς καὶ θὰ θελήση νὰ παραμείνουν, εἶναι ἀδύνατο στοὺς ἀνθρώπους νὰ τὰ καταστρέψουν, ἔτσι ἀκριβῶς εἶναι ἀδύνατο ν' ἀνορθώση ὁ ἄνθρωπος, ὅσα ὁ Θεὸς κατέστρεψε καὶ θέλει νὰ παραμένουν καταστραμμένα.

Ἂς ὑποθέσουμε, Ἰουδαῖοι, ὅτι ὁ βασιλεὺς σᾶς ἔδινε πίσω τὸν ναὸ καὶ ὅτι ξανάκτιζε τὸν βωμό, ὅπως μάταια σεῖς πιστεύετε ὅτι θὰ γίνη αὐτό. Μήπως θὰ μποροῦσε νὰ σᾶς κατεβάση ἀπὸ τὸν οὐρανὸ τὴ φωτιά; Καὶ ἀφοῦ δὲν θὰ ὑπάρχη ἡ φωτιὰ αὐτή, ἡ θυσία σας θὰ εἶναι ἀνίερη καὶ ἀκάθαρτη. Γι' αὐτὸ ἄλλωστε καὶ τὰ παιδιὰ τοῦ Ἀαρὼν χάθηκαν, ἐπειδὴ προσκόμισαν στὸ θυσιαστήριο φωτιὰ ξένη. Κλείνοντας ὅμως τὰ μάτια μπροστὰ σ' ὅλα αὐτά, παρακαλοῦσαν καὶ ἱκέτευαν τὸν βασιλέα νὰ συγκατατεθῆ καὶ ν' ἀνοικοδομήση τὸν ναό. Αὐτὸς καὶ χρήματα πολλὰ ξόδευσε καὶ ἐπιστάτες στὸ ἔργο ἔστειλε τοὺς πιὸ σπουδαίους τῆς αὐτοκρατορικῆς αὐλῆς, καὶ τεχνίτες ἀπὸ κάθε μέρος μετέφερε, καὶ ὅλα τὰ ἔκαμνε καὶ τὰ πραγματευόταν, μέχρι ποὺ νὰ τοὺς βάλη μὲ τρόπο μαλακὸ καὶ σιγὰ–σιγὰ νὰ θυσιάσουν, πιστεύοντας ὅτι ἔτσι εὔκολα θὰ προχωροῦσαν στὴ λατρεία τῶν εἰδώλων, ἐλπίζοντας συγχρόνως, ὁ τρελλὸς καὶ ἀνόητος, νὰ ἀνατρέψη τὴν ἀπόφαση τοῦ Χριστοῦ, ποὺ δὲν ἐπέτρεπε τὴν ἀνοικοδόμηση τοῦ ναοῦ ἐκείνου. Ἀλλ' «ἐκεῖνος ποὺ συλλαμβάνει τοὺς σοφοὺς ἀπὸ τὴν πανουργία τους»[69] ἀμέσως μὲ τὰ ἴδια τὰ ἔργα ἀποδείκνυε, ὅτι οἱ ἀποφάσεις τοῦ Θεοῦ εἶναι δυνατότερες ἀπὸ ὅλα καὶ ἰσχυρὰ τὰ ἔργα τῶν λόγων τοῦ Θεοῦ.

Μόλις λοιπὸν οἱ Ἰουδαῖοι ἄρχισαν νὰ καταγίνωνται μὲ τὶς πα-

ἤρξαντο τὰ θεμέλια καὶ πολὺνέκένωσαν χοῦν καὶ τῆς οἰκοδομῆς ἅπτεσθαι λοιπὸν ἤμελλον, πῦρ ἐκπηδῆσαν ἐκ τῶν θεμελίων εὐθέως κατέφλεξέ τε πολλοὺς ἀνθρώπους, οὐ μὴν ἀλλὰ καὶ τοὺς λίθους τοῦ τόπου ἐκείνου, καὶ τῆς ἀκαίρου φιλονεικίας ἔστησεν οὐ μόνον τοὺς τὸ ἔργον ἐπιχειρήσαντας, ἀλλὰ καὶ Ἰουδαῖοι πολλοὶ τοῦτο θεασάμενοι ἐξέστησαν καὶ ᾐσχύνθησαν. Ταῦτα ἀκούσας ὁ βασιλεὺς Ἰουλιανός, καίτοι τοσαύτην μανίαν ἔχων περὶ τὴν σπουδὴν ἐκείνην, δείσας μὴ περαιτέρω προελθὼν ἐπὶ τὴν ἑαυτοῦ κεφαλὴν καλέσῃ τὸ πῦρ, ἀπέστη, ἡττηθεὶς μετὰ τοῦ ἔθνους παντός. Καὶ νῦν ἐὰν ἔλθῃς εἰς Ἱεροσόλυμα, γυμνὰ ὄψει τὰ θεμέλια· κἂν τὴν αἰτίαν ζητήσῃς, οὐδεμίαν ἀλλ' ἢ ταύτην ἀκούσεις. Καὶ τούτου μάρτυρες ἡμεῖς πάντες· ἐφ' ἡμῶν γάρ, οὐ πρὸ πολλοῦ ταῦτα γέγονε χρόνου. Καὶ σκόπει νίκης περιφάνειαν. Οὐ γὰρ ἐν χρόνοις βασιλέων εὐσεβῶν τοῦτο συνέβη, ἵνα μή τινες λέγωσιν, ὅτι «Χριστιανοὶ ταῦτα ἐπελθόντες διεκώλυσαν», ἀλλ' ἡνίκα τὰ ἡμέτερα ἠλαύνετο, ἡνίκα περὶ τοῦ ζῆν πάντες ἐκινδυνεύομεν καὶ παρρησία ἀνθρωπίνη πᾶσα παρεῖτο καὶ τὰ ἑλληνικὰ ἤνθει καὶ τῶν πιστῶν οἱ μὲν ἐν τοῖς οἴκοις ἐκρύπτοντο, οἱ δὲ πρὸς τὰς ἐρημίας μετῳκίζοντο καὶ τὰς ἀγορὰς ἔφευγον· τότε δὴ ταῦτα ἐγίνετο, ἵνα μηδεμία ἀναισχυντίας αὐτοῖς καταλιμπάνηται πρόφασις.

12. Ἔτι οὖν ἀμφισβητεῖς, ὦ Ἰουδαῖε, καὶ τὴν ἀπὸ τοῦ Χριστοῦ πρόρρησιν, καὶ τὴν ἀπὸ τῶν προφητῶν, καὶ τῆς τῶν πραγμάτων ἀποδείξεως μαρτυρίαν ὁρῶν σου καταψηφιζομένην; Ἀλλ' οὐδὲν θαυμαστόν. Τοιοῦτον γὰρ ὑμῶν τὸ ἔθνος ἄνωθεν ἀναίσχυντον καὶ φιλόνεικον καὶ τοῖς φανεροῖς ἀεὶ μάχεσθαι μεμελετηκὸς πράγμασι. Βούλει καὶ ἑτέρους ἐφοπλίσω σοι προφήτας φανερῶς αὐτὸ τοῦτο λέγοντας, ὅτι τὰ ὑμέτερα λήψεται τέλος, τὰ δὲ ἡμέτερα ἀνθήσει καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκταθήσεται τὸ κήρυγμα τοῦ Χριστοῦ καὶ θυσίας ἑτέρας εἰσενεχθήσεται τρόπος, ἐκείνων τῶν παρ' ὑμῖν καταλυθεισῶν; Ἄκουσον γοῦν τοῦ Μαλαχίου, τοῦ μετὰ τοὺς ἄλ-

ράνομες αὐτὲς ἐργασίες τους καὶ ἄρχισαν νὰ ἀνοίγουν τὰ θεμέλια καὶ εἶχαν ἀδειάσει πολὺ χῶμα καὶ ἐπρόκειτο ν' ἀρχίσουν νὰ κτίζουν τὸν ναό, ξεπηδώντας φωτιὰ ἀπὸ τὰ θεμέλια, κατέκαυσε ἀμέσως καὶ πολλοὺς ἀνθρώπους ἀλλὰ καὶ τὶς πέτρες τοῦ τόπου ἐκείνου, καὶ σταμάτησε ἀπὸ τὴν παράνομη αὐτὴ προσπάθεια ὄχι μόνο ἐκείνους ποὺ ἐπεχείρησαν τὸ ἔργο, ἀλλὰ καὶ Ἰουδαῖοι πολλοὶ βλέποντας αὐτὸ ἔμειναν κατάπληκτοι καὶ καταντροπιάσθηκαν. Ὅταν ὁ βασιλεύς Ἰουλιανὸς τὰ πληροφορήθηκε ὅλα αὐτά, ἂν καὶ εἶχε τόση μανία γιὰ τὸ ἔργο ἐκεῖνο, φοβούμενος μὴ τυχόν, προχωρώντας στὸ ἔργο, ἐπισύρη στὸ κεφάλι του τὴ φωτιὰ ἐκείνη, σταμάτησε τὴν προσπάθεια, ὑφιστάμενος τὴν ἧττα μὲ ὅλον τὸν λαό του. Καὶ τώρα ἂν ἐπισκεφθῆς τὰ Ἱεροσόλυμα, θὰ δῆς γυμνὰ τὰ θεμέλια. Καὶ ἂν ζητήσης νὰ μάθης τὴν αἰτία, δὲν θὰ ἀκούσης καμμιὰ ἄλλη, παρὰ αὐτήν. Καὶ αὐτοῦ τοῦ πράγματος μάρτυρες εἴμαστε ἐμεῖς ὅλοι· γιατὶ αὐτὸ δὲν συνέβηκε πρὶν ἀπὸ πολλὰ χρόνια, ἀλλὰ στὶς ἡμέρες μας. Καὶ σκέψου λαμπρότητα νίκης. Δὲν συνέβηκε σὲ χρόνια εὐσεβῶν βασιλέων, γιὰ νὰ μὴν ἰσχυρίζωνται μερικοί, ὅτι 'ἐπενέβηκαν οἱ Χριστιανοὶ καὶ ἐμπόδισαν ὅλα αὐτά', ἀλλὰ τότε, ὅταν κατεδιωκόταν ἡ πίστη μας, ὅταν ἡ ζωὴ ὅλων βρισκόταν σὲ κίνδυνο, κάθε ἀνθρώπινη ἐλευθερία εἶχεν ἀφαιρεθῆ, ἡ εἰδωλολατρία βροσκόταν σὲ ἄνθηση, κι ἀπὸ τοὺς πιστούς, ἄλλοι κρύβονταν μέσα στὰ σπίτια τους, καὶ ἄλλοι κατέφευγαν στὶς ἐρήμους καὶ ἀπέφευγαν τοὺς δημόσιους χώρους. Τότε ἀκριβῶς γίνονταν ὅλα αὐτά, ὥστε νὰ μὴν ὑπάρχη σ' αὐτοὺς καμμιὰ δικαιολογία ἀδιαντροπιᾶς.

12. Ἀμφισβητεῖς λοιπὸν ἀκόμη, Ἰουδαῖε, βλέποντας τὴν μαρτυρία σου νὰ καταδικάζεται καὶ ἀπὸ τὴν πρόρρηση τοῦ Χριστοῦ καὶ ἀπὸ τὶς προρρήσεις τῶν προφητῶν καὶ ἀπὸ τὴν ἀπόδειξη τῶν ἴδιων τῶν γεγονότων; Ὅμως δὲν εἶναι καθόλου παράξενο. Γιατὶ τὸ ἔθνος σας ἀπὸ τὰ παλιὰ χρόνια εἶναι ἀδιάντροπο καὶ ἐριστικὸ καὶ φροντίζει πάντοτε νὰ ἀντιμάχεται καὶ τὰ φανερὰ ἀκόμη γεγονότα. Θέλεις νὰ φέρω καὶ ἄλλους προφῆτες σὰν μάρτυρες ἐναντίον σου, ποὺ ὁλοφάνερα λένε τὸ ἴδιο πρᾶγμα, ὅτι δηλαδὴ ὅλα τὰ δικά σας θὰ λάβουν τέλος, ἐνῶ τὰ δικά μας θ' ἀνθήσουν καὶ ὅτι σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης θὰ ξαπλωθῆ τὸ κήρυγμα τοῦ Χριστοῦ, καὶ ὅτι θὰ εἰσαχθῆ τρόπος μιᾶς νέας θυσίας, ἀφοῦ καταργηθοῦν ἐκεῖνες οἱ δικές σας; Ἄκουσε λοιπὸν τὸν Μαλαχία, ποὺ ἦλθε μετὰ τοὺς ἄλλους προφη-

λους προφήτας ἐλθόντος· οὐδὲ γὰρ Ἡσαΐου παράγω μαρτυρίαν τέως, οὐδὲ Ἱερεμίου, οὐδὲ τῶν ἄλλων τῶν πρὸ τῆς αἰχμαλωσίας, ἵνα μὴ λέγῃς, ὅτι τὰ δεινὰ ταῦτα ἃ προέλεγον, ἐπὶ τῆς αἰχμαλωσίας ἐξέβη· ἀλλὰ παράγω προφήτην τὸν μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος καὶ τὴν τῆς πόλεως ἀποκατάστασιν, σαφῶς περὶ τῶν ὑμετέρων πραγμάτων προφητεύσαντα.

Ἐπειδὴ γὰρ ἐπανῆλθον καὶ τὴν πόλιν ἀπέλαβον καὶ τὸν ναὸν ἀνῳκοδόμησαν καὶ τὰς θυσίας ἐπετέλουν, τὴν μέλλουσαν ἐρήμωσιν ταύτην τὴν νῦν προλέγων καὶ τὴν τῶν θυσιῶν ἀναίρεσιν, οὕτω πώς φησιν ὁ Μαλαχίας ἐκ προσώπου τοῦ Θεοῦ· «εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπα ὑμῶν, λέγει Κύριος παντοκράτωρ· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τὸ ὄνομά του δεδόξασται ἐν τοῖς ἔθνεσι καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά. Ὑμεῖς δὲ βεβηλοῦτε αὐτό». Πότε ταῦτα ἐξέβη, ὦ Ἰουδαῖε; Πότε ἐν παντὶ τόπῳ θυμίαμα προσηνέχθη τῷ Θεῷ; Πότε θυσία καθαρά; Οὐκ ἂν ἔχοις ἕτερον εἰπεῖν καιρόν, ἀλλ' ἢ τοῦτον τὸν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν. Ὡς εἰ μὴ τοῦτον προλέγει τὸν καιρόν, μηδὲ τὴν θυσίαν τὴν ἡμετέραν, ἀλλὰ τὴν ἰουδαϊκήν, παράνομος ἔσται ἡ προφητεία. Εἰ γὰρ τοῦ Μωϋσέως κελεύοντος εἰς μηδένα ἕτερον τόπον ἀνάγειν θυσίαν, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός, καὶ εἰς ἓν χωρίον συγκλείοντος τὰς θυσίας ἐκείνας, ὁ προφήτης λέγει, ὅτι ἐν παντὶ τόπω θυμίαμα μέλλοι προσάγεσθαι καὶ θυσία καθαρά, ἐναντιοῦται καὶ μάχεται τῷ Μωϋσῇ. Ἀλλ' οὐκ ἔστι μάχη καὶ φιλονεικία. Περὶ γὰρ ἑτέρας ἐκεῖνος εἶπε καὶ περὶ ἑτέρας οὗτος προεφήτευσεν ὕστερον.

Πόθεν τοῦτο δῆλον; Ἀπό τε τῶν εἰρημένων, ἀπό τε ἑτέρων πλειόνων σημείων. Καὶ πρῶτον μὲν ἀπὸ τοῦ τόπου· οὐ γὰρ ἐν μιᾷ πόλει, καθάπερ ἐπὶ τῶν Ἰουδαίων, ἀλλ' «ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν», τὴν θεραπείαν ἐπιτελεῖσθαι ταύτην προεῖπεν. Εἶτα ἀπὸ τοῦ τρόπου τῆς θυσίας· τῷ γὰρ «καθαρὰν αὐτὴν» προειπεῖν, ἔδειξε ποίαν ἔλεγε. Καὶ ἀπὸ τῶν προσώπων δὲ τῶν προσαγόντων αὐτήν· οὐ γὰρ εἶπεν, 'ἐν τῷ Ἰσραήλ', ἀλλ' «ἐν τοῖς ἔθνεσι». Καὶ ἵνα

70. Μαλαχ. 1,11.

τες· γιατὶ δὲν παρουσιάζω τώρα τὴν μαρτυρία τοῦ Ἠσαΐα οὔτε τοῦ Ἰερεμία οὔτε τῶν ἄλλων προφητῶν, ποὺ ἔζησαν πρὶν ἀπὸ τὴν αἰχμαλωσία, γιὰ νὰ μὴ λές, ὅτι τὰ δεινὰ αὐτὰ ποὺ προέλεγαν, συνέβηκαν κατὰ τὴ διάρκεια τῆς αἰχμαλωσίας, ἀλλὰ παρουσιάζω προφήτη ποὺ ἔζησε μετὰ τὴν ἐπάνοδο ἀπὸ τὴν Βαβυλώνα καὶ τὴν ἀποκατάσταση τῆς πόλεως, ὁ ὁποῖος προφήτευσε ὁλοκάθαρα γιὰ τὰ δικά σας πράγματα.

Ἀφοῦ λοιπὸν ἐπέστρεψαν καὶ ἐπανέκτησαν τὴν πόλη καὶ ἀνοικοδόμησαν τὸν ναὸ καὶ ἔκαμναν τὶς θυσίες, προλέγοντας τὴν μελλοντικὴ αὐτὴ ἐρήμωση καὶ τὴν κατάργηση τῶν θυσιῶν, λέγει τὰ ἑξῆς ὁ προφήτης Μαλαχίας μιλώντας ὡς ἐκπρόσωπος τοῦ Θεοῦ· «εἶναι δυνατὸ νὰ μεροληπτήσω πρὸς χάρη σας; λέγει ὁ Κύριος ὁ Παντοκράτωρ· γιατὶ ἀπὸ ἐκεῖ ποὺ ἀνατέλλει ὁ ἥλιος καὶ μέχρι ἐκεῖ ποὺ δύει τὸ ὄνομά μου θὰ δοξάζεται μεταξὺ τῶν ἐθνῶν καὶ σὲ κάθε τόπο θὰ προσφέρεται θυμίαμα στὸ ὄνομά μου καὶ θυσία καθαρή· σεῖς ὅμως βεβηλώνετε αὐτό»[70]. Πότε, Ἰουδαῖε, συνέβηκαν αὐτά; Πότε σὲ κάθε τόπο προσφέρθηκε θυμίαμα στὸ Θεό; πότε θυσία καθαρή; Δὲν μπορεῖς νὰ ὑποδείξης ἄλλη ἐποχή, παρὰ αὐτήν, τὴν μετὰ τὸν ἐρχομὸ τοῦ Χριστοῦ. Γιατί, ἂν δὲν προφητεύη γι' αὐτὴν τὴν ἐποχὴ οὔτε καὶ γιὰ τὴ θυσία τὴ δική μας, ἀλλὰ γιὰ τὴν ἰουδαϊκή, ἡ προφητεία θὰ εἶναι ἄκυρη. Γιατί, ἂν ὁ Μωϋσῆς διατάσση νὰ μὴ τελῆται θυσία σὲ κανένα ἄλλο τόπο, παρὰ στὸν τόπο μόνο ἐκεῖνον ποὺ θὰ ἐκλέξη Κύριος ὁ Θεός, καὶ περιορίζη τὶς θυσίες ἐκεῖνες σὲ ἕνα μέρος, καὶ ὁ προφήτης λέγει, ὅτι σὲ κάθε μέρος πρόκειται νὰ προσφερθῆ θυμίαμα καὶ θυσία καθαρή, τότε ἐναντιώνεται καὶ ἀντιμάχεται πρὸς τὸν Μωϋσῆ. Ἀλλὰ δὲν ὑπάρχει διαμάχη καὶ φιλονεικία. Γιατὶ ἐκεῖνος μίλησε γιὰ ἄλλη θυσία, καὶ αὐτὸς προφήτευσε ἀργότερα ἄλλη.

Ἀπὸ ποῦ γίνεται αὐτὸ φανερό; Καὶ ἀπὸ ὅσα μέχρι τώρα ἔχουν λεχθῆ, καὶ ἀπὸ ἄλλα περισσότερα σημεῖα. Καὶ πρῶτα ἀπὸ τὸν τόπο· γιατὶ δὲν προφήτευσε, ὅτι ἡ παροῦσα θυσία θὰ τελῆται σὲ μιὰ πόλη, ὅπως γίνεται μὲ τοὺς Ἰουδαίους, ἀλλὰ «ἀπὸ τὰ μέρη ποὺ ἀνατέλλει ὁ ἥλιος μέχρι ἐκεῖ ποὺ δύει». Ἔπειτα ἀπὸ τὸν τρόπο τῆς θυσίας· γιατὶ μὲ τὸ νὰ πῆ ὅτι θὰ εἶναι «καθαρή», φανέρωσε ποιά ἐννοοῦσε. Ἀλλὰ καὶ ἀπὸ τὰ πρόσωπα ποὺ τὴν προσφέρουν· γιατὶ δὲν εἶπε «μεταξὺ τῶν Ἰσραηλιτῶν», ἀλλά, «μεταξὺ τῶν ἐθνῶν». Καὶ γιὰ νὰ μὴ

μὴ νομίσῃς, ὅτι ἐν μιᾷ καὶ δυσὶ καὶ τρισὶ πόλεσι τὰ τῆς λατρείας περιστήσεται ταύτης, οὐχ ἁπλῶς εἶπεν 'ἐν παντὶ τόπῳ', ἀλλ' «ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν», δεικνὺς ὅτι ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν, τοσαύτην καὶ τὸ κήρυγμα καταλήψεται. «Καθαρὰν» δὲ λέγει «θυσίαν», ὡς τῆς προτέρας ἀκαθάρτου οὔσης, οὐ διὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ διὰ τὴν προαίρεσιν τῶν προσαγόντων. Διὰ τοῦτο ἔλεγε· «θυμίαμα βδέλυγμά μοι ἐστίν». Ἄλλως δέ, καὶ αὐτὴν τὴν θυσίαν εἴ τις παραβάλοι, πολὺ τὸ μέσον εὑρήσει καὶ ἄπειρον καὶ τοσοῦτον, ὡς ταύτην κυρίως μόνην κατὰ τὸν τῆς συγκρίσεως λόγον λέγεσθαι καθαράν. Καὶ ὅπερ ἐπὶ τοῦ νόμου καὶ τῆς χάριτος ἔλεγεν ὁ Παῦλος, ὅτι «οὐ δεδόξασται τὸ δεδοξασμένον, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης», τοῦτο καὶ ἐνταῦθα θαρροῦντες ἂν εἴποιμεν, ὅτι συγκρινομένη πρὸς ἐκείνην αὕτη ἡ θυσία, κυρίως ἂν λεχθείη μόνη καθαρά. Οὐ γὰρ διὰ καπνοῦ καὶ κνίσσης, οὐδὲ δι' αἱμάτων καὶ λύτρων, ἀλλὰ διὰ τῆς τοῦ Πνεύματος προσάγεται χάριτος.

Ἄκουσον δὴ καὶ ἑτέρου προφήτου τὸ αὐτὸ τοῦτο προαναφωνοῦντος καὶ λέγοντος, ὅτι οὐκ ἐν ἑνὶ τόπῳ στήσεται τὰ τῆς τοῦ Θεοῦ θεραπείας, ἀλλὰ πάντες αὐτὸν εἴσονται λοιπὸν ἄνθρωποι. Ὁ οὖν Σοφονίας οὕτω πώς φησιν· «ἐπιφανήσεται Κύριος ἐπὶ πάντα τὰ ἔθνη καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἀπὸ τοῦ τόπου αὐτοῦ». Καίτοι γε οὐκ ἐφεῖτο τοῦτο, ἀλλ' εἰς ἕνα τόπον λατρεύειν ἐκέλευσεν ὁ Μωϋσῆς. Ὅταν οὖν ἀκούσῃς τῶν προφητῶν προλεγόντων καὶ προαναφωνούντων, ὅτι οὐκ ἔτι εἰς μίαν πόλιν, οὐδὲ εἰς ἕνα τόπον ἀναγκασθήσονται συνάγεσθαι πάντοθεν οἱ ἄνθρωποι, ἀλλ' οἴκοι καθήμενος ἕκαστος θεραπεύσει τὸ θεῖον, τίνα ἂν ἔχοις εἰπεῖν ἕτερον καιρόν, ἀλλ' ἢ τὸν παρόντα τοῦτον; Ἄκουε γοῦν πῶς καὶ τὰ Εὐαγγέλια καὶ ὁ ἀπόστολος τῷ προφήτῃ τούτῳ συνᾴδουσιν. Ὁ γοῦν προφήτης εἶπεν, «ἐπιφανήσεται Κύριος»· ὁ ἀπόστολος φησίν, «ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς». Οὗτος εἶπεν «ἐπὶ τὰ ἔθνη», ἐκεῖνός φησιν «ἐπὶ πᾶσιν ἀνθρώποις»· οὗτος εἶπεν «ἐξολοθρεύσει τοὺς θεοὺς αὐτῶν», ἐκεῖνος εἶπεν

71. Ἡσ. 1,13.
72. Β' Κορ. 3,10.
73. Σοφ. 2,11.
74. Τίτ. 2,11-12.

νομίσης, ὅτι ἡ λατρεία αὐτὴ θὰ περιορισθῆ σὲ μιὰ ἢ δυὸ ἢ τρεῖς πόλεις, δὲν εἶπε ἁπλῶς, «σὲ κάθε τόπο», ἀλλὰ «ἀπὸ τὰ μέρη ποὺ ἀνατέλλει ὁ ἥλιος μέχρι ἐκεῖ ποὺ δύει», δηλώνοντας ὅτι, ὅση γῆ βλέπει ὁ ἥλιος, τόση θὰ καταλάβη καὶ τὸ κήρυγμα. Λέει «καθαρὴ θυσία», γιατὶ ἡ παλιὰ ἦταν ἀκάθαρτη, ὄχι ἀπὸ τὴν φύση της, ἀλλ' ἐξ αἰτίας τῆς προαιρέσεως ἐκείνων ποὺ τὴν πρόσφερναν. Γι' αὐτὸ ἔλεγε· «τὸ θυμίαμα τὸ σιχαίνομαι»[71]. Ἄλλωστε, ἂν κάποιος θελήση νὰ συγκρίνη καὶ αὐτὴ τὴ θυσία, θὰ βρῆ νὰ εἶναι μεγάλη καὶ ἄπειρη ἡ διαφορά, καὶ τόση, ὥστε αὐτὴ κυρίως νὰ λέγεται, σύμφωνα μὲ τὴ σύγκριση, καθαρὴ θυσία. Καὶ ἐκεῖνο ποὺ ἔλεγε ὁ Παῦλος γιὰ τὸν νόμο καὶ τὴ χάρη, ὅτι «δὲν μπορεῖ νὰ συγκριθῆ ἡ λαμπρότητα ἐκείνου μὲ τὴ λαμπρότητα αὐτὴ ἐξ αἰτίας τῆς ὑπερβολικῆς λαμπρότητας αὐτῆς»[72], τὸ ἴδιο θὰ μπορούσαμε νὰ ποῦμε καὶ ἐδῶ μὲ θάρρος, ὅτι δηλαδὴ ἡ θυσία αὐτή, συγκρινομένη μὲ ἐκείνη, αὐτὴ κυρίως θὰ μποροῦσε νὰ ὀνομασθῆ καθαρή. Γιατὶ αὐτὴ δὲν προσφέρεται μὲ καπνὸ καὶ κνίσσα, οὔτε μὲ αἵματα καὶ λύτρα, ἀλλὰ μὲ τὴ χάρη τοῦ ἁγίου Πνεύματος.

Ἀλλὰ ἄκουσε καὶ κάποιον ἄλλον προφήτη, ποὺ προλέγει τὸ ἴδιο πρᾶγμα καὶ λέγει, ὅτι δὲν θὰ περιορισθῆ ἡ λατρεία τοῦ Θεοῦ σὲ ἕναν τόπο, ἀλλ' ὅλοι οἱ ἄνθρωποι θὰ τὸν γνωρίσουν. Ὁ προφήτης λοιπὸν Σοφονίας λέγει τὰ ἑξῆς· «θὰ ἐμφανισθῆ ὁ Κύριος σ' ὅλα τὰ ἔθνη καὶ θὰ ἐξολοθρεύση ὅλους τοὺς θεοὺς τῶν ἐθνῶν καὶ θὰ τὸν προσκυνήση ὁ καθένας στὸν τόπο ποὺ βρίσκεται»[73]. Ἂν καὶ βέβαια αὐτὸ δὲν ἐπιτρεπόταν στοὺς Ἰουδαίους, ἀφοῦ ὁ Μωϋσῆς εἶχε διατάξει νὰ γίνεται αὐτὸ σὲ ἕναν τόπο. Ὅταν λοιπὸν ἀκούσης τοὺς προφῆτες νὰ προλέγουν καὶ νὰ προκαταγγέλλουν, ὅτι δὲν θὰ ἀναγκάζωνται πιὰ οἱ ἄνθρωποι νὰ μαζεύωνται ἀπὸ παντοῦ σὲ μιὰ πόλη ἢ σὲ ἕναν τόπο, ἀλλ' ὁ καθένας θὰ μπορῆ νὰ λατρεύση τὸν Θεὸ στὸ σπίτι του μέσα, ποῖον ἄλλο καιρὸ θὰ μποροῦσες νὰ πῆς, παρὰ αὐτὸν τὸν παρόντα; Ἄκουε λοιπὸν πῶς καὶ τὰ εὐαγγέλια καὶ ὁ Ἀπόστολος συμφωνοῦν μὲ αὐτὸν τὸν προφήτη. Ὁ προφήτης δηλαδὴ εἶπε, «θὰ ἐμφανισθῆ ὁ Κύριος σ' ὅλα τὰ ἔθνη καὶ θὰ ἐξολοθρεύση ὅλους τοὺς θεοὺς τῶν ἐθνῶν», ἐνῶ ὁ ἀπόστολος λέγει· «παρουσιάσθηκε ἡ χάρη τοῦ Θεοῦ ἡ σωτήρια σ' ὅλους τοὺς ἀνθρώπους, διδάσκοντάς μας»[74]. Ἐκεῖνος εἶπε «σ' ὅλα τὰ ἔθνη», αὐτὸς «σὲ ὅλους τοὺς ἀνθρώπους». Ἐκεῖνος εἶπε «θὰ ἐξολοθρεύση τοὺς θεοὺς αὐτῶν», ἐνῶ

«παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως ζήσωμεν». Πάλιν ὁ Χριστὸς τῇ Σαμαρείτιδί φησι, «πίστευόν μοι, γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ τόπῳ τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. Πνεῦμα ὁ Θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν». Ταῦτα δὲ ἔλεγε, τήν τε ἀνάγκην ἡμῶν λύων λοιπὸν τὴν ἐκ τῆς τοῦ τόπου παρατηρήσεως καὶ τὸ τῆς λατρείας ὑψηλὸν καὶ πνευματικώτερον εἰσάγων.

Ἐνῆν μὲν οὖν μετα τούτων δεῖξαι πάλιν, ὅτι οὔτε θυσία, οὔτε ἱερωσύνη, οὔτε βασιλεὺς παρὰ Ἰουδαίοις ἔσται λοιπόν. Μάλιστα μὲν γὰρ διὰ τῆς κατὰ τὴν πόλιν κατασκαφῆς ἅπαντα ταῦτα συναποδέδεικται. Πλὴν ἀλλ' ἐνῆν καὶ προφήτας παραγαγεῖν ρητῶς αὐτὸ τοῦτο λέγοντας· ἀλλ' ὁρῶ κακμηκότας ὑμᾶς τῷ μήκει τῶν εἰρημένων, καὶ δέδοικα μὴ μάτην καὶ εἰκῇ δόξω διενοχλεῖν. Διόπερ αὐτὸ εἰς ἕτερον ὕστερον ὑμῖν ὑποσχόμενος καιρὸν ἐρεῖν, ἐκεῖνο τέως δέομαι ὑμῶν, τοὺς ἀδελφοὺς διασῶσαι τοὺς ὑμετέρους, ἀπαλλάξαι τῆς πλάνης, ἐπαναγαγεῖν ἐπὶ τὴν ἀλήθειαν. Οὐδὲν γὰρ ὄφελος ἀκροάσεως, ὅταν ἡ διὰ τῶν ἔργων ἐπίδειξις μὴ συμβαίνῃ τοῖς λεγομένοις. Καὶ γὰρ τὰ εἰρημένα, οὐ δι' ἡμᾶς εἴρηται, ἀλλὰ δι' ἐκείνους τοὺς ἀσθενοῦντας, ἵνα παρ' ὑμῶν ἐκεῖνοι μανθάνοντες ταῦτα καὶ τῆς πονηρᾶς ἀπαλλαγέντες συνηθείας, εἰλικρινῆ καὶ γνήσιον τὸν Χριστιανισμὸν ἐπιδείξωνται καὶ τὰς πονηρὰς φεύξωνται τῶν Ἰουδαίων διαγωγὰς καὶ συναγωγάς, τάς τε ἐν τῇ πόλει, τάς τε ἐν τῷ προαστείῳ, τὰ σπήλαια τῶν λῃστῶν, τὰ τῶν δαιμόνων καταγώγια.

Μὴ τοίνυν προδῶτε τὴν σωτηρίαν ἐκείνων, ἀλλὰ περιεργασάμενοι καὶ πολυπραγμονήσαντες τοὺς νοσοῦντας ἐπαναγάγετε τῷ Χριστῷ, ἵνα καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὴν μέλλουσαν ζωήν, τὴν πολλῷ τῶν κατορθωμάτων μείζονα ἀντίδοσιν ἀπολάβωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

75. Τίτ. 2,12.
76. Ἰω. 4,21.

αὐτός, «διδάσκοντάς μας, ἀφοῦ ἀρνηθοῦμε τὴν ἀσέβεια καὶ τὶς κοσμικὲς ἐπιθυμίες, νὰ ζήσουμε μὲ σωφροσύνη καὶ δικαιοσύνη»[75]. Ὁ Χριστὸς πάλι στὴ Σαμαρείτιδα λέγει «πίστεψέ με, γυναῖκα, ὅτι ἔρχεται καιρός, ποὺ οὔτε στὸ ὄρος αὐτό, οὔτε στὰ Ἱεροσόλυμα θὰ προσκυνήσετε τὸν Πατέρα. Ὁ Θεὸς εἶναι Πνεῦμα καὶ ἐκεῖνοι ποὺ τὸν προσκυνοῦν πρέπει νὰ τὸν προσκυνοῦν πνευματικὰ καὶ ἀληθινά»[76]. Καὶ αὐτὰ τὰ ἔλεγε, καὶ ἐλευθερώνοντάς μας πλέον ἀπὸ τὴν ἀνάγκη νὰ τηροῦμε τὸν τόπο, καὶ διδάσκοντας τὸ ὑψηλὸ καὶ πνευματικώτερο νόημα τῆς λατρείας.

Θὰ ἦταν δυνατὸ βέβαια μαζὶ μὲ αὐτὰ νὰ δείξουμε, ὅτι οὔτε θυσία οὔτε ἱερωσύνη οὔτε βασιλεία θὰ ὑπάρξη πλέον στοὺς Ἰουδαίους. Κι ὅλα αὐτὰ ἔχουν ἀποδειχθῆ κατ' ἐξοχὴ μὲ τὴν καταστροφὴ τῆς πόλεως. Πλὴν ὅμως θὰ μπορούσαμε νὰ παρουσιάσουμε καὶ προφῆτες, ποὺ ρητῶς λένε αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα. Ἀλλὰ σᾶς βλέπω νὰ ἔχετε κουρασθῆ ἀπὸ τὸ μῆκος τῆς ὁμιλίας καὶ φοβοῦμαι μήπως φανῶ ἄσκοπα καὶ ἀνώφελα νὰ σᾶς καταπονῶ. Γι' αὐτό, δίνοντάς σας τὴν ὑπόσχεση, ὅτι σὲ μιὰ ἄλλη εὐκαρία θὰ σᾶς μιλήσω γι' αὐτό, ἐκεῖνο τώρα σᾶς παρακαλῶ, νὰ διασώσετε τοὺς ἀδελφούς σας, νὰ τοὺς ἀπαλλάξετε ἀπὸ τὴν πλάνη καὶ νὰ τοὺς ὁδηγήσετε καὶ πάλι στὴν ἀλήθεια. Γιατὶ σὲ τίποτε δὲν ὠφελεῖ ἡ ἀκρόαση, ὅταν ἡ ἀπόδειξη μὲ τὰ ἔργα δὲν συμβαδίζη μὲ τὰ λεγόμενα. Γιατὶ τὰ ὅσα ἔχουν λεχθῆ δὲν λέχθηκαν γιὰ σᾶς, ἀλλὰ γιὰ ἐκείνους ποὺ ἀσθενοῦν, ὥστε, ἀφοῦ τὰ μάθουν ἀπὸ σᾶς ὅλα αὐτὰ καὶ ἀπαλλαγοῦν ἀπὸ τὴν κακὴ συνήθεια, νὰ ἐπιδείξουν εἰλικρινῆ καὶ γνήσιο Χριστιανισμὸ καὶ νὰ ἀποφύγουν τὴν κακὴ διαγωγὴ καὶ τὶς πονηρὲς συναγωγὲς τῶν Ἰουδαίων, καὶ αὐτὲς ποὺ εἶναι στὴν πόλη καὶ αὐτὲς ποὺ βρίσκονται στὰ προάστεια, τὰ σπήλαια τῶν ληστῶν καὶ τὰ καταγώγια τῶν δαιμόνων. Μὴ προδώσετε λοιπὸν τὴ σωτηρία ἐκείνων, ἀλλά, ἀφοῦ δείξετε κάθε φροντίδα καὶ ἀναζητήσετε ἐπίμονα τοὺς ἀσθενεῖς κατὰ τὴν πίστη, νὰ τοὺς ὁδηγήσετε στὸν Χριστό, ὥστε καὶ κατὰ τὴν παροῦσα ζωή, ἀλλὰ καὶ στὴ μέλλουσα, νὰ ἀπολαύσουμε τὴν ἀνταπόδοση, τὴν πολὺ πιὸ μεγαλύτερη ἀπὸ τὰ κατορθώματά μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, καὶ συγχρόνως καὶ στὸ ἅγιο καὶ ζωοποιὸ Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΕΚΤΟΣ

ΤΗι ΠΡΟΤΕΡΑΙΑι ΜΑΚΡΑΝ ΟΜΙΛΙΑΝ ΕΙΠΩΝ ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ καὶ βράγχῳ κατασχεθεὶς ἀπὸ τοῦ μήκους τῶν εἰρημένων, ταύτην εἶπεν

1. *Τὰ θηρία ἕως μὲν τὰς ὕλας νέμωνται καὶ τῆς πρὸς ἀνθρώπους μάχης ἀμελέτητα ὄντα τυγχάνῃ, ἡμερώτερά πώς ἐστι καὶ πρᾳότερα· ἐπειδὰν δὲ αὐτὰ λαβόντες οἱ κυνηγέται εἰς τὰς πόλεις ἀγάγωσι καὶ κατακλείσαντες πρὸς τὸν τῶν θηριομάχων ἀγάγωσι πόλεμον, εἶτα ἐπιπηδήσαντα σαρκὸς ἀπογεύσῃ τε καὶ αἷμα ἀνθρώπινον πίῃ, οὐκ ἂν ῥᾳδίως ταύτης ἀποσταίη λοιπὸν τῆς θοίνης, ἀλλὰ μετὰ πολλῆς ἐπὶ ταύτην τρέχει τὴν τράπεζαν τῆς ἐπιθυμίας. Τοῦτο δὴ καὶ ἡμεῖς πεπόνθαμεν. Ἐπειδὴ γὰρ τῆς πρὸς Ἰουδαίους ἡψάμεθα μάχης καί, ἐπιπηδήσαντες αὐτῶν ταῖς ἀναισχύντοις ἀντιρρήσεσι, τοὺς λογισμοὺς αὐτῶν καθείλομεν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ καὶ τὰ νοήματα ἐξῃχμαλωτίσαμεν «εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ», ἐπιθυμίαν πλείονά πως ἐσχήκαμεν τῶν πρὸς ἐκείνους πολέμων. Ἀλλὰ τί πάθω; Ὁρᾶτέ μοι τὴν φωνὴν ἀσθενεστέραν γενομένην καὶ πρὸς τοσοῦτον πάλιν μῆκος ἀρκεῖν οὐ δυναμένην, καὶ ταὐτό μοι δοκῶ πάσχειν νῦν, οἷον ἂν εἴ τις στρατιώτης κατακόψας τινὰς τῶν ἀντιπάλων καὶ μετὰ πολλοῦ θυμοῦ τῇ φάλαγγι τῶν ἐχθρῶν ἐμπεσὼν καὶ πολλὰ σώματα κατενεγκών, εἶτα διακλάσας τὸ ξίφος, μετὰ ἀθυμίας πρὸς τοὺς ἑαυτοῦ πάλιν ἐπαναστρέφοι. Μᾶλλον δὲ τὸ ἡμέτερον χαλεπώτερον πάθος. Στρατιώτῃ μὲν γὰρ διακλάσαντι τὸ ξίφος ἔξεστι παρ' ἑτέρου τινὸς*

1. Β' Κορ. 10,5.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΕΚΤΟΣ

ΕΠΕΙΔΗ ΤΗΝ ΠΡΟΗΓΟΥΜΕΝΗ ΗΜΕΡΑ ΕΞΕΦΩΝΗΣΕ ΜΑΚΡΑ ὁμιλία κατὰ τῶν Ἰουδαίων κατελήφθη ἀπὸ βραχνάδα λόγω τοῦ μήκους τῶν λεχθέντων· σήμερα ἐξεφώνησε τὴν ὁμιλία αὐτὴ

1. Τὰ θηρία ὅσο ζοῦν καὶ τρέφονται στὰ δάση καὶ δὲν ἐπιτίθενται κατὰ τῶν ἀνθρώπων, εἶναι κάπως ἡμερώτερα καὶ πραότερα, ὅταν ὅμως τὰ συλλάβουν οἱ κυνηγοὶ καὶ τὰ ὁδηγήσουν στὶς πόλεις καί, ἀφοῦ τὰ κλείσουν σὲ κλωβιά, τὰ ἐρεθίσουν γιὰ πόλεμο μὲ τοὺς θηριομάχους, ἂν ἔπειτα ὁρμήσουν ἐπάνω τους καὶ φάγουν σάρκα ἀνθρώπινη καὶ πιοῦν αἷμα ἀνθρώπινο, δὲν ἀπομακρύνονται πιὰ εὔκολα ἀπὸ αὐτὴ τὴν εὐωχία, ἀλλὰ μὲ μεγάλη ἐπιθυμία τρέχουν πρὸς τὴν τράπεζα αὐτή. Αὐτὸ λοιπὸν πάθαμε κι ἐμεῖς. Ἐπειδὴ δηλαδὴ ἀρχίσαμε τὸν ἀγῶνα κατὰ τῶν Ἰουδαίων καί, ἀφοῦ ἐπιτεθήκαμε μὲ σφοδρότητα ἐναντίον τῶν ἀδιάντροπων ἀντιρρήσεών τους, καταρρίψαμε τοὺς συλλογισμούς τους καὶ κάθε ὑψηλοφροσύνη τους, ποὺ στρεφόταν ἐναντίον τῆς ἀληθοῦς γνώσεως τοῦ Θεοῦ, καὶ κάθε ἐπινόησή τους τὴν αἰχμαλωτίσαμε καὶ τὴν ὑποτάξαμε «στὴν ὑπακοὴ τοῦ Χριστοῦ»[1], κυριευθήκαμε ἀπὸ μιὰ κάπως μεγαλύτερη ἐπιθυμία τῶν ἐναντίον τους πολέμων. Ἀλλὰ τί νὰ κάμω; Βλέπετε ἡ φωνή μου ἔχει ἐξασθενήσει καὶ δὲν μπορεῖ νὰ ἐπαρκέση γιὰ ἕνα τόσο μεγάλο καὶ μακρὸ ἀγῶνα, καὶ μοῦ φαίνεται ὅτι ἔπαθα καὶ ἐγὼ τώρα ἐκεῖνο ποὺ παθαίνει ἕνας στρατιώτης, πού, ἀφοῦ κατέσφαξε μερικοὺς ἐχθρούς του καὶ ὥρμησε μὲ μεγαλύτερο θυμὸ ἐναντίον τῆς ἐχθρικῆς φάλαγγας καὶ φόνευσε πολλούς, στὴ συνέχεια, ἐπειδὴ τὸ ξίφος του ἔσπασε, μὲ λύπη ἐπέστρεψε κοντὰ στοὺς συντρόφους του. Μᾶλλον ὅμως τὸ πάθος μου εἶναι φοβερώτερο. Γιατὶ στὸν στρατιώτη ποὺ ἔσπασε τὸ ξίφος του εἶναι δυνατὸ ν' ἁρπάξη ἄλλο ἀπὸ κάποιον ἄλλο στρατιώτη ποὺ εἶναι δίπλα του καὶ νὰ ἱκανοποιήση τὸν

τῶν ἑστώτων ἁρπάσαι καὶ τῷ θυμῷ χρήσασθαι καὶ τὴν προθυμίαν ἐπιδείξασθαι τὴν πολλήν· φωνῆς δὲ καμούσης, παρ' ἑτέρου φωνὴν λαβεῖν οὐκ ἔνι.

Τί οὖν; ὑποστρέψομεν καὶ ἡμεῖς; Ἀλλ' οὐκ ἐπιτρέπει τῆς ὑμετέρας ἀγάπης ἡ τυραννίς. Αἰδοῦμαι καὶ τοῦ πατρὸς τὴν παρουσίαν, αἰδοῦμαι καὶ τὴν ὑμετέραν προθυμίαν. Διὸ δὴ καὶ τοῖς ὑπὲρ δύναμιν ἐπιχειρῆσαι πειράσομαι, ταῖς εὐχαῖς τούτου καὶ τῇ ὑμετέρᾳ τὸ πᾶν ἐπιρρίψας ἀγάπῃ. Μηδεὶς δὲ ὑμῶν ἀκαιρίαν καταγινωσκέτω τοῦ λόγου, εἰ, τῶν μαρτύρων ἡμᾶς καλεσάντων τήμερον, ἡμεῖς τὴν διήγησιν τῶν ἐκείνων ἄθλων ἀφέντες, πρὸς Ἰουδαίους ἀποδυόμεθα· καὶ γὰρ ἐκείνοις ποθεινότερος οὗτος ὁ λόγος. Ἀπὸ γὰρ τῶν ἡμετέρων ἐγκωμίων οὐδὲν ἂν αὐτοὶ λαμπρότεροι γένοιντο. Τί γὰρ ἂν δέοιντο τῆς ἡμετέρας γλώττης, ὧν καὶ τὰ παλαίσματα ὑπὲρ τὴν θνητὴν φύσιν ἐστὶ καὶ τὰ ἔπαθλα ὑπὲρ δύναμιν καὶ διάνοιαν; Κατεγέλασαν τῆς παρούσης ζωῆς, κατεπάτησαν βασανιστήρια καὶ κολάσεις, ὑπερεῖδον θανάτου, πρὸς τὸν οὐρανὸν ἐπτερώθησαν, ἀπηλλάγησαν τῆς ζάλης τῶν βιωτικῶν πραγμάτων, εἰς τὸν εὔδιον κατέπλευσαν λιμένα, οὐ χρυσὸν καὶ ἄργυρον καὶ ἱμάτια πολυτελῆ, ἀλλὰ θησαυροὺς ἀσύλους ἐκφερόμενοι, ὑπομονήν, ἀνδρείαν καὶ ἀγάπην. Εἰς τὸν Παύλου τελοῦσι χορὸν νῦν, πρὸ τῶν στεφάνων αὐτῶν πτερούμενοι τῇ προσδοκίᾳ τῶν στεφάνων καὶ τὸ τοῦ μέλλοντος ἄδηλον λοιπὸν διαφυγόντες. Τί οὖν ἂν δέοιντο τῶν ἡμετέρων οὗτοι λόγων; Διὰ τοῦτο αὕτη ποθεινοτέρα αὐτοῖς ἡ ὑπόθεσις. Ἀπὸ μὲν γὰρ τῶν ἡμετέρων ἐγκωμίων, ὅπερ ἔφθην εἰπών, οὐδὲν αὐτοῖς εἰς τὴν οἰκείαν δόξαν ἔσται πλέον· ἀπὸ δὲ τῶν κατὰ Ἰουδαίων ἀγώνων πολλὴ γένοιτ' ἂν αὐτοῖς ἡδονὴ καὶ σφόδρα ἂν τούτων μάλιστα ἐπακούσαιεν τῶν λόγων, τῶν ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ λεγομένων. Ἰουδαίους γὰρ μάλιστα μισοῦσιν οἱ μάρτυρες, ἐπειδὴ τὸν ὑπ' ἐκείνων σταυρωθέντα σφόδρα ἐφίλησαν. Οὗτοι μὲν γὰρ ἔλεγον, «τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν», ἐκεῖνοι δὲ καὶ τὸ αἷμα τὸ ἑαυτῶν ἐξέχεαν διὰ τὸν ὑπ' ἐκείνων ἀναιρεθέντα. Ὥστε ἡδέως ἂν τούτων ἐπακούσαιεν τῶν λόγων.

2. Ματθ. 27,25.

θυμό του καὶ νὰ ἐπιδείξη τὴ μεγάλη προθυμία του, ὅταν ὅμως ἡ φωνὴ ὑποστῆ βλάβη, δὲν εἶναι δυνατὸ νὰ λάβη κανεὶς φωνὴ ἀπὸ ἄλλον.

Τί λοιπόν; Νὰ ὑποχωρήσω καὶ ἐγώ; Ἀλλ' ὅμως δὲν μοῦ τὸ ἐπιτρέπει τὸ πάθος τῆς ἀγάπης σας. Σέβομαι καὶ τὴν παρουσία τοῦ πατρός, σέβομαι καὶ τὴ δική σας προθυμία. Γι' αὐτὸ λοιπὸν καὶ θὰ ἐπιχειρήσω νὰ κάμω αὐτὸ ποὺ ὑπερβαίνει τὴ δύναμή μου, ἀναθέτοντας τὸ πᾶν στὶς εὐχὲς αὐτοῦ καὶ στὴν ἀγάπη σας. Καὶ κανεὶς ἀπὸ σᾶς ἂς μὴ θεωρήση τὴν ὁμιλία μου ἀκατάλληλη, ἄν, ἐνῶ οἱ μάρτυρες μᾶς κάλεσαν σήμερα ἐδῶ, ἐμεῖς, ἀφήνοντας τὴ διήγηση τῶν κατορθωμάτων ἐκείνων, στρέφουμε τὸν ἀγῶνα μας ἐναντίον τῶν Ἰουδαίων· καθ' ὅσον καὶ σ' αὐτοὺς εἶναι πιὸ ποθητὸς ὁ λόγος αὐτός. Γιατὶ ἀπὸ τὰ δικά μας ἐγκώμια δὲν θὰ ἦταν δυνατὸ νὰ γίνουν λαμπρότεροι. Τί ἀνάγκη δηλαδὴ θὰ εἶχαν ἀπὸ τὴ γλῶσσα μας αὐτοὶ τῶν ὁποίων οἱ ἀγῶνες ξεπερνοῦν τὴν ἀνθρώπινη φύση καὶ τὰ ἔπαθλά τους εἶναι πάνω ἀπὸ κάθε δύναμη καὶ σκέψη; Περιφρόνησαν τὴ ζωὴ αὐτή, κατεπάτησαν βασανιστήρια καὶ κολασμούς, περιφρόνησαν τὸν θάνατο, πέταξαν σὰν μὲ φτερὰ πρὸς τὸν οὐρανό, ἀπαλλάχθηκαν ἀπὸ τὴ ζάλη τῶν κοσμικῶν πραγμάτων, κατέπλευσαν στὸ γαλήνιο λιμάνι, φέροντας μαζί τους ὄχι χρυσὸ καὶ ἄργυρο καὶ ἐνδύματα πολυτελῆ, ἀλλὰ θησαυροὺς ἀσύλητους, ὑπομονή, ἀνδρεία καὶ ἀγάπη. Καὶ βρίσκονται τώρα στὸ χορὸ τοῦ Παύλου, μπροστὰ στὰ στεφάνια τους, ἀναπτερούμενοι ἀπὸ τὴν προσδοκία νὰ λάβουν τὰ στεφάνια καὶ ν' ἀπαλλαγοῦν πλέον ἀπὸ τὴν ἀβεβαιότητα τοῦ μέλλοντος. Πρὸς τί λοιπὸν αὐτοὶ θὰ εἶχαν τὴν ἀνάγκη τῶν λόγων μας; Γι' αὐτὸ καὶ ἡ ὑπόθεση αὐτὴ εἶναι πιὸ ποθητὴ σ' αὐτούς. Γιατὶ μὲ τὰ ἐγκώμιά μας, ὅπως προανέφερα, δὲν εἶναι δυνατὸ νὰ προστεθῆ τίποτε περισσότερο στὴ δόξα τους, ἀπὸ τοὺς ἀγῶνες μας ὅμως ἐναντίον τῶν Ἰουδαίων θὰ μποροῦσε νὰ συμβῆ μεγάλη εὐχαρίστηση σ' αὐτούς, καὶ θὰ ἤθελαν πάρα πολὺ αὐτοὺς πρὸ πάντων τοὺς λόγους ν' ἀκούσουν, ποὺ λέγονται γιὰ τὴ δόξα τοῦ Θεοῦ. Γιατὶ οἱ μάρτυρες μισοῦν πρὸ πάντων τοὺς Ἰουδαίους, γιατὶ ἀγάπησαν ὑπερβολικὰ ἐκεῖνον ποὺ σταυρώθηκε ἀπὸ ἐκείνους. Ἐκεῖνοι δηλαδὴ ἔλεγαν, «τὸ αἷμα αὐτοῦ ἂς πέση ἐπάνω σὲ μᾶς καὶ στὰ τέκνα μας»[2], ἐνῶ αὐτοὶ ἔχυσαν τὸ αἷμα τους γιὰ ἐκεῖνον ποὺ θανατώθηκε ἀπὸ ἐκείνους. Ἐπομένως μὲ εὐχαρίστηση θ' ἀκούσουν αὐτοὶ τοὺς λόγους αὐτούς.

2. Ὅτι μὲν οὖν, εἰ τέλος ἔμελλε λήψεσθαι ἡ παροῦσα δουλεία καὶ τοῦτο ἂν προεῖπον οἱ προφῆται, καὶ οὐκ ἂν ἐσίγησαν, ἱκανῶς ἀπεδείξαμεν, τὰς αἰχμαλωσίας ἁπάσας μετὰ προρρήσεως δείξαντες ἐπενεχθείσας αὐτοῖς, τὴν ἐν Αἰγύπτῳ, τὴν ἐν Βαβυλῶνι, τὴν ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς· ἑκάστη δὲ τούτων καὶ χρόνον καὶ τόπον προανακηρυχθέντα ἀπεδείξαμεν διὰ τῶν θείων Γραφῶν· τῇ παρούσῃ δὲ οὐδεὶς ὥρισε χρόνον προφήτης. Ἀλλ' ὅτι μὲν ἥξει καὶ ἐρημώσει πάντα καὶ μεταστήσει τὴν πολιτείαν καὶ μετὰ πόσον χρόνον τῆς ἐκ τῆς Βαβυλῶνος ἐπανόδου συμβήσεται, προεῖπεν ὁ Δανιήλ· ὅτι δὲ ἕξει τέλος καὶ στήσεταί που τὰ κακὰ ταῦτα, οὔτε ἐκεῖνος ἐδήλωσεν, οὔτε ἄλλος τις προφήτης· ἀλλὰ καὶ τοὐναντίον προεῖπεν, ὅτι ἕως συντελείας καθέξει αὐτοὺς ἡ δουλεία αὕτη. Καὶ μαρτυρεῖ τοῖς εἰρημένοις ὁ χρόνος ὁ τοσοῦτος ἐξ ἐκείνου γενόμενος καὶ οὐδὲ ἴχνος, οὐδὲ προοίμιον οὐδέπω μέχρι καὶ σήμερον ἐμφῆνας χρηστῆς μεταβολῆς καὶ ταῦτα πολλάκις ἐπιχειρησάντων αὐτῶν ἀναστῆσαι τὸν ναόν. Καὶ γὰρ καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς ἐπὶ Ἀδριανοῦ καὶ Κωνσταντίνου καὶ Ἰουλιανοῦ ἐπιχειρήσαντες, διεκωλύθησαν· τότε μὲν ὑπὸ στρατιωτῶν, ὕστερον δὲ πυρὸς τῶν θεμελίων ἐκπηδήσαντος καὶ κατασχόντος αὐτοὺς τῆς ἀκαίρου φιλονεικίας.

Λοιπὸν δὲ ἡδέως ἂν αὐτοὺς ἐροίμην ἐγώ, τίνος ἕνεκεν, εἰπέ μοι, ἐν Αἰγύπτῳ μὲν τοσοῦτον διατρίψαντες χρόνον, ἀπελάβετε τὴν οἰκείαν πατρίδα, καὶ εἰς Βαβυλῶνα πάλιν ἀπαχθέντες, ἐπανήλθετε εἰς τὰ Ἱεροσόλυμα; Πάλιν ἐπὶ Ἀντιόχου τοσαῦτα παθόντες κακά, πρὸς τὸ πρότερον ἐπανήλθετε σχῆμα· καὶ πάλιν θυσίας καὶ βωμὸν καὶ τὰ ἅγια τῶν ἁγίων καὶ πάντα μετὰ τῆς προτέρας ἀπελάβετε ἀξίας. Νυνὶ δὲ οὐδὲν τοιοῦτον γεγένηται· ἀλλ' ἑκατὸν καὶ δὶς τοσούτων ἐτῶν καὶ τρὶς καὶ τετράκις καὶ πολλῷ πλειόνων παρελθόντων (πεντακοσιοστὸν γὰρ λοιπὸν ἐξ ἐκείνου ἐστὶν ἔτος μέχρις ἡμῶν) καὶ οὐδὲ αἴνιγμα τοιαύτης μεταβολῆς ὁρῶμέν που φαινόμενον, ἀλλ' ἀποπεπτωκότα αὐτοῖς τὰ πράγματα τέλεον καὶ οὐδὲ ὄναρ τοιαύτην ἐπιδεικνύμενα προσδοκίαν οἵαν τὸ πρότε-

2. Τὸ ὅτι λοιπὸν οἱ προφῆτες, ἂν ἐπρόκειτο ἡ παροῦσα δουλεία νὰ λάβη τέλος, θὰ τὸ προέλεγαν καὶ δὲν θὰ τὸ ἀποσιωποῦσαν, τὸ ἀποδείξαμε ἱκανοποιητικά, δείχνοντας ὅτι ὅλες οἱ αἰχμαλωσίες, ὅπως ἐκείνη στὴν Αἴγυπτο, στὴ Βαβυλώνα καὶ ἡ ὑπὸ τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, συνέβηκαν σ' αὐτοὺς ἀφοῦ προλέχθηκαν· τῆς κάθε μιᾶς ἀπὸ αὐτὲς ἀποδείξαμε ἀπὸ τὶς θεῖες Γραφὲς ὅτι προλέχθηκε καὶ ὁ χρόνος καὶ ὁ τόπος, γιὰ τὴν παροῦσα ὅμως αἰχμαλωσία κανεὶς προφήτης δὲν καθώρισε τὸν χρόνο. Ἀλλὰ τὸ ὅτι θὰ συμβῆ καὶ θὰ ἐρημώση τὰ πάντα καὶ θὰ μεταβάλη τὸ θρησκευτικὸ πολίτευμα καὶ μετὰ ἀπὸ πόσο χρόνο θὰ συμβῆ ἀπὸ τότε ποὺ ἐπανῆλθαν ἀπὸ τὴ Βαβυλώνα τὸ προεῖπε ὁ Δανιήλ, τὸ ὅτι ὅμως θὰ ἔχη τέλος καὶ θὰ σταματήσουν κάποτε τὰ κακὰ αὐτά, οὔτε αὐτὸς τὸ προεῖπε οὔτε κανεὶς ἄλλος προφήτης. Ἀλλὰ καὶ τὸ ἀντίθετο προεῖπε, ὅτι ἡ δουλεία αὐτὴ θὰ κατέχη αὐτοὺς μέχρι τὴ συντέλεια. Καὶ ἐπιβεβαιώνει τὰ λεχθέντα ὁ τόσος χρόνος ποὺ πέρασε ἀπὸ τότε καὶ οὔτε ἴχνος οὔτε ξεκίνημα ἔγινε ποτὲ ἀπὸ τότε μέχρι σήμερα γιὰ μεταβολὴ τῶν πραγμάτων πρὸς τὸ καλύτερο, καὶ ὅλα αὐτὰ ἂν καὶ πολλὲς φορὲς ἐπιχείρησαν αὐτοὶ ν' ἀνοικοδομήσουν τὸν ναό. Καθ' ὅσον καὶ μιὰ καὶ δυὸ καὶ τρεῖς φορὲς ἐπὶ Ἀδριανοῦ καὶ Κωνσταντίνου καὶ Ἰουλιανοῦ τὸ ἐπεχείρησαν καὶ ἐμποδίστηκαν, τότε ἀπὸ τοὺς στρατιῶτες καὶ ἀργότερα ἀπὸ τὴ φωτιὰ ποὺ ξεπήδησε ἀπὸ τὰ θεμέλια καὶ σταμάτησε τὴν παράκαιρη φιλόνεικη προσπάθειά τους.

Μετὰ ἀπὸ ὅλα αὐτὰ εὐχαρίστως θὰ τοὺς ἐρωτοῦσα· Πές μου, γιὰ ποιό λόγο, ἐνῶ στὴν Αἴγυπτὸ παρεμείνατε αἰχμάλωτοι τόσον πολὺ χρόνο, ἐπιστρέψατε στὴν πατρίδα σας, καὶ ἀφοῦ ὁδηγηθήκατε πάλι αἰχμάλωτοι στὴ Βαβυλώνα, ἐπανήλθατε στὰ Ἱεροσόλυμα; Ἐπίσης ἐπὶ Ἀντιόχου, ἂν καὶ πάθατε τόσα κακά, ἐπανήλθατε στὴν προηγούμενη κατάστασή σας, καὶ ἐπανακτήσατε τὶς θυσίες καὶ τοὺς βωμοὺς καὶ τὰ ἅγια τῶν ἁγίων καὶ ὅλα τὰ ἄλλα τῆς προηγούμενης δόξας σας. Τώρα ὅμως τίποτε παρόμοιο δὲν ἔχει συμβῆ, ἀλλά, ἂν καὶ ἔχουν περάσει ἑκατὸ καὶ διακόσια καὶ τριακόσια καὶ τετρακόσια καὶ πολὺ περισσότερα χρόνια (ἤδη ἔχομε ἀπὸ τότε μέχρι σήμερα πεντακόσια χρόνια) καὶ δὲν βλέπουμε πουθενὰ οὔτε καὶ σκοτεινὰ κανένα σημεῖο μιᾶς κάποιας μεταβολῆς, ἀλλ', ἀφοῦ ἐξέπεσαν γι' αὐτοὺς ὁριστικὰ τὰ πράγματα, δὲν παρουσιάζουν οὔτε σὲ ὄνειρο κάποια ἐλπίδα ἀποκαταστάσεώς τους ὅπως ἦταν παλαιότε-

ρον. Εἰ γὰρ τὰς ἁμαρτίας αὐτῶν προβάλλοιντο καὶ εἴποιεν, ὅτι ἐπειδὴ ἡμάρτομεν τῷ Θεῷ καὶ προσεκρούσαμεν αὐτῷ, διὰ τοῦτο τὴν οἰκείαν οὐκ ἀπολαμβάνομεν χώραν, καὶ οἱ συνεχῶς κατηγορούντων τῶν προφητῶν ἀναισχυτοῦντες καὶ τραγῳδούντων τὰς μιαιφονίας αὐτῶν ἀρνούμενοι, οὗτοι νῦν ἐξομολογήσονται καὶ καταγνώσονται τῶν οἰκείων ἁμαρτημάτων· ἡδέως ἂν αὐτῶν ἕκαστον ἐρήσομαι πάλιν· διὰ τῆς ἁμαρτίας σου, ὦ Ἰουδαῖε, ἔξω τῆς Ἰερουσαλὴμ διατρίβεις ἐπὶ χρόνον τοσοῦτον; Καὶ τί τὸ καινὸν καὶ τὸ παράδοξον; Μὴ γὰρ νῦν ἐν ἁμαρτίαις μόνον ζῆτε, παρὰ δὲ τὴν ἀρχὴν ἐν δικαιοσύνῃ καὶ κατορθώμασιν; Οὐκ ἄνωθεν καὶ ἐξ ἀρχῆς μυρίαις συνανεστράφητε παρανομίαις; Οὐ μυρία κατηγόρησεν ὑμῶν Ἰεζεκιὴλ ὁ προφήτης, ὅτε τὰς δύο πόρνας εἰσήγαγε, τὴν Ὀλᾶ καὶ τὴν Ὀλιβᾶ, λέγων, ὅτι «πορνεῖον ᾠκοδομήσατε ἐν Αἰγύπτῳ καὶ ἐπεμαίνεσθε τοῖς βαρβάροις καὶ τοὺς ἀλλοτρίους ἐθεραπεύετε θεούς»;

Τί δέ; Οὐχὶ τῆς θαλάσσης σχιζομένης καὶ τῶν πετρῶν ῥηγνυμένων καὶ τοσούτων θαυμάτων γινομένων ἐπὶ τῆς ἐρήμου μόσχον προσεκυνήσατε; Οὐ τὸν Μωϋσέα νῦν μὲν λίθοις βάλλοντες, νῦν δὲ ἐλαύνοντες καὶ ἑτέροις μυρίοις τρόποις ἀνελεῖν ἐπεχειρήσατε πολλάκις; Οὐ διατελεῖτε βλασφημοῦντες εἰς τὸν Θεόν; Οὐ τῷ Βεελφεγὼρ ἐτελέσθητε; Οὐ τοὺς υἱοὺς ὑμῶν ἐσφάζατε καὶ τὰς θυγατέρας ὑμῶν τοῖς δαιμονίοις; Οὐ πᾶν εἶδος ἀσεβείας καὶ ἁμαρτίας ἐνεδείξασθε; Οὐχ ὁ προφήτης φησὶν ἐκ προσώπου τοῦ Θεοῦ πρὸς ὑμᾶς, «τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ταύτῃ· καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ»; Πῶς οὖν οὐκ ἀπεστράφη ὑμᾶς τότε ὁ Θεός, ἀλλὰ μετὰ τὰς παιδοκτονίας, μετὰ τὰς εἰδωλολατρίας, μετὰ τὴν πολλὴν ἀγνωμοσύνην, μετὰ τὴν ἄφατον ἀχαριστίαν καὶ προφήτην ἀφῆκεν εἶναι παρ' ὑμῖν τὸν μέγαν Μωϋσέα καὶ σημεῖα εἰργάζετο θαυμαστὰ καὶ παράδοξα; Καὶ ἅπερ ἐπ' οὐδενὸς τῶν ἀνθρώπων ἐγένετο, ταῦτα ἐφ' ὑμῶν συνέβαινε, νεφέλης μὲν ὑμῖν ἀντὶ ὀρόφου τεταμένης, στύλου δὲ ἀντὶ λαμπάδος ὑμῖν προηγουμένου καὶ τῶν πολεμίων αὐτομάτων ὑμῖν παραχωρούντων, τῶν πόλεων

3. Ἰεζ. 23,3.
4. Ἀριθμ. κεφ. 25.
5. Ψαλμ. 105,37.
6. Ψαλμ. 94,10.

ρα. Γιατί, ἂν προέβαλλαν τὶς ἁμαρτίες τους καὶ ἔλεγαν, 'Επειδὴ ἁμαρτήσαμε στὸ Θεὸ καὶ συγκρουσθήκαμε μαζί του, γι' αὐτὸ δὲν ἀνακτοῦμε τὴν πατρίδα μας', καὶ αὐτοὶ ποὺ ἐξακολουθοῦν νὰ ἀδιαντροποῦν, ἂν καὶ συνεχῶς τοὺς κατηγοροῦν οἱ προφῆτες, καὶ ἐνῶ διεκτραγωδοῦν τὰ φρικτὰ ἐγκλήματά τους, αὐτοὶ τὰ ἀρνοῦνται αὐτά, ἂν αὐτοὶ ἐξομολογηθοῦν τώρα τὶς ἁμαρτίες τους καὶ καταδικάσουν τὰ ἁμαρτήματά τους, μὲ εὐχαρίστηση πάλι θὰ ἐρωτοῦσα τὸν καθένα ἀπ' αὐτούς· Μήπως ἐξ αἰτίας τῶν ἁμαρτιῶν σου, Ἰουδαῖε, ζῆς τόσα χρόνια μακριὰ ἀπὸ τὴν Ἰερουσαλήμ; Καὶ ποιό εἶναι τὸ καινούργιο καὶ τὸ παράξενο; Γιατὶ μήπως τώρα μόνο ζῆτε στὴν ἁμαρτία μέσα, ἐνῶ στὴν ἀρχὴ ζούσατε μὲ δικαιοσύνη καὶ ἀρετή; Δὲν διεπράξατε ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὴν πρώτη στιγμὴ ἀμέτρητες παρανομίες; Δὲν σᾶς κατηγόρησε γιὰ μύρια παραπτώματα ὁ προφήτης Ἰεζεκιήλ, ὅταν ἀνέφερε τὶς δυὸ πόρνες, τὴν Ὀλᾶ καὶ τὴν Ὀλυβᾶ, λέγοντας, «πορνεῖο οἰκοδομήσατε στὴν Αἴγυπτο καὶ συναγωνιζόσασταν τοὺς βαρβάρους μὲ μανία στὴν πορνεία καὶ λατρεύσατε τοὺς ξένους θεούς»[3];

Τί πάλι; Δὲν προσκυνήσατε τὸν μόσχο, ἂν καὶ εἴχατε δῆ τὴ θάλασσα νὰ σχίζεται στὰ δύο, οἱ πέτρες νὰ διαρρήγνυνται καὶ νὰ γίνωνται τόσα καὶ τόσα θαύματα στὴν ἔρημο; Δὲν ἐπιχειρήσατε πολλὲς φορὲς νὰ φονεύσετε τὸν Μωϋσῆ, ἄλλοτε λιθοβολώντας τον, ἄλλοτε καταδιώκοντάς τον καὶ μὲ χίλιους δυὸ ἄλλους τρόπους; Δὲν συνεχίζατε νὰ βλασφημῆτε ἐναντίον τοῦ Θεοῦ; Δὲν προσφέρατε θυσία στὸν Βεελφεγώρ[4]; Δὲν θυσιάσατε τοὺς υἱοὺς καὶ τὶς θυγατέρες σας στὰ δαιμόνια[5]; Δὲν διαπράξατε κάθε εἶδος ἀσέβειας καὶ ἁμαρτίας; Δὲν λέγει ὁ προφήτης ὡς ἐκπρόσωπος τοῦ Θεοῦ, «σαράντα χρόνια ἀνέχθηκα μὲ δυσαρέσκεια τὴ γενεὰ αὐτὴ καὶ εἶπα, πάντοτε πλανῶνται θεληματικὰ μὲ τὴν καρδιά τους»[6]; Πῶς λοιπὸν δὲν σᾶς ἀποστράφηκε τότε ὁ Θεός, ἀλλὰ καὶ μετὰ τὶς παιδοκτονίες καὶ μετὰ τὴν εἰδωλολατρία καὶ μετὰ τὴ μεγάλη σας ἀγνωμοσύνη καὶ τὴν ἀπερίγραπτη ἀχαριστία, καὶ ἄφησε νὰ βρίσκεται μαζί σας προφήτης, ὁ μέγας Μωϋσῆς, καὶ ἐπιτελοῦσε σημεῖα θαυμαστὰ καὶ παράδοξα; Καὶ ἐκεῖνα ποὺ δὲν συνέβαιναν σὲ κανένα ἄλλον ἄνθρωπο, αὐτὰ συνέβαιναν σὲ σᾶς· νεφέλη ἀντὶ στέγης ἁπλωνόταν ἐπάνω ἀπὸ σᾶς, στύλος φωτεινὸς ἀντὶ λαμπάδας προηγοῦνταν, καὶ οἱ ἐχθροὶ χωρὶς καμμιὰ ἀντίσταση ὑποχωροῦσαν μπροστά σας καὶ οἱ πόλεις

αὐτοβοεὶ σχεδὸν ἁλισκομένων. Οὐχ ὅπλων ὑμῖν ἐδέησεν, οὐ παρατάξεως, οὐ μάχης· ἀλλ᾽ ἐσαλπίσατε μόνον καὶ τὰ τείχη αὐτόματα κατελύετο. Ξένη τις ἦν ὑμῖν ἡ τροφὴ καὶ παράδοξος καὶ βοᾷ ὁ προφήτης λέγων· «ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν».

Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τότε μὲν ἀσεβοῦντες, εἰδωλολατροῦντες, παιδοκτονοῦντες, τοὺς προφήτας λιθάζοντες, μυρία ἐργαζόμενοι δεινά, τοσαύτης ἀπελαύετε εὐνοίας, τοσαύτης παρὰ τοῦ Θεοῦ προστασίας, νῦν δὲ οὐκ εἰδωλολατροῦντες, οὐδὲ παῖδας ἀποκτιννύντες, οὐδὲ προφήτας λιθάζοντες, ἐν αἰχμαλωσίᾳ διάγετε διηνεκεῖ; Μὴ γὰρ ἕτερος ἦν τότε Θεὸς καὶ ἕτερος νῦν; Οὐχὶ αὐτός ἐστιν ὁ καὶ ἐκεῖνα οἰκονομῶν καὶ ταῦτα νῦν ἐργαζόμενος; Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ὅτε μὲν μείζονα ἦν τὰ ἁμαρτήματα, πολλὴ ἦν ὑμῖν ἡ τιμὴ παρὰ τοῦ Θεοῦ, ὅτε δὲ ἐλάττονα πλημμελεῖτε νῦν, παντελῶς ὑμᾶς ἀπεστράφη, καὶ ἀτιμίᾳ παρέδωκε διηνεκεῖ; Εἰ γὰρ νῦν ὑμᾶς διὰ τὰς ἁμαρτίας ἀποστρέφεται, πολλῷ μᾶλλον τότε ἐχρῆν· εἰ δὲ τότε ἠνείχετο ἀσεβούντων ὑμῶν, πολλῷ μᾶλλον νῦν ἀνασχέσθαι ἔδει, ὅτε οὐδὲν τοιοῦτον τολμᾶτε.

Τίνος οὖν ἕνεκεν οὐκ ἠνέσχετο; Κἂν ὑμεῖς αἰσχύνησθε εἰπεῖν τὴν αἰτίαν, ἐγὼ φανερῶς ἐρῶ· μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ᾽ αὐτὴ τῶν πραγμάτων ἡ ἀλήθεια. Ἐπειδὴ τὸν Χριστὸν ἀπεκτείνατε, ἐπειδὴ τὸ αἷμα τὸ τίμιον ἐξεχέατε, διὰ τοῦτο οὐκ ἔστιν ὑμῖν διόρθωσις, οὐδὲ συγγνώμη λοιπόν, οὐδὲ ἀπολογία. Τότε μὲν γὰρ εἰς δούλους ἦν τὰ τολμώμενα, εἰς Μωϋσέα καὶ Ἠσαΐαν καὶ Ἱερεμίαν· τότε εἰ καὶ ἀσέβειά τις ἐγένετο, ἀλλ᾽ οὔπω τὸ κεφάλαιον τῶν κακῶν ἦν τολμηθέν. Νυνὶ δὲ πάντα ἀπεκρύψατε τὰ παλαιά, οὐδενὶ τρόπῳ παρανομίας ὑπερβολὴν κατελίπετε διὰ τῆς εἰς Χριστὸν μανίας· διὸ καὶ μειζόνως κολάζεσθε νῦν. Ἐπεί, εἰ μὴ τοῦτό ἐστι τὸ αἴτιον τῆς παρούσης ὑμῶν ἀτιμίας, τίνος ἕνεκεν παιδοκτονούντων μὲν ὑμῶν ὁ Θεὸς ἠνέσχετο τότε, μηδὲν δὲ τοιοῦτον τολμῶντας ἀποστρέφεται

7. Ψαλμ. 77,25.

κυριεύονταν ἀπὸ σᾶς μὲ τὴν πολεμικὴ βοὴ καὶ μόνο. Δὲν σᾶς χρειάσθηκαν τὰ ὅπλα οὔτε παράταξη οὔτε μάχη, ἀλλὰ σαλπίσατε μόνο καὶ τὰ τείχη ἀμέσως κατέπεσαν. Ἀσυνήθης καὶ παράξενη ἦταν καὶ ἡ τροφή σας, καὶ βροντοφωνάζει ὁ προφήτης λέγοντας· «ἄρτο οὐράνιο τοὺς ἔδωσε, ἄρτο ἀγγέλων ἔφαγε ὁ ἄνθρωπος, ἀφθονία τροφῆς ἀπέστειλε πρὸς αὐτούς»[7].

Πές μου λοιπόν, γιὰ ποιό λόγο, ἐνῶ τότε ἀσεβούσατε, λατρεύατε τὰ εἴδωλα, ἤσασταν παιδοκτόνοι, λιθοβολούσατε τοὺς προφῆτες καὶ διαπράττατε μύρια κακά, ὅμως ἀπολαμβάνατε τόση εὔνοια τοῦ Θεοῦ καὶ τόση προστασία αὐτοῦ, καὶ τώρα ποὺ οὔτε λατρεύετε τὰ εἴδωλα, οὔτε φονεύετε τὰ τέκνα σας, οὔτε λιθοβολεῖτε τοὺς προφῆτες, περνᾶτε τὴ ζωή σας σὲ συνεχῆ αἰχμαλωσία; Μήπως ἄλλος ἦταν τότε ὁ Θεὸς καὶ ἄλλος εἶναι τώρα; Δὲν εἶναι ὁ ἴδιος ποὺ καὶ ἐκεῖνα ρύθμιζε ἔτσι καὶ κάμνει σήμερα ὅλα αὐτά; Πές μου λοιπόν, γιὰ ποιό λόγο, ὅταν τὰ ἁμαρτήματά σας ἦταν μεγαλύτερα, ἦταν μεγάλη ἡ τιμὴ τοῦ Θεοῦ πρὸς ἐσᾶς, τώρα ποὺ τὰ ἁμαρτήματά σας εἶναι μικρώτερα, σᾶς ἀποστράφηκε τελείως καὶ σᾶς παρέδωσε σὲ διαρκῆ ἀτιμία; Γιατί, ἂν τώρα σᾶς ἀποστρέφεται γιὰ τὰ ἁμαρτήματά σας, πολὺ περισσότερο ἔπρεπε τότε. Ἂν ὅμως τότε ποὺ ἀσεβούσατε σᾶς ἀνεχόταν, πολὺ περισσότερο τώρα ἔπρεπε νὰ σᾶς ἀνεχθῆ ποὺ δὲν διαπράττετε τίποτε τέτοιο.

«Γιὰ ποιό λόγο λοιπὸν δὲν σᾶς ἀνεχόταν; Κι ἂν ἀκόμη σεῖς ντρέπεσθε νὰ πῆτε τὴ αἰτία, ἐγὼ θὰ τὴν πῶ φανερά· ἢ καλύτερα ὄχι ἐγώ, ἀλλ' ἡ ἴδια ἡ ἀλήθεια τῶν πραγμάτων. Ἐπειδὴ φονεύσατε τὸν Χριστό, ἐπειδὴ ἁπλώσατε τὰ χέρια κατὰ τοῦ Δεσπότη, ἐπειδὴ χύσατε τὸ αἷμα τὸ τίμιο, γι' αὐτὸ δὲν ὑπάρχει γιὰ σᾶς διόρθωση οὔτε συγγνώμη πλέον οὔτε δικαιολογία. Γιατὶ τότε τὰ ὅσα τολμούσατε τὰ κάμνατε σὲ δούλους, στὸν Μωϋσῆ δηλαδή, στὸν Ἠσαΐα καὶ στὸν Ἱερεμία. Τότε ἂν καὶ γινόταν κάποια ἀσέβεια, ἀλλὰ δὲν εἴχατε ἀκόμη τολμήσει τὸ ἀποκορύφωμα τῶν κακῶν. Τώρα ὅμως ὑπερβήκατε ὅλα τὰ παλαιά, μὲ τὴ μανία σας ἐναντίον τοῦ Χριστοῦ ξεπεράσατε ὁποιαδήποτε ἄλλη ὑπερβολικὴ παρανομία, καὶ γι' αὐτὸ τώρα τιμωρεῖσθε περισσότερο. Γιατί, ἂν δὲν εἶναι αὐτὸ τὸ αἴτιο τῆς παρούσας ἀτιμώσεώς σας, γιὰ ποιό λόγο, ὅταν φονεύατε τὰ τέκνα σας, σᾶς ἀνεχόταν ὁ Θεὸς τότε, ἐνῶ τώρα, χωρὶς νὰ διαπράττετε τίποτε τὸ παρόμοιο, σᾶς ἀποστρέφεται; Εἶναι ὁλοφάνερο, ὅτι, φονεύοντας

νῦν; Ἢ δῆλον ὅτι καὶ παιδοκτονίας καὶ πάσης παρανομίας πολλῷ χεῖρον ἐτολμήσατε, καὶ μεῖζον, τὸν Χριστὸν ἀνελόντες.

3. Ἔτι οὖν ἀνέχεσθε πλάνον αὐτὸν καὶ παράνομον καλεῖν, εἴπατέ μοι· καὶ οὐκ ἀπελθόντες ἑαυτοὺς που κατορύξετε, πρὸς οὕτω φανερὰν πραγμάτων ἀλήθειαν ἀντιβλέποντες; Εἰ γὰρ πλάνος ἦν ὁ Ἰησοῦς, καθάπερ φατέ, καὶ παράνομος καὶ εὐδοκιμῆσαι ὑμᾶς ἐχρῆν, ὅτι αὐτὸν ἀπεκτείνατε. Εἰ γὰρ ὁ Φινεὲς ἕνα τινὰ ἀνελών, ὁλόκληρον τὴν κατὰ τοῦ ἔθνους ὀργὴν ἔπαυσε· «ἔστη γὰρ Φινεές», φησί, «καὶ ἐξιλάσατο καὶ ἐκόπασεν ἡ θραῦσις»· καὶ τοσούτους ἀσεβήσαντας ἀνθρώπους ἐξήρπασε τῆς ὀργῆς τοῦ Θεοῦ μία σφαγὴ παρανόμου τινὸς ἀνδρός· πολλῷ μᾶλλον ἐφ' ὑμῶν τοῦτο γενέσθαι ἐχρῆν, εἴ γε παράνομος ἦν ὁ ὑφ' ὑμῶν σταυρωθείς. Τί δή ποτε οὖν ὁ μὲν Φινεὲς ἄνδρα παράνομον ἀνελὼν ἐδικαιοῦτο καὶ ἱερωσύνῃ ἐτιμᾶτο, ὑμεῖς δέ, ὡς φατέ, πλάνον καὶ ἀντίθεόν τινα σταυρώσαντες, οὐ μόνον οὐκ εὐδοκιμεῖτε οὐδὲ τιμᾶσθε, ἀλλὰ καὶ χαλεπώτερα ἐπάθετε, ἢ ὅτε τοὺς υἱοὺς ὑμῶν ἐσφάττετε; Οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι, ἐπειδὴ εἰς τὸν Σωτῆρα καὶ προστάτην τῆς οἰκουμένης παρηνομήσατε, τοιαύτην ὑπομένετε δίκην; Καίτοι γε νῦν καὶ αἱμάτων ἀπέχεσθε μιαρῶν καὶ σάββατα τηρεῖτε, τότε δὲ καὶ εἰς αὐτὴν ἐνυβρίζετε τὴν ἡμέραν. Καὶ ὁ Θεὸς ἐπηγγέλλετο διὰ τοῦ Ἱερεμίου, φείδεσθαι τῆς πόλεως ὑμῶν, εἰ παύσησθε αἴροντες βαστάγματα ἐν σαββάτῳ· ἀλλ' ἰδοὺ νῦν τοῦτο ποιεῖτε καὶ οὐκ αἴρετε βαστάγματα ἐν σαββάτῳ καὶ οὐδὲ οὕτως καταλλάττεται ὑμῖν. Τὸ γὰρ ἁμάρτημα ὑμῶν ἐκεῖνο ἁπάντων μεῖζον ἦν, ὥστε περιττὸς ὑμῖν οὗτος ὁ λόγος ὁ τῶν ἁμαρτιῶν. Οὐ γὰρ διὰ τὸν λοιπὸν ὑμῶν βίον, ἀλλὰ δι' ἐκεῖνο τὸ τόλμημα ἐν τοῖς παροῦσιν ἐστὲ δεινοῖς. Ὥστε, εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν ἐπὶ τοσοῦτον ὁ Θεὸς ὑμᾶς ἀπεστράφη, κἂν μυρία ἦτε ἡμαρτηκότες. Καὶ δῆλον ἔκ τε τῶν εἰρημένων ἁπάντων, καὶ τούτου οὗ μέλλω λέγειν νῦν. Τί δὲ τοῦτό ἐστιν;

Ἠκούσαμεν τοῦ Θεοῦ πολλάκις λέγοντος διὰ τῶν προφητῶν πρὸς τοὺς πατέρας τοὺς ὑμετέρους, ὅτι «ὑμεῖς ἄξιοι μυρίων ἦτε κακῶν. «Ἐγὼ δέ», φησί, «ποιῶ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ

8. Ψαλμ. 105,30 ἑ.
9. Ἱερ. 17,21.

τὸν Χριστό, διεπράξατε ἁμαρτία πολὺ πιὸ χειρότερη καὶ μεγαλύτερη ἀπὸ κάθε παιδοκτονία καὶ ἀπὸ κάθε παρανομία.

3. Πέστε μου λοιπόν, τολμᾶτε ἀκόμη νὰ τὸν ἀποκαλῆτε πλάνο καὶ παράνομο καὶ δὲν πᾶτε νὰ κρυφτῆτε κάπου, ἀφοῦ ἀρνεῖσθε νὰ δεχθῆτε τὴν τόσο φανερὴ ἀλήθεια τῶν πραγμάτων; Γιατί, ἂν ὁ Χριστὸς ἦταν πλάνος, ὅπως ἰσχυρίζεσθε, καὶ παράνομος, ἔπρεπε καὶ νὰ εὐδοκιμήσετε, γιὰ τὸ ὅτι τὸν φονεύσατε. Ἂν δηλαδὴ ὁ Φινεές, φονεύοντας κάποιον, κατέπαυσε ὅλη τὴν κατὰ τοῦ ἔθνους του ὀργή, γιατὶ λέγει, «σηκώθηκε ὁ Φινεὲς καὶ διεπέρασε τὸ ξίφος του καὶ σταμάτησε τὸ κακό»[8], καὶ τόσους πολλοὺς ἀσεβεῖς τοὺς ἀπάλλαξε ἀπὸ τὴν ὀργὴ τοῦ Θεοῦ μὲ τὴ σφαγὴ κάποιου παράνομου ἀνθρώπου, πολὺ περισσότερο ἔπρεπε αὐτὸ νὰ γίνη σὲ σᾶς, ἂν βέβαια ἦταν παράνομος ἐκεῖνος ποὺ σταυρώσατε ἐσεῖς. Γιατί λοιπὸν ὁ Φινεές, φονεύοντας ἄνθρωπο παράνομο δικαιώθηκε καὶ τιμήθηκε μὲ τὸ ἀξίωμα τῆς ἱερωσύνης, καὶ σεῖς σταυρώνοντας κάποιον ἀπατεώνα καὶ ἐχθρὸ τοῦ Θεοῦ, ὅπως λέτε, ὄχι μόνο δὲν εὐδοκιμεῖτε καὶ δὲν τιμᾶσθε, ἀλλὰ καὶ φοβερώτερα ἐπάθατε, παρὰ ὅταν ἐσφάζατε τὰ παιδιά σας; Δὲν εἶναι ὁλοφάνερο καὶ στοὺς πιὸ ἀνοήτους ἀκόμη, ὅτι ὑπομένετε τέτοια τιμωρία, ἐπειδὴ παρανομήσατε στὸν σωτῆρα καὶ προστάτη τῆς οἰκουμένης; Ἂν καὶ βέβαια τώρα καὶ ἀπέχετε ἀπὸ ἀκάθαρτα αἵματα καὶ τηρεῖτε τὰ σάββατα, ἐνῶ τότε δείχνατε ἀδιαφορία καὶ γιὰ τὴν ἡμέρα αὐτή. Καὶ ὁ Θεὸς μὲ τὸ στόμα τοῦ προφήτη Ἰερεμία σᾶς ὑποσχόταν, ὅτι θὰ λυπηθῆ τὴν πόλη σας, ἂν σταματούσατε νὰ σηκώνετε στὰ χέρια σας φορτία τὴν ἡμέρα τοῦ Σαββάτου[9], καὶ οὔτε ἔτσι συμφιλιώνεται μαζί σας. Γιατὶ τὸ ἁμάρτημά σας αὐτὸ ὑπῆρξε τὸ μεγαλύτερο ἀπὸ ὅλα, ὥστε νὰ εἶναι περιττὴ ἡ διάπραξη αὐτὴ τῶν ἁμαρτιῶν. Δὲν βρίσκεσθε λοιπὸν στὰ σημερινὰ δεινὰ γιὰ τὴ συμπεριφορὰ τῆς ὑπόλοιπης ζωῆς σας, ἀλλὰ γιὰ τὸ κακούργημά σας ἐκεῖνο. Ὥστε, ἂν δὲν ἦταν αὐτό, ὁ Θεὸς δὲν θὰ σᾶς ἀποστρεφόταν τόσο χρόνο, κι ἂν ἀκόμη διαπράττατε μύρια ἁμαρτήματα. Καὶ εἶναι φανερὸ καὶ ἀπὸ ὅλα ὅσα εἴπαμε, καὶ ἀπὸ αὐτὸ ποὺ πρόκειται τώρα νὰ πῶ. Καὶ ποιό εἶναι αὐτό;

Πολλὲς φορὲς ἀκούσαμε τὸν Θεὸ νὰ λέγη στοὺς πατέρες σας μὲ τοὺς προφῆτες. Σεῖς ἤσασταν ἄξιοι μυρίων τιμωριῶν, «ἐγὼ ὅμως τὸ κάμνω αὐτὸ γιὰ τὸ ὄνομά μου, γιὰ νὰ μὴ βεβηλωθῆ μεταξὺ τῶν

ἐν τοῖς ἔθνεσι». Καὶ πάλιν· «οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, οἶκος τοῦ Ἰσραήλ, ἀλλ' ἢ διὰ τὸ ὄνομά μου». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· βαρυτέρας μὲν τιμωρίας ἦτε ἄξιοι καὶ κολάσεως· ἀλλ' ἵνα μή τις λέγῃ, ὅτι ἀσθενῶν ὁ Θεὸς καὶ μὴ δυνάμενος σῶσαι, ἀφῆκε τοὺς Ἰουδαίους ταῖς τῶν πολεμίων χερσίν, ἀντιλαμβάνομαι καὶ προΐσταμαι. Ὥστε, εἰ παράνομος ἦν ὁ Χριστός, ὑμεῖς δὲ αὐτὸν ἐσταυρώσατε, καὶ εἰ μυρία ἦτε ἡμαρτηκότες καὶ πολλῷ τῶν προτέρων χαλεπώτερα, πάντως ἂν ὑμᾶς ὁ Θεὸς διὰ τοῦτο διέσωσεν, ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βεβηλωθῇ, ἵνα μὴ μέγας τις ἐκεῖνος νομίζηται, μηδὲ εἴπῃ τις, ὅτι δι' ἐκεῖνον ταῦτα ἐπάθετε. Εἰ γὰρ φαίνεται διὰ τὴν ἑαυτοῦ δόξαν τὰ ἁμαρτήματα ὑμῶν παρορῶν, πολλῷ μᾶλλον ἂν τοῦτο ἐποίησε νῦν, καὶ τὴν σφαγὴν ἀπεδέξατο ταύτην καὶ τὰ πολλὰ ἂν ὑμῶν ἀξήλειψεν ἁμαρτήματα. Ὅταν δὲ φαίνηται εἰς τέλος ὑμᾶς ἀποστρεφόμενος, εὔδηλον ὅτι διὰ τῆς ὀργῆς ταύτης καὶ τῆς εἰς τέλος ἐγκαταλείψεως, δείκνυσι καὶ τοῖς σφόδρα ἀναισχυντοῦσιν, ὅτι οὐχὶ παράνομός τις ἦν ὁ σφαγείς, ἀλλ' αὐτὸς ὁ νομοθέτης καὶ τῶν μυρίων ἀγαθῶν αἴτιος ὁ παραγενόμενος. Διὰ τοῦτο οἱ μὲν εἰς αὐτὸν ἀσεβήσαντες ὑμεῖς, ἐν ὕβρει καὶ ἀτιμίᾳ, οἱ δὲ προσκυνοῦντες αὐτὸν ἡμεῖς, ἀτιμότεροι πάντων ὑμῶν ἔμπροσθεν ὄντες, διὰ τὴν τοῦ Θεοῦ χάριν καὶ σεμνότεροι πάντων ὑμῶν ἐσμεν νῦν καὶ ἐν μείζονι τιμῇ καθεστήκαμεν.

Καὶ πόθεν δῆλον ὅτι ἀπεστράφη, φησίν, ἡμᾶς ὁ Θεός; Λόγου γὰρ ἔτι χρεία καὶ ἀποδείξεως; εἰπέ μοι. Τῶν πραγμάτων αὐτῶν βοώντων καὶ σάλπιγγος λαμπροτέραν ἀφιέντων φωνήν, διὰ τῆς κατασκαφῆς τῆς κατὰ τὴν πόλιν, διὰ τῆς ἐρημώσεως τοῦ ναοῦ καὶ διὰ τῶν ἄλλων ἁπάντων, τῶν εἰς ὑμᾶς συμβεβηκότων, ἔτι διὰ λόγων ἀπόδειξιν ἐπιζητεῖτε; Ἀλλ' ἄνθρωποι, φησί, ταῦτα ἡμῖν ἐπήγαγον, οὐχ ὁ Θεός. Μάλιστα μὲν οὖν ὁ Θεὸς ταῦτα εἰργάσατο. Εἰ δὲ ἀνθρώποις ταῦτα λογίζῃ, σκόπησον πάλιν ἐκεῖνο, ὅτι καὶ ἄνθρωποι, εἰ μὴ τῷ Θεῷ δοκοῦν ἦν, εἰ καὶ ταῦτα ἐτόλμων, οὐκ ἂν ἴσχυσαν εἰς πέρας αὐτὰ ἀγαγεῖν. Ὅτε γοῦν τὴν Περσίδα πᾶσαν ἀγαγὼν ἐπῆλθεν ὁ βάρβαρος καὶ ἐξ ἐπιδρομῆς ἅπαντας λήψεσθαι

10. Ἰεζ. 36,22.
11. Ἰεζ. 5,32.

ἐθνικῶν»[10]. Καὶ πάλι· «δὲν τὸ κάμνω ἐγὼ ἐξ αἰτίας σας, λαὲ τοῦ Ἰσραήλ, ἀλλὰ γιὰ τὸ ὄνομά μου»[11]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἀξίζατε γιὰ βαρύτερη τιμωρία καὶ κόλαση, ἀλλὰ γιὰ νὰ μὴ λέγη κάποιος, 'ἐπειδὴ ὁ Θεὸς εἶναι ἀνίσχυρος καὶ δὲν μπορεῖ νὰ τοὺς σώση, τοὺς ἐγκατέλειψε τοὺς Ἰουδαίους στὰ χέρια τῶν ἐχθρῶν', γι' αὐτὸ σᾶς βοηθῶ καὶ σᾶς προστατεύω. Ὥστε, ἂν ὁ Χριστὸς ἦταν παράνομος, καὶ σεῖς τὸν σταυρώσατε, καὶ ἂν ἀκόμη εἴχατε διαπράξει μύρια ἁμαρτήματα καὶ πολὺ πιὸ χειρότερα ἀπὸ τὰ προηγούμενα, ὁπωσδήποτε ὁ Θεὸς ἐξ αἰτίας αὐτοῦ θὰ σᾶς διέσωζε καὶ τώρα, γιὰ νὰ μὴ βεβηλωθῆ τὸ ὄνομά του, γιὰ νὰ μὴ θεωρῆται ὁ Ἰησοῦς κάποιος μεγάλος, οὔτε καὶ νὰ πῆ κανείς, ὅτι ἐξ αἰτίας του τὰ πάθατε αὐτά. Γιατί, ἂν φαίνεται ὅτι παραβλέπει τὰ ἁμαρτήματά σας γιὰ τὴ δόξα του, πολὺ περισσότερο θὰ τὸ ἔκαμνε αὐτὸ τώρα, καὶ τὴν σφαγὴ δηλαδὴ θὰ ἀποδεχόταν καὶ τὰ πολλὰ ἁμαρτήματά σας θὰ συγχωροῦσε. Ὅταν ὅμως φαίνεται νὰ σᾶς ἔχη ἐγκαταλείψει ἐξ ὁλοκλήρου, εἶναι φανερὸ ὅτι μὲ τὴν ὀργὴ αὐτὴ καὶ τὴν πλήρη ἐγκατάλειψη δείχνει καὶ σ' αὐτοὺς ἀκόμη ποὺ εἶναι ὑπερβολικὰ ἀδιάντροποι, ὅτι ἐκεῖνος ποὺ σφάχθηκε δὲν ἦταν παράνομος, ἀλλ' ὁ ἴδιος ὁ νομοθέτης, καὶ ποὺ ἔγινε μὲ τὸν ἐρχομό του αἴτιος μυρίων ἀγαθῶν. Γι' αὐτὸ καὶ σεῖς, ποὺ ἀσεβήσατε σ' αὐτόν, ζῆτε μέσα στὴν περιφρόνηση καὶ τὴν ἀτίμωση, ἐνῶ ἐμεῖς ποὺ τὸν προσκυνᾶμε καὶ ποὺ στὴν ἀρχὴ ἤμασταν πιὸ ἄτιμοι ἀπὸ ὅλους σας, ἐξ αἰτίας τῆς χάριτος τοῦ Θεοῦ εἴμαστε τώρα σεμνότεροι ἀπὸ ὅλους καὶ ἔχουμε κριθῆ ἄξιοι μεγαλύτερης τιμῆς.

Κι ἀπὸ ποῦ γίνεται φανερό, λέγει, ὅτι μᾶς ἀποστράφηκε ὁ Θεός; Μὰ πές μου, χρειάζεται ἀκόμη συζήτηση καὶ ἀπόδειξη; Τὴ στιγμὴ ποὺ τὰ ἴδια τὰ πράγματα φωνάζουν, ὅπως ἡ ὁλοκληρωτικὴ καταστροφὴ τῆς πόλεως, ἡ ἐρήμωση τοῦ ναοῦ καὶ ὅλα τὰ ἄλλα ποὺ σᾶς ἔχουν συμβῆ, καὶ ἀφήνουν φωνὴ ἰσχυρότερη καὶ ἀπὸ τὴ σάλπιγγα, σεῖς ζητᾶτε ἀκόμη ἀπόδειξη μὲ λόγια; Ἀλλ' αὐτά, λέγει, μᾶς τὰ ἔκαναν ἄνθρωποι κι ὄχι ὁ Θεός. Καὶ ἀσφαλῶς ὁ Θεὸς τὰ ἔκαμε αὐτά. Ἂν ὅμως ἀποδίδης αὐτὰ σὲ ἀνθρώπους, σκέψου πάλι καὶ ἐκεῖνο, ὅτι δηλαδὴ καὶ ἂν ἀκόμη ἐπιχειροῦσαν νὰ τὰ κάμουν ἄνθρωποι, δὲν θὰ κατώρθωναν νὰ τὰ πραγματοποιήσουν, ἂν αὐτὸ δὲν ἦταν ἀπόφαση τοῦ Θεοῦ. Ὅταν δηλαδὴ ὁ βάρβαρος ἐκεῖνος ὡδήγησε ἐναντίον σας ὅλη τὴν περσικὴ δύναμη, ἐλπίζοντας νὰ σᾶς

προσεδόκησε καὶ καθάπερ ἐν σαγήνῃ τινὶ καὶ δικτύοις εἰς τὴν πόλιν ἅπαντας εἶχε συγκεκλεισμένους, οὐχὶ τότε δή, τότε, ἐπειδὴ Θεὸς ἵλεως ἦν, χωρὶς πολέμου καὶ μάχης καὶ συμβολῆς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες στρατιωτῶν νεκροὺς ἀφεὶς παρ' ὑμῖν, οὕτως ἔφυγεν, ἀγαπῶν, εἰς διασωθείη μόνος; Καὶ ἄλλους δὲ μυρίους πολέμους οὕτως ἔκρινεν ὁ Θεὸς πολλάκις. Ὥστε καὶ νῦν, εἰ μὴ αὐτὸς ἦν ὁ καθάπαξ ὑμᾶς ἀφείς, οὐκ ἂν ἴσχυσαν οἱ τὴν πόλιν ὑμῶν καθελόντες καὶ τὸν ναὸν ἐρημώσαντες, οὐκ ἂν μέχρι τοσούτου τὰ τῆς ἐρημίας ἔμεινεν· οὐκ ἄν, πολλάκις ὑμῶν ἐπιχειρησάντων, ἀνόνητος ἡ ἐπιχείρησις γέγονεν.

4. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὑμᾶς πεῖσαι πειράσομαι, ὅτι οὐκ οἰκείᾳ δυνάμει ἐποίησαν, ὅπερ ἐποίησαν εἰς ὑμᾶς οἱ βασιλεῖς Ρωμαίων, ἀλλὰ διὰ τὴν ὀργὴν τοῦ Θεοῦ καὶ τὴν αὐτοῦ ἐγκατάλειψιν. Εἰ γὰρ ἀνθρώπων ἦν ἔργον τὸ γενόμενον, ἔδει μέχρι τῆς ἁλώσεως στῆναι τὰ ὑμέτερα καὶ μὴ περαιτέρω προελθεῖν ὑμῶν τὴν ἀτιμίαν. Κείσθω γὰρ κατὰ τὸν ὑμέτερον λόγον, ὅτι τὰ τείχη κατέσκαψαν οἱ ἄνθρωποι, καὶ τὴν πόλιν καθεῖλον, καὶ τὸν βωμὸν ἀνέτρεψαν· μὴ καὶ τοὺς προφήτας ἄνθρωποι ἔπαυσαν; μὴ τὴν τοῦ Πνεύματος χάριν ἀνεῖλον; μὴ τὰ ἄλλα τὰ σεμνά, τὰ παρ' ὑμῖν, αὐτοὶ κατέλυσαν, οἷον τὸ φωνὴν ἐκ τοῦ ἱλαστηρίου φέρεσθαι, τὴν ἐπὶ τῷ χρίσματι γενομένην ἐνέργειαν, τὴν δήλωσιν τὴν ἐπὶ τῶν λίθων τοῦ ἱερέως; Καὶ γὰρ ἡ ἰουδαϊκὴ πολιτεία οὐχὶ κάτωθεν πάσας εἶχε τὰς ἀρχάς, ἀλλὰ τὰς πλείους καὶ σεμνοτέρας ἄνωθεν ἐκ τῶν οὐρανῶν· οἷόν τι λέγω, θυσίας συνεχώρησε γίνεσθαι. Ὁ μὲν οὖν βωμὸς κάτω ἦν καὶ τὰ ξύλα καὶ ἡ μάχαιρα καὶ ὁ ἱερεύς· τὸ δὲ πῦρ, τὸ μέλλον ἰέναι ἐν τοῖς ἀδύτοις ἐκείνοις καὶ τὰς θυσίας δαπανᾶν, ἄνωθεν εἶχε τὴν ἀρχήν. Οὐ γὰρ ἄνθρωπος εἰς τὸν ναὸν εἰσῆγε πῦρ, ἀλλὰ φλὸξ ἄνωθεν κατενεχθεῖσα οὕτω τὴν ἐπὶ τῆς θυσίας διακονίαν ἐπλήρου. Καὶ πάλιν εἴ ποτε ἔδει τι μαθεῖν, ἀνὰ μέσον τῶν Χερουβὶμ ἐκ τοῦ ἱλαστηρίου φωνή τις ἐφέρετο καὶ τὰ μέλλον-

12. Ἱλαστήριον ἦταν τὸ σκέπασμα τῆς Κιβωτοῦ τῆς Διαθήκης. Βλ. Λευϊτ. 6,14.

13. Αὐτὰ τὰ ἐπεξηγεῖ στὴ συνέχεια.

συλλάβη ὅλους ἐξ ἐφόδου, καὶ ἐνῶ σᾶς εἶχε περικυκλωμένους μέσα στὴν πόλη σὰν σὲ κάποια σαγήνη καὶ σὲ δίχτυα, δὲν συνέβηκε λοιπὸν τότε, ναὶ τότε, ἐξ αἰτίας τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, χωρὶς μάχη καὶ πόλεμο καὶ συμπλοκή, νὰ ἐγκαταλείψη γύρω σας ἑκατὸν ὀγδόντα πέντε χιλιάδες νεκροὺς στρατιῶτες, καὶ νὰ φύγη ἔτσι, νιώθοντας εὐχαριστημένος, ἂν κατώρθωνε νὰ διασωθῆ ὁ ἴδιος; Ἀλλὰ καὶ σὲ ἄλλους ἄπειρους πολέμους ὁ Θεὸς πολλὲς φορὲς ἔδωσε τέτοια αἴσια ἔκβαση. Ὥστε καὶ τώρα, ἂν αὐτὸς δὲν σᾶς εἶχε ἐγκαταλείψει μιὰ γιὰ πάντα, δὲν θὰ εἶχαν ὑπερισχύσει αὐτοὶ ποὺ κατέστρεψαν τὴν πόλη σας καὶ ἐρήμωσαν τὸν ναό, δὲν θὰ ἦταν δυνατὸ νὰ παραμείνουν μέχρι τώρα τὰ ἐρείπια τῆς καταστροφῆς ἐκείνης, δὲν θὰ ἀπέβαινε μάταια ἡ προσπάθειά σας νὰ ἀνοικοδομήσετε τὸν ναό, ποὺ τόσες φορὲς τὸ ἐπιχειρήσατε.

4. Καὶ ὄχι μόνο μὲ αὐτά, ἀλλὰ καὶ μὲ ἄλλα θὰ προσπαθήσω νὰ σᾶς πείσω, ὅτι οἱ Ρωμαῖοι αὐτοκράτορες ὅσα ἔπραξαν σὲ σᾶς, δὲν τὰ ἔπραξαν μὲ τὴ δύναμή τους, ἀλλ' ἐξ αἰτίας τῆς ὀργῆς τοῦ Θεοῦ καὶ τῆς ἐγκαταλείψεώς σας ὑπ' αὐτοῦ. Γιατί, ἂν τὰ ὅσα συνέβηκαν ἦταν ἔργο τῶν ἀνθρώπων, ἔπρεπε τὰ δεινά σας νὰ σταματήσουν μέχρι τὴν ἅλωση τῆς πόλεως καὶ νὰ μὴ προχωρήση πιὸ πέρα ἡ ἀτιμία σας. Ἂς ὑποθέσουμε πώς, σύμφωνα μὲ τὰ λόγια σας, ἄνθρωποι κατέσκαψαν τὰ τείχη καὶ κατέστρεψαν τὴν πόλη καὶ ἀνέτρεψαν τὸν βωμό. Μήπως καὶ τοὺς προφῆτες ἄνθρωποι τοὺς ἔπαυσαν; μήπως αὐτοὶ ἀπομάκρυναν τὴ χάρη τοῦ Πνεύματος; μήπως αὐτοὶ κατέλυσαν τὰ ἄλλα τὰ σεμνά σας, ὅπως τὴ φωνὴ ποὺ ἔβγαινε ἀπὸ τὸ ἱλαστήριο[12], τὴν ἐνέργεια ποὺ ἐκδηλωνόταν κατὰ τὸ χρίσμα, τὴ μυστηριώδη δήλωση τοῦ ἱερέως ἐπάνω στὰ πετράδια[13]; Γιατὶ ἡ ἰουδαϊκὴ πολιτεία δὲν εἶχε λάβει ὅλες τὶς ἀρχές της ἀπὸ τὴ γῆ, ἀλλὰ τὶς περισσότερες καὶ σεμνότερες τὶς ἔλαβε ἀπὸ ἐπάνω, ἀπὸ τὸν οὐρανό. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Ἐπέτρεψε νὰ γίνωνται οἱ θυσίες. Ὁ βωμὸς λοιπὸν καὶ τὰ ξύλα καὶ ἡ μάχαιρα καὶ ὁ ἱερεὺς βρίσκονταν κάτω, ἡ φωτιὰ ὅμως ποὺ ἐπρόκειτο νὰ ἔρχεται στὰ ἄδυτα ἐκεῖνα καὶ νὰ κατακαίη τὰ θύματα, ἐρχόταν ἀπὸ τὸν οὐρανό. Δὲν πήγαινε τὴ φωτιὰ στὸ ναὸ ἄνθρωπος, ἀλλὰ φλόγα κατέβαινε ἀπὸ ψηλὰ καὶ ἐπιτελοῦσε ἔτσι τὴ διακονία τῆς θυσίας. Ἐπίσης, ἂν κάποτε ἔπρεπε νὰ πληροφορηθοῦν κάτι, διαμέσου τῶν Χερουβὶμ ἔβγαινε ἀπὸ τὸ ἱλα-

τα προύλεγε. Πάλιν ἐπὶ τῶν λίθων τῶν ἐπὶ τοῦ στήθους τοῦ ἀρχιερέως, ὅπερ ἐκάλουν δήλωσιν, ἐγίνετό τις ἔλλαμψις, καὶ τὰ μέλλοντα ἐσήμαινε. Πρὸς τούτοις, ἡνίκα τινὰ χρίεσθαι ἔδει, τοῦ Πνεύματος χάρις ἐφίπτατο καὶ τὸ ἔλαιον ἀνεπήδα· καὶ προφῆται τούτοις διηκόνουν τοῖς πράγμασι καὶ νεφέλη πολλάκις καὶ καπνὸς τὰ ἄδυτα κατελάμβανεν.

Ἵν' οὖν μὴ ἀναισχυντῶσιν οἱ Ἰουδαῖοι, μηδὲ ἀνθρώποις λογίζωνται τὴν αὐτῶν ἐρήμωσιν, οὐχὶ τὴν πόλιν μόνον ἀφῆκε πεσεῖν καὶ τὸν ναὸν ἐρημωθῆναι, ἀλλὰ καὶ τὰ πράγματα ἐκεῖνα, ἅπερ ἐκ τῶν οὐρανῶν τὰς ἀρχὰς εἶχεν, ἐκποδὼν γενέσθαι ἐποίησε, τὸ πῦρ, τὴν φωνήν, τὴν τῶν λίθων ἔλλαμψιν, τὰ ἄλλα πάντα τὰ τοιαῦτα. Ὅταν οὖν λέγῃ σοι ὁ Ἰουδαῖος, ὅτι ἄνθρωποι ἡμῖν ἐπολέμησαν, ἄνθρωποι ἐπεβούλευσαν, εἰπὲ πρὸς αὐτόν, μάλιστα μὲν οὐκ ἂν ἐπολέμησαν ἄνθρωποι, εἰ μὴ ὁ Θεὸς συνεχώρησεν. Ἔστω δέ, τὸ τεῖχός σου καθεῖλον οἱ ἄνθρωποι· μὴ τὸ πῦρ ἄνωθεν καταφέρεσθαι ἄνθρωπος ἐκώλυσεν; μὴ τὴν φωνὴν τὴν ἐκ τοῦ ἱλαστηρίου συνεχῶς ἀκουομένην ἄνθρωπος ἐπέσχεν; μὴ τὴν δήλωσιν τὴν ἐπὶ τῶν λίθων; μὴ τὸ χρίσμα τὸ ἱερατικόν; μὴ τὰ ἄλλα ἅπαντα καθεῖλεν ἄνθρωπος; Οὐχ ὁ Θεὸς ταῦτα ἀνέστειλεν; Παντί που δῆλόν ἐστι. Τίνος οὖν ἕνεκεν ἀνεῖλεν; Οὐκ εὔδηλον, ὅτι μισήσας ὑμᾶς καὶ ἀποστραφεὶς καθάπαξ; Οὐχί, φησίν· ἀλλ' ἐπειδὴ τὴν μητρόπολιν οὐκ ἔχομεν, διὰ τοῦτο ταῦτα οὐκ ἔχομεν. Τίνος δὲ ἕνεκεν τὴν μητρόπολιν οὐκ ἔχετε; Οὐκ ἐπειδὴ ὑμᾶς ὁ Θεὸς ἐγκατέλιπε;

Μᾶλλον δέ, ἵνα ἐκ περιουσίας τὰ ἀναίσχυντα αὐτῶν ἐμφράξωμεν στόματα, φέρε καὶ τοῦτο δι' αὐτῶν ἀποδείξωμεν τῶν Γραφῶν, ὅτι οὐχ ἡ τοῦ ναοῦ κατασκαφὴ τῆς κατὰ τὴν προφητείαν ἀναιρέσεώς ἐστιν ἡ αἰτία, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ καὶ τὸ μειζόνως αὐτὸν παροξῦναι νῦν διὰ τῆς εἰς τὸν Χριστὸν μανίας, ἢ ὅτε τὸν μόσχον προσεκύνησαν. Ὅτε γοῦν Μωϋσῆς προεφήτευσεν, οὔτε ναὸς ἦν, οὔτε βωμός, ἀλλὰ μυρία ἀσεβοῦντες διετέλουν καὶ τὸ τῆς προφητείας οὐκ ἀπέπτη χάρισμα. Ἀλλὰ καὶ οὗτος αὐτὸς ὁ μέγας καὶ γενναῖος ἀνὴρ καὶ ἕτεροι πρὸς τούτῳ πάλιν ἑβδομήκοντα ἀνεδεί-

στήριο κάποια φωνή, ποὺ προέλεγε τὰ μέλλοντα. Ἀκόμη μιὰ κάποια λάμψη, ποὺ τὴν ὠνόμαζαν 'δήλωση', ἔβγαινε ἀπὸ τὰ πετράδια ποὺ ἔφερε στὸ στῆθός του ὁ ἀρχιερέας, καὶ προέλεγε τὰ μέλλοντα. Καὶ ἀκόμη, ὅταν ἔπρεπε νὰ χρισθῆ κάποιος, κατέβαινε ἡ χάρη τοῦ Πνεύματος καὶ τὸ λάδι ἀναπηδοῦσε. Καὶ προφῆτες ἐπιτελοῦσαν τὴ διακονία σὲ ὅλα αὐτὰ τὰ πράγματα, καὶ πολλὲς φορὲς νεφέλη καὶ καπνὸς κατελάμβανε τὰ ἄδυτα.

Γιὰ νὰ μὴ φέρωνται λοιπὸν ἀδιάντροπα οἱ Ἰουδαῖοι οὔτε καὶ νὰ ἀποδίδουν σὲ ἀνθρώπους τὴν καταστροφή τους, δὲν ἐπέτρεψε μόνο νὰ πέση ἡ πόλη καὶ νὰ ἐρημωθῆ ὁ ναός, ἀλλὰ καὶ τὰ πράγματα ἐκεῖνα, ποὺ εἶχαν ἀπὸ τὸν οὐρανὸ τὴν προέλευσή τους, δηλαδὴ ἡ φωτιά, ἡ φωνή, ἡ λάμψη τῶν πετραδιῶν καὶ ὅλα τὰ ἄλλα τὰ παρόμοια, τὰ κατάργησε. Ὅταν λοιπὸν σοῦ λέγη ὁ Ἰουδαῖος, ὅτι ἄνθρωποι μᾶς πολέμησαν, ἄνθρωποι μᾶς ἐπιβουλεύθηκαν, πές του τότε, ὁπωσδήποτε οἱ ἄνθρωποι δὲν θὰ σᾶς πολεμοῦσαν, ἂν δὲν τὸ ἐπέτρεπε ὁ Θεός. Καλά, τὸ τεῖχος τὸ γκρέμισαν ἄνθρωποι· μήπως ὅμως ἄνθρωπος ἐμπόδισε καὶ τὴν κάθοδο τῆς φωτιᾶς ἀπὸ τὸν οὐρανό; μήπως ἄνθρωπος ἐπέβαλε σιωπὴ στὴ φωνή, ποὺ συχνὰ ἀκουόταν ἀπὸ τὸ ἱλαστήριο; μήπως ἄνθρωπος κατάργησε τὴ δήλωση τῶν πετραδιῶν; μήπως τὸ χρίσμα τὸ ἱερατικό; μήπως ὅλα τὰ ἄλλα ἄνθρωπος τὰ κατάργησε; Δὲν τὰ κατάργησε αὐτὰ ὁ Θεός; Εἶναι φυσικὰ στὸν καθένα φανερό. Γιὰ ποιό λόγο λοιπὸν τὰ κατάργησε; Δὲν εἶναι ὁλοφάνερο ὅτι τὸ ἔκαμε ἐπειδὴ σᾶς μίσησε καὶ σᾶς ἀποστράφηκε μιὰ γιὰ πάντα; Ὄχι, λέγει, ἀλλ' ἐπειδὴ δὲν ἔχουμε τὴ μητρόπολή μας, γι' αὐτὸ καὶ δὲν ἔχουμε αὐτά. Καὶ γιατί δὲν τὴν ἔχετε τὴ μητρόπολή σας; Δὲν εἶναι γιατί σᾶς ἐγκατέλειψε ὁ Θεός;

Ἀλλὰ γιὰ νὰ κλείσουμε καλύτερα τὰ ἀδιάντροπα στόματά τους, ἐμπρὸς ἂς ἀποδείξουμε καὶ αὐτὸ ἀπὸ τὶς Γραφές, ὅτι δηλαδὴ ἡ κατασκαφὴ τοῦ ναοῦ δὲν εἶναι ἡ αἰτία τῆς καταργήσεως τῆς προφητείας, ἀλλὰ ἡ ὀργὴ τοῦ Θεοῦ καὶ τὸ ὅτι πιὸ πολὺ τώρα τὸν ἐξώργισαν μὲ τὴ μανία τους ἐναντίον τοῦ Χριστοῦ, παρὰ τότε, ὅταν προσκύνησαν τὸ μοσχάρι. Ὅταν λοιπὸν ὁ Μωϋσῆς προφήτευσε, δὲν ὑπῆρχε οὔτε ναὸς οὔτε βωμός, ἀλλά, ἂν καὶ ζοῦσαν μὲ μεγάλη ἀσέβεια, ὅμως τὸ προφητικὸ χάρισμα δὲν τοὺς ἐγκατέλειψε. Ἀλλὰ καὶ αὐτὸς ὁ μεγάλος καὶ γενναῖος ἄνδρας καὶ μαζὶ μὲ αὐτὸν καὶ ἄλλοι ἑβδομήντα ἄνδρες ἀναδείχθηκαν τότε προφῆτες. Καὶ ὄχι μόνο

χθησαν τότε προφῆται. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα ναοῦ δοθέντος καὶ τῆς ἄλλης λατρείας ἁπάσης· εἶτα ἐμπρησθέντος τούτου καὶ πάντων ἀναιρεθέντων, ἐν τῇ Βαβυλῶνι πάλιν Ἰεζεκιὴλ καὶ Δανιήλ, οὐ τὰ ἅγια τῶν ἁγίων ὁρῶντες, οὐ παρὰ τὸν βωμὸν ἑστῶτες, ἀλλ' ἐν μέσῃ χώρᾳ βαρβάρων, μεταξὺ παρανόμων καὶ ἀκαθάρτων ὄντες ἀνθρώπων, πνεύματος ἐπληροῦντο καὶ τὰ μέλλοντα προύλεγον καὶ πολλῷ τῶν προτέρων καὶ πλείονα καὶ παραδοξότερα εἶπον πράγματα καὶ ὄψιν ἐθεάσαντο θείαν, ὡς αὐτοῖς δυνατὸν ἦν ἰδεῖν. Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, νῦν οὐκ ἔχετε προφήτας; Οὐκ εὔδηλον, ὅτι τοῦ Θεοῦ τὰ καθ' ὑμᾶς ἀποστραφέντος; Τίνος οὖν ἕνεκεν ὑμᾶς ἀπεστράφη; Εὔδηλον καὶ τοῦτο πάλιν, ὅτι διὰ τὸν σταυρωθέντα καὶ τὴν τόλμαν τὴν παράνομον ἐκείνην. Πόθεν τοῦτο δῆλον, φησίν; Ἀφ' ὧν πρὸ τούτου μὲν ἀσεβοῦντες, πάντων ἐπετυγχάνετε, νῦν δὲ δοκοῦντες ἐπιεικέστερον ζῆν μετὰ τὸν σταυρόν, μείζονα ὑπομένετε τιμωρίαν καὶ οὐδενὸς ἀπολαύετε τῶν προτέρων.

5. Ἵνα δὲ καὶ ἀπ' αὐτῶν τῶν προφητῶν τοῦτο σαφῶς καὶ διαρρήδην παριστώντων τὴν αἰτίαν τῶν παρόντων κακῶν μάθητε, ἀκούσατε τί φησιν Ἡσαΐας, πῶς καί τὴν ἐσομένην εὐεργεσίαν πᾶσι διὰ τοῦ Χριστοῦ προλέγει καὶ τὴν ὑμετέραν ἀγνωμοσύνην. «Τῷ μώλωπι αὐτοῦ», φησίν, «ἡμεῖς ἰάθημεν»· τὴν διὰ τοῦ σταυροῦ σωτηρίαν πᾶσι γενομένην προλέγων. Εἶτα λέγων ἡμεῖς τίνες, ἐπήγαγε· «πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος ἐν τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη». Καὶ λέγων τοῦ σταυροῦ τὸν τρόπον, οὕτω πώς φησιν· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη». Καὶ ποῦ ταῦτά ἐστιν ἰδεῖν ἐξελθόντα; Ἐν τῷ παρανόμῳ δικαστηρίῳ Πιλάτου. Τοσαῦτα γὰρ καταμαρτυρησάντων αὐτοῦ, φησίν, οὐδὲν ἀπεκρίνατο αὐτοῖς ὁ Ἰησοῦς· «καὶ εἶπε πρὸς αὐτὸν ὁ ἡγεμών· ἀκούεις τί οὗτοί σου καταμαρτυροῦσι; Καὶ οὐδὲν ἀπεκρίνατο», ἀλλ' εἱστήκει σιγῶν. Τοῦτο

14. Ἡσ. 53,5.
15. Ἡσ. 53,6.
16. Ἡσ. 7,8.
17. Ματθ. 27,13.

αὐτό, ἀλλὰ καὶ ἀργότερα, ὅταν τοὺς δόθηκε ὁ ναὸς καὶ ὅλη ἡ ἄλλη λατρεία. Ἔπειτα, ὅταν ὁ ναὸς κάηκε καὶ ὁδηγήθηκαν ὅλοι στὴ Βαβυλῶνα αἰχμάλωτοι, καὶ πάλι ὁ Ἰεζεκιὴλ καὶ ὁ Δανιήλ, χωρὶς νὰ βλέπουν τὰ ἅγια τῶν ἁγίων, χωρὶς νὰ παρεστέκουν στὸ βωμό, ἀλλὰ βρισκόμενοι ἀνάμεσα σὲ ἀνθρώπους βάρβαρους, ἀνάμεσα σὲ παράνομους καὶ ἀκάθαρτους, ἐμπνέονταν ἀπὸ τὸ Πνεῦμα καὶ προφήτευαν τὰ μέλλοντα, καὶ προεῖπαν πράγματα πολὺ περισσότερα καὶ πιὸ παράδοξα ἀπὸ ὅσα εἶχαν πορφητεύσει οἱ προηγούμενοι, καὶ τὸ πρόσωπο τοῦ Θεοῦ εἶδαν, ὅσο βέβαια ἦταν δυνατὸ νὰ τὸ δοῦν. Πές μου λοιπόν, γιὰ ποιό λόγο δὲν ἔχετε τώρα προφῆτες; Δὲν εἶναι ὁλοφάνερο, ὅτι ὁ Θεὸς ἀποστράφηκε ὅλα τὰ δικά σας; Καὶ γιατί σᾶς ἀποστράφηκε; Εἶναι ὁλοφάνερο καὶ αὐτὸ πάλι, ὅτι σᾶς ἀποστράφηκε γιὰ Ἐκεῖνον ποὺ σταυρώσατε καὶ τὸ παράνομο ἐκεῖνο τόλμημά σας. Κι ἀπὸ ποῦ, λέγει, εἶναι φανερὸ αὐτό; Ἀπὸ τὸ ὅτι, ἐνῶ πρὶν ἀπ' αὐτὸ τὸ τόλμημά σας ἀσεβούσατε, εἴχατε ἐπιτυχία σὲ ὅλα, τώρα, μετὰ τὴ σταύρωση Ἐκείνου, ἐνῶ φαίνεσθε νὰ ζῆτε πιὸ σεμνά, ὑπομένετε μεγαλύτερη τιμωρία καὶ δὲν ἀπολαμβάνετε τίποτε ἀπὸ τὰ προηγούμενα.

5. Γιὰ νὰ μάθετε ὅμως τὴν αἰτία τῶν παρόντων κακῶν καὶ ἀπὸ τοὺς ἴδιους τοὺς προφῆτες, ποὺ τὴν διατυπώνουν μὲ σαφήνεια καὶ ἀπερίφραστα, ἀκοῦστε τί λέει ὁ προφήτης Ἠσαΐας, πῶς προλέγει καὶ τὴν εὐεργεσία ποὺ θὰ συμβῆ σὲ ὅλους ἀπὸ τὸν Χριστό, καὶ τὴ δική σας ἀχαριστία. «Μὲ τὸ τραῦμα αὐτοῦ», λέγει, «ἐμεῖς θεραπευθήκαμε»[14], προλέγοντας τὴ σωτηρία ποὺ θὰ προσφερόταν σὲ ὅλους μὲ τὸ σταυρό. Ἔπειτα, λέγοντας ἐμεῖς ποιοί ἤμασταν, πρόσθεσε· «ὅλοι πλανηθήκαμε σὰν πρόβατα, κάθε ἄνθρωπος πλανήθηκε στὸ δρόμο τῆς ζωῆς του»[15]. Μιλώντας πάλι γιὰ τὸν τρόπο τοῦ σταυρικοῦ θανάτου, λέγει τὰ ἑξῆς· «σὰν πρόβατο ὡδηγήθηκε στὴ σφαγὴ καὶ σὰν ἀμνὸς ἄφωνος μπροστὰ σ' ἐκεῖνον ποὺ τὸν κουρεύει, ἔτσι δὲν ἀνοίγει τὸ στόμα του· καὶ ἐξ αἰτίας τῆς ταπεινώσεώς του αὐτῆς καταπατήθηκε τὸ δίκαιό του κατὰ τὴ δίκη του»[16]. Καὶ ποῦ μποροῦμε νὰ δοῦμε ὅτι αὐτὰ ἐκπληρώθηκαν; Στὸ παράνομο δικαστήριο τοῦ Πιλάτου. Γιατί, λέγει, ἐνῶ τόσες κατηγορίες τοῦ εἶχαν ἀποδώσει, δὲν ἔδινε καμμιὰ ἀπάντηση ὁ Ἰησοῦς. «Καὶ εἶπε πρὸς αὐτὸν ὁ ἡγεμόνας· ἀκοῦς τί λένε αὐτοὶ ἐναντίον σου; Καὶ δὲν ἔδωσε καμμιὰ ἀπάντηση»[17], ἀλλὰ στεκόταν σιωπηλός. Αὐτὸ λοιπὸν ὁ προφήτης

τοίνυν ὁ προφήτης ἄνωθεν ἔλεγεν· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος».

Εἶτα δεικνὺς τὴν παρανομίαν τὴν ἐν τῷ διακαστηρίῳ γενομένην τότε, φησίν· «ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη». Οὐδεὶς αὐτὸν κατὰ τὸν τοῦ δικαίου λόγον ἐψηφίσατο τότε, ἀλλ' ἐδέξαντο τὰς ψευδεῖς μαρτυρίας τὰς κατ' αὐτοῦ. Τὸ δὲ αἴτιον διὰ τὸ μὴ βούλεσθαι αὐτὸν ἐπεξελθεῖν· εἰ γὰρ ἐβούλετο, πάντα ἂν ἐδόνησε καὶ ἔσεισεν. Εἰ γὰρ ἐπὶ τοῦ σταυροῦ τότε ὤν, τὰς πέτρας διέρρηξε, τὴν οἰκουμένην ἐσκότισε, τὰς ἀκτῖνας ἀπέστρεψε τὰς ἡλιακάς, νύκτα ἐν ἡμέρᾳ πανταχοῦ τῆς γῆς ἐποίησε καὶ ἐν τῷ δικαστηρίῳ δυνατὸς ἦν τοῦτο ποιῆσαι. Ἀλλ' οὐκ ἠθέλησε, πρᾳότητα καὶ ἐπιείκειαν ἐπιδεικνύμενος. Διὰ τοῦτό φησιν· «ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη». Εἶτα δεικνὺς ὡς οὐκ ἄνθρωπος ἦν εἷς τῶν πολλῶν, ἐπήγαγε· «τὴν γενὲν αὐτοῦ τίς διηγήσεται;». Τίς γάρ ἐστι περὶ οὗ φησιν ὅτι «αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ»; Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· «ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς φανερωθήσεσθε σὺν αὐτῷ ἐν δόξῃ».

Ἀλλ' ὅπερ προεθέμην εἰπεῖν καὶ δεῖξαι, ὅτι δι' αὐτὸν τὰ παρόντα ὑπομένουσι κακά, ὥρα λοιπὸν εἰσαγαγεῖν τὸν Ἠσαΐαν λέγοντα. Ποῦ τοίνυν τοῦτό φησι; Μετὰ τὸ δικαστήριον, μετὰ τὴν σφαγήν, μετὰ τὴν ἀντίληψιν, μετὰ τὸ εἰπεῖν ὅτι «αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ», ἐπήγαγε λέγων· «καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ». Καὶ οὐχ ἁπλῶς εἶπεν 'Ἰουδαίους', ἀλλὰ «τοὺς πονηρούς». Τί γὰρ ἐκείνων πονηρότερον γένοιτ' ἄν, οἳ μετὰ τὰς τοσαύτας εὐεργεσίας τὸν εὐεργέτην ἔσφαττον; Εἰ μὴ ἐξέβη ταῦτα καὶ ἠτίμωσθε νῦν καὶ πάντων ἀπεστέρησθε τῶν πατρῴων, εἰ μὴ ἔπεσεν ὑμῶν ἡ πόλις καὶ ἐρείπιον ἐγένετο ὁ ναὸς καὶ τραγῳδίαν ἅπασαν ὑπερέβη τὰ καθ' ὑμᾶς, μὴ πιστεύσῃς, ὦ Ἰουδαῖε. Εἰ δὲ τὰ πράγματα βοᾷ καὶ τέλος ἔλαβεν ἡ προφητεία, τίνος ἕνεκεν ἀναισχυντεῖς εἰκῇ καὶ μάτην; Ποῦ γὰρ τὰ σεμνὰ τὰ παρ' ὑμῖν νῦν; ποῦ ὁ ἀρχιερεύς; ποῦ δὲ ἡ στο-

18. Ἠσ. 53,8.
19. Ἠσ. 53,8.
20. Αὐτόθι.
21. Κολ. 3,3–4.
22. Ἠσ. 53,9.

ἔλεγε ἐμπνεόμενος ἀπὸ τὸ Πνεῦμα· «σὰν πρόβατο ὠδηγήθηκε στὴ σφαγὴ καὶ σὰν ἀμνὸς ἄφωνος ἐνώπιον ἐκείνου ποὺ τὸν κουρεύει»[18].

Ἔπειτα, γιὰ νὰ δείξη τὴν παρανομία ποὺ ἔγινε τότε στὸ δικαστήριο, λέγει· «καὶ μέσα στὴν ταπείνωση αὐτοῦ καταπατήθηκε τὸ δίκαιό του». Κανεὶς τότε, σύμφωνα μὲ τὴ λογικὴ τοῦ δικαίου, δὲν ἀποφάσισε γι' αὐτόν, ἀλλ' ὅλοι δέχθηκαν τὶς ἐναντίον του ψευδομαρτυρίες. Καὶ ἡ αἰτία γι' αὐτὸ ἦταν τὸ ὅτι δὲν θέλησε νὰ ἀντιταχθῆ, γιατὶ ἂν ἤθελε θὰ μποροῦσε νὰ τὰ δονήση ὅλα καὶ νὰ τὰ σείση. Γιατί, ἂν ἐνῶ βρισκόταν ἐπάνω στὸ σταυρὸ διέρρηξε τὶς πέτρες, ἐσκότισε τὴν οἰκουμένη, ἀπέκρυψε τὶς ἀκτῖνες τοῦ ἥλιου, μεταβάλλοντας τὴν ἡμέρα σὲ νύκτα σὲ κάθε γωνιὰ τῆς γῆς, μποροῦσε νὰ τὸ κάμη αὐτὸ καὶ βρισκόμενος μέσα στὸ δικαστήριο. Ἀλλὰ δὲν θέλησε, δείχνοντας πραότητα καὶ ἐπιείκεια. Γι' αὐτὸ λέγει· «καὶ μέσα στὴ ταπείνωσή του καταπατήθηκε τὸ δίκαιό του». Ἔπειτα, γιὰ νὰ δείξη, ὅτι δὲν ἦταν ἕνας ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους, πρόσθεσε· «τὴ γενεά του ποιός θὰ τὴ διηγηθῆ;»[19]. Γιατί, ποιός εἶναι αὐτός, γιὰ τὸν ὁποῖο λέγει, «ἀφαιρεῖται ἀπὸ τὴ γῆ ἡ ζωή του ἄδικα»[20]; Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «ἡ ζωή μας ἔχει κρυβῆ μαζί μὲ τὸν Χριστὸ στὸν Θεό. Ὅταν ὁ Χριστὸς θὰ φανερωθῆ, ποὺ εἶναι ἡ ζωή μας, τότε καὶ σεῖς θὰ φανερωθῆτε μαζὶ μ' αὐτὸν μὲ δόξα»[21].

Ἀλλ' ἐκεῖνο ποὺ σκόπευα νὰ πῶ καὶ νὰ δείξω, ὅτι ἐξ αἰτίας αὐτοῦ ὑποφέρουν τὰ παρόντα δεινά, εἶναι τώρα ἡ κατάλληλη στιγμὴ νὰ παρουσιάσω τὸν Ἠσαΐα νὰ τό λέγη. Ποῦ λοιπὸν τὸ λέγει αὐτό; Ἀφοῦ μίλησε γιὰ τὸ δικαστήριο, γιὰ τὴ σφαγή, γιὰ τὴν ἀνάληψη, καὶ ἀφοῦ εἶπε, «ἀφαιρεῖται ἀπὸ τὴ γῆ ἡ ζωή του», πρόσθεσε καὶ εἶπε· «καὶ θὰ παραδώσω γιὰ τιμωρία τοὺς πονηροὺς πρὸς ἐκδίκηση τῆς ταφῆς του, καὶ τοὺς πλουσίους πρὸς ἐκδίκηση τοῦ θανάτου του»[22]. Καὶ δὲν εἶπε ἁπλῶς "Ἰουδαίους', ἀλλὰ «τοὺς πονηρούς». Γιατί, τί θὰ μποροῦσε νὰ ὑπάρξη πονηρότερο ἀπὸ ἐκείνους, οἱ ὁποῖοι μετὰ τὶς τόσες δωρεὲς ἔσφαξαν τὸν εὐεργέτη τους; Ἂν αὐτὰ δὲν ἐκπληρώθηκαν καὶ σεῖς δὲν ζούσατε τώρα σὲ ἀτίμωση καὶ δὲν εἴχατε στερηθῆ ὅλα τὰ πατρικὰ ἀγαθά, ἂν δὲν κυριευόταν ἡ πόλη σας καὶ δὲν γινόταν ἐρείπιο ὁ ναὸς καὶ ἡ κατάστασή σας δὲν ξεπερνοῦσε κάθε ἄλλη τραγωδία, μὴ πιστεύῃς, Ἰουδαῖε. Ἂν ὅμως τὰ πράγματα βοοῦν καὶ ἡ προφητεία ἐκπληρώθηκε, γιὰ ποιό λόγο μάταια καὶ ἀνώφελα φέρεσαι μὲ ἀδιαντροπιά; Γιατί, ποῦ εἶναι τώρα ὅλα ἐκεῖνα τὰ σεμνά σας; ποῦ ὁ ἀρχιερέας; ποῦ ἡ στολή; ποῦ τὸ

λὴ καὶ τὸ λογεῖον καὶ ἡ δήλωσις; Μὴ γάρ μοι τοὺς πατριάρχας τούτους εἴπῃς, τοὺς καπήλους, τοὺς ἐμπόρους, τοὺς πάσης παρανομίας γέμοντας. Ποῖος ἱερεύς, εἰπέ μοι, χρίσματος οὐκ ὄντος ἐκείνου τοῦ παλαιοῦ, οὐδὲ τῆς ἄλλης ἁγιαστίας ἁπάσης; Ποῖος ἱερεύς, εἰπέ μοι, θυσίας οὐκ οὔσης, οὐδὲ βωμοῦ, οὐδὲ λατρείας; Βούλει σοι τοὺς περὶ τῆς ἱερωσύνης λαλήσω νόμους, πῶς τὸ παλαιὸν ἐγίνοντο; Ἵνα μάθῃς ὅτι οὗτοι οἱ νῦν πατριάρχαι παρ' ὑμῖν λεγόμενοι οὐχ ἱερεῖς εἰσιν, ἀλλὰ ἱερεῖς ὑποκρίνονται καὶ παίζουσι καθάπερ ἐν τῇ σκηνῇ, μᾶλλον δὲ οὐδὲ ὑπόκρισιν διατηρῆσαι δύνανται (τοσοῦτον οὐχὶ τῆς ἀληθείας μόνον, ἀλλὰ καὶ τῆς ὑποκρίσεως αὐτῆς ἐξηκοντίσθησαν). Ἀναμνήσθητι τοίνυν πῶς Ἀαρὼν ἐγένετο ἱερεὺς τότε, πόσας ἐπ' αὐτῷ θυσίας ἔθυσεν ὁ Μωϋσῆς, πόσα κατέβαλεν ἱερεῖα, πῶς αὐτὸν ἔλουσε, πῶς αὐτοῦ ἔχρισε τὸν λοβὸν τοῦ ὠτίου, τὴν χεῖρα τὴν δεξιάν, τὸν πόδα τὸν δεξιόν· εἶτα εἰς τὰ ἅγια τῶν ἁγίων εἰσήγαγεν· εἶτα ἐκέλευσε ῥητόν τινα ἀριθμὸν ἡμερῶν ἔνδον μεῖναι. Μᾶλλον δὲ καὶ αὐτῶν ἄξιον ἀκοῦσαι τῶν ῥήσεων.

«Αὕτη», φησίν, «ἡ χρίσις Ἀαρών, καὶ ἡ χρίσις τῶν υἱῶν αὐτοῦ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· λαβὲ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς στολὰς αὐτῶν καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ κριὸν καὶ ἐκκλησίασον τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ εἶπε Μωϋσῆς πάσῃ τῇ συναγωγῇ· τοῦτο τὸ ῥῆμα ὃ ἐνετείλατο Κύριος. Καὶ ἐπειδὴ προσήγαγεν αὐτοὺς» (δεῖ γὰρ συντεμεῖν), «ἔλουσεν αὐτοὺς ὕδατι, ἐνέδυσε τὸν χιτῶνα, ἔζωσε τὴν ζώνην, ἐνέδυσε τὸν ἐπενδύτην, ἐπέθηκε τὴν ἐπωμίδα, ἔζωσεν αὐτὸν καὶ συνέσφιγξεν, ἐπέθηκε τὸ λογεῖον καὶ ἐπὶ τὸ λογεῖον τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν καὶ τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἐπὶ τῆς μίτρας τὸ πέταλον τὸ χρυσοῦν· εἶτα λαβὼν ἀπὸ ἐλαίου, ἐπέρρανεν ἀπ' αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον καὶ ἡγίασεν αὐτὸ καὶ τὰ σκεύη καὶ τὸν λουτῆρα καὶ τὴν βάσιν καὶ ἡγίασεν αὐτὰ καὶ ἐπέχεεν ἀπ' αὐτοῦ ἐπὶ τὴν κεφαλὴν Ἀαρών· καὶ τοῖς υἱοῖς αὐτοῦ ὁμοίως ἐποίησε καὶ προσήγαγε τὸν μόσχον. Καὶ ἐπειδὴ ἔθυσεν, ἐπιθέντος Ἀαρὼν τὰς χεῖρας καὶ τῶν υἱῶν αὐτοῦ, ἀπὸ τοῦ αἵματος λαβών, ἔθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου καὶ ἐκαθάρισε τὸ θυσιαστήριον καὶ τὸ αἷμα ἐξέ-

προφητικὸ ἐπιστήθιό του καὶ ἡ δήλωση τῶν πετραδίων; Μὴ μοῦ ἀναφέρης τοὺς τωρινοὺς πατριάρχες, τοὺς κάπηλους, τοὺς ἐμπόρους, τοὺς γεμάτους ἀπὸ κάθε παρανομία. Ποιός εἶναι ἱερεύς, πές μου, χωρὶς νὰ ὑπάρχη τὸ παλαιὸ ἐκεῖνο χρίσμα καὶ ὅλη ἡ ἄλλη ἱεροτελεστία; Ποιός εἶναι ἱερεύς, πές μου, χωρὶς νὰ ὑπάρχη θυσία οὔτε βωμὸς οὔτε λατρεία; Θέλεις νὰ σοῦ πῶ γιὰ τοὺς νόμους τῆς ἱερωσύνης, πῶς γίνονταν τὰ παλαιὰ ἐκεῖνα χρόνια οἱ ἱερεῖς; Γιὰ νὰ μάθης, ὅτι αὐτοὶ ποὺ σήμερα ὀνομάζονται ἀπὸ σᾶς πατριάρχες, δὲν εἶναι ἱερεῖς, ἀλλ' ὑποκρίνονται ὅτι εἶναι ἱερεῖς καὶ παίζουν σὰν ἠθοποιοὶ στὴ σκηνή, ἢ καλύτερα οὔτε καὶ τὴν ὑποκρισία μποροῦν νὰ διατηρήσουν (τόσο πολὺ ἔχουν ἀπομακρυνθῆ ὄχι μόνο ἀπὸ τὴν ἀλήθεια, ἀλλὰ καὶ ἀπὸ τὴν ἴδια τὴν ὑποκρισία), γιὰ νὰ τὸ μάθης λοιπὸν θυμήσου, πῶς ὁ 'Ααρὼν ἔγινε τότε ἱερεύς, πόσες θυσίες πρόσφερε ὁ Μωϋσῆς γιὰ τὸ γεγονὸς αὐτό, πόσα θύματα θυσίασε, πῶς τὸν ἔλουσε, πῶς τοῦ ἔχρισε τὸν λοβὸ τοῦ αὐτιοῦ του, τὸ δεξὶ χέρι καὶ τὸ δεξί του πόδι, καὶ ὕστερα τὸν ὡδήγησε μέσα στὰ ἅγια τῶν ἁγίων καὶ διέταξε νὰ μείνη ἐκεῖ μέσα γιὰ ὡρισμένες ἡμέρες. Ἢ καλύτερα ἀξίζει ν' ἀκούσουμε καὶ αὐτὰ τὰ λόγια.

«Αὐτή», λέγει, «εἶναι ἡ χρίση τοῦ 'Ααρὼν καὶ ἡ χρίση τῶν υἱῶν αὐτοῦ. Καὶ μίλησε ὁ Κύριος πρὸς τὸν Μωϋσῆ καὶ τοῦ εἶπε. 'Πάρε τὸν 'Ααρὼν καὶ τοὺς υἱούς του καὶ τὶς στολὲς αὐτῶν καὶ τὸ λάδι τῆς χρίσεως καὶ τὸν μόσχο ποὺ θὰ προσφερθῆ γιὰ τὶς ἁμαρτίες καὶ ἕναν κριὸ καὶ συγκέντρωσε ὅλους τοὺς 'Ισραηλῖτες μπροστὰ στὴ θύρα τῆς σκηνῆς τοῦ μαρτυρίου'. Καὶ εἶπε Μωϋσῆς σ' ὅλους τοὺς συγκεντρωθέντες. 'Αὐτὴ εἶναι ἡ ἐντολὴ τοῦ Κυρίου γιὰ τὴ χειροτονία τῶν ἱερέων'». Καὶ ἀφοῦ ὡδήγησε αὐτοὺς (γιατὶ πρέπει νὰ συντομεύσω), τοὺς ἔλουσε μὲ νερό, ἔντυσε αὐτὸν καὶ τὸν ἔζωσε μὲ τὴ ζώνη, ἔθεσε ἐπάνω του τὸ λογεῖο καὶ ἐπάνω στὸ λογεῖο τὴ δήλωση καὶ τὴν ἀλήθεια, ἔβαλε τὴ μήτρα ἐπάνω στὸ κεφάλι του καὶ ἐπάνω στὴ μήτρα τὸ χρυσὸ πέταλο· ἔπειτα πῆρε ἀπὸ τὸ λάδι τῆς χρίσεως καὶ ράντισε μ' αὐτὸ τὸ θυσιαστήριο καὶ ἁγίασεν αὐτό, ἁγίασε καὶ τὰ σκεύη καὶ τὸν λουτήρα καὶ τὴ βάση καὶ ἔχυσε ἀπὸ αὐτὸ ἐπάνω στὸ κεφάλι τοῦ 'Ααρών. Τὸ ἴδιο ἔκαμε καὶ στοὺς υἱοὺς αὐτοῦ καὶ μετὰ διέταξε νὰ φέρουν τὸ μοσχάρι. Καὶ ἀφοῦ τὸ θυσίασε μετὰ τὴν τοποθέτηση ὑπὸ τοῦ 'Ααρὼν καὶ τῶν υἱῶν του τῶν χεριῶν τους ἐπάνω σ' αὐτό, πῆρε ἀπὸ τὸ αἷμα καὶ ἔβαλε στὰ κέρατα τοῦ θυσιαστηρίου καὶ καθάρισε τὸ θυσιαστήριο καὶ τὸ αἷμα τὸ ἔχυσε στὴ

χεεν ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου καὶ ἡγίασεν αὐτὸ τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ. Εἶτα, ἐπειδή τινα ἐξ αὐτοῦ κατάκαυσε, τὰ μὲν ἔνδον, τὰ δὲ ἔξω, ἤγαγε πάλιν κριὸν καὶ αὐτὸν ὠλοκαύτωσε καὶ προσήγαγε πάλιν κριὸν ἕτερον τὸν τῆς τελειώσεως. Καὶ πάλιν ἐπιθέντος Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ τὰς χεῖρας, ἔσφαξε. Καὶ ἀπὸ τοῦ αἵματος αὐτοῦ λαβών, ἐπέθηκεν ἐπὶ τὸν λοβὸν τοῦ ὠτίου Ἀαρὼν τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ, καὶ τοῖς υἱοῖς αὐτοῦ οὕτως ἐποίησεν. Εἶτά τινα τῆς θυσίας λαβών, ἐπέθηκεν ἐπὶ ταῖς χερσὶν Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ. Καὶ ἡγίασεν αὐτοὺς καὶ ἐκέλευσεν ἑψῆσαι κρέας ἐν τῇ αὐλῇ τῆς σκηνῆς καὶ ἐκεῖ φαγεῖν αὐτό· καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε, φησίν, ἑπτὰ ἡμέρας ἕως ἡ ἡμέρα πληρωθῇ, ἡμέρα τελειώσεως ὑμῶν· ἑπτὰ γὰρ ἡμέρας τελειώσει τὰς χεῖρας ὑμῶν, ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν».

Ὅταν οὖν λέγῃ ὅτι διὰ τούτων ὁ Ἀαρὼν ἐτελειώθη, διὰ τούτων ἐκαθαρίσθη, διὰ τούτων ἡγιάσθη, διὰ τούτων ἐξιλάσατο τὸν Θεόν, μηθὲν δὲ τούτων γίνηται νῦν, μήτε θυσία, μήτε ὁλοκαύτωσις, μήτε αἵματος ῥαντισμός, μήτε ἐλαίου χρίσις, μήτε σκηνὴ ἡ τοῦ μαρτυρίου, μήτε τὸν ὡρισμένον τῶν ἡμερῶν ἀριθμὸν ἔνδον καθέζηται, εὔδηλον ὅτι καὶ ἀτελὴς καὶ ἀκάθαρτος καὶ ἐναγὴς καὶ βέβηλός ἐστιν ὁ παρ' αὐτοῖς ἱερεὺς νῦν καὶ τὸν Θεὸν παροξύνει. Εἰ γὰρ ἄλλως οὐκ ἔνι αὐτὸν τελειωθῆναι ἀλλ' ἢ διὰ τούτων, ἀνάγκη πᾶσα, τούτων μὴ γινομένων, ἱερωσύνην αὐτοῖς μὴ συνεστάναι. Ὁρᾷς ὅτι δικαίως ἔλεγον ὅτι οὐχὶ τῆς ἀληθείας μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς ὑποκρίσεως τοῦ πράγματος ἐξηκοντίσθησαν μακράν που καὶ πόρρω γενόμενοι.

6. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθέν ἐστι μαθεῖν πῶς σεμνὸν τὸ τῆς ἱερωσύνης ἦν ἀξίωμα. Ὅτε γοῦν τῷ Ἀαρὼν ἐπανέστησαν μιαροί τινες καὶ πανώλεθροι, τῆς ἀρχῆς αὐτὸν ἐκβαλεῖν ἐπιχειροῦντες καὶ ὑπὲρ τῆς τιμῆς πρὸς αὐτὸν ἀμφισβητοῦντες, ὁ πρᾳότατος Μωϋσῆς, βουλόμενος αὐτοὺς πεῖσαι διὰ τῶν πραγμά-

23. Λευϊτ. 7,35. 8,1–34.

βάση τοῦ θυσιαστηρίου καὶ ἁγίασε αὐτὸ γιὰ νὰ προσφέρωνται ἐπάνω σ' αὐτὸ οἱ θυσίες ἐξιλασμοῦ τῶν ἁμαρτιῶν. Ἔπειτα, ἀφοῦ ἔκαυσε μερικὰ μέρη αὐτοῦ, ἄλλα μέσα στὴν παρεμβολὴ καὶ ἄλλα ἔξω, ὡδήγησε καὶ τὸν κριὸ καὶ τὸν πρόσφερε ὡς ὁλοκαύτωμα. Ὡδήγησε καὶ ἄλλον κριὸ γιὰ νὰ προσφερθῆ θυσία πρὸς ὁλοκλήρωση τῆς χειροτονίας. Καὶ πάλι ἀφοῦ ἔθεσαν ὁ Ἀαρὼν καὶ οἱ υἱοί του τὰ χέρια τους ἐπάνω σ' αὐτόν, τὸν ἔσφαξε. Πῆρε τότε αἷμα ἀπὸ αὐτὸν καὶ ἔχρισε τὸν λοβὸ τοῦ δεξιοῦ αὐτιοῦ τοῦ Ἀαρών, τὸ ἄκρο τοῦ δεξιοῦ χεριοῦ του καὶ τὸ ἄκρο τοῦ δεξιοῦ ποδιοῦ του, κάμνοντας τὸ ἴδιο καὶ στοὺς υἱούς του. Ἔπειτα παίρνοντας ἕνα μέρος ἀπὸ τὸ θυσιασμένο, τὸ ἔβαλε στὰ χέρια τοῦ Ἀαρὼν καὶ τῶν υἱῶν του καὶ αὐτὰ τὰ πρόσφερε στὸ Θεό. Καὶ παίρνοντας στὴ συνέχεια αἷμα καὶ λάδι ράντισε τὸν Ἀαρὼν καὶ τὶς στολές του καθὼς καὶ τοὺς υἱούς του καὶ τὶς στολὲς τῶν υἱῶν του καὶ τοὺς ἁγίασε. Πρόσταξε τότε νὰ ψήσουν τὸ κρέας στὴν αὐλὴ τῆς σκηνῆς καὶ νὰ τὸ φάγουν ἐκεῖ. «Καὶ δὲν θὰ βγῆτε», λέγει, «ἀπὸ τὴ θύρα τῆς σκηνῆς τοῦ μαρτυρίου ἐπὶ ἑπτὰ ἡμέρες, μέχρι ποὺ νὰ συμπληρωθῆ ἡ ἡμέρα, ἡ ἡμέρα τῆς τελειώσεώς σας. Γιατὶ ἑπτὰ ἡμέρες ἀπαιτοῦνται γιὰ τὴν καθιέρωση τῶν χεριῶν σας, γιὰ τὴν καθιέρωση σας»[23].

Ὅταν λοιπὸν λέγη, ὅτι μὲ ὅλα αὐτὰ ὁ Ἀαρὼν τελειώθηκε, ὅτι μὲ αὐτὰ καθαρίστηκε, ὅτι μὲ αὐτὰ ἁγιάσθηκε, ὅτι μὲ αὐτὰ ἐξιλέωσε τὸν Θεό, καὶ τίποτε ἀπ' ὅλα αὐτὰ δὲν γίνεται σήμερα, οὔτε θυσία οὔτε ὁλοκαύτωμα οὔτε ραντισμὸς μὲ αἷμα οὔτε χρίση μὲ λάδι οὔτε ἡ σκηνὴ τοῦ μαρτυρίου ὑπάρχει οὔτε κάθεται μέσα γιὰ ὡρισμένες ἡμέρες, εἶναι ὁλοφάνερο, ὅτι ὁ σημερινὸς ἱερεύς τους εἶναι καὶ ἀτελὴς καὶ ἀκάθαρτος καὶ ἀνίερος καὶ βέβηλος καὶ τὸν Θεὸ παροργίζει. Γιατί, ἂν αὐτὸς δὲν μπορῆ νὰ γίνη ἱερεὺς ἀλλιῶς, παρὰ μόνο μὲ ὅλα αὐτά, ἀναγκαστικὰ τότε, ἀφοῦ αὐτὰ δὲν γίνονται, νὰ μὴ ὑπάρχη σ' αὐτοὺς ἱερωσύνη. Βλέπεις ὅτι σωστὰ ἔλεγα, ὅτι αὐτοὶ ἔχουν πάρα πολὺ ἀπομακρυνθῆ ὄχι μόνο ἀπὸ τὴν ἀλήθεια, ἀλλὰ καὶ ἀπὸ τὴν ὑποκρισία τοῦ πράγματος.

6. Καὶ ὄχι μόνο ἀπὸ αὐτά, ἀλλὰ καὶ ἀπὸ ἄλλου μποροῦμε νὰ μάθουμε πόσο σεμνὸ ἦταν τῆς ἱερωσύνης τὸ ἀξίωμα. Ὅταν δηλαδὴ ἐπανεστάτησαν ἐναντίον τοῦ Ἀαρὼν μερικοὶ μιαροὶ καὶ ἐπάρατοι, ἐπιχειρώντας νὰ τοῦ ἀφαιρέσουν τὸ ἀξίωμά του, ἐπειδὴ ἀμφισβητοῦσαν τὴν ἀξία του, ὁ πραότατος Μωϋσῆς, θέλοντας νὰ τοὺς πείση

των αὐτῶν, ὅτι οὐχ ὡς ἀδελφὸν καὶ προσήκοντα καὶ οἰκεῖον ἐπὶ ταύτην ἤγαγε τὴν ἀρχήν, ἀλλὰ τῇ ψήφῳ τοῦ Θεοῦ πειθόμενος ἐνεχείρισεν αὐτῷ τὴν ἱερωσύνην ἐκείνην, ἐκέλευσεν ἀνὰ ἑκάστῃ φυλῇ ῥάβδον κομίσαι, ἔτι δὲ καὶ τῷ Ἀαρών. Ἐπειδὴ δὲ ἐκόμισαν, λαβὼν αὐτὰς ἁπάσας, ἔνδον ἀπέθετο, καὶ ἀποθέμενος, τὴν τοῦ Θεοῦ λοιπὸν κρίσιν ἀναμένειν ἐκέλευσε τὴν διὰ τῶν ῥάβδων γινομένην ἐκείνων. Εἶτα ἀθρόον τῶν ἄλλων μενουσῶν ἐπὶ τοῦ αὐτοῦ σχήματος, ἡ τοῦ Ἀαρὼν ἐβλάστησε μόνη καὶ φύλλα ἤνεγκε καὶ καρπούς, ἵνα μάθωσιν ὅτι ὁ τῆς φύσεως Δεσπότης πάλιν αὐτὸν ἐχειροτόνει, ἀντὶ γραμμάτων τοῖς φύλλοις χρώμενος. Ὁ γὰρ εἰπὼν ἐξ ἀρχῆς, «βλαστησάτω ἡ γῆ βοτάνην χόρτου» καὶ τὴν δύναμιν αὐτῆς πρὸς καρπογονίαν διεγείρας, οὗτος καὶ τὸ ξύλον τότε ἐκεῖνο, ξηρὸν ὂν καὶ ἄκαρπον καὶ γῆς χωρὶς καὶ ῥίζης, βλαστῆσαι ἐποίησε· καὶ ἦν λοιπὸν ἔλεγχος καὶ μάρτυς καὶ τῆς ἐκείνων κακίας καὶ τῆς τοῦ Θεοῦ κρίσεως ἡ ῥάβδος ἐκείνη, φωνὴν μὲν οὐκ ἀφιεῖσα, σάλπιγγος δὲ λαμπρότερον διὰ τῆς ὄψεως πᾶσι παραινοῦσα, μηκέτι τοῖς τοιούτοις ἐπιχειρεῖν πράγμασι.

Καὶ οὐ τούτῳ μόνον, ἀλλὰ καὶ ἑτέρῳ πάλιν αὐτὸν ἐχειροτόνησε τρόπῳ. Ἐπειδὴ γὰρ πολλοὶ συστάντες ἐπεθύμουν αὐτοῦ τῆς τιμῆς (περιμάχητον γάρ πως ἡ ἀρχὴ καὶ πολλοῖς ἐπέραστον) ἐκέλευσε πυρεῖα πάλιν ἐνεγκόντας καὶ θυμίαμα ἐπιθέντας, τὴν ἄνωθεν ἀναμένειν ψῆφον. Καὶ θυμιώντων αὐτῶν, ἡ γῆ διαστᾶσα πάντας κατέπιε τοὺς συναιρουμένους αὐτοῖς καὶ τοὺς τὰ πυρεῖα λαβόντας ἄνωθεν κατέφλεξε πῦρ. Καὶ ἵνα μὴ τῷ χρόνῳ λήθῃ τὸ γινόμενον παραδοθῇ καὶ ἀγνοεῖν τοὺς μετὰ ταῦτα ποιῇ τὴν παράδοξον τοῦ Θεοῦ ψῆφον προσέταξεν ὁ Μωϋσῆς ἐκεῖνα τὰ πυρεῖα λαβόντας περιελάσαι τῷ θυσιαστηρίῳ, ἵν', ὥσπερ ἡ ῥάβδος χωρὶς φωνῆς ἠφίει φωνὴν διὰ τῆς ὄψεως, οὕτω καὶ τὰ πέταλα ταῦτα τοῖς μετὰ ταῦτα διαλέγηται πᾶσι καὶ παραινῇ καὶ συμβουλεύῃ, μηδαμῶς μιμεῖσθαι τὴν τῶν προτέρων ἄνοιαν, ἵνα μὴ τὴν αὐτὴν ὑπομείνωσι δίκην.

24. Γεν. 1,11.
25. Γεν. 2,11. Ἀριθμ. 17.

μὲ τὰ ἴδια τὰ πράγματα, ὅτι δηλαδὴ δὲν τὸν ἀνέβασε στὸ ἀξίωμα αὐτὸ ἐπειδὴ ἦταν ἀδελφὸς καὶ συγγενὴς καὶ φίλος, ἀλλά, ὑπακούοντας στὴν ἀπόφαση τοῦ Θεοῦ, τοῦ ἐμπιστεύθηκε τὸ ἀξίωμα τῆς ἱερωσύνης, διέταξε τὴν κάθε φυλὴ καθὼς καὶ τὸ Ἀαρὼν νὰ φέρουν ἀπὸ μία ράβδο. Κι ἀφοῦ τὶς ἔφεραν, τὶς πῆρε ὅλες καὶ τὶς τοποθέτησε μέσα στὴ σκηνὴ τοῦ Μαρτυρίου καὶ ἀφοῦ τὶς τοποθέτησε, διέταξε νὰ περιμένουν τὴν ἀπόφαση τοῦ Θεοῦ, ποὺ θὰ φανερωνόταν μὲ τὶς ράβδους αὐτές. Τὴν ἑπομένη, ἐνῶ οἱ ἄλλες παρέμειναν ὅπως ἦταν, μόνο ἡ ράβδος τοῦ Ἀαρὼν βλάστησε, ἔβγαλε φύλλα καὶ καρποφόρησε, γιὰ νὰ μάθουν ὅτι ὁ Δεσπότης τῆς φύσεως χειροτονοῦσε πάλι τὸν Ἀαρών, χρησιμοποιώντας ἀντὶ γραμμάτων τὰ φύλλα. Γιατί, αὐτὸς ποὺ εἶπε στὴν ἀρχὴ «ἂς βλαστήση ἡ γῆ βοτάνη χόρτου»[24] καὶ διήγειρε τὴ δύναμή της σὲ καρποφορία, αὐτὸς καὶ τὸ ξύλο ἐκεῖνο, τὸ ξερὸ καὶ ἄκαρπο καὶ χωρὶς χῶμα καὶ ρίζα, τὸ ἔκαμε νὰ βλαστήση. Καὶ ἀπέβηκε τότε ἡ ράβδος ἐκείνη ἔλεγχος καὶ μάρτυρας καὶ τῆς κακίας ἐκείνων καὶ τῆς ἀποφάσεως τοῦ Θεοῦ, μὴ ἀφήνοντας βέβαια φωνή, ἀλλὰ συμβουλεύοντας ὅλους μὲ τὸ ὅλο θέαμά της λαμπρότερα καὶ ἀπὸ τὸν ἦχο τῆς σάλπιγγας, νὰ μὴ ἐπιχειροῦν ποτὲ πιὰ τέτοια πράγματα[25].

Καὶ ὄχι μόνο μὲ αὐτόν, ἀλλὰ καὶ μὲ ἄλλον τρόπο χειροτόνησε πάλι τὸν ἴδιο. Ἐπειδὴ δηλαδὴ πολλοὶ Ἰουδαῖοι ξεσηκώθηκαν καὶ ἐπιθυμοῦσαν νὰ λάβουν τὸ ἀξίωμά του (γιατὶ ἡ ἐξουσία εἶναι ἕνα πρᾶγμα γιὰ τὸ ὁποῖον μάχονται ὅλοι καὶ τὸ ἐπιθυμοῦν), τοὺς διέταξε πάλι, ἀφοῦ φέρουν θυμιατήρια καὶ βάλουν σ' αὐτὰ θυμίαμα, νὰ περιμένουν τὴν κρίση τοῦ Θεοῦ. Καὶ ἐνῶ θυμίαζαν αὐτοὶ ἄνοιξε ἡ γῆ στὰ δύο καὶ κατάπιε ὅλους τοὺς στασιαστὲς καὶ φωτιὰ ποὺ ἦλθε ἀπὸ τὸν οὐρανὸ κατέκαυσε ἐκείνους ποὺ κρατοῦσαν τὰ θυμιατήρια. Καὶ γιὰ νὰ μὴ λησμονηθῆ μὲ τὸ πέρασμα τοῦ χρόνου τὸ γεγονὸς αὐτὸ καὶ μείνη ἄγνωστη στοὺς μεταγενεστέρους ἡ παράδοξη ἀπόφαση τοῦ Θεοῦ, διέταξε ὁ Μωϋσῆς, ἀφοῦ πάρουν ἐκεῖνα τὰ θυμιατήρια, νὰ τὰ κρεμάσουν γύρω ἀπὸ τὸ θυσιαστήριο, ὥστε, ὅπως ἡ ράβδος χωρὶς νὰ ἔχη φωνὴ ἄφηνε μὲ τὴν ἐμφάνισή της κραυγή, ἔτσι καὶ τὰ θυμιατήρια νὰ ἀφήνουν φωνὴ σὲ ὅλους τοὺς μεταγενεστέρους καὶ νὰ τοὺς προτρέπουν καὶ νὰ τοὺς συμβουλεύουν νὰ μὴ μιμοῦνται σὲ καμμιὰ περίπτωση τὴν ἀνοησία τῶν παλαιῶν, γιὰ νὰ μὴν ὑποστοῦν τὴν ἴδια τιμωρία.

Ὁρᾷς πῶς τὸ παλαιὸν οἱ ἱερεῖς ἐχειροτονοῦντο; Νυνὶ δὲ παίγνια τὰ παρὰ Ἰουδαίοις πάντα καὶ γέλως καὶ αἰσχύνη καὶ καπηλεία καὶ μυρίας μεστὰ παρανομίας. Τούτοις οὖν ἀκολουθεῖς, εἰπέ μοι, τοῖς ἀπεναντίας ἀεὶ τοῖς τοῦ Θεοῦ νόμοις ἅπαντα καὶ ποιεῖν καὶ λέγειν φιλονεικοῦσι καὶ πρὸς τὰς συναγωγὰς αὐτῶν τρέχεις; Καὶ οὐ δέδοικας μὴ σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταφλέξῃ σου τὴν κεφαλήν; Οὐκ οἶδας ὅτι, κἂν μὴ λῃστεύῃ τις, ἐν δὲ τῷ τῶν λῃστευόντων σπηλαίῳ φανῇ, τὴν αὐτὴν ἐκείνοις δίδωσι δίκην; Καί τί λέγω τὰ τῶν λῃστῶν; Ἴστε δή που πάντες καὶ μέμνησθε, ὅτε τοὺς ἀνδριάντας καθεῖλον παρ' ἡμῖν μιαροί τινες ἄνθρωποι καὶ γόητες, πῶς οὐκ ἐκεῖνοι μόνον ὁ τολμήσαντες, ἀλλὰ καὶ ὅσοι παρόντες ἁπλῶς τοῖς γενομένοις ἐφάνησαν, εἰς δικαστήριον ἀναρπασθέντες, καὶ συνηπαχθέντες ἐκείνοις, τὴν ἐσχάτην ἔδωκαν δίκην; Σὺ δέ, ἔνθα Πατὴρ ὑβρίζεται καὶ Υἱὸς βλασφημεῖται ἔνθα τὸ Πνεῦμα τὸ ἅγιον καὶ ζωοποιὸν ἀθετεῖται, σπεύδεις τρέχειν, εἰπέ μοι; Καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις εἰς τοὺς βεβήλους καὶ ἀκαθάρτους τόπους ἐκείνους σαυτὸν εἰσάγων; Καὶ ποίαν ἕξεις, εἰπέ μοι, ἀπολογίαν, τίνα συγγνώμην, ἑκὼν σεαυτὸν εἰς τὸ βάραθρὸν ὠθῶν καὶ κατὰ κρημνῶν ἀφείς;

Μή γάρ μοι τοῦτο εἴπῃς, ὅτι νόμος ἐκεῖ κεῖται καὶ προφητῶν βιβλία. Οὐκ ἀρκεῖ τοῦτο ποιῆσαι τόπον ἅγιον. Τί γὰρ μεῖζόν ἐστι βιβλία κεῖσθαι ἐν τόπῳ ἢ φθέγγεσθαι τὰ ἀπὸ τῶν βιβλίων; Εὔδηλον ὅτι τὰ ἀπὸ τῶν βιβλίων φθέγγεσθαι καὶ ἔχειν ἐν διανοίαις. Τί οὖν, εἰπέ μοι, ἐπειδὴ ὁ διάβολος ἐφθέγξατο ἀπὸ τῶν Γραφῶν, ἆρα ἡγιάσθη αὐτοῦ τὸ στόμα; Οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ἔμεινεν ὢν ὁ διάβολος. Τί δὲ οἱ δαίμονες; Ἐπειδὴ ἐκήρυττον καὶ ἔλεγον, «οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ εἰσι τοῦ ὑψίστου, καταγγέλλοντες ὑμῖν ὁδὸν σωτηρίας», ἆρα οὖν διὰ τοῦτο εἰς τοὺς ἀπόστολους αὐτοὺς ἐντάξομεν; Οὐδαμῶς, ἀλλ' ὁμοίως αὐτοὺς μένομεν ἀποστρεφόμενοι καὶ μισοῦντες. Εἶτα ῥήματα μὲν προφερόμενα οὐχ ἁγιάζει, τὰ δὲ βιβλία κείμενα ἁγίαζει; Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον;

Διὰ τοῦτο μάλιστα μὲν μισῶ τὴν συναγωγήν, ἐπειδὴ τὸν νό-

26. Πράξ. 16,17.

Βλέπεις πῶς χειροτονοῦνταν τὴν παλαιὰ ἐποχὴ οἱ ἱερεῖς; Τώρα ὅμως ὅλα ὅσα συμβαίνουν στοὺς Ἰουδαίους εἶναι παιχνίδια καὶ χλευασμὸς καὶ ντροπὴ καὶ καπηλεία καὶ γεμᾶτα ἀπὸ μύριες παρανομίες. Πές μου, αὐτοὺς ἀκόμη ἀκολουθεῖς, ποὺ μὲ πεῖσμα ἀγωνίζονται νὰ λένε καὶ νὰ πράττουν πάντοτε ὅ,τι εἶναι ἀντίθετο πρὸς τοὺς νόμους τοῦ Θεοῦ καὶ τρέχεις στὶς συναγωγές τους; Καὶ δὲν φοβᾶσαι μήπως, πέφτοντας κεραυνὸς ἀπὸ τὸν οὐρανό, κατακάψη τὸ κεφάλι σου; Δὲν γνωρίζεις ὅτι, καὶ ἂν ἀκόμη δὲν ληστεύη κανείς, ἀλλὰ φανῆ στὸ σπήλαιο τῶν ληστῶν, τιμωρεῖται μὲ τὴν ἴδια τιμωρία μὲ ἐκείνους; Καὶ γιατί νὰ ὁμιλῶ γιὰ τὰ τῶν ληστῶν; Γνωρίζετε ἄραγε καὶ ἐνθυμεῖσθε ὅλοι σας, ὅταν μερικοὶ μιαροὶ καὶ ἀπατεῶνες κατέστρεψαν τοὺς ἀνδριάντες, ὄχι μόνο ἐκεῖνοι ποὺ ἀποτόλμησαν τὴν πράξη, ἀλλὰ καὶ ὅσοι ἔτυχε νὰ εἶναι παρόντες ἐκεῖ συνελήφθηκαν καὶ σύρθηκαν στὸ δικαστήριο καὶ τιμωρήθηκαν μὲ τὴν ἐσχάτη τῶν ποινῶν; Καὶ σύ, πές μου, βιάζεσαι νὰ τρέχης ἐκεῖ ὅπου ὁ Πατὴρ ὑβρίζεται καὶ ὁ Υἱὸς βλασφημεῖται καὶ τὸ ἅγιο καὶ ζωοποιὸ Πνεῦμα ἀπορρίπτεται; Καὶ δὲν φοβᾶσαι οὔτε φρίττεις μπαίνοντας στοὺς βέβηλους καὶ ἀκάθαρτους ἐκείνους τόπους; Καὶ ποιά ἀπολογία, πές μου, θὰ ἔχης, ποιά συγγνώμη, ὅταν σὺ ὁ ἴδιος σπρώχνης τὸν ἑαυτό σου στὸ βάραθρο καὶ τὸν ἀφήνης νὰ πέση στὸ γκρεμό;

Μὴ μοῦ πῆς βέβαια αὐτό, ὅτι ἐκεῖ βρίσκονται ὁ νόμος καὶ τὰ βιβλία τῶν προφητῶν. Δὲν ἀρκεῖ αὐτὸ γιὰ νὰ κάνη τὸν τόπο ἅγιο. Γιατί, ποιό εἶναι μεγαλύτερο, τὸ νὰ ὑπάρχουν βιβλία σὲ ἕναν τόπο ἢ νὰ λέγη κανεὶς τὸ περιεχόμενό τους; Εἶναι φανερό, ὅτι μεγαλύτερο εἶναι τὸ νὰ λέγη κανεὶς τὸ περιεχόμενό τους καὶ νὰ τὸ ἔχη στὸ μυαλό του. Τί λοιπόν, πές μου, ἐπειδὴ ὁ Διάβολος μίλησε μὲ λόγια τῶν Γραφῶν, ἄραγε ἁγιάσθηκε τὸ στόμα του; Δὲν μπορεῖς αὐτὸ νὰ τὸ πεῖς, ἀλλὰ συνέχισε νὰ παραμένη διάβολος. Καὶ οἱ δαίμονες τί; Ἐπειδὴ κήρυτταν καὶ ἔλεγαν, «αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, καὶ κηρύττουν σὲ σᾶς ὁδὸ σωτηρίας»[26], ἄραγε γι' αὐτὸ νὰ τοὺς κατατάξουμε μεταξὺ τῶν ἀποστόλων; Κάθε ἄλλο, ἀλλὰ κατὰ παρόμοιο τρόπο ἐξακολουθοῦμε νὰ τοὺς ἀποστρεφόμαστε καὶ νὰ τοὺς μισοῦμε. Ἔπειτα, λόγια τῆς Γραφῆς λεγόμενα δὲν ἁγιάζουν, καὶ ἁγιάζουν τὰ βιβλία εὑρισκόμενα κάπου; Καὶ πῶς θὰ μποροῦσε αὐτὸ νὰ θεωρηθῆ λογικό;

Ἀλλὰ γι' αὐτὸ κυρίως μισῶ τὴν συναγωγή, ἐπειδὴ ἔχει τοὺς

μον ἔχει καὶ τοὺς προφήτας καὶ πλέον αὐτὴν μισῶ νῦν, ἢ εἰ μηδὲν εἶχε τούτων. Τί δήποτε; Ὅτι πολὺ τὸ δέλεαρ, πολλὴ ἡ ἀπάτη τοῖς ἀφελεστέροις ἐντεῦθεν γίνεται· ἐπεὶ καὶ τὸν δαίμονα ἐκεῖνον διὰ τοῦτο φθεγγόμενον μᾶλλον ἢ σιωπῶντα ἤλαυνεν ὁ Παῦλος. «Διαπονηθείς», γὰρ φησί, «τῷ Πνεύματι εἶπεν· ἔξελθε ἀπ' αὐτῆς». Καὶ τίνος ἕνεκεν; Ἐπειδὴ ἐβόα· «οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί». Σιγῶντες μὲν γὰρ οὐχ οὕτως ἠπάτων, φθεγγόμενοι δὲ πολλοὺς ἤμελλον τῶν ἀφελεστέρων ὑποσύρειν καὶ πείθειν καὶ ἐν τοῖς ἄλλοις αὐτοῖς προσέχειν. Ἵνα γὰρ θύραν ἀνοίξωσι ταῖς ἑαυτῶν ἀπάταις καὶ τῷ ψεύδει πολλὴν δῶσι παρρησίαν, διὰ τοῦτο καὶ ἀληθῆ τινα ἀνέμιξαν, καθάπερ οἱ τὰ δηλητήρια κεραννύντες φάρμακα, μέλιτι τὸ στόμα τῆς κύλικος περιχρίοντες, εὐπαράδεκτον ποιοῦσι τὴν βλάβην. Διὰ τοῦτο δὴ μάλιστα Παῦλος διεπονεῖτο καὶ ἔσπευδεν αὐτοὺς ἐπιστομίσαι, ἐπειδὴ μὴ τὴν αὐτοῖς προσήκουσαν ἥρπαζον ἀξίαν. Διὰ τοῦτο κἀγὼ μισῶ Ἰουδαίους, ἐπειδὴ νόμον ἔχουσι, νόμον ὑβρίζοντες, καὶ ταύτῃ τοὺς ἀφελεστέρους δελεάζειν ἐπιχειροῦσιν. Οὐκ ἦν ἔγκλημα τοσοῦτον αὐτοῖς, εἰ μὴ πιστεύοντες τοῖς προφήταις, ἠπείθουν τῷ Χριστῷ. Νῦν δὲ πάσης ἀπεστέρηνται συγγνώμης, ἐκείνοις μὲν πείθεσθαι λέγοντες, καθυβρίζοντες δὲ τὸν προφητευόμενον ὑπ' ἐκείνων.

7. Ὅλως δὲ εἰ νομίζεις, διότι νόμος ἐκεῖ κεῖται καὶ προφητῶν βιβλία, τὸν τόπον ἅγιον εἶναι, ὥρα σοι λοιπὸν καὶ τὰ εἴδωλα καὶ τοὺς ναοὺς τῶν εἰδώλων ἁγίους εἶναι νομίζειν. Καὶ γὰρ πολέμου ποτὲ καταλαβόντος τοὺς Ἰουδαίους, κρατήσαντες οἱ Ἀζώτιοι καὶ τὴν κιβωτὸν λαβόντες, εἰς τὸ ἱερὸν εἰσήγαγον. Ἆρα οὖν διὰ τοῦτο ἅγιος ἦν ὁ ναός, ἐπειδὴ τὴν κιβωτὸν εἶχεν; Οὐδαμῶς, ἀλλὰ καὶ βέβηλος καὶ ἀκάθαρτος. Καὶ εὐθέως τοῦτο διὰ τῶν ἔργων ἐδείκνυτο. Ἵνα γὰρ μάθωσιν οἱ πολέμιοι ὅτι οὐ δι' ἀσθένειαν τοῦ Θεοῦ, ἀλλὰ διὰ τὴν παρανομίαν τῶν θεραπευόντων αὐτὸν ἡ ἧττα γέγονε· καὶ ἡ κιβωτὸς ληφθεῖσα αἰχμάλωτος, ἐν ἀλλοτρίᾳ γῇ τὴν ἰσχὺν τὴν οἰκείαν ἐπεδείκνυτο, δὶς τὸ εἴδωλον χαμαὶ ῥίψασα καὶ διακλασθῆναι

27. Πράξ. 16,18.

νόμους καὶ τοὺς προφῆτες, καὶ πολὺ περισσότερο τὴν μισῶ τώρα, παρὰ ἂν δὲν εἶχε τίποτε ἀπ' αὐτά. Γιατί τὴν μισῶ; Γιατὶ ἀπ' ἐδῶ γίνεται μεγάλο τὸ δόλωμα καὶ περισσότερη ἡ ἀπάτη γιὰ τοὺς πιὸ ἀφελεῖς. Γιατὶ καὶ τὸν δαίμονα ἐκεῖνον γι' αὐτὸ ὁ Παῦλος τὸν πολεμοῦσε περισσότερο ὅταν μιλοῦσε, παρὰ ὅταν σιωποῦσε. Γιατὶ λέγει· «κυριευμένος ἀπὸ ἀγανάκτηση εἶπε στὸ πνεῦμα. Βγὲς ἀπὸ αὐτήν». Καὶ γιὰ ποιό λόγο; Ἐπειδὴ κραύγαζε, «αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου»[27]. Γιατὶ ὅταν σιωποῦσαν δὲν ἐξαπατοῦσαν τόσο πολύ, ἐνῶ μὲ τὰ λόγια τους ἐπρόκειτο νὰ παρασύρουν πολλοὺς ἀπὸ τοὺς ἀφελεῖς καὶ νὰ τοὺς πείσουν νὰ τοὺς προσέχουν καὶ σὲ ἄλλα πράγματα. Γιὰ νὰ ἀνοίξουν λοιπὸν θύρα στὶς ἀπάτες τους καὶ νὰ δώσουν μεγαλύτερο θάρρος στὸ ψεῦδος, γι' αὐτὸ καὶ ἀνέμιξαν μὲ τὸ κακὸ καὶ μερικὲς ἀλήθειες, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἀναμιγνύουν τὰ δηλητηριώδη φάρμακα, ἀλείφοντας μὲ μέλι τὸ στόμιο τοῦ ποτηρίου, κάμνουν εὐπρόσδεκτη τὴ βλάβη. Γι' αὐτὸ λοιπὸν κυρίως ὁ Παῦλος μὲ πολὺν κόπο ἀγωνιζόταν καὶ ἔτρεχε νὰ τοὺς ἀποστομώση, ἐπειδὴ ἅρπαζαν τὸ ἀξίωμα ποὺ δὲν τοὺς ἀνῆκε. Γι' αὐτὸ κι ἐγὼ μισῶ τοὺς Ἰουδαίους, ἐπειδὴ ἔχουν νόμο καὶ καθυβρίζοντας τὸν νόμο, ἐπιχειροῦν μὲ τὸν τρόπο αὐτὸ νὰ δελεάσουν τοὺς πιὸ ἀφελεῖς. Δὲν θὰ ἦταν τόσο μεγάλο τὸ ἔγκλημά τους, ἄν, μὴ πιστεύοντας στοὺς προφῆτες, ἀπειθοῦσαν στὸν Χριστό. Τώρα ὅμως εἶναι ἀποστερημένοι ἀπὸ κάθε συγγνώμη, γιατὶ λέγουν ὅτι πιστεύουν σ' ἐκείνους, καθυβρίζουν ὅμως τὸν Χριστό, τὸν ὁποῖο προφήτευσαν ἐκεῖνοι.

7. Ἂν ὅμως τελικὰ νομίζης ὅτι ὁ τόπος εἶναι ἅγιος, ἐπειδὴ ἐκεῖ βρίσκονται ὁ νόμος καὶ τὰ προφητικὰ βιβλία, εἶναι πιὰ καιρὸς νὰ πιστεύης, ὅτι καὶ τὰ εἴδωλα καὶ οἱ ναοὶ τῶν εἰδώλων εἶναι τόποι ἱεροί. Γιατί, ὅταν κάποτε συνέβηκε πόλεμος ἐναντίον τῶν Ἰουδαίων, κατὰ τὸν ὁποῖο νίκησαν οἱ Ἀζώτιοι, ἀφοῦ αὐτοὶ πῆραν τὴν κιβωτὸ τὴν τοποθέτησαν στὸ ἱερό τους. Ἄραγε λοιπὸν γι' αὐτὸ ὁ ναὸς ἦταν ἅγιος, ἐπειδὴ εἶχε τὴν κιβωτό; Καθόλου, ἀλλὰ καὶ βέβηλος ἦταν καὶ ἀκάθαρτος, πρᾶγμα ποὺ ἀποδείχθηκε ἀμέσως ἔμπρακτα. Γιὰ νὰ μάθουν δηλαδὴ οἱ ἐχθροί, ὅτι ἡ ἧττα συνέβηκε ὄχι ἐξ αἰτίας τῆς ἀδυναμίας τοῦ Θεοῦ, ἀλλ' ἐξ' αἰτίας τῆς παρανομίας τῶν Ἰουδαίων ποὺ τὸν λάτρευαν, καὶ ἡ κιβωτός, ποὺ πάρθηκε σὰν λάφυρο καὶ μεταφέρθηκε σὲ ξένη χώρα, φανέρωσε τὴ δύναμή της, ρίπτο-

παρασκευάσασα. Τοσοῦτον ἀπεῖχεν ἁγιάσαι τὸν τόπον, ὅτι καὶ ἐπολέμει τῷ τόπῳ. Ἄλλως δέ, ποία κιβωτὸς νῦν παρὰ Ἰουδαίοις, ὅπου ἱλαστήριον οὐκ ἔστιν; ὅπου οὐ χρησμός, οὐ διαθήκης πλάκες, οὐ τὰ ἅγια τῶν ἁγίων, οὐ τὸ καταπέτασμα, οὐκ ἀρχιερεύς, οὐ θυμίαμα, οὐχ ὁλοκαύτωμα, οὐ θυσία, οὐ τὰ ἄλλα τὰ ποιοῦντα σεμνὴν τὴν κιβωτὸν τότε ἐκείνην; Ἐμοὶ τῶν ὑπὸ τῆς ἀγορᾶς πωλουμένων κιβωτίων οὐδὲν ἄμεινον αὕτη ἡ κιβωτὸς διακεῖσθαι δοκεῖ, ἀλλὰ καὶ πολλῷ χεῖρον. Καὶ γὰρ τοὺς παριόντας οὐδὲν μὲν αὕτη βλάψαι δύναται, ἐκείνη δὲ καθ' ἡμέραν τοῖς αὐτῇ προσιοῦσιν ἐργάζεται βλάβην.

«Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε», καὶ τοὺς πρὸς ταῦτα ἐπτοημένους τῆς ἀκαίρου ταύτης ἀγωνίας ἀπαλλάττοντες, παιδεύσατε τί χρὴ φοβεῖσθαι καὶ δεδοικέναι, οὐχὶ τὴν κιβωτὸν ταύτην, ἀλλὰ τὸ καταφθείρειν τὸν ναὸν τοῦ Θεοῦ διὰ τῶν ἐκεῖ δρόμων, διὰ τοῦ πρὸς τὸν Ἰουδαϊσμὸν συνειδότος, διὰ τῆς ἀκαίρου ταύτης παρατηρήσεως. «Οἵτινες», γὰρ φησίν, «ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε». Τοῦτο χρὴ δεδοικέναι, μὴ κατὰ τὴν ἡμέραν ἐκείνην ἀκούσητε παρὰ τοῦ μέλλοντος κρίνειν ὑμᾶς· «ὑπάγετε, οὐκ οἶδα ὑμᾶς»· τοῖς γὰρ ἐμὲ σταυρώσασιν ἐκοινωνήσατε καὶ τὰς ἑορτάς, ἃς κατέλυσα, φιλονεικοῦντές μοι πάλιν ἀνεστήσατε, πρὸς τὰς συναγωγὰς ἐδράμετε τῶν εἰς ἐμὲ παρανομησάντων Ἰουδαίων. Κἀγὼ μὲν τὸν ναὸν καθεῖλον καὶ ἐρείπιον ἐποίησα τὸν σεμνὸν ἐκεῖνον καὶ φρικατὰ κατέχοντα πράγματα, ὑμεῖς δὲ οἰκήματα, καπηλείων οὐδὲ ἄμεινον διακείμενα, καὶ σπήλαια λῃστῶν ἐθεραπεύετε. Εἰ γάρ τότε, ὅτε τὰ Χερουβὶμ ἦν, ὅτε ἡ κιβωτός, ὅτε ἔτι Πνεύματος ἐπήνθει χάρις, νῦν μὲν ἔλεγεν, ὅτι «ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν», νῦν δέ, ὅτι «οἶκον ἐμπορίου», διὰ τὰς παρανομίας αὐτῶν καὶ τὰς μιαιφονίας, νῦν ὅτε αὐτοὺς ἡ τοῦ Πνεύματος ἐγκατέλιπε χάρις καὶ πάντα ἐκεῖνα ἀνῄρηται τὰ σεμνὰ καὶ τῷ Θεῷ φίλα, τὴν παράνομον ταύτην ἐπιτελοῦσι λα-

28. Α' Κορ. 14,20.
29. Γαλ. 5,4.
30. Λουκᾶ 13,27.
31. Ματθ. 21,13.

ντας δυὸ φορὲς κάτω τὸ εἴδωλο καὶ κομματιάζοντάς το. Τόσο πολὺ ἀπεῖχε ἀπὸ τὸ ν' ἁγιάση τὸν τόπο, ἀλλὰ καὶ πολεμοῦσε τὸν τόπο, Ἄλλωστε ποιά κιβωτὸς ὑπάρχει τώρα στοὺς Ἰουδαίους, ὅπου δὲν ὑπάρχει ἱλαστήριο; ὅπου δὲν ὑπάρχει οὔτε χρίσμα οὔτε πλάκες διαθήκης οὔτε τὰ ἅγια ἁγίων οὔτε τὸ καταπέτασμα οὔτε ἀρχιερεὺς οὔτε θυμίαμα οὔτε ὁλοκαύτωμα οὔτε θυσία οὔτε ὅλα τὰ ἄλλα, ποὺ καθιστοῦσαν σεμνὴ τὴν κιβωτό; Ἐγὼ νομίζω, ὅτι ἡ κιβωτὸς αὐτὴ δὲν εἶναι σὲ καθόλου καλύτερη θέση ἀπὸ τὰ κιβώτια ποὺ πωλοῦνται στὴν ἀγορά, ἀλλὰ καὶ σὲ πολὺ χειρότερη. Γιατὶ ἐκεῖνα ἀσφαλῶς δὲν μποροῦν νὰ βλάψουν σὲ τίποτε τοὺς διαβάτες, ἐνῶ αὐτὴ καθημερινὰ προξενεῖ βλάβη σ' ἐκείνους ποὺ τὴν πλησιάζουν.

«Ἀδελφοί, μὴ γίνεσθε παιδιὰ ὡς πρὸ τὸν νοῦ, ἀλλὰ νὰ εἶσθε νήπια ὡς πρὸς τὴν κακία»[28], καὶ ἀφοῦ ἀπαλλάξετε ἀπὸ τὴν ἀδικαιολόγητη ἀγωνία ὅσους τοὺς φοβίζουν αὐτά, διδάξτε τους τί πρέπει νὰ φοβοῦνται καὶ ν' ἀποφεύγουν· νὰ φοβοῦνται ὄχι τὴν κιβωτὸ αὐτή, ἀλλὰ τὴ φθορὰ τοῦ ναοῦ τοῦ Θεοῦ μὲ τὶς ἐκεῖ προσελεύσεις τους, μὲ τὴν ἰουδαϊκὴ συνείδηση, μὲ τὴν ἄσκοπη τήρηση ὅλων αὐτῶν. Γιατὶ λέγει, «ὅσοι ζητᾶτε νὰ ἐπιτύχετε τὴ δικαίωση μὲ τὸ νόμο, ἐκπέσατε ἀπὸ τὴ χάρη»[29]. Αὐτὸ πρέπει νὰ φοβῆσθε, μὴ τυχὸν ἀκούσετε κατὰ τὴν ἡμέρα ἐκείνη ἀπὸ ἐκεῖνον ποὺ πρόκειται νὰ σᾶς κρίνη· «πηγαίνετε, δὲν σᾶς γνωρίζω»[30], γιατὶ συναναστραφήκατε μὲ ἐκείνους ποὺ μὲ σταύρωσαν, τὶς ἑορτὲς ποὺ ἐγὼ κατάργησα, σεῖς, φιλονεικώντας ἐναντίον μου, τὶς ἐπαναφέρατε, καὶ τρέξατε στὶς συναγωγὲς τῶν Ἰουδαίων ποὺ παρανόμησαν σὲ μένα. Καὶ ἐγὼ βέβαια κατέστρεψα τὸν ναὸ καὶ μετέβαλα σὲ ἐρείπια τὸ σέβασμα ἐκεῖνο, ποὺ περιεῖχε τόσα φρικτὰ πράγματα, ἐνῶ σεῖς σέβεσθε οἰκήματα, ποὺ δὲν εἶναι καθόλου καλύτερα ἀπὸ τὰ καπηλεῖα, καθὼς καὶ σπήλαια ληστῶν. Γιατί, ἂν τότε, ὅταν ὑπῆρχαν τὰ Χερουβὶμ καὶ ἡ κιβωτὸς καὶ ἡ χάρη τοῦ ἁγίου Πνεύματος ὑπῆρχε ἐν ἀφθονίᾳ, ἔλεγε ἄλλοτε, «μεταβάλατε αὐτὸν σὲ σπήλαιο ληστῶν»[31], καὶ ἄλλοτε, «τὸν ἐκάματε οἶκο ἐμπορίου»[32] ἐξ αἰτίας τῶν ἀδικιῶν καὶ τῶν δολοφονιῶν ποὺ διέπρατταν, τώρα ποὺ ἡ χάρη τοῦ ἁγίου Πνεύαμτος τοὺς ἐγκατέλειψε κι ἔχουν καταστραφῆ ὅλα ἐκεῖνα τὰ σεβάσμια πράγματα ποὺ ἦσαν εὐάρεστα στὸν Θεό, αὐτοὶ ἐπιτελοῦν τὴν παρά-

32. Ἰω. 2,26.

τρεία‌ν, τί ἂν τις προσειπὼν τὰς συναγωγὰς αὐτῶν, ἀξίαν ἔσται εὑρηκὼς ἐπωνυμίαν; Εἰ γὰρ τότε «σπήλαιον λῃστῶν» ἦν, ὅτε ἔτι τὰ τῆς πολιτείας ἐκράτει, νῦν κἂν πορνεῖον, κἂν παρανομίας χωρίον, κἂν ψυχῶν ὄλεθρον, κἂν ἀπωλείας ἁπάσης κρημνὸν καὶ βάρβαρον, κἂν ὁτιοῦν τις προσείπῃ, ἔλαττον ἔτι τῆς ἀξίας ἐρεῖ.

Ναὸν ἐπιθυμεῖς ἰδεῖν, μὴ δράμῃς εἰς τὴν συναγωγήν, ἀλλὰ γενοῦ σὺ ναός. Ἕνα κεθεῖλε ναὸν ὁ Θεὸς ἐν Ἱεροσολύμοις καὶ μυρίους ἀνέστησεν ἐκείνου πολλῷ σεμνοτέρους· «ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος», φησί. Καλλώπισον ταύτην τὴν οἰκίαν, ἀπέλασον πάντα λογισμὸν πονηρόν, ἵνα γένῃ μέλος τοῦ Χριστοῦ τίμιον, ἵνα γένῃ ναὸς τοῦ Πνεύματος· ποίησον καὶ ἑτέρους τοιούτους. Καὶ καθάπερ πένητας ὁρῶντες οὐκ ἂν παραδράμοιτε ῥᾳδίως, οὕτω καὶ τὸν ἐπὶ τὴν συναγωγὴν τρέχοντα βλέπων, μὴ παρίδῃς, ἀλλ' ὥσπερ χαλινῷ τινι τῷ λόγῳ κατασχών, εἰς τὴν Ἐκκλησίαν ἐπανάγαγε. Αὕτη πλείων ἐκείνης ἡ ἐλεημοσύνη καὶ μυρίων ταλάντων μεῖζον τὸ κέρδος. Καὶ τί λέγω μυρίων ταλάντων; Καὶ τοῦ κόσμου παντὸς τοῦ φαινομένου, ἐπεὶ ὁ ἄνθρωπος τοῦ κόσμου παντὸς τιμιώτερος· διὰ γὰρ αὐτὸν καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα γέγονε καὶ ἥλιος καὶ ἀστέρες. Ἐννόησον τοίνυν τὸ ἀξίωμα τοῦ σωζομένου καὶ μὴ καταφρονήσῃς αὐτοῦ τῆς ἐπιμελείας. Κἂν γὰρ μυρία τις καταβάλῃ χρήματα, οὐδὲν τοιοῦτον ἐργάζεται, ὅσον ὁ ψυχὴν διασώζων καὶ πλάνης ἀπάγων καὶ πρὸς εὐσέβειαν χειραγωγῶν. Ὁ πένητι δοὺς λιμὸν ἔλυσεν, ὁ τὸν ἰουδαΐζοντα διορθώσας ἀσέβειαν ἀνεῖλεν· ἐκεῖνος πενίαν παρεμυθήσατο, οὗτος παρανομίαν ἔστησεν· ἐκεῖνος τὸ σῶμα ὀδύνης ἀπήλλαξεν, οὗτος καὶ τὴν ψυχὴν τῆς γεέννης ἐξήρπασεν. Ἔδειξα τὸν θησαυρόν, μὴ προδῶτε τὸ κέρδος. Οὐκ ἔστιν ἐνταῦθα πενίαν αἰτιάσασθαι, οὐκ ἔστι πτωχείαν προβαλέσθαι. Ῥημάτων ἐστὶν ἡ δαπάνη, λόγων ἐστὶ τὸ ἀνάλωμα.

Μὴ τοίνυν κατοκνήσωμεν, ἀλλ' ὅση σπουδῇ καὶ προθυμίᾳ

33. Β' Κορ. 6,16.
34. Ματθ. 16,26. Λουκᾶ 9,25.

νομη αὐτὴ λατρεία, ποιός, θέλοντας νὰ χαρακτηρίση τὴ συναγωγή τους, θὰ μποροῦσε νὰ βρῆ ὀνομασία ἄξια αὐτῆς; Γιατί, ἂν τότε ἦταν «σπήλαιο ληστῶν», ὅταν ἀκόμη ἀνθοῦσαν οἱ θεσμοὶ τῆς πολιτείας, τώρα εἴτε τὴν ὀνομάση κανεὶς πορνεῖο εἴτε τόπο παρανομίας εἴτε καταφύγιο δαιμόνων εἴτε φρούριο τοῦ διαβόλου εἴτε ὄλεθρο ψυχῶν εἴτε γκρεμὸ καὶ βάραθρο κάθε καταστροφῆς εἴτε ὁ,τιδήποτε ἄλλο, θὰ τῆς δώση ὄνομα πολὺ κατώτερο ἀπὸ αὐτὸ ποὺ τῆς ἀξίζει.

Ἐπιθυμεῖς νὰ δῆς ναό· μὴ πηγαίνης στὴ συναγωγή, ἀλλὰ γίνε σὺ ο ἴδιος ναός. Ὁ Θεὸς κατέστρεψε ἕνα ναό, ἐκεῖνον τῶν Ἱεροσολύμων, καὶ ἀνήγειρε μύριους πολὺ πιὸ σεμνότερους ἀπὸ ἐκεῖνον. Γιατὶ λέγει, «σεῖς εἶσθε ναὸς τοῦ Θεοῦ τοῦ ζῶντος»[33]. Καλλώπισε αὐτὴν τὴν οἰκία, διῶξε κάθε πονηρὸ λογισμό, γιὰ νὰ γίνης τίμιο μέλος τοῦ Χριστοῦ, γιὰ νὰ γίνης ναὸς τοῦ Πνεύματος, καὶ κάμε καὶ ἄλλους τέτοιους. Καὶ ὅπως βλέποντας φτωχοὺς δὲν θὰ μπορούσατε εὔκολα νὰ τοὺς παραβλέψετε, ἔτσι κι ὅταν βλέπης νὰ τρέχη κάποιος στὴ συναγωγὴ μὴ τὸν παραβλέψης, ἀλλὰ μὲ τὸν λόγο σὰν μὲ χαλινάρι συγκράτησέ τον, ἐπανάφερέ τον στὴν Ἐκκλησία. Ἡ ἐλεημοσύνη αὐτὴ εἶναι μεγαλύτερη ἀπὸ ἐκείνη καὶ τὸ κέρδος ἀνώτερο ἀπὸ μύρια τάλαντα. Καὶ τί λέγω ἀπὸ μύρια τάλαντα; Καὶ ἀπὸ ὅλον τὸν κόσμο τὸν ὁρατό, καθ' ὅσον ὁ ἄνθρωπος εἶναι ἀπ' ὅλο τὸν κόσμο τιμιώτερος[34]. Γιατὶ γιὰ τὸν ἄνθρωπο ἔγιναν καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ὁ ἥλιος καὶ τὰ ἀστέρια. Σκέψου λοιπὸν τὴν ἀξία τοῦ ἀνθρώπου ποὺ σώζεται καὶ μὴ ἀδιαφορήσης γιὰ τὴ φροντίδα αὐτοῦ. Γιατί, κι ἂν ἀκόμη ξοδέψη κανεὶς ἀμέτρητα λεφτά, δὲν κάμνει τίποτε τὸ τόσο μεγάλο, ὅσο ὅταν κανεὶς σώζη ψυχή, τὴν ἀπομακρύνη ἀπὸ τὴν πλάνη καὶ τὴν ὁδηγῆ πρὸς τὴν εὐσέβεια. Ἐκεῖνος ποὺ ἔδωσε στὸν φτωχὸ τὸν λύτρωσε ἀπὸ τὴν πεῖνα, ἐκεῖνος ὅμως ποὺ διόρθωσε τὸν Ἰουδαΐζοντα, κατέστρεψε τὴν ἀσέβεια. Ἐκεῖνος πρόσφερε ἀνακούφιση στὴ φτώχεια, ἐνῶ αὐτὸς σταμάτησε τὴν παρανομία. Ἐκεῖνος ἀπάλλαξε τὸ σῶμα ἀπὸ τὴν ὀδύνη, ἐνῶ αὐτὸς ἅρπαξε τὴν ψυχὴ ἀπὸ τὴν γέεννα. Σᾶς ἔδειξα τὸν θησαυρό· μὴ προδώσετε τὸ κέρδος. Δὲν μπορεῖτε στὴν περίπτωση αὐτὴ νὰ προβάλετε σὰν δικαιολογία τὴν πενία, δὲν μπορεῖτε νὰ προβάλετε τὴ φτώχεια. Ἡ δαπάνη συνίσταται σὲ λόγια, τὸ ἔξοδο εἶναι λόγια.

Ἂς μὴ δείξουμε λοιπὸν ὀκνηρία, ἀλλὰ μὲ ὅλη τὴν προσπά-

τοὺς ἀδελφοὺς θηρεύσωμεν τοὺς ἡμετέρους καὶ ἄκοντας εἰς τὰς οἰκίας τὰς ἑαυτῶν ἑλκύσαντες, ἄριστον παραθῶμεν καὶ τραπέζης αὐτοῖς κοινωνήσωμεν σήμερον, ἵνα ἐπ' ὄψεσι ταῖς ἡμετέραις τὴν νηστείαν λύσαντες καὶ πληροφορίαν ἡμῖν καὶ πίστιν ἱκανὴν παρασχόντες τῆς καλῆς ταύτης διορθώσεως, καὶ ἑαυτοῖς καὶ ἡμῖν τῶν αἰωνίων ἀγαθῶν γένωνται πρόξενοι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

θεια καὶ τὴν προθυμία ἂς θηρεύσουμε τοὺς ἀδελφούς μας, καὶ ἀφοῦ τοὺς ὁδηγήσουμε καὶ χωρὶς τὴ θέλησή τους στὰ σπίτια τους, ἂς παραθέσουμε γεῦμα κι ἂς συμφάγωμε μαζί τους σήμερα, ὥστε, ἀφοῦ κάτω ἀπὸ τὰ βλέμματά μας καταλύσουμε τὴ νηστεία τους καὶ προσφέρουν σὲ μᾶς ἱκανοποιητικὴ ἐπιβεβαίωση καὶ πίστη γιὰ τὴν καλὴ αὐτὴ διόρθωσή τους, νὰ γίνουν καὶ γιὰ τοὺς ἑαυτούς τους καὶ γιὰ μᾶς πρόξενοι τῶν αἰωνίων ἀγαθῶν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ

1. Ἆρα κόρον ἐλάβετε τῆς πρὸς Ἰουδαίους μάχης; ἢ βούλεσθε καὶ σήμερον τῆς αὐτῆς ὑποθέσεως ἀψώμεθα πάλιν; Εἰ γὰρ καὶ πολλὰ τὰ ἔμπροσθεν εἰρημένα, ἀλλ' ὅμως ὑμᾶς ἐπιθυμεῖν οἶμαι τῆς αὐτῆς ἀκροάσεως πάλιν. Ὁ γὰρ τῆς εἰς τὸν Χριστὸν ἀγάπης οὐκ ἔχων κόρον, οὐδὲ τῆς πρὸς τοὺς μισοῦντας αὐτὸν μάχης λήψεται κόρον ποτέ. Χωρὶς δὲ τούτων καὶ ἄλλως ὑμῖν ἀναγκαῖος οὗτος ὁ λόγος· ἔτι γὰρ λείψανα τῶν ἑορτῶν αὐτῶν ὑπολέλειπται. Ἀλλ' ὥσπερ αὐτῶν αἱ σάλπιγγες τῶν ἐν τοῖς θεάτροις ἦσαν παρανομώτεραι καὶ αἱ νηστεῖαι μέθης καὶ κώμου παντὸς ἦσαν αἰσχρότεραι, οὕτω καὶ αἱ σκηναὶ αἱ νῦν παρ' αὐτῶν πηγνύμεναι, τῶν πανδοχείων τῶν πόρνας ἐχόντων καὶ αὐλητρίδας, οὐδὲν ἄμεινον διάκεινται. Καὶ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. Τόλμα γὰρ ἐσχάτη καὶ παρανομία τὸ μὴ οὕτως ὑποπτεύειν περὶ ἐκείνων. Ὅταν γὰρ τῷ Θεῷ φιλονεικοῦντες καὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες πράττωσι, πῶς οὐ χρὴ τοιαύτην περὶ αὐτῶν ψῆφον ἐκφέρειν; Ἦν ποτε σεμνὴ αὕτη ἡ ἑορτή, ὅτε κατὰ νόμον ἐγίνετο καὶ τοῦ Θεοῦ κελεύοντος, νυνὶ δὲ οὐκ ἔτι· τὸ γὰρ ἀξίωμα αὐτῆς ἅπαν ἀνῄρηται τῷ παρὰ γνώμην τοῦ Θεοῦ γίνεσθαι. Καὶ οἱ μάλιστα καθυβρίζοντες καὶ τὸν νόμον καὶ τὰς ἑορτὰς τὰς παλαιάς, οὗτοι μάλιστα πάντων εἰσὶν οἱ δοκοῦντες νῦν ἐπιτελεῖν. Οἱ δὲ μάλιστα τὸν νόμον τιμῶντες ἡμεῖς, οἱ καθάπερ γεγηρακότα ἄνθρωπον ἀναπαύοντες καὶ οὐχ ἕλκοντες εἰς τὰ σκάμματα μετὰ τὴν πολιάν, οὐδὲ παρὰ καιρὸν ἀγωνίζεσθαι ἀναγκάζοντες.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ

1. Ἄραγε αἰσθανθήκατε κόρο ἀπὸ τὸν ἀγῶνά μας κατὰ τῶν Ἰουδαίων; ἢ θέλετε ν' ἀσχοληθοῦμε καὶ πάλι σήμερα μὲ τὴν ἴδια ὑπόθεση; Ἂν καὶ βέβαια εἶναι πολλὰ τὰ λεχθέντα μέχρι τώρα, ἀλλ' ὅμως νομίζω ὅτι ἐπιθυμεῖτε ν' ἀκούσετε καὶ πάλι γιὰ τὸ ἴδιο θέμα. Γιατί, ἐκεῖνος ποὺ δὲν νιώθει κόρο γιὰ τὴν ἀγάπη πρὸς τὸν Χριστό, δὲν πρόκειται νὰ αἰσθανθῆ ποτὲ κόρο γιὰ τὸν ἀγῶνα ἐναντίον ἐκείνων ποὺ τὸν μισοῦν. Καὶ ἐκτὸς ἀπὸ αὐτά, καὶ γιὰ ἄλλο λόγο σᾶς εἶναι ἀναγκαῖος ὁ λόγος αὐτός· γιατὶ ὑπάρχουν ἀκόμη λείψανα ἀπὸ τὶς ἑορτές τους. Ἀλλ', ὅπως ἀκριβῶς οἱ σάλπιγγές τους ἦταν πιὸ παράνομες ἀπὸ ἐκεῖνες τῶν θεάτρων καὶ οἱ νηστεῖες τους ἦταν πιὸ αἰσχρὲς ἀπὸ ὁποιοδήποτε μεθύσι καὶ εὐωχία, ἔτσι καὶ οἱ σκηνὲς ποὺ τώρα στήνονται ἀπὸ αὐτοὺς δὲν εἶναι καλύτερες ἀπὸ τὰ πανδοχεῖα ποὺ ἔχουν πόρνες καὶ τραγουδίστριες. Καὶ κανένας νὰ μὴ τολμήση νὰ κατηγορήση τὸν λόγο μου γιὰ θρασύτητα. Γιατὶ ἄκρα θρασύτητα καὶ παρανομία εἶναι τὸ νὰ μὴ ἔχη κανεὶς αὐτὴ τὴ γνώμη γιὰ ἐκείνους. Πῶς δηλαδὴ δὲν πρέπει νὰ ἐκφέρουμε μιὰ τέτοια γνώμη γι' αὐτούς, ὅταν ἀντιμάχωνται τὸν Θεὸ καὶ ἐνεργοῦν ἀντίθετα πρὸς τὸ Πνεῦμα τὸ ἅγιο; Ἦταν κάποτε σεμνὴ αὐτὴ ἡ ἑορτή, ὅταν γινόταν σύμφωνα μὲ τὸν νόμο καὶ τὸ διέτασσε ὁ Θεός, τώρα ὅμως δὲν εἶναι· γιατὶ ὅλη ἡ ἀξία της χάθηκε, ἐπειδὴ γίνεται παρὰ τὸ θέλημα τοῦ Θεοῦ. Καὶ ἐκεῖνοι ποὺ ὑβρίζουν πιὸ πολὺ ἀπὸ ὅλους καὶ τὸν νόμο καὶ τὶς ἑορτὲς τὶς παλιές, αὐτοὶ εἶναι ποὺ πιὸ πολὺ ἀπ' ὅλους φαίνονται τώρα νὰ τὶς ἐπιτελοῦν. Ἐνῶ ἐκεῖνοι ποὺ τιμοῦν κυρίως τὸν νόμο εἴμαστε ἐμεῖς, ποὺ τὸν φροντίζουμε σὰν ἄνθρωπο γηρασμένο ποὺ δὲν τὸν σύρουμε στὰ γυμναστήρια ἐξ αἰτίας τῆς λευκῆς κεφαλῆς του, καὶ οὔτε τὸν ἀναγκάζουμε ν' ἀγωνίζεται σὲ καιρὸ ἀκατάλληλο γιὰ τὴν ἡλικία του.

Ὅτι γὰρ οὐκ ἔστι νόμου καιρὸς νῦν, οὔτε τῆς παλαιᾶς πολιτείας, ἱκανῶς μὲν καὶ ἔμπροσθεν ἀπεδείξαμεν· φέρε δὴ καὶ τὰ λείψανα γυμνάσωμεν τήμερον. Ἤρκει μὲν οὖν δείξαντα διὰ τῶν προφητῶν ἁπάντων, ὅτι τὸ ποιεῖν τι τοιοῦτον ἔξω τῶν Ἱεροσολύμων παρανομία τίς ἐστι καὶ ἀσέβεια, ἀπηλλάχθαι πραγμάτων. Εἰ γὰρ καὶ ἀληθὲς ἦν, ὃ πανταχοῦ κομπάζοντες ἀεὶ ψιθυρίζουσιν, ὅτι τὴν πόλιν ἀπολήψονται πάλιν, οὐδὲ οὕτως ἀπηλλάχθαι τῶν τῆς παρανομίας ἐγκλημάτων ἐδύναντο. Πλὴν ἀλλ' ἡμεῖς ἐκ περιουσίας καὶ τοῦτο ἀπεδείξαμεν, ὅτι οὔτε ἀναστήσεται λοιπὸν ἡ πόλις, οὔτε ἀπολήψονται τὴν ἑαυτῶν πολιτείαν. Τούτου δὲ ἀποδειχθέντος καὶ τὰ λοιπὰ ἅπαντα συνωμολόγητο, οἷον ὡς οὔτε θυσίας εἶδος, οὔτε ὁλοκαυτώσεως, οὐχ ἡ τοῦ νόμου δύναμις, οὐκ ἄλλο τι τῆς πολιτείας ἐκείνης στῆναι δυνήσεται. Πρῶτον μὲν γὰρ ἐκέλευσεν ὁ νόμος τρὶς τοῦ ἐνιαυτοῦ πᾶν ἀρσενικὸν εἰς τὸν ναὸν ἀναβαίνειν· τοῦ δὲ ναοῦ καταλυθέντος, ἀδύνατον τοῦτο γενέσθαι. Μετὰ ταῦτα πάλιν ἐπέτατε τὸν γονορρυῆ, τὸν λεπρόν, τὴν ἐν καταμηνίοις γυναῖκα, τὴν λεχῶ, θυσίας ἀναφέρειν. Καὶ τοῦτο δὲ πάλιν ἀδύνατον, οὐκ ὄντος τοῦ τόπου, οὐδὲ τοῦ βωμοῦ φαινομένου. Ἐκέλευσεν ᾄδειν ἱεροὺς ὕμνους· καὶ τοῦτο ἔμπροσθεν ἀπεδείξαμεν ἀπὸ τοῦ τόπου κωλυόμενον καὶ τοὺς προφήτας ἐγκαλοῦντας καὶ λέγοντας ὅτι «ἀνέγνωσαν ἔξω νόμον καὶ ἐπεκαλέσαντο ὁμολογίαν». Ὅταν τοίνυν μηδὲ ἀναγινώσκεσθαι δυνατὸν ἦν τὸν νόμον ἔξω τῆς πόλεως, πῶς αὐτὸν πράττειν ἔξω τῆς πόλεως δυνατόν; Διὰ γοῦν τοῦτο καὶ ἀπειλῶν αὐτοῖς ἔλεγεν· «οὐκ ἐπισκέψομαι τὰς θυγατέρας ὑμῶν, ὅταν ἐκπορνεύσωσι, καὶ τὰς νύμφας ὑμῶν, ὅταν μοιχεύσωσι». Τί δὲ τοῦτό ἐστι; Νόμον ὑμῖν ἀναγνοὺς παλαιόν, σαφέστερον ποιῆσαι πειράσομαι. Τίς οὖν ἐστιν ὁ νόμος;

«Ἐὰν παραβῇ γυνὴ κατὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ παρίδῃ αὐτὸν ὑπεριδοῦσα καὶ κοιμηθῇ τις μετ' αὐτῆς κοίτην σπέρματος καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρὸς καὶ μάρτυς μὴ ᾖ κατ' αὐτῆς καὶ μὴ ᾖ συνειλημμένη καὶ ἐπέλθῃ ἐπ' αὐτῷ πνεῦμα ζηλώσεως, αὕτη δὲ μὴ ᾖ

1. Ἀμὼς 4,5.
2. Ὡσηὲ 4,14.

Τὸ ὅτι βέβαια δὲν εἶναι τώρα καιρὸς γιὰ τὴν τήρηση τοῦ νόμου οὔτε καὶ γιὰ τὴν τέλεση τῆς παλιᾶς λατρείας, τὸ ἀποδείξαμε ἱκανοποιητικὰ μὲ ὅσα εἴπαμε προηγουμένως· ἐμπρὸς λοιπὸν ἂς ἐξετάσουμε σήμερα τὰ ὅσα ἔμειναν ἀνεξέταστα. Ἀρκοῦσε βέβαια, ἀφοῦ ἀποδείξαμε μέσω τῶν προφητῶν, ὅτι τὸ νὰ τηρῆ κανεὶς αὐτὸν μακριὰ ἀπὸ τὰ Ἰεροσόλυμα ἀποτελεῖ παρανομία καὶ ἀσέβεια, νὰ σταματήσουμε τὴν ἐξέταση. Γιατί, κι ἂν ἀκόμη ἦταν ἀληθὲς αὐτὸ ποὺ μὲ κομπορρημοσύνη ψιθυρίζουν παντοῦ, ὅτι δηλαδὴ θὰ ἀνακτήσουν πάλι τὴν πόλη τους, οὔτε καὶ ἔτσι θὰ μποροῦσαν ν' ἀπαλλαχθοῦν ἀπὸ τὶς κατηγορίες τῆς παρανομίας τους. Πλὴν ὅμως καὶ αὐτὸ ἐμεῖς τὸ ἀποδείξαμε περίτρανα, ὅτι δηλαδὴ οὔτε ἡ πόλη θ' ἀνοικοδομηθῆ οὔτε καὶ θὰ ξαναποκτήσουν τὸ παλαιὸ πολίτευμά τους. Καὶ ἀφοῦ αὐτὸ ἀποδείχθηκε, καὶ ὅλα τὰ ἄλλα ἀποδείχθηκαν μαζὶ μ' αὐτό, ὅτι δηλαδὴ οὔτε τὸ εἶδος τῆς θυσίας οὔτε τὰ ὁλοκαυτώματα οὔτε ἡ δύναμη τοῦ νόμου οὔτε τίποτε ἄλλο ἀπὸ τὸ πολίτευμα ἐκεῖνο θὰ μπορέση νὰ ἀποκατασταθῆ. Γιατὶ κατὰ πρῶτον ὁ νόμος διέταξε τρεῖς φορὲς τὸν χρόνο νὰ ἐπισκέπτεται τὸν ναὸ κάθε Ἰουδαῖος τοῦ ἄρρενος φύλου, καὶ ἀφοῦ ὁ ναὸς ἔχει καταστραφῆ, αὐτὸ εἶναι ἀδύνατο νὰ γίνη. Μετὰ ἀπ' αὐτὸ διέτασσε νὰ προσφέρουν θυσίες ὅποιος πάσχει ἀπὸ σπερματόρροια, ὁ λεπρός, ἡ γυναῖκα ποὺ βρίσκεται στὰ ἔμμηνα καὶ ἡ λεχώνα. Ἀλλὰ καὶ αὐτὸ εἶναι ἀδύνατο, ἀφοῦ δὲν ὑπάρχει ὁ τόπος οὔτε βωμὸς ὑφίσταται. Πρόσταξε ὁ νόμος νὰ ψάλλουν ἱεροὺς ὕμνους· καὶ αὐτὸ ἀποδείξαμε πρωτύτερα, ὅτι ἐμποδίζεται ἀπὸ τὸν τόπο, καὶ ὅτι οἱ προφῆτες κατηγοροῦν καὶ λέγουν ὅτι «ἀνέγνωσαν ἔξω τὸν νόμο καὶ ἐπικαλέσθηκαν τὴν ὁμολογία τῆς πίστεως»[1]. Ὅταν λοιπὸν δὲν ἦταν δυνατὸ οὔτε τὸν νόμο ν' ἀναγνώσουν ἔξω ἀπὸ τὴν πόλη, πῶς ἦταν δυνατὸ νὰ τὸν ἐφαρμόσουν ἔξω ἀπὸ τὴν πόλη; Γι' αὐτὸ καὶ ἀπειλώντας τους ἔλεγε· «δὲν θὰ ἐπισκεφθῶ τὶς θυγατέρες σας, ὅταν θὰ πορνεύουν, καὶ τὶς νύμφες σας, ὅταν θὰ μοιχεύουν»[2]. Τί σημαίνει αὐτό; Θὰ προσπαθήσω νὰ σᾶς τὸ διευκρινίσω, ἀφοῦ σᾶς διαβάσω κάποιον παλιὸ νόμο. Ποιός εἶναι λοιπὸν ὁ νόμος;

«Ἂν μία γυναῖκα περιφρονήση τὸν ἄνδρα της καὶ καταπατώντας τὴ συζυγικὴ πίστη πρὸς αὐτὸν κοιμηθῆ κάποιος μ' αὐτὴν πρὸς συνουσία καὶ διαφύγη τὴν ἀντίληψη τοῦ ἀνδρός της καὶ συμβῆ νὰ μὴ ὑπάρχη μάρτυρας ἐναντίον της οὔτε καὶ νὰ συλληφθῆ ἐπ' αὐτο-

μεμιασμενη». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐὰν μοιχεύσῃ, φησί, γυνὴ καὶ ὑποπτεύσῃ τὴν μοιχείαν ὁ ἀνήρ, ἢ μὴ μοιχευθῇ οὗτος δὲ ὑποπτεύσῃ, καὶ μήτε μάρτυς ᾖ, μήτε κύησις ἐλέγχουσα, «ἄξει αὐτὴν πρὸς τὸν ἱερέα», φησί, «καὶ προσοίσει τὸ δῶρον αὐτῆς, ἄλευρον κρίθινον». Τί δή ποτε οὐ σεμίδαλιν, οὐκ ἄλευρον πυροῦ, ἀλλὰ κρίθινον; Ἐπειδὴ πένθος ἐστὶ καὶ κατάγνωσις καὶ ὑποψία πονηρά, ἐμιμεῖτο τὴν συμφορὰν τῆς οἰκείας τῆς θυσίας τὸ σχῆμα· διὰ γὰρ τοῦτό φησιν· «οὐκ ἐπιχεεῖς ἐπ' αὐτῷ ἔλαιον, οὐδὲ ἐπιθήσεις ἐπ' αὐτῷ λίβανον». Εἶτα (δεῖ γὰρ ἐπιτεμεῖν) «καὶ προσάξει αὐτὴν ὁ ἱερεὺς καὶ λήψεται ὕδωρ καθαρὸν ἐν ἀγγείῳ ὀστρακίνῳ καὶ ἀπὸ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους καὶ λαβών, ἐμβαλεῖ εἰς τὸ ὕδωρ, καὶ στήσει τὴν γυναῖκα καὶ ὁρκιεῖ αὐτὴν καὶ ἐρεῖ· εἰ μὴ παρέβης μιανθῆναι πρὸς τὸν ἄνδρα τὸν σεαυτῆς, σώα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ· εἰ δὲ παρέβης καὶ μεμίανσαι καὶ ἔδωκέ τις τὴν κοίτην αὐτοῦ ἐν σοί, πλὴν τοῦ ἀνδρός σου, δῴη Κύριός σε ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ». Τί ἐστιν «ἐν ἀρᾷ καὶ ἐνόρκιον»; Ἵνα λέγωσι· μὴ πάθοιμι ὡς ἔπαθεν ἡ δεῖνα γυνή. «Ἐν τῷ δοῦναι Κύριον τὴν κοιλίαν σου ἐμπεπρισμένην καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ἐπικατηραμένον πρῖσαι τὴν γαστέρα σου. Καὶ ἐρεῖ ἡ γυνή· γένοιτο, γένοιτο. Καὶ ἔσται, ἐὰν ᾖ μεμιασμένη, εἰσελεύσεται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ καὶ πρίσει τὴν κοιλίαν αὐτῆς καὶ ἔσται ἡ γυνὴ εἰς ἀράν. Ἐὰν δὲ μὴ μιανθῇ ἡ γυνή, ἀθώα ἔσται, καὶ ἐκσπερματιεῖ σπέρμα». Ἐπεὶ οὖν εἰς αἰχμαλωσίαν ἀπελθόντων αὐτῶν, οὐδὲν τούτων γενέσθαι δυνατὸν ἦν, οὔτε τοῦ ναοῦ ὄντος, οὔτε τοῦ βωμοῦ, οὔτε τῆς σκηνῆς, οὔτε τῆς θυσίας ἀναφερομένης, ἀπειλῶν ἔλεγεν· «οὐκ ἐπισκέψομαι τὰς θυγατέρας ὑμῶν, ὅταν πορνεύσωσι, καὶ τὰς νύμφας ὑμῶν, ὅταν μοιχεύσωσιν».

3. Ἀριθμ. 5,12.
4. Αὐτόθι.
5. Ἀριθμ. 5,15 ἑ.
6. Αὐτόθι.

φώρω, καὶ δημιουργηθῆ τότε στὸν ἄνδρα της ζηλοτυπία, αὐτὴ νὰ μὴ εἶναι μιασμένη»[3]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἂν κάποια γυναῖκα διαπράξη, λέγει, τὸ ἁμάρτημα τῆς μοιχείας καὶ ὁ σύζυγός της ὑποπτευθῆ τὴ μοιχεία, ἢ χωρὶς νὰ διαπράξη τὴ μοιχεία τὴν ὑποπτευθῆ καὶ δὲν ὑπάρχει μάρτυρας οὔτε ἐγκυμοσύνη γιὰ νὰ τὸ ἀποδείξη «θὰ ὁδηγήση αὐτὴν στὸν ἱερέα», λέγει, «καὶ θὰ προσφέρη θυσία γι' αὐτήν, ἀλεύρι κρίθινο»[4]. Γιατί ἡ προσφορὰ νὰ εἶναι κρίθινο ἀλεύρι καὶ ὄχι σεμιγδάλι ἢ ἀλεύρι σιταριοῦ; Ἐπειδὴ ἡ πράξη εἶναι καὶ θλιβερὴ καὶ ἀξιοκατάκριτη καὶ προκαλεῖ πονηρὴ ὑποψία, εἶναι ἀνάλογο πρὸς τὴ συμφορὰ καὶ τὸ εἶδος τῆς θυσίας της. Γι' αὐτὸ καὶ λέγει· «δὲν θὰ χύσης ἐπάνω σ' αὐτὸ λάδι οὔτε θὰ θέσης ἐπάνω σ' αὐτὸ λιβάνι». Ἔπειτα (γιατὶ πρέπει νὰ συντομεύσω) «καὶ θὰ τὴν ὁδηγήση ὁ ἱερεὺς ἐνώπιον τοῦ Κυρίου, θὰ πάρη τότε νερὸ καθαρὸ μέσα σὲ πήλινο ἀγγεῖο καὶ χῶμα ἀπὸ τὴ γῆ ποὺ εἶναι κάτω ἀπὸ τὴ σκηνή, θὰ τὸ ρίψη μέσα στὸ νερὸ καὶ θὰ τοποθετήση τὴ γυναῖκα ἐνώπιον τοῦ Κυρίου καὶ θὰ τὴν ὁρκίση, λέγοντάς της· ἂν δὲν παρέβηκες τὴ συζυγικὴ πίστη ὥστε νὰ εἶσαι μολυσμένη ἀπέναντι στὸν ἄνδρα σου, θὰ εἶσαι ἀνέπαφη ἀπὸ τὸ ὕδωρ αὐτὸ τοῦ ἐλεγμοῦ, ἂν ὅμως τὴν παρέβηκες καὶ μιάνθηκες καὶ κοιμήθηκες στὸ κρεββάτι ἄλλου ἄνδρα ἐκτὸς ἀπὸ τὸν δικό σου, θὰ σὲ καταρασθῆ ὁ Κύριος καὶ θὰ σὲ καταστήση ἐνόρκιο στὸ λαό»[5]. Τί σημαίνει «ἐν ἀρᾷ καὶ ἐνόρκιον»; Γιὰ νὰ λένε· Εἴθε νὰ μὴ πάθω ὅ,τι ἔπαθε ἡ τάδε γυναῖκα. «Νὰ σὲ καταρασθῆ ὁ Κύριος ὥστε νὰ πρησθῆ ἡ κοιλιά σου, νὰ εἰσέλθη τὸ καταραμένο αὐτὸ νερὸ στὴ κοιλιὰ γιὰ νὰ πρησθῆ. Θὰ ἀπαντήση τότε ἡ γυναῖκα· γένοιτο, γένοιτο. Καὶ θὰ συμβῆ, ἂν εἶναι μιασμένη, θὰ ποτισθῆ μὲ τὸ νερὸ τοῦ ἐλεγμοῦ καὶ θὰ πρήξη τὴ κοιλιά της καὶ θὰ εἶναι ἡ γυναῖκα καταραμένη. Ἐὰν ὅμως δὲν ἔχη μολυνθῆ ἡ γυναῖκα, θὰ εἶναι ἀθώα καὶ θ' ἀποκτήση τέκνα»[6]. Ἐπειδὴ ὅμως αὐτοὶ σύρθηκαν αἰχμάλωτοι καὶ δὲν ἦταν δυνατὸ νὰ γίνη τίποτε ἀπὸ αὐτά, ἀφοῦ δὲν ὑπῆρχε οὔτε ὁ ναὸς οὔτε ὁ βωμὸς οὔτε ἡ σκηνὴ οὔτε ἡ προσφορὰ τῆς θυσίας, γι' αὐτὸ ἔλεγε ἀπειλώντας· «δὲν θὰ ἐπισκεφθῶ τὶς θυγατέρες σας, ὅταν θὰ πορνεύσουν, καὶ τὶς νύμφες σας, ὅταν θὰ μοιχεύσουν»[7].

7. Ὠσηὲ 4,14.

2. Ὁρᾷς ἀπὸ τοῦ τόπου τὴν ἰσχὺν ἔχοντα τὸν νόμον; Ὅτι δὲ οὔτε τὸν ἱερέα δυνατὸν εἶναι, τῆς πόλεως οὐκ οὔσης, δῆλον ἐκ τούτου. Ὥσπερ γὰρ βασιλέα οὐ δυνατὸν εἶναι, τῶν στρατοπέδων οὐκ ὄντων, οὐ διαδήματος, οὐχ ἁλουργίδος, οὐ τῶν ἄλλων τῶν τὴν βασιλείαν συγκροτούντων, οὕτως οὐδὲ ἱερέα δυνατὸν εἶναι, θυσίας ἀνῃρημένης, προσφορᾶς κεκωλυμένης, τῶν ἁγίων πεπατημένων, τοῦ σχήματος παντὸς ἠφανισμένου· ἡ γὰρ ἱερωσύνη ἐν τούτοις ἅπασιν ἦν. Ἤρκει μὲν οὖν, ὅπερ ἔφθην εἰπών, πρὸς ἀπόδειξιν ἡμῖν τοῦ μήτε θυσίας, μήτε ὁλοκαυτώματα, μήτε τοὺς λοιποὺς καθαρμούς, μήτε ἄλλο τι τῆς ἰουδαϊκῆς πολιτείας ἐπανήξειν. Λοιπὸν ἡ ἀπόδειξις τοῦ μηκέτι στήσεσθαι τὸν ναόν. Ὥσπερ γὰρ οὐκ ὄντος τούτου νῦν πάντα ἀνῄρηται, κἂν δοκῇ τι γίνεσθαι, παρανόμως τολμᾶται, οὕτως ἀποδείξαντος τοῦ λόγου ὅτι οὐδέ ποτε ἐπανήξει πρὸς τὸ οἰκεῖον σχῆμα, κἀκεῖνο συναποδέδεικται, ὅτι οὔτε ἡ λοιπὴ λατρεία πρὸς τὴν προτέραν ἐπανήξει κατάστασιν πάλιν, οὐχ ἱερεὺς ἔσται τις, οὐ βασιλεύς. Εἰ γὰρ ἐκ τοῦ σπέρματος αὐτῶν, κἄν τις ἦν τῶν ἰδιωτευόντων, οὐκ ἐφεῖτο γοῦν λατρεύειν ἀλλογενέσι, πολλῷ μᾶλλον αὐτὸν τὸν βασιλέα ὑποκεῖσθαι ἑτέροις, θέμις οὐκ ἦν. Πλὴν ἀλλ', ἐπειδὴ ἀγὼν ἡμῖν ἐστι καὶ σπουδή, οὐκ ἐκείνους ἐπιστομίσαι μόνον, ἀλλὰ καὶ τὴν ὑμετέραν ἀγάπην σοφίσαι, φέρε τοῦτο αὐτὸ ἑτέρωθεν ἀποδείξωμεν, οἷον ὅτι καὶ τὰ τῶν θυσιῶν, καὶ τὰ τῆς ἱερωσύνης αὐτῶν πέπαυται, ὡς μηκέτι πάλιν ἐπανελθεῖν ἐπὶ τὸ πρότερον ἔθος.

Τίς οὖν ταῦτά φησιν; Ὁ θαυμαστὸς καὶ μέγας προφήτης Δαυίδ. Οὗτος γὰρ δηλῶν ὅτι θυσία ἡ μὲν ἐκβάλλεσθαι μέλλει, ἡ δὲ εἰσάγεσθαι, οὕτως ἔλεγε· «πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι· ἀπήγγειλα καὶ ἐλάλησα». Ὅρα σοφίαν προφήτου. Εἰπών, «πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου» καὶ ἐκπλαγεὶς τὴν τοῦ Θεοῦ θαυματουργίαν, οὐδὲν περὶ τῆς ὁρωμένης ἡμῖν διαλέγεται κτίσεως, οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ

8. Ψαλμ. 39,6.

2. Βλέπεις πῶς ἡ ἰσχὺς τοῦ νόμου ἐξαρτᾶται ἀπὸ τὸν τόπο; Τὸ ὅτι οὔτε ὁ ἱερεὺς εἶναι δυνατὸ νὰ ὑπάρχη, ἐφ' ὅσον δὲν ὑπάρχει ἡ πόλη, εἶναι φανερὸ ἀπὸ αὐτό. Ὅπως ἀκριβῶς δηλαδὴ δὲν εἶναι δυνατὸ νὰ ὑπάρχη βασιλεύς, ὅταν δὲν ὑπάρχουν στρατεύματα οὔτε διάδημα οὔτε μανδύας οὔτε ὅλα τὰ ἄλλα ποὺ συγκροτοῦν τὸ βασιλικὸ ἀξίωμα, ἔτσι οὔτε ἱερεὺς εἶναι δυνατὸ νὰ ὑπάρχη, ἀφοῦ ἔχει καταργηθῆ ἡ θυσία, ἔχει ἀπαγορευθῆ ἡ προσφορά, ἔχουν καταπατηθῆ τὰ ἅγια τῶν ἁγίων καὶ ὅλο ἐκεῖνο τὸ σχῆμα ἔχει ἐξαφανισθῆ· γιατὶ ἡ ἱερωσύνη συνυπῆρχε μὲ ὅλα αὐτά. Θὰ ἀρκοῦσε λοιπόν, ὅπως προανέφερα, πρὸς ἀπόδειξή μας τὸ ὅτι πλέον δὲν θὰ ἀνοικοδομηθῆ ὁ ναός, τὸ γεγονὸς ὅτι δὲν θὰ ἐπανέλθουν οὔτε οἱ θυσίες οὔτε τὰ ὁλοκαυτώματα οὔτε οἱ λοιποὶ καθαρμοὶ οὔτε καὶ τίποτε ἄλλο ἀπὸ τὸ ἰουδαϊκὸ πολίτευμα. Γιατί, ὅπως τώρα ἐπειδὴ δὲν ὑπάρχει ὁ ναὸς ἔχουν καταργηθῆ τὰ πάντα, κι ἂν φαίνεται κάτι νὰ γίνεται, γίνεται παράνομα, ἔτσι, ἀφοῦ ὁ λόγος ἀπέδειξε ὅτι οὐδέποτε πιὰ θὰ ἐπανεύρη τὴν παλιὰ μορφή του, ἔχει ἀποδειχθῆ μαζὶ μὲ αὐτὸ καὶ ἐκεῖνο, ὅτι δηλαδὴ οὔτε ἡ λοιπὴ λατρεία θὰ ἀποκατασταθῆ πάλι στὴν προηγούμενη μορφή της, οὔτε ἱερεὺς θὰ ὑπάρξη, οὔτε καὶ βασιλεύς. Γιατί, ἂν κάποιος ἀπὸ τὸ ἔθνος τους, ἔστω κι ἂν ἦταν ἰδιώτης, δὲν ἐπιτρεπόταν νὰ ὑπηρετῆ ἀλλογενεῖς, πολὺ περισσότερο δὲν ἐπιτρεπόταν νὰ ὑπόκειται σὲ ἄλλους ὁ ἴδιος ὁ βασιλεύς. Πλὴν ὅμως, ἐπειδὴ ὁ ἀγώνας μας καὶ ἡ προσπάθειά μας εἶναι ὄχι μόνο ν' ἀποστομώσουμε ἐκείνους, ἀλλὰ καὶ νὰ διδάξουμε τὴν ἀγάπη σας, ἐμπρὸς ἂς ἀποδείξουμε αὐτὸ τὸ ἴδιο καὶ μὲ ἄλλο τρόπο, ὅτι δηλαδὴ ἔχουν καταργηθῆ ὅλα τὰ σχετικὰ μὲ τὶς θυσίες καὶ τὴν ἱερωσύνη, ὥστε νὰ μὴ ἐπανέλθουν ποτὲ πιὰ στὸ προηγούμενο πολίτευμα.

Ποιός λοιπὸν τὰ λέγει αὐτά; Ὁ θαυμαστὸς καὶ μέγας προφήτης Δαυΐδ. Γιατὶ αὐτός, γιὰ νὰ δηλώση ὅτι ἡ θυσία ἐκείνη ἐπρόκειτο νὰ καταργηθῆ καὶ ὅτι θὰ εἰσαχθῆ μιὰ ἄλλη, ἔλεγε τὰ ἑξῆς· «πολλὰ θαυμαστὰ ἔργα ἔκαμες σύ, Κύριε ὁ Θεός μου, καὶ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ μπορῆ νὰ σὲ μοιάση στὶς σκέψεις καὶ τὶς βουλές· τὰ διηγήθηκα αὐτὰ καὶ τὰ διελάλησα»[8]. Πρόσεχε σοφία προφήτη. Ἀφοῦ εἶπε «πολλὰ θαυμαστὰ ἔργα ἔκαμες σύ, Κύριε ὁ Θεός μου», καὶ ἀφοῦ ἔμεινε ἔκπληκτος μπροστὰ στὴ θαυμαστὴ δημιουργία τοῦ Θεοῦ, δὲν μᾶς λέγει τίποτε γιὰ τὴν ὁρατὴ δημιουργία, γιὰ τὸν οὐρανὸ δηλαδὴ καὶ τὴ γῆ καὶ τὴ θάλασσα καὶ τὸ νερὸ καὶ τὸ πῦρ, οὔτε

ὕδατος καὶ πυρός, οὐ περὶ τῶν κατ' Αἴγυπτον γενομένων παραδόξων ἐκείνων θαυμάτων, οὐ περὶ ἄλλων τινῶν τοιούτων σημείων, ἀλλά τίνα φησὶ θαυμαστὰ εἶναι; «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας». Τί λέγεις; εἰπέ μοι· τοῦτό ἐστι τὸ παράδοξον καὶ θαυμαστόν; Οὐχί, φησίν· οὐ γὰρ δὴ τοῦτο μόνον εἶδεν, ἀλλὰ προφητικοῖς ἄνωθεν καταμαθὼν ὀφθαλμοῖς τὴν τῶν ἐθνῶν προσαγωγὴν καὶ πῶς οἱ τοῖς θεοῖς προσηλωμένοι καὶ θεραπεύοντες λίθους καὶ τῶν ἀλόγων ἀθλιώτερον διακείμενοι, ἐξαίφνης ἀνέβλεψαν καὶ τὸν ἁπάντων ἐπέγνωσαν Δεσπότην καὶ τὴν μιαρὰν τῶν δαιμόνων λατρείαν ἀφέντες, καθαρῶς καὶ ἀναιμωτὶ τὸν Θεὸν ἐθεράπευον. Καὶ συνιδὼν ὅτι οὐκ ἐκεῖνοι μόνον, ἀλλὰ καὶ ὁ Ἰουδαῖοι οἱ ἀτελέστερον διακείμενοι, τὴν διὰ θυσιῶν καὶ ὁλοκαυτωμάτων καὶ τῶν ἄλλων τῶν σωματικῶν ἀφέντες θεραπείαν, ἐπὶ τὴν ἡμετέραν καὶ οὗτοι φιλοσοφίαν ἤχθησαν· καὶ λογισάμενος τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν τὴν ὑπερβαίνουσαν ἅπαντα νοῦν καὶ ἐκπλαγεὶς ὅση τῶν πραγμάτων γέγονε μεταβολὴ καὶ πῶς αὐτὰ μετερρύθμισε καὶ ἀπὸ δαιμόνων ἀγγέλους τοὺς ἀνθρώπους εἰργάσατο καὶ πολιτείαν εἰσήγαγε τῶν οὐρανῶν ἀξίαν (ταῦτα δὲ ἅπαντα ἐγένετο, τῆς παλαιᾶς καταλυθείσης θυσίας καὶ ἑτέρας ἐπεισαχθείσης, τῆς διὰ τοῦ σώματος τοῦ Χριστοῦ), ἐκπλαγεὶς καὶ θαυμάσας ἔλεγε· «πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου». Καὶ ὅτι ἐκ προσώπου τοῦ Χριστοῦ τὴν προφητείαν ταύτην ἅπασαν προλέγει εἰπών, «θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας», ἐπήγαγε, «σῶμα δὲ κατηρτίσω μοι»· τὸ σῶμα λέγων τὸ δεσποτικόν, τὴν κοινὴν ὑπὲρ τῆς οἰκουμένης γενομένην θυσίαν, ἣ τὰς ψυχὰς ἡμῶν ἐξεκάθηρε καὶ τὰς ἁμαρτίας κατέλυσε καὶ τὸν θάνατον ἔσβεσε καὶ τοὺς οὐρανοὺς ἀνέῳξε καὶ πολλὰς καὶ μεγάλας ἡμῖν ἐλπίδας ὑπέδειξε καὶ τὰ ἄλλα πάντα κατεσκεύασεν, ἅπερ οὖν καὶ ὁ Παῦλος εἰδώς, ἐβόα λέγων· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ».

Ταῦτα οὖν ἅπαντα προορῶν ἔλεγε· «πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου». Εἶτα εἰπὼν ἐκ προσώπου τοῦ Χριστοῦ, ὅτι «ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας»,

9. Ψαλμ. 39,7.
10. Ρωμ. 11,33.

γιὰ τὰ παράδοξα ἐκεῖνα θαύματα ποὺ ἔγιναν στὴν Αἴγυπτο, οὔτε καὶ γιὰ μερικὰ ἄλλα παρόμοια θαυμαστὰ ἔργα, ἀλλὰ ποιά πράγματα λέγει ὅτι εἶναι θαυμαστά; «Θυσία καὶ προσφορὰ δὲν θέλησες»[9]. Τί λές; Πές μου. Αὐτὸ εἶναι τὸ παράδοξο καὶ θαυμαστό; Ὄχι, λέγει. Γιατὶ βέβαια δὲν εἶδε αὐτὸ μόνο, ἀλλὰ διέβλεψε μὲ τὰ προφητικὰ μάτια, τὰ φωτισμένα ἀπὸ τὸν οὐρανό, τὴν προσέλευση τῶν ἐθνῶν καὶ πῶς, ἐκεῖνοι ποὺ ἦταν προσκολλημένοι στοὺς θεούς, ποὺ λάτρευαν τοὺς λίθους καὶ ἦταν ἀθλιώτεροι ἀπὸ τὰ ἄλογα ζῶα, ξαφνικὰ ἀνέβλεψαν καὶ ἀναγνώρισαν τὸν Δεσπότη τῶν ὅλων καί, ἀφοῦ ἐγκατέλειψαν τὴ μιαρὴ λατρεία τῶν δαιμόνων, λάτρευαν τὸν Θεὸ μὲ πνευματικὴ καθαρότητα καὶ χωρὶς θυσίες αἱματηρές. Καὶ διαβλέποντας ὅτι ὄχι μόνο ἐκεῖνοι, ἀλλὰ καὶ οἱ κατὰ τὴν καρδιὰ ἁπλούστεροι Ἰουδαῖοι, ἀφοῦ ἐγκαταλείψουν τὴ λατρεία μὲ τὶς θυσίες καὶ τὰ ὁλοκαυτώματα καὶ τὰ ἄλλα ὑλικὰ πράγματα, θὰ ὁδηγηθοῦν στὴ δική μας διδασκαλία, καὶ σκεπτόμενος τὴν ἀπερίγραπτη τοῦ Θεοῦ φιλανθρωπία, ποὺ ξεπερνᾶ κάθε ἀνθρώπινη σκέψη, καὶ νιώθοντας ἔκπληξη μπροστὰ στὴ τόσο μεγάλη μεταβολὴ ποὺ ἔγινε, καὶ πῶς τὰ ρύθμισε αὐτά, μεταβάλοντας τοὺς ἀνθρώπους ἀπὸ δαίμονες σὲ ἀγγέλους καὶ εἰσάγοντας πολίτευμα ἰσάξιο πρὸς τὸ οὐράνιο (ὅλα αὐτὰ ἔγιναν ἀφοῦ καταργήθηκε ἡ παλιὰ λατρεία καὶ τὴν θέση της κατέλαβε μιὰ ἄλλη, ἡ διὰ τοῦ σώματος τοῦ Χριστοῦ), κυριευμένος ἀπὸ ἔκπληξη καὶ γεμᾶτος θαυμασμὸ ἔλεγε· «πολλὰ θαυμαστὰ ἔργα ἔκαμες σύ, Κύριε ὁ Θεός μου». Καὶ ὅτι ὡς ἐκπρόσωπος τοῦ Χριστοῦ προλέγει ὁλόκληρη τὴν προφητεία αὐτή, ἀφοῦ εἶπε, «θυσία καὶ προσφορὰ δὲν θέλησες», πρόσθεσε, «ἀλλὰ μοῦ ἔδωσες σῶμα», ἐννοώντας ὡς «σῶμα» τὸ δεσποτικὸ σῶμα, τὴν κοινὴ θυσία ποὺ προσφέρθηκε γιὰ ὅλη τὴν οἰκουμένη, ἡ ὁποία καθάρισε τὶς ψυχές μας καὶ διέλυσε τὰ ἁμαρτήματά μας, ἐξαφάνισε τὸν θάνατο καὶ ἄνοιξε τοὺς οὐρανούς, μᾶς ἔδειξε πολλὲς καὶ μεγάλες ἐλπίδες καὶ πραγματοποίησε ὅλα τὰ ἄλλα, τὰ ὁποῖα γνωρίζοντας καὶ ὁ Παῦλος, κραύγαζε λέγοντας· «πὼ πὼ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· πόσο ἀνεξερεύνητα εἶναι τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστες οἱ ὁδοὶ αὐτοῦ»[10].

Προβλέποντας λοιπὸν ὁ Δαυῒδ ὅλα αὐτὰ ἔλεγε· «πολλὰ θαυμαστὰ ἔργα ἔκαμες σύ, Κύριε ὁ Θεός μου». Ἔπειτα, ἀφοῦ μίλησε ὡς ἐκπρόσωπος τοῦ Χριστοῦ καὶ εἶπε, «δὲν θέλησες ὁλοκαυτώματα

ἐπήγαγε· «τότε εἶπον, ἰδοὺ ἥκω». «Τότε»· πότε; Ὅτε τῶν τελειοτέρων διδαγμάτων ἐστὶν ὁ καιρός· τὰ μὲν γὰρ ἀτελέστερα διὰ τῶν δούλων αὐτοῦ μαθεῖν ἔδει, τὰ δὲ ὑψηλότερα καὶ ὑπερβαίνοντα τὴν φύσιν τὴν ἀνθρωπίνην, παρ' αὐτοῦ τοῦ νομοθέτου· διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε». Καὶ πάλιν ὁ Ἰωάννης, «ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο». Ὥστε τοῦ νόμου καὶ τοῦτο μέγιστον ἐγκώμιον, τὸ παρασκευάσαι τῷ διδασκάλῳ τὴν φύσιν τὴν ἀνθρωπίνην. Εἶτα, ἵνα μὴ νομίσῃς αὐτὸν πρόσφατον εἶναι Θεόν, μηδὲ καινοτομίαν τινὰ εἰσάγειν, ἄκουσον τί φησιν· «ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ». Πάλαι μου, φησί, τὴν παρουσίαν προανεφώνησαν οἱ προφῆται, καὶ ἐν ἀρχῇ τῶν βιβλίων τὴν γνῶσιν τῆς ἐμῆς θεότητος τοῖς ἀνθρώποις παρήνοιξαν.

3. Ὅταν οὖν ὁ Θεὸς λέγῃ, ἐν ἀρχῇ τῆς κτίσεως, «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν», αἰνιγματωδῶς ἡμῖν τοῦ Υἱοῦ τὴν θεότητα ἀποκαλύπτει, πρὸς ὃν διαλέγεται. Εἶτα, δεικνὺς ὡς οὐκ ἐναντία αὕτη τῇ προτέρᾳ πολιτείᾳ, ἀλλὰ καὶ τοῦτο θέλημα Θεοῦ ἦν, καταλυθῆναι μὲν ἐκείνην τὴν θυσίαν, ἀντεισαχθῆναι δὲ ταύτην (ἐπίτασις γὰρ ἦν τῆς διορθώσεως, οὐκ ἐναντίωσις, οὐδὲ μάχη), εἰπών, «ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ», ἐπήγαγε, «τοῦ ποιῆσαι τὸ θελημά σου, ὁ Θεός, ἐβουλήθην καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου». Εἶτα λέγων, τί ποτέ ἐστι τὸ θέλημα τοῦ Θεοῦ, παρεὶς θυσίαν εἰπεῖν, ὁλοκαυτώματα καὶ προσφορὰς καὶ πόνους καὶ ἱδρῶτας, φησίν, «εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ». Τί ποτέ ἐστιν, «εὐηγγελισάμην δικαιοσύνην»; Οὐκ εἶπεν ἁπλῶς, 'ἔδωκα', ἀλλ', «εὐηγγελισάμην». Τί δή ποτε; Ὅτι οὐκ ἀπο κατορθωμάτων, οὐδὲ πόνων, οὐδὲ ἀμοι-

11. Ψαλμ. 39,7–8.
12. Ἑβρ. 1,1–2
13. Ἰω. 1,17.
14. Ψαλμ. 39,8.
15. Γέν. 1,26.
16. Ψαλμ. 39,8–9.

προσφερόμενα γιὰ τὶς ἁμαρτίες» πρόσθεσε· «τότε εἶπα, νά, ἔρχομαι»[11]. Τότε· πότε; Ὅταν θὰ ἔλθη ὁ καιρὸς ὁ κατάλληλος γιὰ τὶς τελειώτερες διδασκαλίες. Γιατὶ τὰ ἀτελέστερα διδάγματα ἔπρεπε νὰ τὰ μάθουμε ἀπὸ τοὺς δούλους του, ἐνῶ τὰ ὑψηλότερα, ποὺ ὑπερβαίνουν τὴν ἀνθρώπινη φύση, ἀπὸ τὸν ἴδιο τὸν νομοθέτη. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «ἀφοῦ ὁ Θεὸς μίλησε μὲ πολλοὺς καὶ διαφόρους τρόπους κατὰ τὴν παλιὰ ἐποχὴ στοὺς πατέρες μας μὲ τοὺς προφῆτες, κατὰ τὶς τελευταῖες ἡμέρες μίλησε σὲ μᾶς μὲ τὸν Υἱό του, τὸν ὁποῖο ὥρισε κληρονόμο ὅλων, καὶ μὲ τὸν ὁποῖο δημιούργησε καὶ τοὺς αἰῶνες»[12]. Ἀλλὰ καὶ ὁ Ἰωάννης ἐπίσης λέγει· «ὁ νόμος δόθηκε μὲ τὸν Μωϋσῆ, ἐνῶ ἡ χάρη καὶ ἡ ἀλήθεια δόθηκε μὲ τὸν Ἰησοῦ Χριστό»[13]. Ὥστε γιὰ τὸν νόμο μέγιστο ἐγκώμιο εἶναι καὶ αὐτό, τὸ νὰ προετοιμάση τὴν ἀνθρώπινη φύση γιὰ νὰ δεχθῆ τὸν διδάσκαλο. Ἔπειτα, γιὰ νὰ μὴ νομίσης, ὅτι αὐτὸς εἶναι πρόσφατος Θεὸς οὔτε ὅτι εἰσάγει κάποια καινοτομία, ἄκουσε τί λέγει· «στὴν ἀρχὴ τοῦ βιβλίου ἔχει γραφῆ γιὰ μένα»[14]. Οἱ προφῆτες, λέγει, ἀπὸ πολὺ παλιὰ προεῖπαν τὴν παρουσία μου καὶ φανέρωσαν στοὺς ἀνθρώπους τὴ γνώση τῆς θεότητάς μου στὴν ἀρχὴ τῶν βιβλίων τους.

3. Ὅταν λοιπὸν στὴν ἀρχὴ τῆς δημιουργίας τοῦ κόσμου ὁ Θεὸς λέγει, «ἂς κάμουμε ἄνθρωπο κατ' εἰκόνα καὶ καθ' ὁμοίωση δική μας»[15], μᾶς ἀποκαλύπτει κατὰ τρόπο αἰνιγματικὸ τὴν θεότητα τοῦ Υἱοῦ, μὲ τὸν ὁποῖο παρουσιάζεται νὰ συνομιλῆ. Ἔπειτα, γιὰ νὰ δείξη ὅτι ἡ πολιτεία αὐτὴ δὲν ἀντιβαίνει πρὸς τὴν παλιά, ἀλλὰ καὶ αὐτὸ ἦταν θέλημα τοῦ Θεοῦ, τὸ νὰ καταργηθῆ ἡ θυσία ἐκείνη καὶ στὴ θέση της νὰ μπῆ ἡ νέα (γιατὶ αὐτὸ δείχνει αὔξηση τῆς διορθώσεως καὶ ὄχι ἐναντίωση οὔτε διαμάχη), ἀφοῦ εἶπε «στὴν ἀρχὴ τοῦ βιβλίου ἔχει γραφῆ γιὰ ἐμένα», πρόσθεσε· «γιὰ νὰ ἐκτελῶ τὸ θέλημά σου, Θεέ μου, πόθησα τὸν νόμο σου καὶ τὸν φέρω μέσα στὰ σπλάγχνα μου»[16]. Ἔπειτα, λέγοντας ποιό τέλος πάντων εἶναι τὸ θέλημα τοῦ Θεοῦ», ἀφοῦ παρέλειψε νὰ μιλήση γιὰ τὴ θυσία, τὰ ὁλοκαυτώματα, τὶς προσφορές, τοὺς κόπους καὶ τοὺς ἱδρῶτες, λέγει «ἀνήγγειλα σὲ μεγάλη σύναξη τὴ δικαιοσύνη σου»[17]. Τί σημαίνει ἄραγε «εὐηγγελισάμην δικαιοσύνην»; Δὲν εἶπε ἁπλῶς 'ἔδωσα', ἀλλὰ «εὐαγγελίσθηκα». Γιατί ὅμως; Γιατὶ ὁ Θεὸς δικαίωσε τὸ ἀνθρώπι-

17. Ψαλμ. 39,10.

βῆς, ἀλλ' ἀπὸ χάριτος μόνης τὸ γένος ἐδικαίωσε τὸ ἡμέτερον. Ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγε· «νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται»· δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, οὐ διὰ καμάτου τινὸς καὶ πόνου. Καὶ ταύτης δὲ ἐπιλαμβανόμενος τῆς μαρτυρίας οὕτως ἔλεγε· «σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις, αἷς προσφέρουσιν εἰς τὸ διηνεκὲς οὐδέ ποτε δύνανται τοὺς προσερχομένους τελειῶσαι. Δι' ὃ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι»· εἴσοδον τοῦ μονογενοῦς εἰς τὸν κόσμον λέγων, τὴν διὰ σαρκὸς οἰκονομίαν. Οὕτω γὰρ πρὸς ἡμᾶς παρεγένετο, οὐ τόπον ἀμείψας ἐκ τόπου (πῶς γὰρ ὁ πανταχοῦ ὢν καὶ πάντα πληρῶν;), ἀλλὰ διὰ σαρκὸς ἡμῖν φανερωθείς.

Ἀλλ' ἐπειδὴ οὐχὶ πρὸς Ἰουδαίους ἐστὶν ἡμῖν ἡ μάχη μόνον, ἀλλὰ καὶ πρὸς Ἕλληνας καὶ πολλοὺς τῶν αἱρετικῶν, φέρε βαθύτερόν τι νόημα ἐνταῦθα ὑμῖν ἀποκαλύψωμεν καὶ ζητήσωμεν τί δή ποτε, μυρίας ἔχων μαρτυρίας ὁ Παῦλος, αἳ τὸν νόμον ἀργεῖν ποιοῦσι καὶ τὴν παλαιὰν πολιτείαν, ταύτης ἐμνημόνευσεν. Οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, τοῦτο ἐποίησεν, ἀλλὰ μετά τινος λόγου καὶ σοφίας ἀφάτου. Ὅτι γὰρ καὶ ἑτέρας εἶχε μαρτυρίας μακροτέρας καὶ σφοδροτέρας, εἴπερ ἐβούλετο παραγαγεῖν, ὑπὲρ τῆς ὑποθέσεως ταύτης, πάντες ἂν ὁμολογήσαιεν. Καὶ γὰρ ὁ Ἡσαΐας φησίν, «οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν· καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδὲ ἐὰν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοι ἐστίν». Καὶ ἑτέρωθι πάλιν· «οὐ νῦν ἐκάλεσά σε Ἰακώβ, οὐδὲ ἔγκοπόν σε ἐποίησα Ἰσραήλ, οὐκ ἐδόξασάς με ἐν θυσίαις, οὐδὲ ἐδούλευσάς μοι ἐν δώροις σου, οὐδὲ ἔγκοπόν σε ἐποίησα ἐν λιβάνῳ, οὐδὲ ἐκτήσω μοι ἀργυρίου θυμίαμα». Καὶ ὁ Ἱερεμίας δέ, «ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρεις καὶ κινάμωμον ἐκ γῆς μακρό-

18. Ρωμ. 3,21.
19. Ἑβρ. 10,1–5.
20. Ἡσ. 1,11–13.
21. Ἡσ. 43,22–23.

νο γένος ὄχι γιὰ τὰ κατορθώματά του οὔτε γιὰ τοὺς κόπους του οὔτε σὰν ἀμοιβὴ γιὰ κάτι, ἀλλὰ κατὰ χάρη μόνο, πρᾶγμα ποὺ γιὰ νὰ δηλώση καὶ ὁ Παῦλος ἔλεγε· «τώρα φανερώθηκε ἡ δικαιοσύνη τοῦ Θεοῦ χωρὶς νόμο»[18]· ἡ δικαιοσύνη τοῦ Θεοῦ παρέχεται μὲ τὴν πίστη στὸν Ἰησοῦ Χριστὸ καὶ ὄχι μὲ κάποιον μόχθο καὶ κόπο. Καὶ ἐπικαλούμενος τὴ μαρτυρία αὐτὴ ἔλεγε τὰ ἑξῆς· «γιατὶ ἀποτελώντας ὁ νόμος σκιὰ τῶν μελλοντικῶν ἀγαθῶν, καὶ ὄχι τὴν ἴδια τὴν εἰκόνα τῶν πραγμάτων, προσφερόμενες οἱ θυσίες διαρκῶς κάθε χρόνο δὲν μποροῦν νὰ κάνουν τέλειους τοὺς προσερχομένους. Γι' αὐτὸ ὅταν ἔρχεται στὸν κόσμο λέγει, 'θυσία καὶ προσφορὰ δὲν θέλησες, ἀλλὰ μοῦ ἔδωσες σῶμα'»[19], ἐννοώντας τὴν εἴσοδο τοῦ Μονογενοῦς στὸν κόσμο, τὴν οἰκονομία μὲ τὴ σάρκα του. Γιατὶ ἔτσι ἦλθε σὲ μᾶς, χωρὶς νὰ μετακινηθῆ ἀπὸ τόπο σὲ τόπο (πῶς θὰ συνέβαινε αὐτό, ἀφοῦ αὐτὸς εἶναι πανταχοῦ παρὼν καὶ πληροῖ τὰ πάντα;), ἀλλὰ φανερώθηκε σὲ μᾶς μὲ σάρκα.

Ἀλλ' ἐπειδὴ ὁ ἀγώνας μας δὲν εἶναι μόνο κατὰ τῶν Ἰουδαίων, ἀλλὰ καὶ κατὰ τῶν εἰδωλολατρῶν καὶ κατὰ πολλῶν αἱρετικῶν, ἐμπρὸς ἂς ἀποκαλύψουμε τώρα κάποιο βαθύτερο νόημα καὶ ἂς ἐξετάσουμε γιατί ἄραγε ὁ Παῦλος, ἂν καὶ εἶχε τόσες μαρτυρίες, ποὺ καὶ τὸν νόμο καταργοῦν καὶ τὸ παλιὸ πολίτευμα, ἐν τούτοις ἐμνημόνευσε τὴν μαρτυρία αὐτή. Γιατὶ δὲν τὸ ἔκαμε ἔτσι ἁπλῶς καὶ στὴν τύχη, ἀλλὰ μὲ κάποια περίσκεψη καὶ σοφία ἀπερίγραπτη. Τὸ ὅτι βέβαια εἶχε καὶ ἄλλες μαρτυρίες μεγαλύτερες καὶ ἰσχυρότερες, ἂν ἤθελε νὰ τὶς παρουσιάση, γιὰ τὴν ὑπόθεση αὐτή, θὰ συμφωνοῦσαν ὅλοι. Πραγματικὰ ὁ Ἠσαΐας λέγει· «δὲν τὸ θέλω αὐτὸ ἀπὸ σᾶς· εἶμαι χορτασμένος ἀπὸ ὁλοκαυτώματα κριῶν καὶ δὲν θέλω λίπος ἀρνιῶν καὶ αἷμα ταύρων καὶ τράγων, οὔτε νὰ ἔρχεσθε ἔτσι μπροστά μου. Ποιὸς τὰ ζήτησε αὐτὰ ἀπὸ τὰ χέρια σας; Ἂν μοῦ προσφέρετε σεμιγδάλι, εἶναι μάταιο· τὸ θυμίαμα τὸ σιχαίνομαι»[20]. Και ἀλλοῦ πάλι· «δὲν σὲ κάλεσα τώρα, λαὲ τοῦ Ἰακώβ, οὔτε καὶ νὰ ὑποβληθῆς σὲ κόπο γιὰ μένα, λαὲ τοῦ Ἰσραήλ· δὲν μὲ δόξασες μὲ τὶς θυσίες σου, οὔτε ὑπηρέτησες ἐμένα μὲ τὰ δῶρα σου, οὔτε σὲ ἔβαλα στὸν κόπο νὰ μοῦ προσφέρης λιβάνι, οὔτε καὶ σὲ ὑποχρέωσα μὲ χρήματα ν' ἀγοράσης θυμίαμα»[21]. Ἀλλὰ καὶ ὁ Ἱερεμίας λέγει· «γιατί μοῦ προσφέρεις λίβανο ἀπὸ τὴν Σαβὰ καὶ κινάμωμο ἀπὸ χώρα μακρυνή;

θεν; Τὰ ὁλοκαυτώματα ὑμῶν οὐχ ἥδυνάν με». Καὶ πάλιν· «συναγάγετε τὰ ὁλοκαυτώματα ὑμῶν μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε κρέα». Καὶ ἕτερος δὲ τῶν προφητῶν οὕτως ἔλεγεν, «μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι». Καὶ πάλιν ἀλλαχοῦ τῶν Ἰουδαίων λεγόντων, «εἰ προσδέξεται Κύριος ἐν ὁλοκαυτώμασιν, εἰ δώσω πρωτότοκά μου ὑπὲρ ἀσεβείας μου, καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου;». Καὶ ὁ προφήτης ἐπιτιμῶν αὐτοῖς ἔλεγεν, «ἀπηγγέλθη σοι, ἄνθρωπε, τί καλὸν καὶ τί Κύριος ὁ Θεὸς ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ ἀγαπᾶν ἔλεον καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην καὶ ἕτοιμον εἶναι πορεύεσθαι ὀπίσω Κυρίου τοῦ Θεοῦ σου». Καὶ ὁ Δαυὶδ οὕτως ἔλεγεν· «οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρρους». Τίνος οὖν ἕνεκεν τοσαύτας ἔχων μαρτυρίας εἰπεῖν, δι' ὧν ὁ Θεὸς φαίνεται τὰς θυσίας παραιτούμενος ἐκείνας, τὰς νουμηνίας, τὰ σάββατα, τὰς ἑορτάς, πάσας ἐκείνας ἀφείς, ταύτης ἐμνήσθη μόνης; Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἤδη τὴν αἰτίαν ἐροῦμεν.

Πολλοὶ τῶν ἀπίστων καὶ Ἰουδαίων αὐτῶν μαχόμενοι πρὸς ἡμᾶς λέγουσιν ὅτι ἡ παλαιὰ καταλέλυται πολιτεία οὐ διὰ τὸ ἀτελέστατον αὐτῆς, οὐδὲ διὰ τὸ μείζονα εἰσενεχθῆναι τὴν ἡμετέραν πολιτείαν, ἀλλὰ διὰ τὴν πονηρίαν τῶν τότε προσφερόντων τὰς θυσίας. Ὁ γοῦν Ἡσαΐας φησίν· «ἐὰν ἐκτείνητε τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν». Εἶτα τὴν αἰτίαν προσθείς, ἐπάγει λέγων· «αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις». Τοῦτο δὲ οὐκ ἔστι τῶν θυσιῶν κατηγορία, ἀλλὰ τῆς τῶν προσαγόντων πονηρίας ἔγκλημα, καὶ διὰ τοῦτο οὐκ ἐδέχετο τὰς θυσίας, ἐπειδὴ μιαραῖς αὐτὰς προσῆγον χερσί. Πάλιν ὁ Δαυὶδ εἰπών, ὅτι «οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρρους», ἐπήγαγε λέγων· «τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ τοῦ στόματός σου; Σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.

22. Ἱερ. 6,20.
23. Ἱερ. 7,21.
24. Ἀμὼς 5,23.
25. Μιχ. 6,7–8.
26. Ψαλμ. 49,9.

Τὰ ὁλοκαυτώματά σας δὲν μὲ εὐχαρίστησαν»[22]. Καὶ πάλι· «μαζέψτε τὰ ὁλοκαυτώματά σας μαζὶ μὲ τὶς θυσίες σας καὶ φάγετε τὰ κρέατα»[23]. Καὶ κάποιος ἄλλος προφήτης ἔλεγε τὰ ἑξῆς· «ἀπομακρύνατε ἀπὸ κοντά μου τὸν ἦχο τῶν ᾠδῶν σας καὶ δὲν θὰ ἀκούσω τὶς μελωδίες τῶν ὀργάνων σας»[24]. Καὶ πάλι ἀλλοῦ, ὅταν οἱ Ἰουδαῖοι ἔλεγαν, «θὰ δεχθῇ ὁ Κύριος τὰ ὁλοκαυτώματά μας, ἢ ἂν τοῦ προσφέρω τὰ πρωτότοκά μου γιὰ τὴν ἀσέβειά μου, τὸν καρπὸ τῆς κοιλιᾶς μου γιὰ τὶς ἁμαρτίες τῆς ψυχῆς μου;», ὁ προφήτης ἐπιτιμώντας τους τότε, ἔλεγε· «σοῦ ἀναγγέλθηκε, ἄνθρωπε, ποιό εἶναι τὸ καλὸ καὶ τί θέλει ὁ Κύριος ὁ Θεὸς ἀπὸ σένα, ποὺ εἶναι ν' ἀγαπᾷς τὴν εὐσπλαγχνία, νὰ ἐκτελῇς τὶς ἐντολές του, νὰ εἶσαι δίκαιος καὶ ἕτοιμος νὰ βαδίζῃς πίσω ἀπὸ τὸν Κύριο τὸν Θεό σου»[25]. Καὶ ὁ Δαυΐδ ἔλεγε τὸ ἑξῆς· «δὲν θὰ δεχθῶ ἀπὸ τὸν οἶκο σου μόσχους οὔτε ἀπὸ τὰ ποίμνιά σου τράγους»[26]. Γιὰ ποιό λόγο λοιπόν, ἔχοντας τόσες μαρτυρίες, μὲ τὶς ὁποῖες παρουσιάζεται ὁ Θεὸς νὰ ἀρνῆται τὶς θυσίες ἐκεῖνες, ἀνέφερε μόνο αὐτήν, ἀφήνοντας κατὰ μέρος τὶς νουμηνίες, τὰ σάββατα καὶ ὅλες ἐκεῖνες τὶς ἑορτές; Δὲν τὸ ἔκαμε ἔτσι ἁπλῶς οὔτε καὶ τυχαῖα. Ἀλλ' ἀμέσως ἂς ποῦμε τὴν αἰτία.

Πολλοὶ ἀπὸ τοὺς ἀπίστους καὶ ἀπὸ τοὺς Ἰουδαίους, ποὺ μᾶς καταπολεμοῦν, ἰσχυρίζονται ὅτι τὸ παλιὸ πολίτευμα ἔχει καταργηθῆ ὄχι γιατὶ ἦταν ἀτελέστατο οὔτε γιατὶ εἰσήχθηκε τὸ δικό μας τὸ ἀνώτερο πολίτευμα, ἀλλ' ἐξ αἰτίας τῆς κακίας ἐκείνων ποὺ πρόσφερναν τότε τὶς θυσίες. Γιατὶ ὁ Ἠσαΐας λέγει· «ἂν ὑψώσετε τὰ χέρια σας, θ' ἀποσύρω τοὺς ὀφθαλμούς μου ἀπὸ σᾶς· καὶ ἂν πληθύνητε τὴ δέησή σας, δὲν θὰ σᾶς εἰσακούσω»[27]. Ἔπειτα, ἐξηγώντας τὴν αἰτία, προσθέτει· «γιατὶ τὰ χέρια σας εἶναι γεμᾶτα αἷμα». Αὐτὸ δὲν ἀποτελεῖ κατηγορία ἐναντίον τῶν θυσιῶν, ἀλλ' εἶναι κατηγορία ἐναντίον τῆς κακίας ἐκείνων ποὺ πρόσφερναν τὴ θυσία, καὶ γι' αὐτὸ δὲν δεχόταν τὶς θυσίες, ἐπειδὴ τὶς πρόσφερναν μὲ μιαρὰ χέρια. Ὁ Δαυΐδ πάλι, ἀφοῦ εἶπε, «δὲν θὰ δεχθῶ ἀπὸ τὸν οἶκο σου μόσχους, οὔτε ἀπὸ τὰ ποίμνιά σου τράγους», πρόσθεσε καὶ εἶπε· «ἐνῶ στὸν ἁμαρτωλὸ εἶπε ὁ Θεός· γιατί σὺ διδάσκεις τὶς ἐντολές μου καὶ βάζεις στὸ στόμα σου τὴ διαθήκη μου ; Γιατί σὺ μίσησες τὶς νουθεσίες μου καὶ δὲν ἀποδέχθηκες τοὺς λόγους μου; Ἂν ἔβλεπες κλέ-

27. Ἠσ. 1,15.

Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου ἐπλεόνασε κακίαν καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητα. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον». Ὅθεν δῆλον ὅτι οὐχ ἁπλῶς ἐνταῦθα παρῃτήσατο τὰς θυσίας, ἀλλ' ἐπειδὴ ἐμοίχευον, ἐπειδὴ ἔκλεπτον, ἐπειδὴ τοῖς ἀδελφοῖς ἐπεβούλευον. Καὶ ἕκαστος δέ, φησί, τῶν προφητῶν, κατηγορῶν τῶν προσαγόντων τὰς θυσίας, οὕτως αὐτὰς τὸν Θεὸν παραιτεῖσθαι λέγει.

4. Ταῦτα οἱ ἀντιλέγοντες ἡμῖν λέγουσιν, ἀλλ' ἀρκοῦσαν ἔδωκεν αὐτοῖς πληγὴν ὁ Παῦλος καὶ ἱκανῶς αὐτῶν ἐπεστόμισε τὴν ἀναισχυντίαν διὰ τῆς μαρτυρίας ταύτης. Βουλόμενος γὰρ δεῖξαι ὅτι αὐτὴν τὴν πολιτείαν ὡς ἀτελεστέραν ἀπώσατο ὁ Θεὸς καὶ ἀργεῖν ἐποίησε, ταύτης ἐπελάβετο τῆς μαρτυρίας, ἐν ᾗ κατηγορία μὲν τῶν προσαγόντων οὐκ ἔστι, τὸ δὲ ἀτελὲς αὐτῆς γυμνὸν αὐτὸ καθ' ἑαυτὸ φαίνεται. Ὁ γὰρ προφήτης οὐδὲν κατηγορήσας τῶν Ἰουδαίων, ἁπλῶς οὕτω φησίν· «θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι, ὁλοκαυτώματα καὶ περὶ τῆς ἁμαρτίας οὐκ ηὐδόκησας». Καὶ ἑρμηνεύων τοῦτο ὁ Παῦλος ἔλεγεν, «ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ». Ἐπεὶ μὲν γὰρ εἶπε, «θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας», εἶτα εἰπών, «σῶμα δὲ κατηρτίσω μοι», καὶ δείξας ἑτέραν εἰσενηνέχθαι θυσίαν, οὐδεμίαν λοιπὸν ἐλπίδα ἔδωκε τοῦ πάλιν ἐκείνην ἐπανελθεῖν. Καὶ αὐτὸ τοῦτο ἑρμηνεύων ὁ Παῦλος, ἔλεγεν, ὅτι «διὰ τῆς προσφορᾶς ταύτης ἡγιασμένοι ἐσμὲν ἐν τῷ θελήματι τοῦ Χριστοῦ. Εἰ γὰρ αἷμα ταύρων καὶ τράγων», φησί, «καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος ἁγίου προσήνεγκεν ἑαυτὸν ἄμωμον, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων;».

Ὅτι μὲν οὖν ἐκείνη πέπαυται καὶ ἑτέρα ἀντεισενήνεκται, καὶ οὐκ ἔτι λοιπὸν ἀναστήσεται, ἱκανῶς ἐντεῦθεν ἀποδέδεικται. Φέρε

28. Ψαλμ. 49,9.
29. Ψαλμ. 43,7.
30. Ἑβρ. 10,9.
31. Ἑβρ. 9,10.

φτη, ἔτρεχες μαζὶ μὲ αὐτὸν καὶ μὲ τοὺς μοιχοὺς εἶχες τὴ μερίδα σου στὴ ἀκολασία τους. Τὸ στόμα σου ξεχείλισε ἀπὸ τὴν κακία καὶ ἡ γλῶσσα σου περιέπλεκε δολιότητα. Καθόσουν καὶ κατηγοροῦσες τὸν ἀδελφό σου καὶ ἐναντίον τοῦ υἱοῦ τῆς μητέρας σου ἔβαζες σκάνδαλα»[28]. Ἄρα γίνεται φανερό, ὅτι δὲν ἀπέρριψε τὶς θυσίες χωρὶς λόγο, ἀλλ' ἐπειδὴ μοίχευαν, ἐπειδὴ ἔκλεβαν, ἐπειδὴ ἐπεβουλεύονταν τοὺς ἀδελφούς τους. Ἀλλὰ καὶ κάθε προφήτης, λέγει, κατηγορώντας ἐκείνους ποὺ πρόσφερναν τὶς θυσίες, λέγει ὅτι ὁ Θεὸς γι' αὐτὸ ἀπέρριψε τὶς θυσίες.

4. Αὐτὰ μᾶς λέγουν οἱ ἀντιλέγοντες, ἀλλὰ ἀρκετὸ εἶναι τὸ πλῆγμα ποὺ τοὺς ἔδωσε ὁ Παῦλος καὶ ἱκανοποιητικὰ ἀποστόμωσε τὴν αὐδιαντροπιά τους μὲ τὴ μαρτυρία αὐτή. Θέλοντας δηλαδὴ νὰ δείξη, ὅτι ὁ Θεὸς κατάργησε τὸ παλιὸ πολίτευμα καὶ τὸ ἔκαμε ἀργὸ ἐπειδὴ ἦταν ἀτελέστερο, χρησιμοποίησε τὴ μαρτυρία αὐτή, στὴν ὁποία δὲν ὑπάρχει κατηγορία ἐναντίον τῶν προσφερόντων, ἀλλὰ τὸ ἀτελὲς αὐτοῦ αὐτὸ καθ' ἑαυτὸ φαίνεται γυμνό. Γιατὶ ὁ προφήτης, χωρὶς καθόλου νὰ κατηγορήση τοὺς Ἰουδαίους, λέγει ἁπλῶς τὰ ἑξῆς· «θυσία καὶ προσφορὰ δὲν θέλησες, ἀλλὰ μοῦ ἔδωσες σῶμα ποὺ μὲ τελειοποιεῖ, καὶ δὲν δέχθηκες ὁλοκαυτώματα ποὺ προσφέρονται γιὰ τὶς ἁμαρτίες»[29]. Καὶ ὁ Παῦλος, ἑρμηνεύοντας αὐτό, ἔλεγε· «ἀπορρίπτει τὸ πρῶτο, γιὰ νὰ στερεώση τὸ δεύτερο»[30]. Γιατί, λέγοντας «θυσία καὶ προσφορὰ δὲν θέλησες», καὶ προσθέτοντας «ἀλλὰ μοῦ ἔδωσες σῶμα ποὺ μὲ τελειοποιεῖ» καὶ δείχνοντας ἔτσι ὅτι ἔχει εἰσαχθῆ μιὰ ἄλλη θυσία, δὲν ἄφησε καμμιὰ ἐλπίδα γιὰ τὴν ἐπάνοδο τῆς θυσίας ἐκείνης. Καὶ αὐτὸ ἀκριβῶς ἑρμηνεύοντας ὁ Παῦλος ἔλεγε· «μὲ τὴν προσφορὰ αὐτὴ εἴμαστε ἁγιασμένοι μὲ τὴ δύναμη τοῦ θελήματος τοῦ Χριστοῦ»[31]. Γιατί, λέγει, ἂν τὸ ράντισμα μὲ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸ δαμαλιοῦ ἁγιάζη καὶ καθαρίζη τὸ σῶμα ἐκείνων ποὺ συμμετέχουν καὶ δέχονται αὐτά, πόσο μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὁ ὁποῖος πρόσφερε διὰ τοῦ ἁγίου Πνεύματος τὸν ἑαυτό του καθαρὴ θυσία, θὰ καθαρίση τὴ συνείδησή μας ἀπὸ τὰ νεκρὰ ἔργα μας;»[31α].

Τὸ ὅτι λοιπὸν ἡ θυσία ἐκείνη ἔχει καταργηθῆ καὶ ἔχει εἰσαχθῆ ἄλλη ἀντὶ ἐκείνης καὶ δὲν πρόκειται πιὰ ἐκείνη νὰ ξαναϊσχύση,

31α. Ἑβρ. 9,13–14.

δὴ λοιπόν, ὃ πάλαι ἐσπουδάζομεν δεῖξαι, ὅτι καὶ τῆς ἱερωσύνης ὁ τρόπος ἐκεῖνος οὐκ ἔτι φαίνεται, οὐδὲ ἐπανήξει πάλιν ῥητῶς τοῦτο καὶ σαφῶς ἀπὸ τῶν Γραφῶν αὐτῶν ποιήσωμεν φανερόν, ὀλίγα πρότερον ὑμῖν προειπόντες, ὥστε σαφεστέραν γενέσθαι τῶν λεγομένων τὴν ἑρμηνείαν.

Ἀβραὰμ ἐπανελθὼν ἀπὸ τῆς Περσίδος, ἐγέννησε τὸν Ἰσαάκ, εἶτα ἐκεῖνος τὸν Ἰακώβ, ὁ Ἰακὼβ τοὺς δώδεκα παῖδας, ἐξ ὧν ἐγένοντο δέκα καὶ δύο φυλαί, μᾶλλον δὲ τρισκαίδεκα· ἀντὶ γὰρ τοῦ Ἰωσὴφ οἱ παῖδες αὐτοῦ, Ἐφραῒμ καὶ Μανασσής, ἐγένοντο φύλαρχοι. Καὶ καθάπερ ἑκάστῳ τῶν υἱῶν Ἰακὼβ ἐπώνυμος ἦν φυλή, τοῦ Ρουβήμ, τοῦ Συμεών, τοῦ Λευΐ, τοῦ Ἰούδα, τοῦ Νεφθαλίμ, τοῦ Γάδ, τοῦ Ἀσήρ, τοῦ Βενιαμίν, οὕτως ἐπὶ τοῦ Ἰωσὴφ οἱ παῖδες οἱ ἐκείνου, Μανασσῆς καὶ Ἐφραΐμ, δύο φυλαὶ γεγόνασιν ἐπώνυμοι· καὶ ἐκαλεῖτο φυλὴ ἡ μὲν τοῦ Ἐφραΐμ, ἡ δὲ τοῦ Μανασσῆ. Τῶν τρισκαίδεκα τοίνυν τούτων φυλῶν, αἱ μὲν ἄλλαι πᾶσαι ἀγροὺς ἔσχον καὶ προσόδους πολλὰς καὶ ἐγεώργουν πᾶσαι καὶ τὰ ἄλλα ἅπαντα ἔπραττον τὰ βιωτικά, ἡ δὲ τοῦ Λευΐ φυλὴ ἱερωσύνῃ τιμηθεῖσα, μόνη τῶν μὲν βιωτικῶν ἔργων ἀπήλλακτο, καὶ οὐδὲ ἐγεώργουν, οὐδὲ τέχνας μετήεσαν, οὐδὲ ἄλλο τι τοιοῦτον ἐπραγματεύοντο, ἀλλὰ τῇ ἱερωσύνῃ προσεῖχον μόνῃ καὶ δεκάτας ἐλάμβανον παρὰ παντὸς τοῦ λαοῦ καὶ οἴνου καὶ πυροῦ καὶ κριθῶν καὶ τῶν ἄλλων ἁπάντων, τὰς δεκάτας αὐτοῖς ἐδίδοσαν πάντες καὶ τοῦτο ἦν αὐτοῖς πρόσοδος· καὶ οὐκ ἐξῆν ἐξ οὐδεμιᾶς ἄλλης φυλῆς ἱερέα γενέσθαι ποτέ. Ἀπὸ γὰρ ταύτης ἐγένετο τῆς φυλῆς Ἀαρών, τῆς Λευΐ λέγω, καὶ κατὰ διαδοχὴν οἱ ἔκγονοι ἐκείνου τὴν ἱερωσύνην ἐδέχοντο καὶ οὐδεὶς οὐδέποτε ἐξ ἑτέρας ἐγένετο φυλῆς ἱερεύς. Οὗτοι τοίνυν οἱ Λευῖται δεκάτας παρ' αὐτῶν ἐλάμβανον καὶ οὕτως ἐτρέφοντο.

Ἀλλὰ καὶ πρὸ τοῦ Ἰακὼβ ἐπὶ τοῦ Ἰσαάκ, ἐπὶ τοῦ Ἀβραάμ, οὔπω γενομένου Μωϋσέως, οὐδὲ νόμου γραφέντος, οὐδὲ τῆς ἱερωσύνης τῆς Λευϊτικῆς δήλης οὔσης, οὐ σκηνῆς, οὐ ναοῦ γενομένου, οὐ τῶν φυλῶν διακεκριμένων, οὐ τῆς Ἱερουσαλὴμ φαινομένης, οὐ-

ἔχει ἀποδειχθῆ ἱκανοποιητικὰ μὲ τὰ ὅσα εἴπαμε. Ἐμπρὸς λοιπόν, ἐκεῖνο ποὺ ἀπὸ πολὺ καιρὸ ἐπιθυμοῦσα ν' ἀποδείξω, ὅτι δηλαδὴ καὶ ὁ τρόπος τελέσεως τῆς ἱερωσύνης δὲν φαίνεται πιὰ οὔτε καὶ θὰ ἐπανέλθη πάλι, ἂς τὸ ἀποδείξουμε ρητῶς καὶ μὲ σαφήνεια ἀπὸ τὶς ἴδιες τὶς Γραφές, ἀφοῦ προηγουμένως ποῦμε λίγα λόγια, ὥστε νὰ γίνη πιὸ σαφὴς ἡ ἑρμηνεία αὐτοῦ.

Ὅταν ὁ Ἀβραὰμ ἐπέστρεψε ἀπὸ τὴν περσικὴ χώρα γέννησε τὸν Ἰσαὰκ καὶ αὐτὸς ἔπειτα τὸν Ἰακὼβ καὶ ὁ Ἰακὼβ τὰ δώδεκα παιδιά, ἀπὸ τὰ ὁποῖα προῆλθαν οἱ δώδεκα φυλές, ἢ καλύτερα οἱ δέκα τρεῖς, γιατὶ ἀντὶ τοῦ Ἰωσὴφ τὰ παιδιά του Ἐφραὶμ καὶ Μανασσῆς ἔγιναν ἀρχηγοὶ φυλῆς. Καὶ ὅπως μὲ τὸ ὄνομα κάθε παιδιοῦ τοῦ Ἰακὼβ ἐπωνομαζόταν καὶ μιὰ φυλή, δηλαδὴ ἡ φυλὴ τοῦ Ρουβήμ, τοῦ Συμεών, τοῦ Λευΐ, τοῦ Ἰούδα, τοῦ Νεφθαλίμ, τοῦ Γάδ, τοῦ Ἀσήρ, τοῦ Βενιαμίν, ἔτσι καὶ στὴν περίπτωση τοῦ Ἰωσὴφ τὰ παιδιά του ὁ Μανασσῆς καὶ ὁ Ἐφραὶμ ἔδωσαν τὰ ὀνόματά τους σὲ δύο φυλές, καὶ ἡ μία καλοῦνταν φυλὴ τοῦ Ἐφραὶμ καὶ ἡ ἄλλη τοῦ Μανασσῆ. Ἀπὸ τὶς δέκα τρεῖς αὐτὲς φυλὲς οἱ δώδεκα εἶχαν χωράφια καὶ εἰσοδήματα, ὅλες ἀσχολοῦνταν μὲ τὴ γεωργία, κάμνοντας καὶ ὅλα τὰ ἄλλα τὰ κοσμικά, ἐνῶ ἡ φυλὴ τοῦ Λεΐ ποὺ εἶχε τιμηθῆ μὲ τὸ ἀξίωμα τῆς ἱερωσύνης, ἦταν ἡ μόνη ποὺ εἶχε ἀπαλλαγῆ ἀπὸ τὶς βιωτικὲς ἐργασίες, καὶ αὐτοὶ οὔτε χωράφια καλλιεργοῦσαν οὔτε ἀσκοῦσαν ἄλλα ἐπαγγέλματα, οὔτε ἀσχολοῦνταν μὲ ὁ,τι δήποτε ἄλλο, ἀλλ' ἦταν ἀφωσιωμένοι μόνο στὴν ἱερωσύνη, εἰσέπρατταν τὴ λεγόμενη δεκάτη ἀπὸ ὁλόκληρο τὸν λαό, ἀπὸ τὸ κρασί, ἀπὸ τὸ σιτάρι, ἀπὸ τὸ κριθάρι καὶ ἀπὸ ὅλα τὰ ἄλλα ἀγαθά, τὶς δεκάτες αὐτὲς τὶς ἔδιναν ὅλοι σ' αὐτοὺς καὶ αὐτὲς ἀποτελοῦσαν τὸ εἰσόδημά τους, καὶ κανεὶς ἀπὸ καμμιὰ ἄλλη φυλὴ δὲν ἐπιτρεπόταν νὰ γίνη ἱερεύς. Γιατὶ ἀπὸ τὴ φυλὴ τοῦ Λευΐ ἔγινε ὁ Ἀαρὼν καὶ διαδοχικὰ τὰ ἐγγόνια του ἐλάμβαναν τὸ ἀξίωμα τῆς ἱερωσύνης καὶ κανεὶς ποτὲ δὲν ἔγινε ἱερεὺς ἀπὸ ἄλλη φυλή. Αὐτοὶ λοιπὸν οἱ Λευΐτες ἐλάμβαναν ἀπὸ τὶς ἄλλες φυλὲς τὶς δεκάτες καὶ μὲ αὐτὲς ζοῦσαν.

Ἀλλὰ καὶ πρὶν ἀπὸ τὸν Ἰωσὴφ καὶ τὸν Ἰσαάκ, στὴν ἐποχὴ τοῦ Ἀβραάμ, ὅταν οὔτε ὁ Μωϋσῆς ὑπῆρχε οὔτε ὁ νόμος εἶχε καταγραφῆ οὔτε ὁ θεσμὸς τῆς ἱερωσύνης τῆς Λευϊτικῆς φυλῆς εἶχε ἐμφανισθῆ οὔτε σκηνὴ ὑπῆρχε οὔτε ναὸς εἶχε γίνει οὔτε οἱ φυλὲς ἦταν χωρισμένες μεταξύ τους οὔτε ἡ Ἰερουσαλὴμ ὑπῆρχε καὶ γενικὰ τί-

δενὸς ὅλως οὐδέπω τῶν κατὰ Ἰουδαίων πραγμάτων ἀρχὴν λαβόντος, ἐγένετό τις Μελχισεδὲκ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου. Οὗτος ὁ Μελχισεδὲκ ὁμοῦ καὶ βασιλεὺς καὶ ἱερεὺς ἦν· τύπος γὰρ ἔμελλεν ἔσεσθαι τοῦ Χριστοῦ καὶ μέμνηται αὐτοῦ σαφῶς ἡ Γραφή. Ἐπειδὴ γὰρ ὁ Ἀβραὰμ τοῖς Πέρσαις ἐπιπεσὼν καὶ τὸν ἀδελφιδοῦν τὸν ἑαυτοῦ τὸν Λὼτ ἐξαρπάσας τῶν ἐκείνων χειρῶν, καὶ τὰ λάφυρα λαβὼν πάντα, ἐπανήει νικήσας κατακράτος ἐκείνους, οὕτω πως περὶ τοῦ Μελχισεδὲκ ἡ Γραφή φησι· «καὶ Μελχισεδὲκ βασιλεὺς Σαλήμ, ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου καὶ ηὐλόγησε τὸν Ἀβραὰμ καὶ εἶπεν· εὐλογημένος Ἀβραὰμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. Καὶ ἔδωκεν αὐτῷ δεκάτην ἀπὸ πάντων Ἀβραάμ». Ἂν τοίνυν φανῇ τις τῶν προφητῶν, λέγων, ὅτι μετὰ τὸν Ἀαρὼν καὶ τὴν ἱερωσύνην ἐκείνην καὶ τὰς θυσίας ταύτας καὶ τὰς προσφοράς, ἀναστήσεται ἱερεὺς ἕτερος, οὐκ ἀπὸ φυλῆς ἐκείνης, ἀλλ' ἐξ ἑτέρας, ἀφ' ἧς οὐδέποτε γέγονεν ἱερεύς, οὐ κατὰ τὴν τάξιν Ἀαρών, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδέκ, εὔδηλον ὅτι ἡ μὲν παλαιὰ πέπαυται ἱερωσύνη, ἑτέρα δὲ νέα ἀντεισενήνεκται. Εἰ γὰρ ἔμελλεν ἡ παλαιὰ κρατεῖν, οὐ κατὰ τὴν τάξιν Μελχισεδέκ, ἀλλὰ κατὰ τὴν τάξιν Ἀαρών, ἔδει λέγεσθαι. Τίς οὖν τοῦτό φησιν; Αὐτὸς οὗτος ὁ περὶ τῶν θυσιῶν εἰπών, περὶ τοῦ Χριστοῦ διαλεγόμενος, καί που τοῦτό φησιν· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου».

5. *Εἶτα, ἵνα μὴ περί τινος τῶν πολλῶν ἀνθρώπων τοῦτο ὑποπτεύῃ τις λέγεσθαι, οὔ φησιν αὐτὸ ὁ Ἡσαΐας, οὔτε Ἱερεμίας, οὔτε ἄλλος τις προφήτης, ἰδιώτης γενόμενος, ἀλλ' αὐτὸς ὁ βασιλεύς, ἵνα μάθῃς, ὅτι ὁ βασιλεὺς Κύριον ἑαυτοῦ οὐδένα καλέσαι δύναται, ἀλλ' ἢ τὸν Θεὸν μόνον. Εἰ μὲν γὰρ ἰδιώτης ἦν, ἴσως ἄν τις εἶπε τῶν ἀναισχυντούντων, ὅτι περὶ ἀνθρώπου λέγει· νυνὶ δὲ βασιλεὺς ὢν ἄνθρωπον ἑαυτοῦ κύριον οὐκ ἂν ἐκάλεσεν. Πῶς δ' ἄν, εἰ περί τι-*

32. Ἑβρ. 5,6. 10. 6,20. 7,11. 17. 21.
33. Γεν. 14,18–20. Πρβλ. Ἑβρ. 7,1.

ποτε ἀπὸ τὰ ἰουδαϊκὰ πράγματα δὲν εἶχε λάβει ἀκόμη ἀρχή, ἔγινε κάποιος Μελχισεδὲκ ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου. Αὐτὸς ὁ Μελχισεδὲκ ἦταν ταυτόχρονα καὶ βασιλεὺς καὶ ἱερεύς, γιατὶ ἐπρόκειτο νὰ γίνη τύπος τοῦ Χριστοῦ, καὶ ἡ Γραφὴ μὲ σαφήνεια μνημονεύει αὐτόν[32]. Ὅταν δηλαδὴ κάποτε ὁ Ἀβραὰμ ἐπιτέθηκε ἐναντίον τῶν Περσῶν καὶ ἀπελευθέρωσε μέσα ἀπ' τὰ χέρια τους τὸν ἀνεψιό του, τὸν Λώτ, καὶ λαμβάνοντας πολλὰ λάφυρα ἐπέστρεψε νικητής, ἀφοῦ τοὺς κατετρόπωσε, ἡ Γραφὴ λέγει τὰ ἑξῆς γιὰ τὸν Μελχισεδέκ· «καὶ ὁ Μελχισεδὲκ ὁ βασιλεὺς τῆς Σαλὴμ πρόσφερε ἄρτους καὶ οἶνο· ἦταν ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου καὶ εὐλόγησε τὸν Ἀβραὰμ καὶ εἶπε· 'ἂς εἶναι εὐλογημένος ὁ Ἀβραὰμ ἀπὸ τὸν Θεὸ τὸν Ὕψιστο, ὁ ὁποῖος ἔκτισε τὸν οὐρανὸ καὶ τὴ γῆ, καὶ ἂς εἶναι δοξασμένος ὁ Θεὸς ὁ Ὕψιστος, ὁ ὁποῖος παρέδωσε τοὺς ἐχθρούς σου ὑποχείριους σὲ σένα'. Καὶ ἔδωσε σ' αὐτὸν ὁ Ἀβραὰμ τὸ ἕνα δέκατο ἀπὸ ὅλα τὰ λάφυρα»[33]. Ἂν λοιπὸν φανῆ κάποιος προφήτης, λέγοντας ὅτι μετὰ τὸν Ἀαρὼν καὶ τὴν ἱερωσύνη ἐκείνη καὶ τὶς θυσίες αὐτὲς καὶ τὶς προσφορὲς θὰ ἐμφανισθῆ ἄλλος ἱερεύς, ποὺ δὲν θὰ προέρχεται ἀπὸ τὴ φυλὴ ἐκείνη, ἀλλὰ ἀπὸ ἄλλη, ἀπὸ τὴν ὁποία οὐδέποτε ἔχει γίνει ἱερεύς, ὄχι κατὰ τὴν τάξη Ἀαρών, ἀλλὰ κατὰ τὴν τάξη Μελχισεδέκ, εἶναι ὁλοφάνερο ὅτι ἡ παλιὰ ἱερωσύνη ἔχει καταργηθῆ καὶ μία νέα ἱερωσύνη εἰσάγεται στὴ θέση της. Γιατί, ἂν ἐπρόκειτο ἡ παλιὰ νὰ συνεχίση νὰ ὑφίσταται, ὄχι κατὰ τὴν τάξη Μελχισεδέκ, ἀλλὰ κατὰ τὴν τάξη Ἀαρών, ἔπρεπε αὐτὸ νὰ λεχθῆ. Ποιός ὅμως τὸ λέγει αὐτό; Αὐτὸς ὁ ἴδιος ποὺ προφήτευσε γιὰ τὶς θυσίες, μιλώντας γιὰ τὸν Χριστό, λέγει κάπου καὶ αὐτό· «εἶπε ὁ Κύριος στὸν Κύριό μου, κάθισε στὰ δεξιά μου»[34].

5. Ἔπειτα, γιὰ νὰ μὴ σκεφθῆ κανείς, ὅτι αὐτὸ λέγεται γιὰ κάποιον ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους, δὲν τὸ λέγει ὁ Ἠσαΐας οὔτε ὁ Ἱερεμίας οὔτε κανεὶς ἄλλος ἁπλῶς προφήτης, ἀλλὰ αὐτὸς ὁ ἴδιος ὁ βασιλεύς, γιὰ νὰ μάθης, ὅτι ὁ βασιλεὺς δὲν εἶναι δυνατὸ νὰ ὀνομάση κανένα ἄλλον Κύριο, παρὰ μόνο τὸν Θεό. Γιατί, ἂν ἦταν κάποιος ἁπλὸς προφήτης, θὰ μποροῦσε ἴσως κάποιος ἀπὸ τοὺς ἀδιάντροπους νὰ πῆ, ὅτι τὰ λέγει γιὰ κάποιον ἄνθρωπο· τώρα ὅμως, ποὺ αὐτὸς εἶναι βασιλεύς, δὲν εἶναι δυνατὸ νὰ καλέση Κύριό του ἕνα

34. Ψαλμ. 109,1.

νος τῶν πολλῶν ἀνθρώπων ἔλεγε ταῦτα ὁ Δαυίδ, εἶπεν ἄν, ὅτι καὶ ἐκ δεξιῶν ἐκάθισε τῆς ἀπορρήτου καὶ μεγάλης δόξης ἐκείνης; Τοῦτο γὰρ ἀμήχανον. Περὶ δὲ τούτου φησίν· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου». Εἶτα, ἵνα μὴ νομίσῃς, αὐτὸν ἀσθενῆ εἶναι καὶ ἀδύνατον, ἐπήγαγε, «μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου». Καὶ σαφέστερον δηλῶν ἔλεγεν, «ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε». Πρὸ ἑωσφόρου δὲ οὐδεὶς ἀνθρώπων γεγέννηται. «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ»· οὐκ εἶπε, «κατὰ τὴν τάξιν Ἀαρών». Ἐρώτησον τοίνυν τὸν Ἰουδαῖον, εἰ μὴ ἔμελλεν ἡ ἱερωσύνη καταλύεσθαι ἡ παλαιά, τίνος ἕνεκεν ἕτερον εἰσήγαγεν ἱερέα κατὰ τὴν τάξιν Μελχισεδέκ. Εἰς τοῦτο γοῦν αὐτὸ τὸ χωρίον ἐλθὼν ὁ Παῦλος, ὅρα πῶς αὐτὸ σαφέστερον ἐποίησεν. Εἰπὼν γὰρ περὶ τοῦ Χριστοῦ, «ὅτι καθὼς ἐν ἑτέρῳ λέγει, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ», ἐπήγαγε· «περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος».

Εἶτα, ἐπιτιμήσας τοῖς μαθηταῖς, δεῖ γὰρ ἐπιτεμεῖν, λέγει, «τίς ἐστιν ὁ Μελχισεδέκ», καὶ ἐπάγει τὴν ἱστορίαν, οὕτω λέγων· «οὗτος ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν, ᾧ καὶ δεκάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ». Εἶτα, ἐκκαλύπτων τὸ θεώρημα τοῦ τύπου, «θεωρεῖτε δὲ πηλίκος οὗτος», φησίν, «ᾧ καὶ δεκάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ ὁ πατριάρχης». Τοῦτο δὲ οὐχ ἁπλῶς ἔλεγεν, ἀλλ' ἐνδείξασθαι βουλόμενος, ὅτι πολλῷ μείζων ἡ καθ' ἡμᾶς ἱερωσύνη τῆς ἰουδαϊκῆς. Καὶ ἐν τοῖς τύποις αὐτοῖς τῶν πραγμάτων, προλαβοῦσα ἡ ὑπεροχὴ διαδείκνυται. Ὁ γὰρ Ἀβραὰμ τοῦ Ἰσαὰκ πατὴρ ἦν καὶ τοῦ Ἰακὼβ πάππος καὶ Λευΐ πρόγονος, τοῦ γὰρ Ἰακὼβ υἱὸς ἦν ὁ Λευΐ. Ἀπὸ γὰρ Λευΐ ἡ ἱερωσύνη παρὰ Ἰουδαίοις τὴν ἀρχὴν ἔλαβεν, ἀλλ' οὗτος ὁ Ἀβραὰμ ὁ πρόγονος τῶν Λευϊτῶν, τῶν ἰουδαϊκῶν ἱε-

35. Ψαλμ. 109,1–2.

36. Ψαλμ. 109,3.

37. Ἑωσφόρος· σημαίνει τὸ φῶς, ὅπως ἐδῶ, καὶ τὸν Σατανᾶ. Πρβλ. Ἡσ. 14,12. Ἀκόμη ἔτσι καλεῖται καὶ ὁ πλανήτης τῆς Ἀφροδίτης, ὁ Αὐγερινός.

38. Αὐτόθι.

ὁποιονδήποτε ἄνθρωπο. Γιατί, ἂν ὁ Δαυΐδ μιλοῦσε γιὰ ἕναν ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους, πῶς θὰ μποροῦσε νὰ πῆ ὅτι κάθισε στὰ δεξιὰ τῆς ἀπερίγραπτης καὶ μεγάλης ἐκείνης δόξας; Γιατὶ αὐτὸ εἶναι ἀδύνατο. Γι' αὐτὸν ὅμως λέγει· «εἶπε ὁ Κύριος στὸν Κύριό μου· κάθισε στὰ δεξιά μου, μέχρι ποὺ νὰ θέσω τοὺς ἐχθρούς σου κάτω ἀπὸ τὰ πόδια σου»[35]. Ἔπειτα, γιὰ νὰ μὴ νομίσης, ὅτι αὐτὸς εἶναι ἀνίσχυρος καὶ ἀδύνατος, πρόσθεσε· «ἡ ἐξουσία ἀνήκει σὲ σένα, τὴν ὁποία θ' ἀσκήσης κατὰ τὴν ἡμέρα τῆς δυνάμεώς σου»[36]. Καὶ γιὰ νὰ τὸ κάμη πιὸ σαφὲς ἔλεγε· «σὲ γέννησα ἀπὸ τοὺς κόλπους μου πρὶν ἀπὸ τὸν ἑωσφόρο»[37.38]. Πρὶν ἀπὸ τὸν ἑωσφόρο κανεὶς ἄνθρωπος δὲν εἶχε γεννηθῆ. «Σὺ εἶσαι ἱερεὺς στὸν αἰῶνα κατὰ τὴν τάξη Μελχισεδέκ»[39]· δὲν εἶπε, 'κατὰ τὴν τάξη Ἀαρών'. Ρώτησε λοιπὸν τὸν Ἰουδαῖο, ἂν δὲν ἐπρόκειτο νὰ καταργηθῆ ἡ ἱερωσύνη ἡ παλαιά, γιὰ ποιό λόγο εἰσήγαγε νέον ἱερέα κατὰ τὴν τάξη Μελχισεδέκ; Σ' αὐτὸ λοιπὸν τὸ χωρίο φθάνοντας ὁ Παῦλος, πρόσεχε πῶς τὸ ἐξήγησε μὲ σαφήνεια. Ἀφοῦ εἶπε γιὰ τὸν Χριστό, «γιατί, ὅπως ἀλλοῦ λέγει, 'σὺ εἶσαι ἱερεὺς στὸν αἰῶνα κατὰ τὴν τάξη Μελχισεδέκ», πρόσθεσε· «γιὰ τὸ ὁποῖο ἔχουμε πολλὰ νὰ ποῦμε, γιατὶ εἶναι δυσκολοερμήνευτο»[40].

Ἔπειτα, ἀφοῦ ἐπιτίμησε τοὺς μαθητὲς (γιατὶ πρέπει νὰ συντομεύσω), λέγει, «ποιός εἶναι ὁ Μελχισεδὲκ» καὶ παραθέτει τὴν ἱστορία του, λέγοντας τὰ ἑξῆς· «αὐτὸς εἶναι ἐκεῖνος ποὺ συνάντησε τὸν Ἀβραὰμ ὅταν ἐπέστρεφε ἀπὸ τὴν κατατρόπωση τῶν βασιλέων καὶ τὸν εὐλόγησε, στὸν ὁποῖο ὁ Ἀβραὰμ ἔδωσε τὸ ἕνα δέκατο ἀπ' ὅλα τὰ λάφυρα». Ἔπειτα, ἀποκαλύπτοντας τὸ βαθύτερο νόημα τοῦ τύπου λέγει· «σκεφθῆτε πόσο μεγάλος ἦταν αὐτός, ἀφοῦ καὶ ὁ πατριάρχης Ἀβραὰμ ἔδωσε τὸ δέκατο ἀπὸ τὰ λάφυρα»[41]. Καὶ αὐτὸ δὲν τὸ ἔλεγε ἄσκοπα, ἀλλὰ θέλοντας νὰ δείξη, ὅτι ἡ δική μας ἱερωσύνη εἶναι πολὺ ἀνώτερη ἀπὸ τὴν ἰουδαϊκή. Καὶ στοὺς τύπους ἀκόμη τῶν πραγμάτων παρουσιάζεται ἡ ὑπεροχὴ νὰ διαλάμπη. Γιατὶ ὁ Ἀβραὰμ ἦταν πατέρας τοῦ Ἰσαὰκ καὶ παποῦς τοῦ Ἰακὼβ καὶ πρόγονος τοῦ Λευΐ, ποὺ ἦταν τοῦ Ἰακὼβ παιδί. Γιατὶ ἀπὸ τὴ φυλὴ τοῦ Λευΐ ἔλαβε τὴν ἀρχή της ἡ ἱερωσύνη, ἀλλ' αὐτὸς ὁ Ἀβραὰμ ὁ πρό-

39. Ἑβρ. 5,6.
40. Ἑβρ. 5,11.
41. Ἑβρ. 7,1–4.

ρέων, ἐπὶ τοῦ Μελχισεδέκ, ὃς ἦν τύπος τῆς καθ' ἡμᾶς ἱερωσύνης, λαϊκοῦ τάξιν ἐπεῖχε· καὶ τοῦτο δι' ἀμφοτέρων ἐδήλωσε, καὶ διὰ τοῦ δοῦναι δεκάτην (οἱ γὰρ λαϊκοὶ τοῖς ἱερεῦσι τὰς δεκάτας διδόασι), καὶ ὅτι ηὐλογήθη παρ' αὐτοῦ· (οἱ γὰρ λαϊκοὶ παρὰ τῶν ἱερέων εὐλογοῦνται).

Πάλιν ὅρα πόση ἡ ὑπεροχὴ τῆς καθ' ἡμας ἱερωσύνης, ὅταν Ἀβραὰμ ὁ πατριάρχης τῶν Ἰουδαίων, ὁ πρόγονος τῶν Λευϊτῶν, εὑρίσκηται ὑπὸ τοῦ Μελχισεδὲκ εὐλογούμενος καὶ δεκάτας διδούς. Καὶ γὰρ ἀμφότερα ταῦτά φησιν ἡ Παλαιά, ὅτι καὶ εὐλόγησεν ὁ Μελχισεδὲκ τὸν Ἀβραὰμ καὶ δεδεκάτωκεν αὐτόν. Ταῦτα γοῦν αὐτὰ εἰς μέσον ἀγαγὼν ὁ Παῦλος, ἔλεγε, «θεωρεῖτε δὲ πηλίκος οὗτος;». «Οὗτος»· τίς; Ὁ «Μελχισεδέκ», φησίν, «ᾧ καὶ δεκάτην Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων ἔδωκεν ὁ πατριάρχης ἐκείνων. Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευΐ τὴν ἱερωσύνην λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαόν, τουτέστι τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος τοῦ Ἀβραάμ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. Οἱ Λευῖται, φησίν, οἱ παρὰ Ἰουδαίοις ἱερεῖς, ἐντολὴν ἔλαβον κατὰ τὸν νόμον, δεκάτας λαμβάνειν ἐκ τῶν ἄλλων Ἰουδαίων. Καίτοι γε πάντες ἐκ τοῦ Ἀβραὰμ ἦσαν, καὶ οἱ Λαυῖται καὶ ὁ λοιπὸς λαός, ἀλλ' ὅμως δεκάτας λαμβάνουσι παρὰ τῶν ἀδελφῶν αὐτῶν. Ὁ δὲ Μελχισεδέκ, ὁ μὴ γενεαλογούμενος ἐξ αὐτῶν (οὐ γὰρ ἐκ τοῦ Ἀβραὰμ ἦν, οὐδὲ ἐκ τῆς φυλῆς τῆς Λευϊτικῆς, ἀλλ' ἐξ ἑτέρου γένους), δεδεκάτωκε τὸν Ἀβραάμ, τουτέστι, δεκάτας παρα' αὐτοῦ ἔλαβε.

Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερόν τι· καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας, τὸν Ἀβραάμ, πάλιν ηὐλόγησε. Καὶ τί ἐν τούτῳ, φησί, δείκνυται; Ὅτι οὗτος ἐκείνου σφόδρα ἐλάττων. Πῶς; «Χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται». Ὥστε, εἰ μὴ ἦν ἐλάττων ὁ Ἀβραάμ, ὁ πρόγονος τῶν Λευϊτῶν, τοῦ Μελχισεδέκ, ουκ ἂν ἐκεῖνος εὐλόγησεν, οὐδ' ἂν οὗτος ἐκείνῳ δεκάτας

42. Γεν. 14.
43. Ἑβρ. 7,4–5.

γονος τῶν Λευϊτῶν, τῶν ἱερέων τῶν Ἰουδαίων, κατὰ τὴν ἐποχὴ τοῦ Μελχισεδέκ, ποὺ ὑπῆρξε τύπος τῆς δικῆς μας ἱερωσύνης, ἀνῆκε στὴν τάξη τῶν λαϊκῶν· καὶ αὐτὸ τὸ ἔδειξε καὶ μὲ τὰ δύο, καὶ μὲ τὸ ὅτι ἔδωσε τὴ δεκάτη (γιατὶ οἱ λαϊκοὶ ἔδιναν τὶς δεκάτες στοὺς ἱερεῖς) καὶ μὲ τὴν εὐλογία ποὺ ἔλαβε ἀπ' αὐτὸν (γιατὶ οἱ λαϊκοὶ εὐλογοῦνται ἀπὸ τοὺς ἱερεῖς).

Πάλι πρόσεχε πόσο ὑπερέχει ἡ δική μας ἱερωσύνη, ὅταν ὁ πατριάρχης τῶν Ἰουδαίων Ἀβραάμ, ὁ πρόγονος τῶν Λευϊτῶν, συμβαίνη νὰ παίρνη εὐλογία ἀπὸ τὸν Μελχισεδὲκ καὶ νὰ τοῦ δίνη τὴν δεκάτη. Γιατὶ καὶ τὰ δύο αὐτὰ τὰ λέγει ἡ Παλαιὰ Διαθήκη, ὅτι δηλαδὴ ὁ Μελχισεδὲκ καὶ εὐλόγησε τὸν Ἀβραὰμ καὶ ἔλαβε ἀπὸ αὐτὸν τὴν δεκάτη[42]. Αὐτὰ λοιπὸν φέροντάς τα στὸ μέσον ὁ Παῦλος ἔλεγε· «βλέπετε πόσο μεγάλος ἦταν αὐτός;». «Αὐτός»· ποιός; Ὁ «Μελχισεδέκ», λέγει, «στὸν ὁποῖο ὁ Ἀβραὰμ ὁ πατριάρχης ἔδωσε τὸ δέκατο ἀπὸ τὰ λάφυρα ἐκεῖνα. Καὶ ἐκεῖνοι ποὺ γίνονται ἱερεῖς ἀπὸ τοὺς ἀπογόνους τοῦ Λευΐ ἔχουν ἐντολὴ ἀπὸ τὸ νόμο νὰ παίρνουν ἀπὸ τὸ λαὸ τὸ ἕνα δέκατο τῶν ἀγαθῶν τους, δηλαδὴ ἀπὸ τοὺς ἀδελφούς τους, ἂν καὶ κατάγονται ἀπὸ τὴ γενεὰ τοῦ Ἀβραάμ»[43]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Οἱ Λευΐτες, λέγει, δηλαδὴ οἱ ἱερεῖς τῶν Ἰουδαίων, ἔλαβαν ἐντολὴ ἀπὸ τὸ νόμο νὰ λαμβάνουν δεκάτες ἀπὸ τοὺς ἄλλους Ἰουδαίους. Ἂν καὶ βέβαια ὅλοι κατάγονταν ἀπὸ τὸν Ἀβρράμ, καὶ οἱ Λευΐτες καὶ ὅλος ὁ ὑπόλοιπος λαός, ἐν τούτοις λαμβάνουν δεκάτες ἀπὸ τοὺς ἀδεφλούς τους. Ὁ Μελχισεδὲκ ὅμως, ποὺ δὲν γενεαλογεῖται ἀπ' αὐτοὺς (γιατὶ δὲν καταγόταν ἀπὸ τὸν Ἀβραὰμ οὔτε ἀπὸ τὴ λευϊτικὴ φυλή, ἀλλὰ ἀπὸ ἄλλο ἔθνος), ἔλαβε τὸ δέκατο τῶν λαφύρων ἀπὸ τὸν Ἀβραάμ, δηλαδὴ ἔλαβε ἀπὸ αὐτὸν δεκάτες.

Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ κάτι ἄλλο. Ὅτι δηλαδὴ καὶ εὐλόγησε τὸν Ἀβραάμ, ποὺ εἶχε λάβει τὶς ἐπαγγελίες τοῦ Θεοῦ. Καὶ τί, λέγει, μᾶς φανερώνει αὐτό; Ὅτι αὐτὸς εἶναι κατὰ πολὺ μικρότερος ἀπὸ ἐκεῖνον. Πῶς; «Χωρὶς καμμιὰ ἀντίρρηση, τὸ κατώτερο ἐλογεῖται ἀπὸ τὸ ἀνώτερο»[44]. Ὥστε, ἂν δὲν ἦταν ὁ Ἀβραάμ, ποὺ ἦταν πρόγονος τῶν Λευϊτῶν, κατώτερος ἀπὸ τὸν Μελχισεδέκ, δὲν θὰ μποροῦσε αὐτὸς νὰ εὐλογήση ἐκεῖνον, οὔτε καὶ ὁ Ἀβραὰμ θὰ

44. Ἑβρ. 7,7.

ἔδωκεν. Εἶτα, βουλόμενος δεῖξαι, ὅτι διὰ τοῦ Μελχισεδὲκ προῆλθεν ἂν ἐκεῖνο, ἐπήγαγε, λέγων· «καί, ὡς ἔπος εἰπεῖν», τουτέστι σχεδόν, «διὰ Ἀβραὰμ καὶ Λευΐ ὁ δεκάτας λαμβάνων δεδεκάτωται». Τί δέ ἐστι, «δεδεκάτωται»; Δεκάτας ἔδωκε καὶ αὐτός, φησί, τῷ Μελχισεδέκ, ὁ μηδέπω γεννηθείς, διὰ τοῦ πατρὸς αὐτοῦ· «ἔτι», γὰρ φησίν, «ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς αὐτοῦ ἦν ὅτε συνήντησεν αὐτῷ Μελχισεδέκ»· διὰ τοῦτο γὰρ προλαβὼν εἶπεν, «ὡς ἔπος εἰπεῖν».

Τίνος οὖν ἕνεκεν ταῦτα ἔλεγεν, ἐπάγει λέγων· «εἰ μὲν οὖν ἡ τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτηται), τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀνίστασθαι ἱερέα ἕτερον καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;». Τί δέ ἐστιν ὃ λέγει; Εἰ τὰ πράγματα ἦν τέλεια, φησί, τὰ κατὰ Ἰουδαίους, καὶ μὴ σκιὰ ἦν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, ἀλλὰ τὸ πᾶν αὐτὸς κατωρθώκει καὶ οὐκ ἔμελλεν ἑτέρῳ παραχωρεῖν, οὔτε ἡ ἱερωσύνη ἡ προτέρα ὑπεξίστασθαι καὶ ἑτέρα ἀντεισάγεσθαι, τίνος ἕνεκεν ὁ προφήτης ἔλεγεν, «σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ»; Ἔδει γὰρ εἰπεῖν, 'κατὰ τὴν τάξιν Ἀαρών'. Διὰ τοῦτό φησιν, «εἰ μὲν οὖν ἡ τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀνίστασθαι ἱερέα ἕτερον καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;». Δῆλον γὰρ ἐκ τούτου, ὡς ἐκείνη μὲν τέλος ἔλαβεν ἡ ἱερωσύνη, ἑτέρα δὲ ἀντεισενήνεκται πολλῷ βελτίων καὶ ὑψηλοτέρα. Τούτου δὲ ὁμολογουμένου, κἀκεῖνο συνωμολόγηται, ὅτι καὶ πολιτεία ἑτέρα τῇ ἱερωσύνῃ συμβαίνουσα συνεισαχθήσεται, αὕτη ἡ ἡμετέρα δηλονότι, καὶ νομοθεσία βελτίων. Ὅπερ δὴ κτασκευάζων ὁ Παῦλος ἔλεγε, «μετατιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται», καὶ τούτων δημιουργὸς εἷς ἐστιν. Ἐπειδὴ γὰρ τὸ πλέον τῶν νομίμων περὶ τὴν τῆς ἱερωσύνης ἀκολουθίαν ἀνηλίσκετο, ἡ δὲ ἱερωσύνη ἡ προτέρα ἐξεβέβλητο, εὔδηλον ὅτι ἑτέρας ἀντεισαχθείσης καὶ νομοθεσίαν μείζονα ἀντεισαχθῆναι ἔδει.

45. Ἑβρ. 7,9–10.
46. Ἑβρ. 7,11.
47. Ψαλμ. 109,4.
48. Ἑβρ. 7,12.

ἔδινε στὸν Μελχισεδὲκ τὴν δεκάτη. Ἔπειτα, θέλοντας νὰ δείξη, ὅτι ἀπὸ τὸν Μελχισεδὲκ προῆλθε ἡ ὑπεροχή, πρόσθεσε καὶ εἶπε· «καὶ ὡς ἔπος εἰπεῖν», δηλαδὴ σχεδόν, «καὶ ὁ Λευΐ, ποὺ παίρνει δεκάτες, ἔχει δώσει καὶ αὐτὸς δεκάτες μὲ τὸν Ἀββραάμ». Καὶ τί σημαίνει «δεδεκάτωται»; Ἔδωσε, λέγει, καὶ αὐτὸς στὸν Μελχισεδὲκ δεκάτες, αὐτὸς ποὺ δὲν εἶχε γεννηθῆ ἀκόμη, μέσω τοῦ πατέρα του. Γιατί, λεγει, «ὁ Λευΐ ἦταν ἀκόμη στὰ σπλάχνα τοῦ πατέρα του, ὅταν συνάντησε αὐτὸν Μελχισεδέκ». Γιατὶ γι' αὐτὸ παραπάνω εἶπε, «ὡς ἔπος εἰπεῖν»[45].

Γιὰ νὰ δείξη λοιπὸν γιὰ ποιό λόγο τὰ ἔλεγε αὐτά, προσθέτει καὶ λέγει· «ἂν λοιπὸν ἡ τελείωση ἦταν κατορθωτὴ μὲ τὴ Λευϊτικὴ ἱερωσύνη (γιατὶ μὲ βάση αὐτὴν εἶχε δοθῆ ὁ νόμος στὸν λαὸ) ποιά ἐπὶ πλέον ἀνάγκη ὑπῆρχε νὰ ἔλθη ἄλλος ἱερεὺς ποὺ νὰ εἶναι κατὰ τὴν τάξη Μελχισεδὲκ καὶ ὄχι κατὰ τὴν τάξη Ἀαρών;»[46]. Τί σημαίνει αὐτὸ ποὺ λέγει; Ἂν, λέγει, τὰ ἰουδαϊκὰ πράγματα ἦταν τέλεια καὶ ὁ νόμος δὲν ἦταν σκιὰ τῶν μελλοντικῶν ἀγαθῶν, ἀλλ' αὐτὸς εἶχε κατορθώσει τὸ πᾶν καὶ δὲν ἐπρόκειτο νὰ παραχωρήση τὴ θέση του σὲ ἄλλον, οὔτε ἡ ἱερωσύνη ἡ παλιὰ νὰ καταργηθῆ καὶ νὰ εἰσαχθῆ ἀντ' αὐτῆς ἄλλη, γιὰ ποιό λόγο ἔλεγε ὁ προφήτης, «σὺ εἶσαι ἱερεὺς στὸν αἰῶνα κατὰ τὴν τάξη Μελχισεδέκ»[47]; Γιατὶ ἔπρεπε νὰ πῆ 'κατὰ τὴν τάξη Ἀαρών'. Γι' αὐτὸ λέγει· «ἂν λοιπὸν ἡ τελείωση ἦταν κατορθωτὴ μὲ τὴ Λευϊτικὴ ἱερωσύνη, ποιά ἀνάγκη ἐπὶ πλέον ὑπῆρχε νὰ ἔλθη ἄλλος ἱερεὺς ποὺ νὰ εἶναι κατὰ τὴν τάξη Μελχισεδὲκ καὶ ὄχι κατὰ τὴν τάξη Ἀαρών; Εἶναι λοιπὸν φανερὸ ἀπὸ αὐτό, ὅτι ἡ ἱερωσύνη ἐκείνη ἔλαβε τέλος καὶ εἰσήχθηκε ἀντ' αὐτῆς ἄλλη πιὸ καλύτερη καὶ ἀνώτερη. Καὶ ἀφοῦ αὐτὸ γίνεται παραδεκτό, γίνεται παραδεκτὸ καὶ ἐκεῖνο, ὅτι δηλαδὴ καὶ ἄλλο πολίτευμα, ποὺ συμβαδίζει μὲ τὴν ἱερωσύνη, θὰ εἰσαχθῆ, τὸ δικό μας δηλαδὴ πολίτευμα, καὶ νομοθεσία καλύτερη. Ὅλα αὐτὰ θέλοντας νὰ δείξη ὁ Παῦλος ἔλεγε· «γιατὶ ὅταν γίνεται μετάθεση τῆς ἱερωσύνης, κατ' ἀνάγκη γίνεται καὶ μετάθεση τοῦ νόμου»[48], καὶ αὐτῶν δημιουργὸς εἶναι ἕνας. Ἐπειδὴ δηλαδὴ τὸ μεγαλύτερο μέρος τῆς νομοθεσίας ἀναφερόταν γύρω ἀπὸ τὴν ἱερωσύνη καὶ ἡ προηγούμενη ἱερωσύνη εἶχε καταργηθῆ, γίνεται φανερό, ὅτι, ἀφοῦ εἰσήχθηκε ἄλλη, ἔπρεπε νὰ εἰσαχθῆ ἀντ' αὐτῆς καὶ νομοθεσία ἀνώτερη.

Εἶτα δηλῶν, περὶ τίνος ταῦτα λέγεται, «ἐφ' ὃν γὰρ λέγεται ταῦτα», φησί, «φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γάρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησεν». Ὅταν οὖν φαίνηται ἐξ ἐκείνης ὢν τῆς φυλῆς, δηλονότι τῆς Ἰούδα, καὶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ, ὁ δὲ Μελχισεδὲκ πολὺ τοῦ Ἀβραὰμ σεμνότερος ὤν, πανταχόθεν συνωμολόγηται, ὅτι καὶ ἑτέρα ἀνθ' ἑτέρας εἰσάγεται ἱερωσύνη πολὺ τῆς προτέρας ὑψηλότερα. Εἰ γὰρ ὁ τύπος τοιοῦτος καὶ τῆς ἱερωσύνης τῆς ἰουδαϊκῆς λαμπρότερος ἦν, πολλῷ μᾶλλον αὐτὴ ἡ ἀλήθεια· ὅπερ οὖν κατασκευάζων ἔλεγε· «περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου». Τί ἐστιν, «οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου»; Ὅτι τῶν προσταγμάτων αὐτοῦ οὐδὲν ἦν σαρκικόν. Οὐ γὰρ πρόβατα θύειν καὶ μόσχους ἐπέταξεν, ἀλλὰ διὰ τῆς κατὰ ψυχὴν ἀρετῆς τὸν Θεὸν θεραπεύειν· καὶ τούτων τὰ ἔπαθλα ζωὴν ἡμῖν ἔθηκε τὴν οὐδέποτε καταλυομένην. Καὶ πάλιν νεκρωθέντας ἡμᾶς ὑπὸ τῶν ἁμαρτιῶν ἐλθὼν ἀνέστησε, διπλοῦν θάνατον λύσας, τὸν μὲν τῆς ἁμαρτίας, τὸν δὲ τῆς σαρκός. Ἐπεὶ οὖν τοιαῦτα κομίζων ἡμῖν ἦλθεν ἀγαθά, διὰ τοῦτό φησιν· «οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου».

6. Ἤδη μὲν οὖν καὶ τοῦτο λοιπὸν ἀποδέδεικται, ὅτι τῆς ἱερωσύνης μετατεθείσης καὶ νόμου μετάθεσιν ἐξ ἀνάγκης εἰκὸς ἦν γενέσθαι. Ἀλλ' ὅμως καὶ τοῦτο αὐτὸ ῥητῶς ἐνῆν ἀποδεῖξαι καὶ τοὺς προφήτας πάλιν παραγαγεῖν μάρτυρας λέγοντας, ὅτι καὶ ὁ νόμος μετατεθήσεται καὶ ἡ πολιτεία ἐπὶ τὸ βέλτιον μετασχηματισθήσεται καὶ ὅτι βασιλεὺς οὐδεὶς οὐδέ ποτε λοιπὸν ἀναστήσεται Ἰουδαῖος. Ἐπειδὴ δὲ τοσαῦτα χρὴ λέγειν, ὅσα δυνατὸν ὑποδέχεσθαι τὸν ἀκροατήν, καὶ μὴ πάντα ὑφ' ἕν, μηδὲ ἀθρόως, εἰς ἕτερον ἐκεῖνα ταμιευσάμενοι καιρόν, τέως ἐνταῦθα καταλύσομεν τὸν λόγον, παρακαλέσαντες ὑμῶν τὴν ἀγάπην, μεμνῆσθαι τῶν εἰρημένων καὶ τοῖς

49. Ἑβρ. 7,13–14.
50. Ἑβρ. 7,15–16.

Ἔπειτα, γιὰ νὰ δείξη γιὰ ποιόν λέγονται αὐτά, λέγει· «ἐκεῖνος, γιὰ τὸν ὁποῖο λέγονται αὐτά, ἀνήκει σὲ ἄλλη φυλή, ἀπὸ τὴν ὁποία κανεὶς δὲν ἔχει ὑπηρετήσει στὸ θυσιαστήριο· γιατὶ εἶναι φανερὸ ὅτι ὁ Κύριός μας προῆλθε ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, στὴν ὁποία ὁ Μωϋσῆς δὲν εἶπε τίποτε περὶ ἱερωσύνης»[49]. Ὅταν λοιπὸν φαίνεται ὁ Χριστὸς νὰ κατάγεται ἀπὸ τὴ φυλὴ ἐκείνη, δηλαδὴ τὴ φυλὴ τοῦ Ἰούδα, καὶ νὰ εἶναι ἱερεὺς κατὰ τὴν τάξη Μελχισεδέκ, καὶ ὁ Μελχισεδὲκ νὰ εἶναι πολὺ πιὸ ἀνώτερος ἀπὸ τὸν Ἀβραάμ, ἀπὸ παντοῦ ἔχει γίνει παραδεκτὸ ὅτι εἰσάγεται καὶ ἄλλη ἱερωσύνη ἀντὶ τῆς ἄλλης, ποὺ εἶναι πολὺ πιὸ ἀνώτερη ἀπὸ τὴν παλιά. Γιατί, ἂν ὁ τύπος εἶναι τέτοιος καὶ ἦταν λαμπρότερος ἀπὸ τὴν ἰουδαϊκὴ ἱερωσύνη, πολὺ περισσότερο λαμπρότερη ἀπὸ αὐτὴν εἶναι ἡ ἴδια ἡ ἀλήθεια, πρᾶγμα ποὺ γιὰ νὰ δείξη ὁ Παῦλος ἔλεγε· «καὶ γίνεται ἀκόμη περισσότερο φανερό, ἐφ' ὅσον παρουσιάζεται ἄλλος ἱερεὺς κατὰ τὴν ὁμοιότητα τοῦ Μελχισεδέκ, ὁ ὁποῖος ἔγινε ὄχι μὲ νόμο ποὺ ἰσχύει γιὰ ἀνθρώπους, ἀλλὰ ἀπὸ δύναμη ποὺ ἔχει ζωὴ ἀκατάλυτη»[50]. Τί σημαίνει «ὄχι μὲ νόμο ἐντολῆς σαρκικῆς, ἀλλὰ μὲ δύναμη ζωῆς ἀτελεύτητης»; Ὅτι τίποτε ἀπὸ τὰ προστάγματά του δὲν ἦταν σαρκικό. Γιατὶ δὲν πρόσταξε νὰ θυσιάζουμε πρόβατα καὶ μοσχάρια, ἀλλὰ νὰ λατρεύουμε τὸν Θεὸ μὲ τὴν ἀρετὴ τῆς ψυχῆς, καὶ σὰν ἀνταμοιβὴ γι' αὐτὰ ὥρισε γιὰ μᾶς ζωὴ ποὺ δὲν καταλύεται ποτέ. Καὶ πάλι, ὅταν νεκρωθήκαμε ἀπὸ τὶς ἁμαρτίες ἦλθε αὐτὸς καὶ μᾶς ἀνέστησε, καταργώντας διπλὸ θάνατο, τὸν ἕνα τῆς ἁμαρτίας καὶ τὸν ἄλλο τῆς σάρκας. Ἐπειδὴ λοιπὸν ἦλθε φέροντάς μας τέτοια ἀγαθά, γι' αὐτὸ λέγει· «ὄχι σύμφωνα μὲ νόμο ἐντολῆς σαρκικῆς, ἀλλὰ ἀπὸ δύναμη ζωῆς ἀκατάλυτης».

6. Ἤδη λοιπὸν καὶ αὐτὸ πλέον ἔχει ἀποδειχθῆ, ὅτι δηλαδὴ ἀφοῦ ἀντικαταστάθηκε ἡ ἱερωσύνη, φυσικὸ ἦταν κατ' ἀνάγκη νὰ γίνη καὶ ἀντικατάσταση τοῦ νόμου. Ἀλλ' ὅμως μπορούσαμε καὶ αὐτὸ νὰ τὸ ἀποδείξουμε ἀναντίρρητα καὶ νὰ παρουσιάσουμε τοὺς προφῆτες πάλι μάρτυρες, ποὺ λέγουν, ὅτι καὶ ὁ νόμος θὰ ἀντικατασταθῆ καὶ τὸ πολίτευμα πρὸς τὸ καλύτερο θὰ μεταβληθῆ καὶ ὅτι ποτὲ πιὰ στὸ μέλλον δὲν θὰ βασιλεύση κανένας Ἰουδαῖος βασιλεύς. Ἐπειδὴ ὅμως πρέπει νὰ λέμε τόσα μόνο, ὅσα μπορεῖ νὰ δεχθῆ ὁ ἀκροατής, καὶ νὰ μὴ τὰ λέμε ὅλα μιὰ φορὰ καὶ συνεχόμενα, ἀφοῦ αὐτὰ τὰ φυλάξουμε γιὰ ἄλλη εὐκαιρία, θὰ τελειώσω τώρα ἐδῶ τὸν λόγο μου, ἀφοῦ παρακαλέσω τὴν ἀγάπη σας νὰ θυμᾶσθε τὰ ὅσα μέχρι τώρα

ἔμπροσθεν λεχθεῖσι ταῦτα συνάψαι· καὶ ὃ πρότερον ἐδεόμεθα, τοῦτο δεησόμεθα καὶ νῦν, τοὺς ἀδελφοὺς ἀνασώσασθαι τοὺς ὑμετέρους καὶ πολλὴν ὑπὲρ τῶν ἠμελημένων μελῶν ποιήσασθαι πρόνοιαν. Διὰ γὰρ τοῦτο τοσοῦτον ἡμεῖς ἀναδεχόμεθα πόνον, οὐχ ἵνα ἁπλῶς εἴπωμεν, οὐδ' ἵνα κρότων καὶ θορύβων ἀπολαύσωμεν, ἀλλ' ἵνα ἐπαναγάγωμεν πρὸς τὴν τῆς ἀληθείας ὁδὸν τοὺς ἀπορραγέντας. Καὶ μή μοι λεγέτω τις, ὅτι κοινὸν οὐδὲν ἔχω πρὸς ἐκεῖνον, γένοιτό μοι τὰ ἐμαυτοῦ κατορθῶσαι πράγματα. Οὐδεὶς τὸ ἑαυτοῦ κατορθῶσαι δύναται χωρὶς τῆς τοῦ πλησίον ἀγάπης καὶ σωτηρίας. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, «μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος, εἰδὼς ὅτι τὸ ἑαυτοῦ ἐν τῷ πλησίον κεῖται συμφέροντι».

Ὑγιαίνεις σύ, ἀλλ' ὁ ἀδελφός σου ἀσθενεῖ. Ἂν τοίνυν εὖ φρονῇς, περὶ τοῦ κάμνοντος μειζόνως ἀλγήσεις καὶ μιμήσῃ καὶ ἐν τούτῳ τὸν μακάριον ἐκεῖνον, τὸν λέγοντα· «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;». Εἰ γὰρ δύο καταβάλλοντες ὀβολοὺς καὶ δαπανῶντες ὀλίγον ἀργύριον εἰς πένητας, χαίρομεν· ἂν ψυχὰς σῶσαι δυνηθῶμεν πόσην καρπωσόμεθα ἡδονήν; πόσης δὲ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα ἀπολαύσομεν τῆς ἀμοιβῆς; Καὶ γὰρ καὶ ἐνταῦθα, ὁσάκις ἂν συντύχωμεν, πολλὴν δεξόμεθα τὴν εὐφροσύνην ἀπὸ τῆς συντυχίας, τῶν κατορθωμάτων ἀναμιμνησκόμενοι τῶν κατ' αὐτοὺς καὶ ἐπὶ τοῦ βήματος αὐτοὺς ἐκεῖ θεασάμενοι τοῦ φοβεροῦ, μεγάλης μεθέξομεν τῆς παρρησίας. Καὶ καθάπερ οἱ ἀδικοῦντες καὶ πλεονεκτοῦντες καὶ ἁρπάζοντες καὶ μυρία τοῖς πλησίον διατιθέντες κακά, ἀπελθόντες ἐκεῖ, καὶ τοὺς ταῦτα παθόντας ἰδόντες («ὄψονται», γὰρ φησίν, «αὐτοὺς πάντως», καὶ δῆλον ἐκ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου τοῦτο), οὐδὲ ἀνοῖξαι στόμα δυνήσονται, οὐδὲ εἰπεῖν τι καὶ ἀπολογήσασθαι, ἀλλὰ αἰσχύνης πολλῆς ἐμπλησθέντες καὶ καταγνώσεως, ἀπὸ τῆς ὄψεως τῆς ἐκείνων ἐπὶ τοὺς ποταμοὺς ἀπενεχθήσονται τοῦ πυρός, οὕτως οἱ σώζοντες καὶ διδάσκοντες καὶ κατηχοῦντες, ἰδόντες τοὺς ὑπ' αὐ-

51. Α' Κορ. 10,24.
52. Β' Κορ. 11,29.

εἴπαμε, καὶ νὰ τὰ συνάψετε μὲ τὰ ὅσα λέχθηκαν προηγουμένως, καὶ ἐκεῖνο γιὰ τὸ ὁποῖο σὲ προηγούμενες ὁμιλίες σᾶς παρακάλεσα, γι' αὐτὸ θὰ σᾶς παρακαλέσω καὶ τώρα· σῶστε τοὺς ἀδελφούς σας καὶ δεῖξτε μεγάλη φροντίδα γιὰ τὰ παραμελημένα μέλη σας. Γιατὶ γι' αὐτὸ ἐγὼ ὑποβάλλω τὸν ἑαυτό μου σὲ τόσο μεγάλο κόπο, ὄχι ἁπλῶς γιὰ νὰ τὰ πῶ αὐτά, οὔτε γιὰ ν' ἀπολαύσω χειροκροτήματα καὶ θορυβώδεις ἐπιδοκιμασίες, ἀλλὰ γιὰ νὰ ἐπαναφέρουμε στὸ δρόμο τῆς ἀλήθειας ἐκείνους ποὺ ἀποσπάσθηκαν ἀπὸ μᾶς. Καὶ ἂς μὴ μοῦ πῆ κανείς, 'δὲν ἔχω καμμιὰ σχέση μὲ ἐκεῖνον· μακάρι νὰ μποροῦσα ἐγὼ νὰ κατορθώσω ἐκεῖνα ποὺ ἀφοροῦν ἐμένα'. Κανεὶς δὲν μπορεῖ νὰ κατορθώση τὰ ὅσα ἀφοροῦν τὸν ἑαυτό του χωρὶς τὴν ἀγάπη καὶ τὴ σωτηρία τοῦ πλησίον του. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «κανεὶς νὰ μὴ ζητῆ τὸ συμφέρον του, ἀλλ' ὁ καθένας νὰ ζητῆ τὸ συμφέρον τοῦ ἄλλου, γνωρίζοντας ὅτι τὸ δικό του συμφέρον βρίσκεται στὸ συμφέρον τοῦ πλησίον»[51].

Σὺ εἶσαι ὑγιής, ἀλλ' ὁ ἀδελφός σου ἀσθενεῖ. Ἂν λοιπὸν σκέπτεσαι σωστά, θὰ πονέσης περισσότερο γιὰ τὸν ἄρρωστο καὶ θὰ μιμηθῆς καὶ σ' αὐτὸ τὸν μακάριον ἐκεῖνον ποὺ λέγει· «ποιὸς εἶναι ἀσθενὴς καὶ δὲν εἶμαι ἐξ αἰτίας του ἀσθενὴς καὶ ἐγώ; Ποιός σκανδαλίζεται καὶ ἐγὼ δὲν καταφλέγομαι;»[52]. Γιατί, ἄν, δίνοντας δύο δραχμὲς καὶ ξοδεύοντας λίγα χρήματα στοὺς φτωχούς, δοκιμάζουμε χαρά, πόση εὐχαρίστηση θὰ καρπωθοῦμε, ἂν μπορέσουμε νὰ σώσουμε ψυχές; καὶ πόση ἀμοιβὴ θὰ ἀπολαύσουμε στὴ μέλλουσα ζωή; Γιατὶ καὶ ἐδῶ, ὅσες φορὲς συμβῆ νὰ συναντηθοῦμε, θὰ νιώθουμε μεγάλη χαρὰ ἀπὸ τὴ συνάντηση αὐτή, ἐνθυμούμενοι τὶς εὐεργεσίες μας πρὸς αὐτούς, καὶ ἀντικρύζοντάς τους ἐκεῖ, μπροστὰ στὸ φοβερὸ βῆμα, πολλὴ παρρησία θὰ λάβουμε. Καὶ ὅπως ἀκριβῶς οἱ ἄδικοι, οἱ πλεονέκτες, οἱ ἅρπαγες καὶ ὅσοι διέπραξαν ἄπειρες ἀδικίες σὲ βάρος τῶν συνανθρώπων τους, ὅταν θὰ μεταβοῦν ἐκεῖ καὶ θ' ἀντικρύσουν ἐκείνους ποὺ ἔπαθαν αὐτὰ (γιατὶ λέγει, «θὰ δοῦν ὁπωσδήποτε αὐτοὺς» καὶ εἶναι φανερὸ αὐτὸ ἀπὸ τὸν πλούσιο καὶ τὸν Λάζαρο), δὲν θὰ μπορέσουν οὔτε τὸ στόμα τους ν' ἀνοίξουν γιὰ νὰ ποῦν κάτι καὶ νὰ ἀπολλογηθοῦν, ἀλλὰ γεμᾶτοι ἀπὸ πολλὴ ντροπὴ καὶ περιφρόνηση ποὺ θὰ λάβουν ἀπὸ τὴ θέα καὶ μόνο ἐκείνων, θὰ ριφθοῦν στὰ πύρινα ἐκεῖνα ποτάμια, ἔστι καὶ ὅσοι σώζουν καὶ διδάσκουν καὶ κατηχοῦν τοὺς ἀδελφούς τους, βλέποντας ἐκεῖ ἐκείνους

τῶν διασωθέντας συνηγοροῦντας αὐτοῖς ἐκεῖ, πολλῆς ἐμπλησθήσονται τῆς παρρησίας. Καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγε, «καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν». Πότε, εἰπέ; «Ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ πάλιν ὁ Χριστὸς παραινεῖ λέγων, «ποιήσατε ὑμῖν φίλους ἐκ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς».

Ὁρᾷς ὅτι πολλὴ παρρησία ἡμῖν ἐκ τῶν νῦν εὐεργετουμένων παρ' ἡμῶν. Εἰ δέ, ὅπου χρημάτων δαπάνη, τοσοῦτοι οἱ στέφανοι, τοσοῦτος ὁ μισθός, τοσαύτη ἡ ἀμοιβή, ὅπου ψυχῆς ὠφέλεια, πῶς οὐ πολλὰ καὶ μεγάλα ἡμῖν ἔσται τὰ ἀγαθά; Εἰ γὰρ ἡ Ταβιθὰ ἐκείνη, χήρας ἐνδύσασα καὶ πενίαν διορθώσασα, ἀπὸ θανάτου πάλιν εἰς ζωὴν ἐπανῆλθε καὶ τὰ δάκρυα τῶν εὐεργετηθέντων ψυχὴν ἀπελθοῦσαν ἐπανήγαγεν εἰς σῶμα πάλιν, οὔπω τῆς ἀναστάσεως φανείσης, τί οὐκ ἐργάσεται τῶν ἀνθρώπων ἐκείνων τὰ δάκρυα, ὅσοι ἂν ὑπὸ σοῦ διασωθῶσιν; Ὥσπερ γὰρ ταύτην περιστᾶσαι αἱ χῆραι ζῶσαν ἀπὸ νεκρᾶς ἔδειξαν, οὕτω καὶ σὲ τότε περιστάντες οἱ διασωθέντες νῦν, ποιήσουσι πολλῆς ἀπολαῦσαι φιλανθρωπίας καὶ τοῦ τῆς γεέννης πυρὸς ἐξαρπάσουσι. Ταῦτ' οὖν εἰδότες, μὴ μέχρι τῆς παρούσης ὥρας θερμοὶ καὶ διεγηγερμένοι ὦμεν μόνον, ἀλλὰ τὸ πῦρ, ὅπερ ἔχετε νῦν, ἀνάψατε ἐξελθόντες ἔξω, διανείματε τὴν σωτηρίαν τῆς πόλεως, κἂν ἀγνοῆτε, περιεργάσασθε τοὺς τὰ τοιαῦτα νοσοῦντας. Οὕτω γὰρ καὶ ἡμεῖς ὑμῖν προθυμότερον διαλεξόμεθα, διὰ τῶν ἔργων αὐτῶν μαθόντες, ὅτι οὐκ εἰς πέτραν σπείρομεν, καὶ ὑμεῖς αὐτοὶ προθυμότεροι περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ἔσεσθε. Καθάπερ γὰρ ἐπὶ τῶν χρημάτων ὁ δύο κερδάνας χρυσίνους, πλείονα λαμβάνει προθυμίαν, πρὸς τὸ καὶ δέκα καὶ εἴκοσι συλλέξαι καὶ συναγαγεῖν, οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς γίνεται. Ὁ ποιήσας τι καλὸν ἔργον καὶ κατορθώσας, ἀπ' αὐτῆς τοῦ κατορθώματος τῆς ἐργασίας τινὰ παράκλησιν λαμβάνει καὶ παραίνεσιν, ὥστε καὶ ἑτέρων ἅψασθαι.

Ἵν' οὖν καὶ τοὺς ἀδελφοὺς διασώσωμεν καὶ ἑαυτοῖς συγ-

53. Β' Κορ. 1,14.
54. Λουκᾶ 16,9.

πού σώθηκαν ἀπὸ αὐτοὺς νὰ συνηγοροῦν γι' αὐτούς, θὰ γεμίσουν μὲ πολὺ θάρρος. Καὶ αὐτὸ γιὰ νὰ δείξη ὁ Παῦλος ἔλεγε· «εἴμαστε καύχημά σας, ὅπως ἀκριβῶς καὶ σεῖς δικό μας». Πὲς ὅμως, πότε; «Κατὰ τὴν ἡμέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[53]. Ἐπίσης καὶ ὁ Χριστὸς μᾶς συμβουλεύει λέγοντας· «κάμετε φίλους σας ἀπὸ τὸν μαμωνᾶ τῆς ἀδικίας, ὥστε, ὅταν θὰ πεθάνετε, νὰ σᾶς δεχθοῦν στὶς αἰώνιες σκηνές τους»[54].

Βλέπεις ὅτι μεγάλη θὰ εἶναι ἡ παρρησία μας τότε ἀπὸ ἐκείνους πού τώρα εὐεργετοῦνται ἀπὸ ἐμᾶς; Ἂν ὅμως, ὅπου γίνεται δαπάνη χρημάτων, ἐπιφυλάσσονται τόσα πολλὰ στεφάνια, τόσος μεγάλος μισθός, τόσο μεγάλη ἀμοιβή, ὅπου συμβαίνει νὰ ὠφεληθῆ ψυχὴ ἀπὸ ἐμᾶς, πῶς δὲν θὰ εἶναι γιὰ μᾶς πολλὰ καὶ μεγάλα τὰ ἀγαθά; Γιατί, ἂν ἡ Ταβιθᾶ ἐκείνη, πού ἔνδυσε χῆρες καὶ ἀνακούφισε φτώχεια, ἐπέστρεψε πάλι ἀπὸ τὸν θάνατο στὴ ζωή, καὶ τὰ δάκρυα ἐκείνων πού εὐεργετήθηκαν ἐπανέφεραν ξανὰ στὸ σῶμα τὴν ψυχὴ πού εἶχε φύγει, καὶ μάλιστα πρὶν ἀκόμη ἔλθη ἡ ἀνάσταση, τί δὲν θὰ κατορθώσουν τὰ δάκρυα τῶν ἀνθρώπων ἐκείνων, πού θὰ συμβῆ νὰ σωθοῦν ἀπὸ σένα; γιατί, ὅπως αὐτὴν οἱ χῆρες μὲ τὴν παρουσία τους ἐκεῖ τὴν ἐπανέφεραν στὴ ζωή, ἐνῶ ἦταν νεκρή, ἔτσι καὶ σένα τότε ἡ παρουσία ὅλων ἐκείνων πού τώρα ἔχουν διασωθῆ, θὰ σὲ κάμουν ν' ἀπολαύσης μεγάλη φιλανθρωπία καὶ θὰ σὲ σώσουν ἀπὸ τὴ φλόγα τῆς γέεννας. Γνωρίζοντας λοιπὸν αὐτά, ἂς μὴ εἴμαστε θερμοὶ καὶ διεγηρμένοι μόνο τὴν ὥρα αὐτή, ἀλλὰ τὴ φλόγα, πού τώρα ἔχετε, ἀνάψτε την ἀφοῦ βγῆτε ἔξω καὶ διανείματε τὴ σωτηρία στὴν πόλη, κι ἂν δὲν γνωρίζετε, φροντίστε νὰ μάθετε ποῦ ὑπάρχουν ἄνθρωποι, πού πάσχουν ἀπὸ τὴν ἀσθένεια αὐτή. Γιατὶ ἔτσι καὶ ἐγὼ μὲ περισσότερη προθυμία θὰ μιλήσω σὲ σᾶς, μαθαίνοντας ἀπὸ τὰ ἴδια τὰ ἔργα σας, ὅτι δὲν ἔσπειρα σὲ πετρώδη γῆ, ἀλλὰ καὶ σεῖς οἱ ἴδιοι θὰ γίνετε προθυμότεροι στὴ ἐπιτέλεση τῆς ἀρετῆς. Γιατί, ὅπως ἀκριβῶς στὴν περίπτωση τῶν χρημάτων, ἐκεῖνος πού κερδίζει δυὸ χρυσᾶ νομίσματα κυριεύεται ἀπὸ περισσότερη προθυμία νὰ μαζέψη καὶ νὰ συγκεντρώση δέκα καὶ εἴκοσι νομίσματα, ἔτσι συμβαίνει καὶ στὴ περίπτωση τῆς ἀρετῆς. Ὅποιος ἔκαμε καὶ κατώρθωσε κάποιο καλὸ ἔργο, ἀπὸ αὐτὸ τὸ κατόρθωμά του λαμβάνει κάποια παρότρυνση καὶ προτροπὴ ὥστε νὰ κάμη καὶ ἄλλα.

Γιὰ νὰ σώσουμε λοιπὸν καὶ τοὺς ἀδελφούς μας καὶ νὰ λάβου-

γνώμην ἐπὶ τοῖς ἡμαρτημένοις, μᾶλλον δὲ παρρησίαν πολλὴν προαποθώμεθα καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὸ ὄνομα τοῦ Θεοῦ δοξάζεσθαι παρασκευάσωμεν, μετὰ γυναικῶν καὶ παιδίων καὶ οἰκετῶν ἐπὶ τὴν ἄγραν ταύτην καὶ τὴν θήραν ἐξελθόνες, ἐκσπάσωμεν ἐκ τῆς τοῦ διαβόλου παγίδος τοὺς ἐζωγρημένους ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα· καὶ μὴ πρότερον ἀποστῶμεν, ἕως ἂν τὰ παρ' ἡμῶν ἅπανα πληρώσωμεν, ἄν τε πείθωνται, ἄν τε μὴ πείθωνται· μᾶλλον δὲ ἀδύνατον Χριστιανοὺς ὄντας μὴ πεισθῆναι. Πλὴν ἀλλ' ἵνα μηδὲ ταύτην ἔχητε πρόφασιν, ἐκεῖνο λέγω, ὅταν πολλὰ κενώσας ῥήματα καὶ πάντα πληρώσας τὰ παρὰ σαυτοῦ, ἴδῃς αὐτὸν μὴ πειθόμενον, ἄγαγε πρὸς τοὺς ἱερεῖς, καὶ πάντως τῇ τοῦ Θεοῦ χάριτι περιέσονται τῆς θήρας καὶ τὸ πᾶν ἔσται σὸν τοῦ χειραγωγήσαντος. Ταῦτα καὶ γυναιξὶν οἱ ἄνδρες διαλέγεσθε καὶ γυναῖκες ἀνδράσι καὶ παισὶ πατέρες καὶ φίλοι φίλοις. Μαθέτωσαν καὶ Ἰουδαῖοι καὶ οἱ μεθ' ἡμῶν τετάχθαι δοκοῦντες, τὰ δὲ ἐκείνων φρονοῦντες, ὅτι σπουδή τις ἡμῖν ἐστι καὶ φροντὶς καὶ ἀγρυπνία ὑπὲρ τῶν ἀδελφῶν τῶν ἡμετέρων τῶν πρὸς ἐκείνους αὐτομολούντων. Καὶ πάντως πρὸ ἡμῶν ἐκεῖνοι διώσονται τοὺς παρ' ἡμῶν ἐκεῖ φοιτῶντας· μᾶλλον δὲ οὐδὲ τολμήσει λοιπόν τις καταφυγεῖν πρὸς αὐτούς, ἀλλ' ἔσται τὸ σῶμα καθαρὸν τῆς Ἐκκλησίας.

Ὁ δὲ Θεός, ὁ θέλων πάντας σωθῆναι ἀνθρώπους καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὑμᾶς τε πρὸς τὴν θήραν ταύτην δυναμώσειεν, ἐκείνους δὲ τῆς πλάνης ταύτης ἀπαγάγοι, καὶ πάντας κοινῇ διασώσας, καταξιώσειε τῆς βασιλείας τῶν οὐρανῶν εἰς δόξαν αὐτοῦ, ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

με συγχώρηση τῶν ἁμαρτιῶν μας, ἢ καλύτερα γιὰ νὰ ἀποθέσουμε στὴν ἄκρη πολλὴ παρρησία, καὶ πρὶν ἀπὸ ὅλα γιὰ νὰ κάνουμε νὰ δοξάζεται τὸ ὄνομα τοῦ Θεοῦ, βγαίνοντας μαζὶ μὲ τὶς συζύγους καὶ τὰ παιδιὰ καὶ τοὺς ὑπηρέτες στὴν ἄγρα καὶ στὸ κυνήγι αὐτό, ἂς ἀποσπάσουμε ἀπὸ τὴν παγίδα τοῦ διαβόλου ἐκείνους ποὺ ἔχουν αἰχμαλωτισθῆ ἀπὸ αὐτήν, καὶ ἂς τοὺς ὁδηγήσουμε στὸ θέλημα τοῦ Θεοῦ. Καὶ ἂς μὴ ἐγκαταλείψουμε τὸ ἔργο μας προηγουμένως, μέχρι ποὺ νὰ ἐξαντλήσουμε ὅλες τὶς προσπάθειές μας, εἴτε αὐτοὶ πείθονται εἴτε δὲν πείθονται· μᾶλλον ὅμως εἶναι ἀδύνατο τὴ στιγμὴ ποὺ εἶναι Χριστιανοὶ νὰ μὴ πεισθοῦν. Πλὴν ὅμως, γιὰ νὰ μὴν ἔχετε οὔτε τὴν πρόφαση αὐτὴ σᾶς λέγω καὶ τοῦτο. Ἀφοῦ πῇς πολλὰ λόγια καὶ κάνης ὅλα ὅσα ἐξαρτῶνται ἀπὸ σένα καὶ δῇς ὅτι δὲν πείθεται, ὁδήγησέ τον στοὺς ἱερεῖς, καὶ ὁπωσδήποτε μὲ τὴ χάρη τοῦ Θεοῦ θὰ δαμάσουν τὸ θήραμα, καὶ ὅλο τὸ κατόρθωμα θ' ἀνήκει σὲ σένα, ποὺ τὸν ὡδήγησες στὴ ἀλήθεια. Αὐτὰ νὰ τὰ λέτε καὶ οἱ ἄνδρες στὶς γυναῖκες σας καὶ οἱ γυναῖκες στοὺς ἄνδρες σας καὶ οἱ πατέρες στὰ παιδιά σας καὶ οἱ φίλοι στοὺς φίλους. Ἂς τὰ μάθουν καὶ οἱ Ἰουδαῖοι καὶ ὅσοι νομίζουν ὅτι ἀνήκουν σ' ἐμᾶς, ἐνῶ φρονοῦν τὰ ἴδια μὲ ἐκείνους, ὅτι ἐμεῖς προσπαθοῦμε καὶ φροντίζουμε καὶ ἀγρυπνοῦμε γιὰ τοὺς ἀδελφούς μας, ποὺ λιποτακτοῦν πρὸς αὐτούς. Καὶ ὁπωσδήποτε πρὶν ἀπὸ μᾶς ἐκεῖνοι θὰ διώξουν τοὺς δικούς μας ποὺ συχνάζουν ἐκεῖ· ἢ καλύτερα δὲν θὰ τολμήση πιὰ νὰ καταφύγη κανεὶς σ' αὐτούς, ἀλλὰ τὸ σῶμα τῆς Ἐκκλησίας θὰ εἶναι καθαρό.

Καὶ ὁ Θεός, ποὺ θέλει ὅλοι οἱ ἄνθρωποι νὰ σωθοῦν καὶ νὰ γνωρίσουν τὴν ἀλήθεια[55] καὶ ἐσᾶς νὰ ἐνδυναμώση γιὰ τὸ κυνήγι αὐτὸ καὶ ἐκείνους νὰ τοὺς ἀπομακρύνη ἀπὸ τὴν πλάνη αὐτὴ καὶ ὅλους μαζὶ ἀφοῦ μᾶς σώση, νὰ μᾶς ἀξιώση νὰ ἐπιτύχουμε τὴ βασιλεία τῶν οὐρανῶν πρὸς δόξα αὐτοῦ, γιατὶ σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

55. Α' Τιμ. 2,4.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΟΓΔΟΟΣ

1. Παρῆλθεν ἡ νηστεία τῶν Ἰουδαίων, μᾶλλον δὲ ἡ μέθη τῶν Ἰουδαίων. Ἔστι γὰρ καὶ χωρὶς οἴνου μεθύειν, ἔστι καὶ νήφοντα παροινεῖν καὶ ἐν ἀσωτίᾳ κωμάζειν. Εἰ μὴ ἦν χωρὶς οἴνου μεθύειν, οὐκ ἂν εἶπεν ὁ προφήτης, «οὐαὶ οἱ μεθύοντες οὐκ ἀπὸ οἴνου». Εἰ μὴ ἦν χωρὶς οἴνου μεθύειν, οὐκ ἂν εἶπεν ὁ Παῦλος, «μὴ μεθύσκεσθε οἴνῳ». Ὡς γὰρ ἐνὸν καὶ ἄλλως μεθύειν, εἶπε· «μὴ μεθύσκεσθε οἴνῳ». Ἔστι γάρ, ἔστι καὶ ὀργῇ μεθύειν καὶ ἐπιθυμίᾳ ἀτόπῳ καὶ φιλαργυρίᾳ καὶ κενοδοξίᾳ καὶ μυρίοις ἑτέροις πάθεσι. Μέθη γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἔκστασις τῶν ὀρθῶν λογισμῶν καὶ παραφροσύνη καὶ τῆς κατὰ ψυχὴν ὑγιείας ἀναίρεσις. Οὐ τοίνυν μόνον ὁ ἄκρατον ἐκχεόμενος πολύν, ἀλλὰ καὶ ὁ πάθος ἕτερον ἐν τῇ ψυχῇ τρέφων, μεθύειν λέγοιτο ἂν ἰσχυρῶς. Καὶ γὰρ ὁ γυναικὸς ἐρῶν τῆς οὐκ ἰδίας καὶ πόρναις ἐσχολακώς, μεθύει. Καὶ καθάπερ ἐκεῖνος, ὁ πολὺν ἄκρατον πιὼν καὶ παρενεχθεὶς ἀνελεύθερα φθέγγεται ῥήματα καὶ ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ, οὕτω καὶ οὗτος, καθάπερ τινὸς ἀκράτου, τῆς ἀκολάστου ταύτης ἐπιθυμίας πληρούμενος, οὐδὲν ὑγιὲς ἐκφέρει ῥῆμα, ἀλλ' αἰσχρὰ πάντα καὶ διεφθαρμένα καὶ ἀνελεύθερα καὶ γέλωτος γέμοντα καὶ ἕτερα ἀνθ' ἑτέρων βλέπει, πρὸς μὲν τὰ ὁρώμενα τυφλώττων· ἣν δὲ ἐπιθυμεῖ καθυβρίσαι, ταύτην πανταχοῦ φανταζόμενος, καὶ καθάπερ ἐξεστηκώς τις καὶ παραπαίων καὶ ἐν συλλόγοις καὶ ἐν συμποσίοις καὶ ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ τόπῳ, μυρίων μυρία πρὸς αὐτὸν διαλεγομένων, οὔτε ἀκούειν δοκεῖ, ἀλλὰ πρὸς ἐκείνην τέταται καὶ τὴν ἁμαρτίαν ὀνειρο-

1. Ἡσ. 29,9.
2. Ἐφεσ. 5,18.
3. Αὐτόθι.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΟΓΔΟΟΣ

1. Πέρασε ἡ νηστεία τῶν Ἰουδαίων, ἢ καλύτερα ἡ μέθη τῶν Ἰουδαίων. Γιατὶ εἶναι δυνατὸ νὰ μεθᾶ κανεὶς καὶ χωρὶς κρασί, ὅπως εἶναι δυνατὸ νὰ μεθᾶ καὶ ὁ νηφάλιος ἄνθρωπος καὶ νὰ διασκεδάζη ἄσωτα. Ἂν δὲν ἦταν δυνατὸ νὰ μεθᾶ κανεὶς χωρὶς κρασὶ δὲν θὰ ἔλεγε ὁ προφήτης, «ἀλλοίμονο σ' ἐκείνους ποὺ μεθοῦν χωρὶς κρασί»[1]. Ἂν δὲν ἦταν δυνατὸ νὰ μεθᾶ κανεὶς χωρὶς κρασὶ δὲν θὰ ἔλεγε ὁ Παῦλος, «μὴ μεθᾶτε μὲ κρασί»[2]. Ἐπειδὴ δηλαδὴ εἶναι δυνατὸ καὶ ἀλλιῶς νὰ μεθᾶ κανείς, γι' αὐτὸ εἶπε, «μὴ μεθᾶτε μὲ κρασί»[3]. Γιατὶ εἶναι δυνατό, ναὶ εἶναι δυνατὸ νὰ μεθᾶ κανεὶς καὶ ἀπὸ ὀργὴ καὶ ἀπὸ ἐπιθυμία παράλογη καὶ ἀπὸ φιλαργυρία καὶ ἀπὸ κενοδοξία καὶ ἀπὸ ἄπειρα ἄλλα πάθη. Γιατὶ μέθη δὲν εἶναι τίποτε ἄλλο, παρὰ παρασάλευση τῶν ὀρθῶν λογισμῶν καὶ παραφροσύνη καὶ ἀπώλεια τῆς ψυχικῆς ὑγείας. Ἐπομένως θὰ μπορούσαμε ὀρθῶς νὰ ἰσχυρισθοῦμε, ὅτι δὲν μεθᾶ μόνο ὅποιος πίνει πολὺ κρασί, ἀλλὰ καὶ ὅποιος τρέφει στὴ ψυχή του ἄλλο πάθος. Πραγματικὰ καὶ ἐκεῖνος ποὺ ἐρωτεύεται ξένη γυναῖκα καὶ ὄχι τὴ δική του καὶ σπαταλᾶ τὸν καιρό του στὶς πόρνες, μεθᾶ. Κι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἤπιε πολὺ κρασὶ καὶ παραφέρθηκε ἐκστομίζει ἀπρεπῆ λόγια καὶ βλέπει ἄλλα ἀντὶ ἄλλων, ἔτσι καὶ αὐτός, ποὺ κυριεύεται, σὰν ἀπὸ ἀνώθευτο κρασί, ἀπὸ τὴν ἀκόλαστη αὐτὴ ἐπιθυμία, δὲν λέγει κανένα σωστὸ λόγο, ἀλλ' ὅσα λέγει εἶναι ὅλα αἰσχρὰ καὶ διεφθαρμένα καὶ ἀπρεπῆ καὶ κωμικά, βλέπει ἄλλα ἀντ' ἄλλων, καὶ δὲν βλέπει ἐκεῖνα ποὺ βλέπονται ξεκάθαρα· τὴν γυναῖκα ποὺ ἐπιθυμεῖ νὰ ἀτιμάση τὴν φαντάζεται παντοῦ, καὶ σὰν κάποιος ποὺ τὰ ἔχει χαμένα καὶ παραπαίει, ἐνῶ τοῦ μιλοῦν τόσοι καὶ τόσοι καὶ γιὰ μύρια πράγματα σὲ συγκεντρώσεις, σὲ συμπόσια καὶ σὲ κάθε στιγμὴ καὶ κάθε τόπο, φαίνεται νὰ μὴ τοὺς ἀκούη, ἀλλ' εἶναι ἀφωσιωμένος σ' ἐκείνην καὶ φαντάζεται τὴν

πολεῖ· καὶ πάντα ὑφορᾶται καὶ δέδοικε, λινοπλῆγός τινος ζώου οὐδὲν ἄμεινον διακείμενος.

Καὶ ὁ ὀργῇ κατεχόμενος, μεθύει πάλιν· οὕτω γοῦν αὐτοῦ καὶ ἡ ὄψις οἰδεῖ καὶ ἡ φωνὴ τραχύνεται καὶ οἱ ὀφθαλμοὶ γίνονται ὕφαιμοι καὶ ὁ νοῦς σκοτοῦται καὶ ἡ διάνοια καταποντίζεται καὶ ἡ γλῶσσα τρέμει καὶ οἱ ὀφθαλμοὶ παραφέρονται καὶ αἱ ἀκοαὶ ἕτερα ἀνθ' ἑτέρων ἀκούουσιν, ἀκράτου παντὸς χαλεπώτερον τῆς ὀργῆς αὐτοῦ πληττούσης τὴν μήνιγγα καὶ χειμῶνα ἐργαζομένης καὶ ζάλην ποιούσης ἀπαραμύθητον. Εἰ δὲ ἐπιθυμίᾳ τις καὶ ὀργῇ κατεχόμενος μεθύει, πολλῷ μᾶλλον ἀσεβῶν ἄνθρωπος καὶ εἰς Θεὸν βλασφημῶν καὶ ἐναντιούμενος αὐτοῦ τοῖς νόμοις καὶ τῆς ἀκαίρου φιλονεικίας μηδέ ποτε ταύτης καθυφεῖναι βουλόμενος, μεθύει καὶ μέμηνε καὶ κωμαζόντων καὶ ἐξεστηκότων ἀθλιώτερον διάκειται, κἂν αὐτὸς αἰσθάνεσθαι μὴ δοκῇ. Τοῦτο γὰρ μάλιστα μέθης ἐστὶν ἄξιον, τὸ μηδὲ ἐν οἷς τις ἀσχημονεῖ αἴσθησίν τινα ἔχειν. Ὥσπερ οὖν καὶ παραπληξίας τοῦτο μάλιστά ἐστι τὸ δεινόν, ὅτι νοσοῦντες οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, ὅτι νοσοῦσιν· ὥσπερ καὶ οἱ Ἰουδαῖοι νῦν μεθύοντες οὐκ αἰσθάνονται.

Ἡ μὲν οὖν νηστεία αὐτῶν παρῆλθεν, ἡ μέθης ἁπάσης αἰσχροτέρα, ἡμεῖς δὲ τὴν περὶ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους μὴ καταλύσωμεν πρόνοιαν, μηδὲ ἄκαιρόν τινα νομίσωμεν αὐτῶν εἶναι λοιπὸν τὴν ἐπιμέλειαν. Ἀλλ' ὅπερ οἱ στρατιῶται ποιοῦσιν, ἐπειδὰν συμβολῆς γενομένης τρέψωνται τοὺς ἐναντίους, ἀπὸ τῆς διώξεως ἐπανιόντες, οὐκ εὐθέως ἐπὶ τὰς σκηνὰς τρέχουσιν, ἀλλὰ πρότερον ἐπὶ τὸν τόπον τῆς συμβουλῆς ἐλθόντες, τοὺς ἐξ αὐτῶν καταπεσόντας ἀναιροῦνται καὶ τοὺς μὲν ἀποθανόντας τῇ γῇ κρύπτουσιν, εἰ δέ τινας ἴδοιεν μεταξὺ τῶν νεκρῶν πνέοντας ἔτι καὶ μὴ καιρίαν ἔχοντας πληγήν, εἰς τὰς σκηνὰς ἀνελόμενοι μετὰ πολλῆς ἀπάγουσι τῆς θεραπείας· καὶ τὸ βέλος ἐξελκύσαντες καὶ ἰατροὺς καλέσαντες καὶ τὸ αἷμα περιπλύναντες καὶ φάρμακα ἐπιθέντες καὶ τὰ ἄλλα πάντα

ἁμαρτία. Καὶ ὅλα τὰ ὑποπτεύεται καὶ τὰ φοβᾶται, μὴ βρισκόμενος σὲ καθόλου καλύτερη κατάσταση ἀπὸ τὸ ζῶο ἐκεῖνο ποὺ πιάστηκε στὰ δίχτυα.

Ἀλλὰ καὶ ἐκεῖνος ποὺ εἶναι κυριευμένος ἀπὸ ὀργὴ βρίσκεται κι αὐτὸς σὲ κατάσταση μέθης. Κατὰ τὸν ἴδιο τρόπο τὸ πρόσωπο αὐτοῦ φουσκώνει, ἡ φωνή του τραχύνεται, τὰ μάτια του κοκκινίζουν, ὁ νοῦς του σκοτίζεται, ἡ σκέψη του καταποντίζεται, ἡ γλῶσσα του τραυλίζει, τὰ μάτια του ἀλλοιθωρίζουν καὶ τὰ αὐτιά του ἀκούουν ἄλλα ἀντ' ἄλλων, γιατὶ ἡ ὀργὴ τὸν κτύπησε στὰ μηνίγγια χειρότερα κι ἀπὸ τὸ πιὸ δυνατὸ κρασί, τὸν ἀναστάτωσε καὶ τοῦ προξένησε ζάλη ἀπαρηγόρητη. Ἂν λοιπὸν κάποιος κυριευμένος ἀπὸ σαρκικὴ ἐπιθυμία καὶ ὀργὴ μεθᾶ, πολὺ περισσότερο ἐκεῖνος ποὺ ἀσεβεῖ καὶ βλασφημεῖ στὸν Θεό, ποὺ ἐναντιώνεται στοὺς νόμους του καὶ δὲν θέλει νὰ ἐγκαταλείψη ποτὲ τὴν ἄκαιρη φιλονεικία, μεθᾶ καὶ γίνεται σὰν τρελλός, συμπεριφερόμενος χειρότερα ἀπὸ ἐκείνους ποὺ βρίσκονται σὲ κατάσταση κραιπάλης καὶ ἔχουν χάσει τὰ λογικά τους, κι ἂν ἀκόμη αὐτὸς δὲν φαίνεται νὰ τὸ αἰσθάνεται. Γιατὶ αὐτὸ πρὸ πάντων εἶναι τὸ ἀξιοθαύμαστο τῆς μέθης, τὸ ὅτι δὲν αἰσθάνεται κανεὶς τίς ἀσχημοσύνες ποὺ κάμνει. Ὅπως ἐπίσης καὶ τῆς παραφροσύνης αὐτὸ πρὸ πάντων εἶναι τὸ χειρότερο, τὸ ὅτι οἱ ἄρρωστοι δὲν γνωρίζουν αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα, τὸ ὅτι εἶναι ἄρρωστοι, πρᾶγμα ποὺ καὶ οἱ Ἰουδαῖοι τώρα, κυριευμένοι ἀπὸ τὴ μέθη, δὲν τὸ αἰσθάνονται.

Καὶ ἡ νηστεία τους βέβαια, ποὺ εἶναι αἰσχρότερη ἀπὸ κάθε ἄλλη μέθη, πέρασε, ἐμεῖς ὅμως ἂς μὴ σταματήσουμε τὴ φροντίδα γιὰ τοὺς ἀδελφούς μας, οὔτε καὶ νὰ νομίσουμε τὴ φροντίδα μας γι' αὐτοὺς πλέον σὰν ἐνέργεια παράκαιρη. Ἀλλ' ἐκεῖνο ἀκριβῶς ποὺ κάμνουν οἱ στρατιῶτες, ποὺ ὅταν γίνη καὶ τρέψουν σὲ φυγὴ τοὺς ἀντιπάλους τους, δὲν ἐπιστρέφουν ἀμέσως στὶς σκηνές τους, ἀλλ', ἀφοῦ μεταβοῦν στὸν τόπο τῆς συμπλοκῆς, περιμαζεύουν τοὺς φονευμένους δικούς τους στρατιῶτες καὶ ἐκείνους ποὺ εἶναι πεθαμενοι τοὺς θάπτουν, ἂν ὅμως μεταξὺ τῶν νεκρῶν δοῦν μερικοὺς ποὺ ἀναπνέουν ἀκόμη καὶ εἶναι τραυματισμένοι ὄχι θανάσιμα τοὺς μεταφέρουν στὶς σκηνὲς καὶ καταβάλουν πολλὴ φροντίδα γιὰ τὴ θεραπεία τους, καὶ ἀφοῦ ἀφαιρέσουν τὸ βέλος, καλέσουν ἰατρούς, καθαρίσουν τὰ αἷματά τους, ἐπιθέσουν φάρμακα στὶς πληγὲς καὶ φρο-

ἐπιμελησάμενοι, πρὸς ὑγίειαν ἐπανάγουσιν. Καὶ ἡμεῖς τοίνυν, ἐπειδὴ τῇ τοῦ Θεοῦ χάριτι τοὺς Ἰουδαίους ἐδιώξαμεν, τοὺς προφήτας αὐτοῖς ἐφοπλίσαντες πανταχόθεν, ἐπανιόντες νῦν ἴδωμεν, μή τινες τῶν ἀδελφῶν τῶν ἡμετέρων ἔπεσον, μή τινες ἀπὸ τῆς νηστείας παρεσύρησαν, μή τινες αὐτοῖς κατὰ τὴν ἑορτὴν ἐκοινώνησαν· καὶ ταφῇ μὲν μηδένα παραδῶμεν, πάντας δὲ ἀνελόμενοι θεραπεύσωμεν. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν πολέμων, τὸν πεσόντα ἅπαξ καὶ τὴν ψυχὴν ἀφέντα, ἀδύνατον στρατιώτη πάλιν ἀνακτήσασθαι καὶ πρὸς ζωὴν ἐπαναγαγεῖν. Ἐπὶ δὲ τοῦ πολέμου τούτου καὶ τῆς μάχης, κἂν καιρίαν τις ᾖ εἰληφὼς πληγήν, δυνατόν, ἂν θέλωμεν, τῆς τοῦ Θεοῦ χάριτος συνεφαπτομένης ἡμῖν, πρὸς ζωὴν αὐτὸν χειραγωγῆσαι πάλιν. Οὐ γὰρ φύσεως οὗτος ὁ θάνατος, καθάπερ ἐκεῖνος, ἀλλὰ προαιρέσεως καὶ γνώμης. Προαίρεσιν δὲ ἀποθανοῦσαν δυνατὸν ἀναστῆσαι πάλιν καὶ ψυχὴν νεκρωθεῖσαν πεῖσαι πρὸς τὴν οἰκείαν ζωὴν ἐπανελθεῖν καὶ τὸν αὐτῆς ἐπιγνῶναι δεσπότην.

2. Ἀλλὰ μὴ ἀποκάμωμεν, ἀδελφοί, μηδὲ ἐκλυθῶμεν, μηδὲ ἀναπέσωμεν, μηδέ μοι τὰ ῥήματα ἐκεῖνά τις λεγέτω, ὅτι πρὸ τῆς νηστείας ἀσφαλίσασθαι ἀναγκαῖον ἦν καὶ πάντα ποιῆσαι, νῦν δὲ μετὰ τὸ νηστεῦσαι, μετὰ τὸ γενέσθαι τὴν ἁμαρτίαν, μετὰ τὸ πληρωθῆναι τὴν ἀνομίαν, τί τὸ ὄφελος λοιπόν; Εἰ γάρ τις οἶδε, τί ποτέ ἐστι πρόνοια ἀδελφῶν, οἶδε καὶ τοῦτο, ὅτι νῦν μάλιστα ἐπιθέσθαι δεῖ καὶ πᾶσαν σπουδὴν ἐπιδείξασθαι. Οὐ γὰρ δὴ μόνον πρὸ τῆς ἁμαρτίας ἀσφαλίσασθαι χρή, ἀλλὰ καὶ μετὰ τὰ πτώματα χεῖρα ὀρέγειν. Καὶ γὰρ ὁ Θεός, εἰ τοῦτο ἐξ ἀρχῆς ἐποίει καὶ πρὸ τῆς ἁμαρτίας ἠσφαλίζετο μόνον, μετὰ δὲ τὴν ἁμαρτίαν ἀπεγίνωσκε καὶ ἠφίει κεῖσθαι ἐν τῷ πτώματι διηνεκῶς, οὐδεὶς ἂν οὐδὲ ἡμῶν ἐσώθη ποτέ. Ἀλλ' οὐ ποιεῖ τοῦτο, φιλάνθρωπος ὢν καὶ ἥμερος, καὶ τῆς σωτηρίας μάλιστα ἐφιέμενος τῆς ἡμετέρας, ἀλλὰ καὶ μετὰ ἁμαρτήματα, πολλὴν ἐπιδείκνυται πρόνοιαν· ἐπεὶ καὶ τὸν Ἀδὰμ ἠσφαλίσατο μὲν καὶ πρὸ τῆς ἁμαρτίας, καὶ εἶπε πρὸς αὐτόν· «ἀπὸ

ντίσουν γιὰ ὅλα τὰ ἄλλα, ἀποκαθιστοῦν τὴν ὑγεία τους, τὸ ἴδιο ἂς κάμουμε καὶ ἐμεῖς. Ἀφοῦ δηλαδὴ μὲ τὴ χάρη τοῦ Θεοῦ διώξαμε τοὺς Ἰουδαίους, ἐξοπλίσαντες ἐναντίον τους τοὺς προφῆτες, ἐπιστρέφοντας ἂς δοῦμε τώρα, μήπως μερικοὶ ἀπὸ τοὺς ἀδελούς μας ἔπεσαν, μήπως μερικοὶ παρασύρθηκαν ἀπὸ τὴ νηστεία τους, μήπως μερικοὶ ἄλλοι ἔλαβαν μέρος μαζί τους στὴν ἑορτή. Κι ἂς μὴ θάψουμε κανένα, ἀλλὰ μεταφέροντάς τους ὅλους ἐδῶ ἂς τοὺς θεραπεύσουμε. Γιατὶ στὴ περίπτωση τῶν ἐκτὸς τῆς Ἐκκλησίας πολέμων ὁ στρατιώτης ποὺ ἔπεσε στὴ μάχη καὶ ἔφυγε ἡ ψυχή του, εἶναι ἀδύνατο νὰ ἐπανακτήση καὶ πάλι αὐτὴν ὁ στρατιώτης καὶ νὰ ἐπανέλθη στὴ ζωή. Στὴν περίπτωση ὅμως τοῦ πολέμου αὐτοῦ καὶ τῆς μάχης, κι ἂν ἀκόμη κάποιος δεχθῆ καίριο πλῆγμα, εἶναι δυνατό, ἂν τὸ θέλουμε, καὶ μὲ τὴ βοήθεια τῆς θείας χάριτος, νὰ τὸν ἐπαναφέρουμε πάλι στὴ ζωή. Γιατὶ ὁ θάνατος αὐτὸς δὲν εἶναι τῆς φύσεως, ὅπως ἐκεῖνος, ἀλλὰ τῆς προαιρέσεως καὶ τῆς γνώμης. Προαίρεση ποὺ πέθανε εἶναι δυνατὸ νὰ τὴν ἀναστήσουμε, καὶ ψυχὴ ποὺ νεκρώθηκε εἶναι δυνατὸ νὰ τὴν πείσουμε νὰ ἐπανέλθη στὴ ζωή της καὶ νὰ γνωρίση τὸν Δεσπότη της.

2. Ἀλλὰ ἂς μὴ ἀποκάμουμε, ἀδελφοί, ἂς μὴ παραλύσουμε, οὔτε καὶ ν' ἀποθαρρηνθοῦμε, οὔτε κανεὶς νὰ μοῦ λέγη τὰ λόγια αὐτά, ὅτι δηλαδὴ ἔπρεπε νὰ προφυλαχθοῦμε προτοῦ ἔλθη ἡ νηστεία καὶ νὰ κάμουμε τὰ πάντα τότε, τώρα ὅμως μετὰ τὴ νηστεία, μετὰ τὴ διάπραξη τῆς ἁμαρτίας, μετὰ τὴν ὁλοκλήρωση τῆς ἀνομίας, ποιό εἶναι πλέον τὸ ὄφελος; Γιατί, ἂν κάποιος γνωρίζη τί σημαίνει τέλος πάντων πρόνοια ἀδελφῶν, γνωρίζει καὶ αὐτό, ὅτι δηλαδὴ τώρα πρέπει νὰ κινηθοῦμε ὁπωσδήποτε καὶ νὰ ἐπιδείξουμε κάθε προθυμία. Γιατὶ δὲν ἀρκεῖ νὰ τοὺς ἀσφαλίζουμε μόνο πρὶν ἀπὸ τὴν ἁμαρτία, ἀλλὰ καὶ μετὰ τὶς πτώσεις τους πρέπει ν' ἁπλώνουμε χέρι βοήθειας. Γιατὶ καὶ ὁ Θεός, ἂν τὸ ἔκαμνε αὐτὸ ἀπὸ τὴν ἀρχὴ καὶ διασφάλιζε τὸν ἄνθρωπο πρὶν ἀπὸ τὴν διάπραξη τῆς ἁμαρτίας μόνο, μετὰ ὅμως τὴν ἁμαρτία τὸν κατεδίκαζε καὶ τὸν ἄφηνε νὰ εἶναι συνεχῶς πεσμένος, κανεὶς οὔτε ἀπὸ μᾶς θὰ μποροῦσε νὰ σωθῆ ποτέ. Ἀλλὰ δὲν τὸ κάμνει αὐτό, γιατὶ εἶναι φιλάνθρωπος καὶ ἥμερος καὶ ἐπιθυμεῖ πάρα πολὺ τὴ σωτηρία μας, ἀλλὰ δείχνει πολλὴ φροντίδα καὶ μετὰ τὰ ἁμαρτήματά μας. Γιατὶ καὶ τὸν Ἀδὰμ τὸ ἀσφάλισε πρὶν ἀπὸ τὴν ἁμαρτία καὶ τοῦ εἶπε· «ἀπὸ τοὺς καρποὺς παντὸς δένδρου τοῦ παρα-

παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε». Ἰδοὺ καὶ τῇ εὐκολίᾳ τοῦ νόμου καὶ τῇ δαψιλείᾳ τῶν συγκεχωρημένων καὶ τῇ τιμωρίᾳ τῆς μελλούσης κολάσεως καὶ τῷ τάχει τῆς ἐπαγωγῆς (οὐ γὰρ εἶπε μετὰ μίαν καὶ δύο καὶ τρεῖς ἡμέρας, ἀλλ' ἐν αὐτῇ τῇ ἡμέρᾳ, ᾗ ἂν φάγητε, θανάτῳ ἀποθανεῖσθε), καὶ παντὶ τρόπῳ, ᾧπερ ἐχρῆν ἀσφαλίσασθαι τὸν ἄνθρωπον, ἠσφαλίζετο.

Ἀλλ' ὅμως ἐπειδὴ μετὰ τοσαύτην πρόνοιαν καὶ διδασκαλίαν καὶ παραίνεσιν καὶ εὐεργεσίαν κατέπεσε καὶ οὐκ ἤκουσε τῶν ἐπιταγμάτων, οὐκ εἶπε τοῦτο ὁ Θεός, τί λοιπὸν τὸ πλέον, τί τὸ ὄφελος; ἔφαγεν, ἔπεσε, παρέβη τὸν νόμον, ἐπίστευσε τῷ διαβόλῳ, ἠτίμωσέ μου τὴν ἐντολήν, ἐδέξατο τὴν πληγήν, νεκρὸς ἐγένετο, παρεδόθη τῷ θανάτῳ, ὑπὸ τὴν ἀπόφασιν ἦλθε, τί δεῖ λοιπὸν αὐτῷ διαλέγεσθαι; Οὐδὲν τούτων εἶπεν, ἀλλὰ καὶ ἦλθε πρὸς αὐτὸν εὐθέως καὶ διελέχθη καὶ παρεμυθήσατο καὶ πάλιν ἕτερον ἐπέθηκε φάρμακον, τὸ τῶν πόνων καὶ τῶν ἱδρώτων, καὶ οὐ πρότερον ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως τὴν φύσιν τὴν πεσοῦσαν ἀνέστησε καὶ ἀπήλλαξε τοῦ θανάτου καὶ πρὸς τὸν οὐρανὸν ἐχειραγώγησε καὶ μείζονα τῶν ἀπολωλότων ἔδωκεν ἀγαθά, διὰ τῶν ἔργων αὐτῶν τὸν διάβολον διδάξας, ὅτι οὐδὲν αὐτῷ πλέον ἐγένετο ἐκ τῆς ἐπιβουλῆς ταύτης· ἀλλ' ἐκβαλὼν τοῦ παραδείσου τοὺς ἀνθρώπους, ὄψεται αὐτοὺς μικρὸν ὕστερον ἐν τοῖς οὐρανοῖς ἀναμεμιγμένους ἀγγέλοις.

Τοῦτο καὶ ἐπὶ τοῦ Κάϊν ἐποίησε· καὶ γὰρ καὶ ἐκεῖνον πρὸ τῆς ἁμαρτίας ἠσφαλίζετο καὶ προδιηγόρευε, λέγων, «ἥμαρτες, ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ». Ὅρα σοφίαν καὶ σύνεσιν. Διὰ τοῦτο δέδοικας, φησί, μή σε τῆς προεδρίας τῶν πρωτοτόκων ἀφέληται διὰ τὴν παρ' ἐμοῦ τιμήν, μὴ τὴν ἀρχὴν ἁρπάσῃ τὴν σοὶ προσήκουσαν· τοὺς γὰρ πρωτοτόκους τῶν δευτεροτόκων σεμνοτέρους εἶναι ἐχρῆν. Θάρρει, φησί, καὶ μὴ φοβοῦ, μηδὲ ἀγωνία περὶ τούτου, «πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ αὐ-

4. Γεν. 2,16–17. 5. Γεν. 4,7.

δείσου μπορεῖτε νὰ φᾶτε, δὲν θὰ φᾶτε ὅμως ἀπὸ τοὺς καρποὺς τοῦ δένδρου τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ· γιατὶ τὴν ἡμέρα κατὰ τὴν ὁποία θὰ φᾶτε, θὰ πεθάνετε»[4]. Νά, τὸν ἀσφάλισε καὶ μὲ τὴν εὐκολία τοῦ νόμου καὶ μὲ τὴν ἀφθονία τῶν ἐπιτρεπομένων καὶ μὲ τὴν τιμωρία τῆς μελλούσης κολάσεως καὶ μὲ τὸ ὅτι ἀμέσως πρόσθεσε αὐτὴν (γιατὶ δὲν εἶπε μετὰ ἀπὸ μία ἢ δυὸ ἢ τρεῖς ἡμέρες, ἀλλὰ τὴν ἴδια ἡμέρα, κατὰ τὴν ὁποίαν θὰ φᾶτε, θὰ πεθάνετε) καὶ μὲ κάθε τρόπο, μὲ τὸν ὁποῖο ἔπρεπε νὰ ἀσφαλισθῇ ὁ ἄνθρωπος, τὸν ἀσφάλισε.

Ἀλλ' ὅμως, ἐπειδὴ καὶ μετὰ ἀπὸ μιὰ τέτοια πρόνοια καὶ διδασκαλία καὶ συμβουλὴ καὶ εὐεργεσία ἔπεσε καὶ δὲν ἐφύλαξε τὰ προστάγματα, δὲν εἶπε αὐτὸ ὁ Θεος· 'Τί χρειάζεται πιὰ ἡ ἐπὶ πλέον φροντίδα; ποιό τὸ ὄφελος; Ἔφαγε, ἔπεσε, παρέβηκε τὸν νόμο, πίστεψε στὸν διάβολο, περιφρόνησε τὴν ἐντολή μου, δέχθηκε τὸ πλῆγμα, κατέστη νεκρός, παραδόθκε στὸ θάνατο καὶ τιμωρήθηκε· γιατί πιὰ νὰ συνομιλῶ μαζί του;' Τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε, ἀλλὰ καὶ πῆγε ἀμέσως πρὸς αὐτὸν καὶ συνωμίλησε μαζί του καὶ τὸν παρηγόρησε καὶ ἄλλο πάλι φάρμακο πρόσθεσε, τὸ φάρμακο τῶν κόπων καὶ τῶν ἱδρώτων, καὶ δὲν σταμάτησε προηγουμένως νὰ κάμνη καὶ νὰ ἐπινοῇ τὰ πάντα, μέχρι ποὺ ἀνέστησε τὴν πεσμένη ἀνθρώπινη φύση, τὴν ἀπάλλαξε ἀπὸ τὸ θάνατο, καὶ τὴν ὡδήγησε πρὸς τὸν οὐρανό, χαρίζοντάς της μεγαλύτερα ἀγαθὰ ἀπὸ ἐκεῖνα ποὺ ἔχασε, καὶ δίδαξε μὲ τὰ ἔργα αὐτὰ τὸν διάβολο, ὅτι δὲν κέρδισε τίποτε ἀπὸ τὴν ἐπιβουλὴ ἐκείνη, ἀλλὰ βγάζοντας τοὺς ἀνθρώπους ἀπὸ τὸν παράδεισο, θὰ τοὺς δῇ ὕστερα ἀπὸ λίγο στοὺς οὐρανοὺς νὰ συναναστρέφωνται μὲ τοὺς ἀγγέλους.

Αὐτὸ ἔκαμε καὶ στὴν περίπτωση τοῦ Κάϊν· γιατὶ καὶ ἐκεῖνον τὸν ἀσφάλισε πρὶν ἀπὸ τὴν ἁμαρτία καὶ τὸν προειδοποίησε λέγοντας· «ἁμάρτησες, ἡσύχασε· στὴν ἐξουσία σου εἶναι ν' ἀποφύγης τὴν ἀποστροφὴ πρὸς αὐτὸν καὶ νὰ τὸν ἐξουσιάσης»[5]. Πρόσεχε σοφία καὶ σύνεση! Γι' αὐτὸ φοβᾶσαι, λέγει, μήπως σοῦ ἀφαιρέση τὴν προεδρία τῶν πρωτοτόκων ἐξ αἰτίας τῆς τιμῆς μου πρὸς αὐτόν, μήπως σοῦ ἁρπάξη τὴν ἐξουσία ποὺ σοῦ ἀνήκει; (γιατὶ ἔπρεπε οἱ πρωτότοκοι νὰ εἶναι πιὸ σεβαστοὶ ἀπὸ τοὺς δευτερότοκους). Ἔχε θάρρος, λέγει, καὶ μὴ φοβᾶσαι οὔτε καὶ ν' ἀγωνιᾶς γι' αὐτό· «Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ». Αὐτὸ ποὺ λέγει

τοῦ ἄρξεις». Ὁ δὲ λέγει τοιοῦτόν ἐστι· μένε ἐπὶ τῆς τιμῆς τῆς τοῦ πρωτοτόκου καὶ γενοῦ τῷ ἀδελφῷ καταφυγὴ καὶ σκέπη καὶ προστασία καὶ κράτει καὶ κυρίευε αὐτοῦ· μόνον μὴ πρὸς φόνον ἐκπηδήσῃς, μηδὲ εἰς τὴν παράνομον ἐκείνην ἐξέλθῃς σφαγήν. Ἀλλ' ὅμως οὐδὲ οὕτως ἤκουσεν, οὐδὲ ἡσύχασεν, ἀλλ' εἰργάσατο τὴν μιαιφονίαν ἐκείνην καὶ τὴν δεξιὰν εἰς τὸν λαιμὸν ἐβάπτισε τὸν ἀδελφικόν. Τί οὖν; Ἆρα εἶπεν ὁ Θεός, ἀφῶμεν αὐτὸν λοιπόν; τί πλέον τὸ ὄφελος; εἰργάσατο τὸν φόνον, ἀπέκτεινε τὸν ἀδελφόν, κατεφρόνησέ μου τῆς παραινέσεως, ἀνίατόν τινα καὶ ἀσύγγνωστον σφαγὴν ἐτόλμησε, τοσαύτης καὶ τοιαύτης ἀπολαύσας προνοίας καὶ διδασκαλίας καὶ συμβουλῆς· πάντα ἐξέβαλεν ἐκεῖνα ἀπὸ τῆς διανοίας, καὶ πρὸς οὐδὲν ἐπεστράφη. Ἀφείσθω τοίνυν καὶ ἐρρίφθω λοιπὸν καὶ μηδὲ λόγου τινὸς ἀξιούσθω παρ' ἐμοῦ.

Οὐδὲν τοιοῦτον ὁ Θεὸς οὐκ εἶπεν, οὐκ ἔπραξεν· ἀλλὰ καὶ πρὸς αὐτὸν ἔρχεται πάλιν καὶ διορθοῦται τὸν ἄνθρωπον καί φησι· «ποῦ Ἄβελ ὁ ἀδελφός σου;». Καὶ οὐδὲ ἀρνούμενον ἀφίησιν, ἀλλ' ἐνάγει καὶ ἄκοντα εἰς τὴν τῆς ἐργασίας ὁμολογίαν. Καὶ εἰπόντος, «οὐκ οἶδα», «φωνή», φησίν, «αἵματος ἀδελφοῦ σου βοᾷ πρός με»· αὐτὸ τὸ πρᾶγμα, φησί, κηρύττει τὸν μιαίφονον. Τί οὖν οὗτος; «Μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με· καὶ εἰ ἐκβάλῃς μὲ ἀπὸ τῆς γῆς καὶ ἀπὸ τοῦ προσώπυ σου κρυβήσομαι». Ὁ δὲ λέγει τοιοῦτόν ἐστι· μείζονα μὲν ἥμαρτον συγγνώμης καὶ ἀπολογίας καὶ τοῦ ἀφεθῆναι, πλὴν ἀλλ' εἰ βουλθείης ἐπεξελθεῖν τῷ γεγενημένῳ, πᾶσι προκείσομαι, ἔρημος τῆς παρὰ σοῦ συμμαχίας γενόμενος. Τί οὖν ὁ Θεός; «Οὐχ οὕτως, πᾶς ὁ ἀποκτείνας Κάϊν, ἑπτὰ ἐκδικούμενα παραλύσει». Μὴ φοβοῦ τοῦτο, φησί· βιώσῃ βίον μακρόν, κἂν ἀνέλῃ σέ τις, πολλαῖς ἔσται τιμωρίαις ὑπεύθυνος· ὁ γὰρ ἑπτὰ ἀριθμὸς παρὰ τῇ Γραφῇ ἀδιορίστου πλήθους ἐστὶ σημαντικός.

Ἐπεὶ οὖν ὁ Κάϊν πολλαῖς ὑπεβέβλητο τιμωρίαις, ἀγωνίᾳ καὶ τρόμῳ καὶ στεναγμοῖς καὶ ἀθυμίᾳ καὶ παραλύσει σώματος, ὁ ἀνελών σε, φησί, καὶ τούτων ἀπαλλάξας τῶν κολάσεων αὐτὸς ἐφ' ἑαυτὸν ἐπισπάσεται τὴν τιμωρίαν. Καὶ δοκεῖ μὲν εἶναι βαρὺ καὶ

6. Γεν. 4,9–10.
7. Γεν. 4,13–14.
8. Γεν. 4,15.

σημαίνει τὸ ἑξῆς. Κράτησε τὴν τιμὴ ποὺ ἀνήκει στὸν πρωτότοκο καὶ γίνε γιὰ τὸν ἀδελφό σου καταφυγὴ καὶ σκέπη καὶ προστασία καὶ ἐξουσία καὶ κύριός του· μόνο μὴ προχωρήσης σὲ φόνο οὔτε νὰ φθάσης στὴν παράνομη ἐκείνη σφαγή. Ἀλλ' ὅμως ἐκεῖνος οὔτε καὶ ἔτσι ἄκουσε οὔτε ἡσύχασε, ἀλλὰ διέπραξε τὴν ἀνθρωποκτονία ἐκείνη καὶ βύθισε μὲ τὸ δεξί του χέρι τὸ μαχαίρι στὸν λαιμὸ τοῦ ἀδελφοῦ του. Τί λοιπόν; Ἄραγε εἶπε ὁ Θεός, 'ἂς τὸν ἐγκαταλείψουμε πιά; ποιό τὸ ὄφελος πλέον; Διέπραξε τὸν φόνο, φόνευσε τὸν ἀδελφό του, περιφρόνησε τὴ συμβουλή μου, ἀπετόλμησε μιὰ ἀθεράπευτη καὶ ἀσυγχώρητη σφαγή, ἂν καὶ ἀπόλαυσε τόση καὶ μεγάλη καὶ τέτοιου εἴδους πρόνοια καὶ διδασκαλία καὶ συμβουλή· ὅλα τὰ ἔβγαλε ἀπὸ τὸ μυαλό του καὶ τίποτε δὲν τὸν ἔκαμε ν' ἀλλάξη γνώμη. Ἂς τὸν ἀφήσω πλέον καὶ ἂς τὸν περιφρονήσω καὶ ἂς μὴ ἀξιωθῆ ν' ἀκούση οὔτε ἕνα λόγο ἀπὸ μένα'.

Τίποτε τέτοιο δὲν εἶπε οὔτε καὶ ἔπραξε ὁ Θεός, ἀλλὰ πηγαίνει πάλι πρὸς αὐτὸν καὶ διορθώνει τὸν ἄνθρωπο καὶ λέγει· «ποῦ εἶναι ὁ ἀδελφός σου ὁ Ἄβελ;»[6]. Καὶ οὔτε ὅταν τὸν ἀρνεῖται ἐκεῖνος τὸν ἀφήνει, ἀλλὰ καὶ χωρὶς νὰ τὸ θέλη τὸν ὁδηγεῖ στὴν πράξη τῆς ὁμολογίας. Καὶ ὅταν τοῦ εἶπε, «δὲν ξέρω», τοῦ λέγει· «ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου φωνάζει πρὸς ἐμένα». Αὐτὸ τὸ πρᾶγμα, λέγει, κηρύττει τὸν ἀδελφοκτόνο. Τί λοιπὸν λέγει ὁ Κάϊν; «ἡ ἔνοχη πράξη μου εἶναι μεγαλύτερη ἀπὸ τὴ συγχώρησή σου· καὶ ἂν μὲ διώξης ἀπὸ τὴ γῆ καὶ ἀποστρέψης τὸ πρόσωπό σου ἀπὸ μένα θὰ εἶμαι σὰν κρυμμένος»[7]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἡ ἁμαρτία μου εἶναι μεγαλύτερη ἀπὸ τὴ συγγνώμη σου καὶ ἀπὸ τὴν ἀπολογία καὶ ἀπὸ τὴ συγχώρηση, πλὴν ὅμως ἂν θελήσης νὰ μὲ τιμωρήσης γι' αὐτὸ ποὺ ἔκαμα, θὰ εἶμαι στὴ διάθεση ὅλων, ἀφοῦ θὰ στερηθῶ τὴ δική σου βοήθεια. Τί λέγει λοιπὸν ὁ Θεός; «δὲν θὰ γίνη κάτι τέτοιο· γιατὶ ἐκεῖνος ποὺ θὰ φονεύση τὸν Κάϊν, θὰ ὑποστῆ πολλὲς τιμωρίες»[8]. Μὴ τὸ φοβᾶσαι αὐτό, λέγει· θὰ ζήσης ζωὴ μακρόχρονη. Κι ἂν σὲ φονεύση κάποιος, θὰ καταστῆ ὑπεύθυνος πολλῶν τιμωριῶν. Γιατὶ ὁ ἀριθμὸς ἑπτὰ στὴ Γραφὴ σημαίνει ἀπροσδιόριστο πλῆθος.

Ἐπειδὴ λοιπὸν ὁ Κάϊν ὑποβλήθηκε σὲ πολλὲς τιμωρίες, σὲ ἀγωνία καὶ τρόμο καὶ στεναγμούς, σὲ λύπη καὶ σωματικὴ παράλυση, ὅποιος σὲ φονεύσει, λέγει, θὰ σὲ ἀπαλλάξη ἀπὸ τὶς τιμωρίες αὐτές, ὁ ἴδιος ὅμως θὰ ἐπισύρη ἐπάνω του τὴν τιμωρία. Καὶ φαίνεται

φορτικὸν τὸ λεγόμενον, πολλῆς δὲ ταῦτά ἐστι κηδεμονίας ὑπόδειξις. Καὶ γὰρ τοὺς μετὰ ταῦτα σωφρονίσαι βουλόμενος, τοιοῦτον ἐπενόησε κολάσεως τρόπον, ὃς ἀπαλλάξαι αὐτὸν τῆς ἁμαρτίας ἐδύνατο. Εἰ μὲν γὰρ εὐθέως αὐτὸν ἀνεῖλεν, ἀπῆλθεν ἂν ἔχων τὴν ἁμαρτίαν ἐγκεκαλυμμένην καὶ τοῖς μετὰ ταῦτα οὐκ ἂν ἐγένετο γνώριμος. Νυνὶ δὲ ἀφεθεὶς πολὺν χρόνον ζῆσαι ἐν ἐκείνῳ τῷ τρόμῳ, διδάσκαλος τοῖς ἀπαντῶσιν ἐγίνετο πᾶσι, διὰ τῆς ὄψεως καὶ τοῦ σάλου τῆς σαρκὸς παραινῶν ἅπασι μή ποτε τοιαῦτα τολμᾶν, ἵνα μὴ τοιαῦτα πάθωσιν, αὐτός τε βελτίων ἐγένετο πάλιν. Ὁ γὰρ τρόμος καὶ φόβος καὶ τὸ ἀγωνίᾳ συζῆν καὶ ἡ τοῦ σώματος πάρεσις, καθάπερ ἐν δεσμῷ τινι κατεῖχεν αὐτὸν καὶ οὐκ ἠφίει οὔτε εἰς ἕτερον ἐκπηδῆσαι τοιοῦτον τόλμημα πάλιν καὶ τοῦ προτέρου συνεχῶς ἀνεμίμνησκε καὶ ἐν τότοις αὐτοῦ τὴν ψυχὴν σωφρονεστέραν εἰργάζετο.

3. Ἀλλὰ μεταξὺ λέγοντί μοι ἐπῆλθεν εἰς μέσον ἀγαγεῖν καὶ ζητῆσαι, τί δήποτε τὴν ἁμαρτίαν ὁμολογήσας τὴν ἑαυτοῦ καὶ καταγνοὺς τῶν γενομένων καὶ εἰπὼν μείζονα συγγνώμης ἡμαρτηκέναι καὶ μηδεμιᾶς ἀπολογίας ἄξιος εἶναι, οὐκ ἴσχυσεν ἀπονίψασθαι τὰ ἁμαρτήματα (καίτοι γε ὁ προφήτης φησί· «λέγε σὺ τὰς ἀνομίας σου πρῶτα, ἵνα δικαιωθῇς»), ἀλλὰ καὶ κατεκρίθη; Ὅτι οὐκ εἶπεν, ὡς ὁ προφήτης ἐκέλευσεν. Οὐ γὰρ ἁπλῶς εἶπεν ὁ προφήτης, «λέγε σὺ τὰς ἀνομίας σου», ἀλλὰ τί; «Λέγε σὺ πρῶτος», φησί, «τὰς ἀνομίας σου». Τὸ ζητούμενον τοῦτό ἐστιν· οὐ τὸ εἰπεῖν ἁπλῶς, ἀλλὰ τὸ πρῶτον εἰπεῖν, τὸ μὴ ἀναμεῖναι τὸν ἐλέγχοντα καὶ κατηγοροῦντα. Οὗτος δὲ οὐκ εἶπε πρῶτος, ἀλλὰ ἀνέμεινεν ἐλεγχθῆναι παρὰ τοῦ Θεοῦ, μᾶλλον δὲ καὶ ἐλέγχοντος ἠρνεῖτο. Ἀλλ' ἐπειδὴ ἅπαξ ἔδειξε τὸ γενόμενον φανερῶς, τότε εἶπε τὴν ἁμαρτίαν, ὅπερ οὐκ ἔστιν ἐξομολόγησις λοιπόν.

Καὶ σὺ τοίνυν, ἀγαπητέ, ἐπειδὰν ἁμάρτῃς, μὴ ἀνάμενε τὴν παρ' ἑτέρου κατηγορίαν, ἀλλὰ πρὶν ἂν ἢ κατηγορηθῇς καὶ διαβληθῇς, σὺ καταγίνωσκε τῶν γεγενημένων, ὡς ἐὰν ἕτερος ἐλέγξῃ λοιπόν, οὐκ ἔτι τῆς σῆς ἐξομολογήσεως τὸ κατόρθωμα γίνεται,

9. Ἠσ. 43,26.

βέβαια ὅτι ὁ λόγος εἶναι βαρὺς καὶ ἀνυπόφορος, ἀλλ' ὅμως αὐτὰ εἶναι ἀπόδειξη φροντίδας πρὸς αὐτόν. Γιατί, θέλοντας νὰ σωφρονίση τοὺς μεταγενεστέρους, τέτοιον τρόπο τιμωρίας ἐπενόησε, ποὺ θὰ μποροῦσε νὰ τὸν ἀπαλλάξη ἀπὸ τὴν ἁμαρτία. Γιατί, ἂν τὸν φόνευε ἀμέσως, ἀσφαλῶς θὰ ἔφευγε ἀπὸ τὴ ζωή, παραμένοντας ἡ ἁμαρτία του κρυμμένη, καὶ δὲν θὰ γινόταν γνωστὴ στοὺς μεταγενέστερους. Τώρα ὅμως, ἀφήνοντάς τον νὰ ζήση πολλὰ χρόνια μέσα σ' ἐκεῖνον τὸν τρόμο, γινόταν διδάσκαλος σὲ ὅσους τὸν συναντοῦσαν, συμβουλεύοντας ὅλους μὲ τὸ ὅλο θέαμα καὶ τὴν τρεμούλα τοῦ σώματος, νὰ μὴ τολμοῦν νὰ κάνουν τέτοια πράγματα, γιὰ νὰ μὴ πάθουν τὰ ἴδια, ὁ ἴδιος πάλι ἔτσι γινόταν καλύτερος. Γιατὶ ὁ τρόμος καὶ ὁ φόβος καὶ ἡ ζωὴ τῆς ἀγωνίας καὶ ἡ σωματικὴ παράλυση τὸν κρατοῦσαν σὰν σὲ κάποιο δεσμωτήριο καὶ δὲν τὸν ἄφηναν νὰ ἐπιχειρήση νὰ διαπράξη σὲ ἄλλον τέτοιο τόλμημα, καὶ συνεχῶς τοῦ ὑπενθύμιζε τὸ προηγούμενο τόλμημα, καὶ μὲ ὅλα αὐτὰ ἔκαμνε τὴν ψυχή του σωφρονέστερη..

3. Λέγοντας ὅμως αὐτὰ μοῦ ἦρθε στὸν νοῦ νὰ φέρω στὸ μέσο καὶ νὰ ἐξετάσω γιὰ τί ἄραγε, ἐνῶ αὐτὸς ὡμολόγησε τὴν ἁμαρτία του καὶ κατεδίκασε τὰ ὅσα ἔγιναν, καὶ ἐνῶ εἶπε, ὅτι διέπραξε ἁμάρτημα μεγαλύτερο τῆς συγγνώμης καὶ δὲν εἶναι ἄξιος γιὰ καμμιὰ ἀπολογία, δὲν κατώρθωσε νὰ καθαρισθῆ ἀπὸ τὰ ἁμαρτήματά του (ἂν καὶ βέβαια ὁ προφήτης λέγει, «λέγε σὺ τὶς ἁμαρτίες σου πρῶτος, γιὰ νὰ δικαιωθῆς»[9]), ἀλλὰ καὶ κατακρίθηκε; Ἐπειδὴ δὲν τὰ ὡμολόγησε, ὅπως ὁ προφήτης ὑπέδειξε. Γιατὶ ὁ προφήτης δὲν εἶπε ἁπλῶς, «λέγε σὺ τὶς ἁμαρτίες σου», ἀλλὰ τί; «λέγε σὺ πρῶτος», λέγει, «τὶς ἁμαρτίες σου». Τὸ ζητούμενο εἶναι αὐτό. Ὄχι τὸ νὰ τὶς πῆ κανεὶς ἁπλῶς, ἀλλὰ νὰ τὶς πῆ πρῶτος, νὰ μὴ περιμένη τὸν ἐλεγκτὴ καὶ τὸν κατήγορο. Αὐτὸς ὅμως δὲν τὶς εἶπε πρῶτος, ἀλλὰ περίμενε νὰ ἐλεγχθῆ ἀπὸ τὸν Θεό, ἢ καλύτερα καὶ ὅταν τὸν ἔλεγχε, ἐκεῖνος ἀρνοῦνταν. Ἀλλ' ἀφοῦ τοῦ φανέρωσε τὴν πράξη του, τότε εἶπε τὴν ἁμαρτία του, πρᾶγμα ποὺ δὲν εἶναι πλέον ἐξομολόγηση.

Καὶ σὺ λοιπόν, ἀγαπητέ, ὅταν ἁμαρτήσης, μὴ περιμένης τὴν κατηγορία ἀπὸ ἄλλον, ἀλλὰ προτοῦ κατηγορηθῆς καὶ διαβληθῆς, σὺ ὁ ἴδιος καταδίκαζε τὶς πράξεις σου, γιατί, ἂν σὲ ἐλέγξη ἄλλος, τὸ κατόρθωμα δὲν εἶναι πιὰ τῆς ἐξομολογήσεώς σου, ἀλλ' ἡ διόρθωση εἶναι ἔργο ἐκείνου. Γι' αὐτὸ καὶ κάποιος ἄλλος λέγει· «ὁ δίκαιος

ἀλλὰ τῆς ἐκείνου κατηγορίας ἡ διόρθωσις. Διὰ τοῦτο καὶ ἄλλος τίς φησι, «δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ». Ὥστε οὐ τοῦτό ἐστι τὸ ζητούμενον, τὸ κατηγορεῖν ἑαυτοῦ, ἀλλὰ τὸ πρῶτον ἑαυτοῦ κατηγορεῖν καὶ τὸ μὴ ἀναμένειν τοὺς παρ' ἑτέρων ἐλέγχους. Ὁ γοῦν Πέτρος μετὰ τὴν ἄρνησιν ἐκείνην τὴν χαλεπήν, ἐπειδὴ ταχέως ἑαυτὸν ἀνέμνησε τῆς ἁμαρτίας καὶ μηδενὸς κατηγοροῦντος ἔλεγε τὴν πλημμέλειαν καὶ ἔκλαυσε πικρῶς, οὕτως ἀπενίψατο τὴν ἄρνησιν ἐκείνην, ὡς καὶ πρῶτος γενέσθαι τῶν ἀποστόλων καὶ τὴν οἰκουμένην ἐγχειρισθῆναι ἅπασαν.

Ἀλλ' ὅπερ ἔλεγον (δεῖ γὰρ ἐπὶ τὸ προκείμενον ἐπανελθεῖν) ἱκανῶς ἡμῖν ἐντεῦθεν ἀπέδειξεν ὁ λόγος, ὅτι πιπτόντων οὐ χρὴ τῶν ἀδελφῶν ἀμελεῖν, οὐδὲ καταφρονεῖν, ἀλλ' ἀσφαλίζεσθαι μὲν αὐτοὺς πρὸ τῆς ἁμαρτίας, πολλὴν δὲ καὶ μετὰ τὴν ἁμαρτίαν περὶ αὐτοὺς ἐπιδείκνυσθαι ἐπιμέλειαν. Οὕτω καὶ ἰατροὶ ποιοῦσι· λέγουσι μὲν γὰρ καὶ ὑγιαίνουσι τοῖς ἀνθρώποις, ἃ δύναται διατηρῆσαι τὴν ὑγίειαν αὐτοῖς καὶ πᾶσαν ἀποκρούσασθαι νόσον· ἀμελήσαντες δὲ τῶν ἐπιταγμάτων καὶ ἀρρωστίᾳ περιπεσόντας οὐ παρορῶσιν, ἀλλὰ καὶ πολλὴν μάλιστα τότε ἐπιδείκνυνται πρόνοιαν, ὅπως αὐτοὺς ἀπαλλάξωσι τῶν νοσημάτων.

Οὕτω καὶ ὁ Παῦλος ἐποίησε· τὸν γοῦν πεπορνευκότα μετὰ τὴν ἁμαρτίαν ἐκείνην, μετὰ τὴν παρανομίαν τὴν χαλεπήν, τὴν οὐδὲ ἐν τοῖς ἔθνεσιν εὑρισκομένην, οὐ παρεῖδεν· ἀλλὰ καὶ ἀφηνιῶντα καὶ μὴ βουλόμενον δέξασθαι τὴν ἰατρείαν καὶ σκιρτῶντα καὶ ἀποπηδῶντα ἐπανήγαγεν ἐπὶ τὴν θεραπείαν καὶ οὕτως ἐπανήγαγεν, ὥστε ἑνῶσαι τῷ σώματι τῆς Ἐκκλησίας πάλιν. Καὶ οὐκ εἶπε πρὸς ἑαυτόν· τί δὲ τὸ πλέον; τί δὲ τὸ ὄφελος; ἐπόρνευσε, τὴν ἁμαρτίαν εἰργάσατο, οὐδὲ ἀποστῆναι βούλεται τῆς ἀσελγείας, ἀλλὰ καὶ πεφυσίωται καὶ μέγα φρονεῖ καὶ ἀνίατον τὸ ἕλκος ἐργάζεται· ἀφῶμεν τοίνυν αὐτὸν καὶ ἐγκαταλείψωμεν. Οὐδὲν τούτων εἶπεν· ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα πολλῇ τότε ἐχρήσατο τῇ προνοίᾳ, ἐπειδὴ πρὸς ἄφατον αὐτὸν εἶδε κακίαν ἐξολισθήσαντα καὶ οὐκ ἀπέστη φοβῶν, ἀπειλῶν, κολάζων καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων

10. Παροιμ. 18,17.
11. Ματθ. κεφ. 26 καὶ Ματθ. 16,13–20.

πρῶτος κατηγορεῖ τὸν ἑαυτό του»[10]. Ἑπομένως τὸ ζητούμενο δὲν εἶναι αὐτό, τὸ νὰ κατηγορῆ κανεὶς τὸν ἑαυτό του, ἀλλὰ νὰ τὸν κατηγορῆ πρῶτος, καὶ νὰ μὴ περιμένη τοὺς ἐλέγχους τῶν ἄλλων. Ὁ Πέτρος λοιπὸν μετὰ τὴ φοβερὴ ἐκείνη ἄρνηση, ἐπειδὴ ἀμέσως θυμήθηκε τὴν ἁμαρτία του καὶ χωρὶς κανεὶς νὰ τὸν κατηγορῆ ἔλεγε τὸ πλημμέλημά του καὶ ἔκλαψε πικρά, τόσο πολὺ καθάρισε τὸν ἑαυτό του ἀπὸ τὴν ἄρνηση ἐκείνη, ὥστε καὶ πρῶτος νὰ γίνη μεταξὺ τῶν ἀποστόλων καὶ ὁλόκληρη τὴν οἰκουμένη νὰ τοῦ ἐμπιστευθῆ ὁ Κύριος[11].

Ἀλλά, ὅπως ἔλεγα (γιατὶ πρέπει νὰ ἐπανέλθω στὸ ἐξεταζόμενο θέμα), ἱκανοποιητικὰ μᾶς ἀπέδειξαν τὰ ὅσα εἴπαμε μέχρι τώρα, ὅτι δηλαδὴ ὅταν ἁμαρτάνουν οἱ ἀδελφοί μας δὲν πρέπει νὰ τοὺς παραμελοῦμε οὔτε καὶ νὰ τοὺς περιφρονοῦμε, ἀλλὰ νὰ τοὺς προφυλάσσουμε προτοῦ ἁμαρτήσουν, καὶ νὰ δείχνουμε πολλὴ φροντίδα πρὸς αὐτοὺς μετὰ τὴν ἁμαρτία. Ἔτσι κάμνουν καὶ οἱ ἰατροί. Γιατὶ λένε καὶ αὐτοὶ στοὺς ἀνθρώπους, ὅταν ἀκόμη εἶναι ὑγιεῖς, ἐκεῖνα ποὺ μποροῦν νὰ διαφυλάξουν τὴν ὑγεία τους καὶ νὰ ἀποκρούσουν κάθε ἀσθένεια, ἂν ὅμως αὐτοὶ παραμελήσουν τὶς συστάσεις τους καὶ περιπέσουν σὲ ἀσθένεια, δὲν τοὺς παραμελοῦν, ἀλλὰ τότε πρὸ πάντων δείχνουν πολλὴ φροντίδα, ὥστε νὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὰ νοσήματα.

Τὸ ἴδιο ἔκαμε καὶ ὁ Παῦλος. Ἐκεῖνον δηλαδὴ ποὺ εἶχε πορνεύσει, μετὰ τὴν ἁμαρτία ἐκείνη, μετὰ τὴ φοβερὴ παρανομία, ποὺ οὔτε μεταξὺ τῶν εἰδωλολατρῶν συναντᾶται, δὲν τὸν παρέβλεψε, ἀλλά, καὶ ἐνῶ ἐκεῖνος ἀφηνίαζε καὶ δὲν ἤθελε νὰ δεχθῆ τὴ θεραπεία καὶ κλωτσοῦσε καὶ ἀπομακρυνόταν, τὸν ὡδήγησε στὴ θεραπεία καὶ ἔτσι τὸν ἐπανέφερε, ὥστε νὰ τὸν ἑνώση πάλι μὲ τὸ σῶμα τῆς Ἐκκλησίας. Καὶ δὲν εἶπε στὸ ἑαυτό του· 'Ποιό τὸ κέρδος ν' ἀσχολοῦμαι μὲ αὐτόν; ποιό εἶναι τὸ ὄφελος; Ἐπόρνευσε, διέπραξε τὴν ἁμαρτία, καὶ δὲν θέλει νὰ ἀπομακρυνθῆ ἀπὸ τὴν ἀσέλγεια, ἀλλὰ καὶ φουσκώνει ἀπὸ ὑπερηφάνεια καὶ μεγαλοφρονεῖ, κάμνοντας ἀθεράπευτη τὴν πληγή. Ἂς τὸν ἀφήσουμε λοιπὸν καὶ ἂς τὸν ἐγκαταλείψουμε'. Τίποτε ἀπ' ὅλα αὐτὰ δὲν εἶπε, ἀλλὰ καὶ ἀκριβῶς γι' αὐτὸ ἐπέδειξε τότε πολλὴ φροντίδα, ἐπειδὴ τὸν εἶδε ὅτι κατωλίσθησε σὲ ἀπερίγραπτη κακία καὶ δὲν σταμάτησε νὰ τὸν φοβίζη, νὰ τὸν ἀπειλῆ, νὰ τὸν τιμωρῆ καὶ ὁ ἴδιος καὶ μέσω ἄλλων, κάμνοντας τὰ

πολλῶν, πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως ἂν αὐτὸν εἰς ἐπίγνωσιν ἤνεγκε τῆς ἁμαρτίας, εἰς αἴσθησιν τῆς παρανομίας, καὶ τέλειον αὐτὸν ἀπήλλαξε τῆς κηλῖδος ἁπάσης.

Τοῦτο δὴ καὶ σὺ ποίησον· μίμησαι τὸν Σαμαρείτην ἐκεῖνον, τὸν ἐν τῷ εὐαγγελίῳ τοσαύτην περὶ τὸν τραυματίαν ἐκεῖνον ἐπιδειξάμενον πρόνοιαν. Καὶ γὰρ ἐκεῖ παρῆλθε Λευΐτης, παρῆλθε καὶ Φαρισαῖος καὶ οὐδέτερος ἐπεκάμφθη πρὸς τὸν κείμενον, ἀλλ' ἀνηλεῶς καὶ ὠμῶς ἀφέντες αὐτόν, ἀπῆλθον. Σαμαρείτης δέ τις, οὐδὲν αὐτῷ προσήκων οὐδαμόθεν, οὐ παρέδραμεν, ἀλλ' ἐπιστὰς κατηλέησε καὶ ἐπέσταξεν ἔλαιον καὶ οἶνον· ἐπέθηκεν ἐπὶ τὸν ὄνον, ἤγαγεν εἰς πανδοχεῖον καὶ ἀργύριον τὸ μὲν ἔδωκε, τὸ δὲ ὑπέσχετο ὑπὲρ τῆς τοῦ μηδὲν αὐτῷ προσήκοντος θεραπείας· καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί δέ μοι μέλει περὶ τούτου; Σαμαρείτης εἰμί, οὐδὲν κοινὸν ἔχω πρὸς αὐτόν, πόρρω τῆς πόλεώς ἐσμεν, οὐδὲ βαδίσαι δύναται. Τί δέ, ἐὰν μὴ πρὸς τὸ μῆκος ἀρκέσῃ τῆς ὁδοιπορίας, μέλλω νεκρὸν ἐπιφέρεσθαι; μέλλω σφαγῆς ἁλίσκεσθαι; μέλλω τοῦ φόνου ὑπεύθυνος εἶναι;

Καὶ γὰρ πολλοὶ πολλάκις παριόντες καὶ ὁρῶντες ἀνθρώπους πεπληγότας καὶ σπαίροντας, διὰ τοῦτο παρατρέχουσιν, οὐκ ὀκνοῦντες ἀνελέσθαι, οὐδὲ χρημάτων φειδόμενοι, ἀλλὰ δεδοικότες, μὴ καὶ αὐτοὶ εἰς δικαστήριον ἑλκυσθῶσιν, ὡς τῆς σφαγῆς ὑπεύθυνοι. Ἀλλ' ἐκεῖνος οὐδὲν τούτων ἔδεισεν ὁ ἥμερος καὶ φιλάνθρωπος, ἀλλὰ ταῦτα πάντα ὑπεριδὼν ἐπέθηκεν ἐπὶ τὸν ὄνον καὶ εἰς πανδοχεῖον ἤγαγεν· οὐδὲν τούτων ὑπείδετο, οὐ κίνδυνον, οὐ χρημάτων δαπάνην, οὐκ ἄλλο οὐδέν. Εἰ δὲ ὁ Σαμαρείτης οὕτω φιλάνθρωπος καὶ ἤρεμος γέγονε περὶ ἄνθρωπον ἄγνωστον, τίνα ἂν ἔχοιμεν συγγνώμην ἡμεῖς, τῶν ἀδελφῶν τῶν οἰκείων ἀμελοῦντες ἐπὶ μείζοσι κακοῖς; Καὶ γὰρ καὶ οὗτοι οἱ νῦν νηστεύσαντες, λῃσταῖς περιέπεσον τοῖς Ἰουδαίοις, μᾶλλον δὲ λῃστῶν ἁπάντων χαλεπωτέροις, καὶ μείζονα τοὺς ἐμπίπτοντας ἐργαζομένοις κακά. Οὐ γὰρ τὰ

12. Λουκᾶ 10,30-37.

πάντα καὶ ἐπινοώντας, μέχρι ποὺ κατώρθωσε καὶ τὸν ὡδήγησε στὴν ἐπίγνωση τῆς ἁμαρτίας καὶ στὴ συναίσθηση τῆς παρανομίας καὶ τὸν ἀπάλλαξε τελείως ἀπὸ κάθε κηλῖδα.

Τὸ ἴδιο λοιπὸν κάμε καὶ σύ. Μιμήσου τὸν Σαμαρείτη ἐκεῖνον τοῦ Εὐαγγελίου, ποὺ τόση μεγάλη φροντίδα ἐπέδειξε γιὰ τὸν τραυματία ἐκεῖνον[12]. Γιατὶ καὶ ἐκεῖ πέρασε ὁ Λευΐτης, πέρασε καὶ ὁ Φαρισαῖος καὶ κανεὶς ἀπ' αὐτοὺς τοὺς δύο δὲν ἔσκυψε πάνω στὸν κατακείμενο, ἀλλὰ τὸν ἄφησαν ἄσπλαχνα καὶ ἀπάνθρωπα καὶ ἔφυγαν. Κάποιος ὅμως Σαμαρείτης, ποὺ δὲν εἶχε καμμιὰ σχέση μ' αὐτόν, δὲν τὸν προσπέρασε, ἀλλά, ἀφοῦ σταμάτησε, τὸν ἐλέησε καὶ ἔσταξε στὶς πληγές του λάδι καὶ κρασί. Τὸν ἀνέβασε μετὰ στὸ ὑποζύγιό του καὶ τὸν πῆγε στὸ πανδοχεῖο, ἔδωσε στὸν ξενοδόχο ὡρισμένα χρήματα καὶ ὑποσχέθηκε καὶ ἄλλα νὰ τοῦ δώση γιὰ τὴ θεραπεία ἐκείνου ποὺ δὲν εἶχε καμμιὰ συγγένεια μαζί του. Καὶ δὲν εἶπε στὸν ἑαυτό του· 'Τί μὲ ἐνδιαφέρει γι' αὐτόν; Ἐγὼ εἶμαι Σαμαρείτης καὶ δὲν ἔχω τίποτε τὸ κοινὸ μαζί του· βρισκόμαστε πολὺ μακριὰ ἀπὸ τὴν πόλη, οὔτε καὶ μπορεῖ νὰ βαδίση. Τί λοιπόν, ἂν δὲν ἀντέξη λόγω τῆς μακρᾶς ὁδοιπορίας, θὰ τὸν μεταφέρω νεκρόν; Θὰ διακινδυνεύσω νὰ συλληφθῶ γιὰ σφαγή; θὰ διακινδυνεύσω νὰ θεωρηθῶ ὑπεύθυνος γιὰ τὸν φόνο;'

Πραγματικὰ πολλὲς φορὲς πολλοὶ διαβάτες, ἂν καὶ βλέπουν στὸ δρόμο τους πληγωμένους ἀνθρώπους καὶ ποὺ σφαδάζουν ἀπὸ πόνο, γι' αὐτὸν τὸν λόγο τοὺς προσπερνοῦν, ὄχι γιατὶ διστάζουν νὰ τοὺς πάρουν ἀπὸ ἐκεῖ οὔτε ἐπειδὴ λυποῦνται νὰ ξοδέψουν χρήματα, ἀλλ' ἐπειδὴ φοβοῦνται μήπως καὶ αὐτοὶ συρθοῦν στὸ δικαστήριο καὶ θεωρηθοῦν ὑπεύθυνοι γιὰ τὸν φόνο. Ὅμως ἐκεῖνος, ὁ πρᾶος καὶ φιλάνθρωπος, δὲν φοβήθηκε τίποτε ἀπὸ αὐτά, ἀλλά, παραβλέποντας ὅλα αὐτά, τὸν ἀνέβασε στὸ ὑποζύγιό του καὶ τὸν πῆγε στὸ πανδοχεῖο. Τίποτε ἀπ' ὅλα αὐτὰ δὲν σκέφθηκε· οὔτε κίνδυνο οὔτε χρηματικὴ δαπάνη οὔτε τίποτε ἄλλο. Ἂν λοιπὸν ὁ Σαμαρείτης φάνηκε τόσο φιλάνθρωπος καὶ πρᾶος πρὸς ἕνα ἄγνωστο ἄνθρωπο, ποιά συγχώρηση θὰ μπορούσαμε νὰ ἔχουμε ἐμεῖς, ποὺ ἀδιαφοροῦμε γιὰ τοὺς ἀδελφούς μας ποὺ βρίσκονται σὲ μεγαλύτερα κακά; Γιατὶ καὶ αὐτοὶ ποὺ νήστεψαν τώρα, περιέπεσαν στοὺς ληστὲς Ἰουδαίους, ἢ καλύτερα σὲ ληστὲς πιὸ φοβεροὺς ἀπὸ ὅλους τοὺς ἄλλους, καὶ οἱ ὁποῖοι προξενοῦν μεγαλύτερα κακὰ σ' ἐκείνους ποὺ πέ-

ἱμάτια αὐτῶν περιέρρηξαν, οὐδὲ τῷ σώματι πληγὰς ἐπήγαγον, καθάπερ ἐκεῖνοι τότε, ἀλλὰ τὴν ψυχὴν κατέτρωσαν καὶ μυρία αὐτῇ τραύματα δόντες, οὕτως ἀπῆλθον, ἀφέντες ἐν τῷ λάκκῳ τῆς ἀσεβείας κειμένους.

4. Μὴ δὴ παρίδωμεν τραγῳδίαν τοιαύτην, μηδὲ παραδράμωμεν ἀνηλεῶς οὕτω θέαμα ἐλεεινόν, ἀλλὰ κἂν ἕτεροι τοῦτο ποιῶσι, σὺ μὴ ποιήσῃς· μὴ εἴπῃς πρὸς σεαυτόν, κοσμικός εἰμι ἀνήρ, γυναῖκα ἔχω καὶ παῖδας, ταῦτα τῶν ἱερέων ἐστί, ταῦτα τῶν μοναχῶν. Οὐδὲ γὰρ ὁ Σαμαρείτης ἐκεῖνος ταῦτα εἶπε, ποῦ νῦν οἱ ἱερεῖς; ποῦ νῦν οἱ Φαρισαῖοι; ποῦ τῶν Ἰουδαίων οἱ διδάσκαλοι; ἀλλ' ὥσπερ τι θήραμα μέγιστον εὑρών, οὕτως ἥρπασε τὸ κέρδος. Καὶ σὺ τοίνυν, ὅταν ἴδῃς τινὰ δεόμενον θεραπείας ἢ σωματικῆς ἢ ψυχικῆς, μὴ λέγε πρὸς ἑαυτόν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸν οὐκ ἐθεράπευσεν; ἀλλ' ἀπάλλαξον τῆς ἀρρωστίας καὶ μὴ ἀπαίτει ἐκείνους εὐθύνας τῆς ἀμελείας. Ἐὰν εὕρῃς χρυσίον, εἰπέ μοι, κείμενον, μὴ λέγεις πρὸς σεαυτόν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸ οὐκ ἀνείλοντο, ἀλλὰ σπουδάζεις πρὸ τῶν ἄλλων ἁρπάσαι; Οὕτω καὶ ἐπὶ τῶν πεπτωκότων ἀδελφῶν λογίζου καὶ νόμιζε θησαυρὸν εὑρηκέναι τὴν ἐπιμέλειαν τὴν ἐκείνων. Ἂν γὰρ ἐπιστάξῃς αὐτῷ καθάπερ ἔλαιον τοῦ λόγου τὴν διδασκαλίαν, ἂν καταδήσῃς τῇ προσηνίᾳ, ἂν θεραπεύσῃς τῇ καρτερίᾳ, τοῦ θησαυροῦ παντὸς εὐπορώτερόν σε οὗτος ἐργάσεται. «Ὁ γὰρ ἐξαγαγὼν τίμιον», φησίν, «ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται». Τί τούτου γένοιτ' ἂν ἴσον; Ὅπερ οὐδὲ νηστεία, οὐδὲ χαμευνία, οὐδὲ παννυχίδες, οὐκ ἄλλο τι δύναται ἐργάσασθαι, τοῦτο ἡ τοῦ ἀδελφοῦ σωτηρία ποιεῖ. Ἐννόησόν σου τὸ στόμα, πόσα πολλάκις ἥμαρτε, πόσα ἐφθέγξατο αἰσχρὰ ῥήματα, πόσας βλασφημίας, πόσας λοιδορίας ἐξέβαλε, καὶ πάντως ἀντιλήψῃ τῆς τοῦ πεπτωκότος προνοίας. Διὰ γὰρ ἑνὸς τούτου τοῦ κατορθώματος πᾶσαν ἐκκαθᾶραι δυνήσῃ τὴν κηλῖδα ἐκείνην. Καὶ τί λέγω ἐκκαθᾶραι; Ὡς στόμα τοῦ Θεοῦ ποιήσεις σου τὸ στόμα. Τί ταύτης γέ-

13. Ἱερ. 15,19.

φτουν στὰ χέρια τους. Γιατὶ δὲν τοὺς ξέσχισαν τὰ ἐνδύματα οὔτε καὶ τοὺς προξένησαν πληγὲς στὸ σῶμα, ὅπως τότε οἱ ληστὲς ἐκεῖνοι, ἀλλὰ καταπλήγωσαν τὴν ψυχὴ καί, ἀφοῦ τῆς προκάλεσαν ἀμέτρητα τραύματα, ἔφυγαν τότε καὶ τοὺς ἐγκατέλειψαν στὸν λάκκο τῆς ἀσέβειας.

4. Ἂς μὴ παραβλέψουμε λοιπὸν μιὰ τέτοια τραγωδία οὔτε νὰ προσπεράσουμε μὲ σκληρότητα ἕνα τόσο ἐλεεινὸ θέαμα, ἀλλά, κι ἂν ἀκόμη ἄλλοι τὸ κάμνουν αὐτό, σὺ μὴ τὸ κάμης. Μὴν πῆς στὸν ἑαυτό σου· 'Εἶμαι ἄνθρωπος κοσμικός, ἔχω γυναῖκα καὶ παιδιά· αὐτὰ εἶναι ἔργα τῶν ἱερέων, αὐτὰ εἶναι ἔργα τῶν μοναχῶν'. Γιατὶ οὔτε καὶ ὁ Σαμαρείτης ἐκεῖνος εἶπε αὐτά. 'Ποῦ εἶναι οἱ ἱερεῖς; ποῦ εἶναι τώρα οἱ Φαρισαῖοι; ποῦ οἱ διδάσκαλοι τῶν Ἰουδαίων;' Ἀλλά, σὰν ἀκριβῶς νὰ βρῆκε κάποιο πολὺ σπουδαῖο θήραμα, ἔτσι ἅρπαξε τὸ κέρδος. καὶ σὺ λοιπόν, ὅταν δῆς κάποιον νὰ ἔχη ἀνάγκη ἀπὸ θεραπεία σωματικὴ ἢ ψυχική, νὰ μὴ λὲς στὸν ἑαυτό σου· 'γιὰ ποιό λόγο δὲν τὸν θεράπευσε ὁ τάδε καὶ ὁ τάδε;' ἀλλὰ ἀπάλλαξέ τον ἀπὸ τὴν ἀρρώστια καὶ μὴ ζητᾶς εὐθύνες ἀπὸ ἐκείνους γιὰ τὴν ἀμέλειά τους. Πές μου, ἂν βρῆς χρυσὸ νόμισμα πεσμένο κάτω, μήπως λὲς στὸν ἑαυτό σου, 'γιὰ ποιό λόγο δὲν τὸ πῆραν ὁ τάδε καὶ ὁ τάδε;' Δὲν προσπαθεῖς νὰ τὸ πάρης ἐσὺ πρὶν ἀπὸ τοὺς ἄλλους; Ἔτσι νὰ σκέπτεσαι καὶ γιὰ τοὺς ἀδελφοὺς ποὺ ἔχουν πέσει, καὶ νὰ θεωρῆς τὴ φροντίδα ἐκείνων σὰν νὰ βρῆκες θησαυρό. Γιατί, ἂν ἐνσταλάξης σ' αὐτὸν σὰν λάδι τὴ διδασκαλία τοῦ λόγου, ἂν τὸν ἀγκαλιάσης μὲ τὴν εὐγένειά σου, ἂν τὸν θεραπεύσης μὲ τὴν ὑπομονή σου, θὰ σὲ κάμη αὐτὸς πιὸ πλούσιον ἀπὸ ὅλο τὸν θησαυρό. Γιατὶ λέγει, «ἐκεῖνος ποὺ θὰ κάμη κάποιον τίμιο ἀπὸ ἀνάξιος ποὺ εἶναι, θὰ εἶναι σὰν τὸ στόμα μου»[13]. Τί θὰ μποροῦσε νὰ ἐξισωθῆ μὲ αὐτό; Ἐκεῖνο ποὺ δὲν μπορεῖ νὰ τὸ ἐπιτύχη οὔτε ἡ νηστεία οὔτε ὁ ὕπνος πάνω στὸ χῶμα οὔτε οἱ ὁλονύκτιες προσευχὲς οὔτε τίποτε ἄλλο, αὐτὸ τὸ κατορθώνει ἡ σωτηρία τοῦ ἀδελφοῦ μας. Σκέψου πόσα πολλὲς φορὲς ἁμαρτήματα ἔκαμε τὸ στόμα σου, πόσα αἰσχρὰ λόγια εἶπε, πόσες βλασφημίες, πόσες κακολογίες ἔβγαλε, καὶ ὁπωσδήποτε θὰ ἐπιδείξης φροντίδα γιὰ τὸν πεσμένο ἀδελφό σου. Γιατὶ μὲ αὐτὸ τὸ ἕνα κατόρθωμα θὰ μπορέσης νὰ καθαρίσης ὅλη ἐκείνη τὴ βρωμιά. Καὶ γιατί λέγω θὰ τὴν καθαρίσης; Σὰν στόμα τοῦ Θεοῦ θὰ κάμης τὸ στόμα σου. Τί θὰ μποροῦσε νὰ ἐξισωθῆ μὲ αὐτὴν τὴν τιμή; Γιατί, μήπως τὰ λέγω

νοιτ' ἂν ἴσον τῆς τιμῆς; Μὴ γὰρ ἐγὼ ταῦτα ἐπαγγέλλομαι, αὐτὸς ὁ Θεὸς τοῦτο εἶπεν, ὅτι κἂν ἕνα τινὰ ἐξαγάγῃς, φησίν, ὡς στόμα μου, ἔσται τὸ στόμα σου καθαρόν, ἅγιον.

Μὴ τοίνυν ἀμελῶμεν τῶν ἀδελφῶν, μηδὲ περιόντες λέγωμεν, πόσοι ἐνήστευσαν, πόσοι παρεσύρησαν; ἀλλ' ἐπιμελώμεθα αὐτῶν. Κἂν πολλοὶ ὦσιν οἱ νηστεύσαντες, σὺ μὴ ἐκπομπεύσῃς, ἀγαπητέ, μηδὲ παραδειγματίσῃς τῆς Ἐκκλησίας τὴν συμφοράν, ἀλλὰ θεράπευσον. Κἂν εἴπῃ τις, ὅτι πολλοὶ ἐνήστευσαν, ἐπιστόμισον, ὥστε μὴ γενέσθαι δήλην τὴν φήμην, καὶ εἰπὲ πρὸς αὐτόν· 'ἐγὼ μὲν οὐδὲν οἶδα· ἠπάτησαι, ἄνθρωπε, καὶ ψεύδῃ'· ἂν δύο καὶ τρεῖς ἴδῃς παρασυρέντας, πολλοὺς αὐτοὺς εἶναι λέγεις. Καὶ τὸν μὲν κατηγοροῦντα ἐπιστόμισον, τῶν δὲ παρασυρέντων μὴ ἀμελήσῃς, ἵνα ἑκατέρωθεν πολλὴ τῇ Ἐκκλησίᾳ ἀσφάλεια γένηται, ἀπό τε τοῦ τὴν φήμην μὴ ἐκπομπεύεσθαι, ἀπό τε τοῦ τοὺς παρασυρέντας αὐτοὺς πρὸς τὴν ἱερὰν ἀγέλην ἄγεσθαι πάλιν. Μὴ τοίνυν περιιόντες λέγωμεν, τίνες ἥμαρτον; ἀλλὰ σπευδάσωμεν, ὅπως διορθώσωμεν τοὺς ἡμαρτηκότας μόνον. Καὶ γὰρ δεινὸν ἔθος, δεινὸν τὸ κατηγορεῖν τῶν ἀδελφῶν μόνον, ἀλλὰ μὴ ἐπιμελεῖσθαι· τὸ ἐκπομπεύειν τὰ κακὰ τῶν ἀσθενούντων, ἀλλὰ μὴ θεραπεύειν. Ἀνέλωμεν τοίνυν τοῦτο τὸ πονηρὸν ἔθος, ἀγαπητοί· οὐδὲ γὰρ μικρὰν λύμην τοῦτο ἐργάζεται. Καὶ πῶς, ἐγὼ λέγω.

Ἤκουσέ τις παρὰ σοῦ λέγοντος, ὅτι πολλοὶ ἐνήστευσαν μετὰ Ἰουδαίων καὶ μηδὲν ἐξετάσας εἰς ἕτερον τὸ ῥῆμα ἐξήνεγκε· πάλιν ἐκεῖνος μηδὲν πολυπραγμονήσας, ἑτέρῳ τοῦτο ἐξεῖπεν· εἶτα κατὰ μικρὸν τῆς πονηρᾶς ταύτης αὐξανομένης φήμης, πολὺ μὲν τῇ Ἐκκλησίᾳ ὄνειδος κατασκεδάννυται, τοῖς δὲ ἀπολωλόσιν οὐδὲν ὄφελος γίνεται, ἀλλὰ καὶ βλάβος καὶ τούτοις καὶ ἑτέροις πολλοῖς. Κἄν τε γὰρ ὀλίγοι ὦσιν, ἡμεῖς αὐτοὺς ταῖς φήμαις ταῖς πολλαῖς πολλοὺς ποιοῦμεν καὶ τοὺς ἑστῶτας ἀσθενεστέρους ἐργαζόμεθα καὶ τοὺς μέλλοντας πίπτειν ὠθοῦμεν. Ὁ γὰρ ἀδελφὸς ἀκούσας, ὅτι πολλοὶ

αὐτὰ ἐγώ; Ὁ ἴδιος ὁ Θεὸς τὸ εἶπε αὐτό· ὅτι δηλαδὴ «ἂν ὁδηγήσης ἔστω καὶ ἕναν ἄνθρωπο στὴ σωτηρία», λέγει, «τὸ στόμα σου θὰ γίνη σὰν τὸ στόμα μου, καθαρὸ καὶ ἅγιο».

Ἂς μὴν ἀδιαφοροῦμε λοιπὸν γιὰ τοὺς ἀδελφούς μας οὔτε περιεργχόμενοι νὰ λέμε, 'πόσοι νήστεψαν, πόσοι παρασύρθηκαν;' ἀλλὰ ἂς φροντίζουμε αὐτούς. Κι ἂν ἀκόμη εἶναι πολλοὶ ἐκεῖνοι ποὺ νήστεψαν, σύ, ἀγαπητέ, μὴ τὸ διαπομπεύσης, οὔτε νὰ διασύρης τὴ συμφορὰ τῆς Ἐκκλησίας, ἀλλὰ θεράπευσέ την. Κι ἂν ἀκόμη πῆ κάποιος, ὅτι εἶναι πολλοὶ ἐκεῖνοι ποὺ νήστεψαν, σὺ ἀποστόμισέ τον, ὥστε νὰ μὴ διαδοθῆ ἡ φήμη, καὶ πές του· 'Ἐγὼ δὲν γνωρίζω κανένα νὰ νήστεψε· ἀπατήθηκες, ἄνθρωπε, καὶ ψεύδεσαι· ἂν δῆς δυὸ τρεῖς ποὺ παρασύρθηκαν, λὲς ὅτι αὐτοὶ εἶναι πολλοί'. Καὶ ἐκεῖνον ποὺ κατηγορεῖ κλεῖσε του τὸ στόμα του, ἐνῶ γιὰ ἐκείνους ποὺ παρασύρθηκαν μὴν ἀδιαφορήσης, ὥστε καὶ ἀπὸ τὰ δύο νὰ προκύψη μεγάλη ἀσφάλεια γιὰ τὴν Ἐκκλησία, καὶ ἀπὸ τὸ ὅτι δὲν διαδίδεται ἡ φήμη, καὶ ἀπὸ τὴν ἐπαναφορὰ στὴν ἱερὰ ποίμνη ἐκείνων ποὺ παρασύρθηκαν. Ἂς μὴ λέμε λοιπὸν περιεργχόμενοι, 'ποιοί ἁμάρτησαν;' ἀλλὰ ἂς φροντίσουμε νὰ διορθώσουμε μόνο ὅσους ἁμάρτησαν. Γιατὶ εἶναι πράγματι φοβερὴ ἡ συνήθεια, φοβερὸ τὸ νὰ κατηγοροῦμε μόνο τοὺς ἀδελφούς μας καὶ νὰ μὴ φροντίζουμε γι' αὐτούς· τὸ νὰ διαπομπεύουμε τὰ κακὰ τῶν ἀσθενῶν καὶ νὰ μὴ τὰ θεραπεύουμε. Ἂς ἀποβάλουμε λοιπόν, ἀγαπητοί, αὐτὴν τὴν κακὴ συνήθεια, γιατὶ δὲν εἶναι μικρὴ ἡ ζημιὰ ποὺ προξενεῖ. Καὶ πῶς τὴν προξενεῖ, θὰ σᾶς πῶ ἐγώ.

Σὲ ἄκουσε κάποιος νὰ λές, ὅτι εἶναι πολλοὶ ἐκεῖνοι ποὺ νήστεψαν μαζὶ μὲ τοὺς Ἰουδαίους καὶ χωρὶς νὰ ἐλέγξη τὸν λόγο, τὸν μετέφερε σὲ ἄλλον. Ἐκεῖνος πάλι χωρὶς νὰ τὸν καλοεξετάση, τὸ εἶπε σὲ ἄλλον. Ἔτσι, αὐξανόμενη σιγὰ- σιγὰ ἡ κακὴ αὐτὴ φήμη, στὴν Ἐκκλησία προκαλεῖ ντροπή, ἐνῶ σ' ἐκείνους ποὺ παραπλανήθηκαν δὲν ἐπεφέρει καμμιὰ ὠφέλεια, ἀλλὰ βλάβη καὶ σ' αὐτοὺς καὶ σὲ ἄλλους πολλούς. Γιατί, κι ἂν ἀκόμη εἶναι λίγοι, ἐμεῖς μὲ τὶς πολλὲς διαδόσεις τοὺς κάνουμε πολλούς, καὶ ἔτσι καὶ τοὺς ὑγιεῖς τοὺς κάμνουμε ἀσθενέστερους καὶ σπρώχνουμε νὰ πέσουν ἐκείνους ποὺ πρόκειται νὰ πέσουν. Γιατὶ ὁ ἀδελφός μας ἀκούοντας, ὅτι πολλοὶ νήστεψαν, θὰ γίνη καὶ αὐτὸς πιὸ ράθυμος. Καὶ πάλι, ὅταν αὐτὰ τὰ ἀκούση ὁ ἀσθενὴς στὴν πίστη, θὰ τρέξη πρὸς τὸ πλῆθος ἐκείνων

ἐνήστευσαν, αὐτὸς ῥᾳθυμότερος ἔσται. Καὶ ταῦτα πάλιν ὁ ἀσθενὴς ἀκούσας, δραμεῖται ἐπὶ τὸ πλῆθος τῶν πεπτωκότων. Μὴ τοίνυν μηδὲ ἐπὶ τούτῳ, μηδὲ ἐπ' ἄλλῳ πονηρεύματι συγχαίρωμεν, κἂν πολλοὶ ὦσιν οἱ ἁμαρτάνοντες, ὥστε ἐκπομπεύειν αὐτοὺς καὶ λέγειν, ὅτι πολλοί, ἀλλ' ἐπιστομίζωμεν καὶ κατέχωμεν.

Μή μοι λέγε, ὅτι πολλοὶ ἐνήστευσαν, ἀλλὰ διόρθωσαι τοὺς πολλούς. Οὐ διὰ τοῦτο τοσούτους ἀνήλωσα λόγους, ἵνα κατηγορήσῃς τῶν πολλῶν, ἀλλ' ἵνα τοὺς πολλοὺς ποιήσῃς ὀλίγους, μᾶλλον δὲ μηδὲ ὀλίγους, ἀλλὰ καὶ αὐτοὺς διασώσῃς. Μὴ τοίνυν ἐκπόμπευε τὰ ἁμαρτήματα, ἀλλὰ θεράπευε. Ὥσπερ γὰρ οἱ ἐκπομπεύοντες καὶ εἰς τοῦτο μόνον ἐσχολακότες, κἂν ὀλίγοι ὦσιν οἱ ἡμαρτηκότες, πολλοὺς αὐτοὺς νομίζεσθαι ποιοῦσιν, οὕτως οἱ συστέλλοντες καὶ τοὺς ἐκπομπεύοντας ἐπιστομίζοντες καὶ τῶν πεπτωκότων ἐπιμελούμενοι, κἂν πολλοὶ ὦσιν, αὐτούς τε ἐκείνους διορθοῦνται ῥᾳδίως καὶ οὐδένα ἕτερον ἐκ τῆς τούτων ἀφιᾶσι παραβλαβῆναι φήμης. Οὐκ ἤκουσας ὅτι θρηνῶν τὸν Σαοὺλ ὁ Δαυὶδ ἔλεγε· «πῶς ἔπεσον δυνατοί; Μὴ ἀναγγείλητε εἰς Γέθ, μηδὲ εὐαγγελίσησθε ἐν ταῖς ὁδοῖς Ἀσκάλωνος, ὅπως μὴ εὐφρανθῶσι θυγατέρες ἀλλοφύλων, μηδὲ γαυριάσωσι θυγατέρες ἀπεριτμήτων». Εἰ δὲ πρᾶγμα φανερὸν οὐκ ἐβούλετο ἐκπορεύεσθαι, ὥστε μὴ γενέσθαι τοῖς ἐναντίοις ἡδονήν, πόσῳ μᾶλλον ταῦτα οὐ δεῖ ἐκφέρειν εἰς τὰς ἔξωθεν ἀκοάς, μᾶλλον δὲ οὐδὲ εἰς τὰς παρ' ἡμῖν, ἵνα μήτε οἱ ἐχθροὶ ἀκούοντες χαίρωσι, μήτε οἱ οἰκεῖοι μανθάνοντες καταπίπτωσιν, ἀλλὰ συστέλλειν καὶ περιφράσσειν πανταχόθεν. Μή μοι λέγε, ὅτι τῷ δεῖνι εἶπον· παρὰ σαυτῷ κάτεχε τὸ ῥῆμα. Ὥσπερ γὰρ σὺ οὐκ ἐκαρτέρησας σιγῆσαι, οὕτως οὐδὲ ἐκεῖνος ἀνέξεται.

5. *Ταῦτα οὐ περὶ τῆς παρούσης νηστείας λέγω μόνον, ἀλλὰ καὶ περὶ ἄλλων μυρίων ἁμαρτημάτων. Μὴ τοῦτο σκοπῶμεν μόνον, εἰ πολλοὶ οἱ παρασυρόμενοι, ἀλλὰ ἐκεῖνο σκοπήσωμεν, ὅπως αὐτοὺς ἀπαγάγωμεν. Μὴ ἐπαίρωμεν τὰ τῶν πολεμίων καὶ τὰ ἡμέτερα καθαιρῶμεν· μὴ ἰσχυροὺς ἐκείνους ἀποφαίνωμεν, τὰ δὲ ἡμέτερα ἀσθενῆ· ἀλλὰ τοὐναντίον ἅπαν ἐργασώμεθα. Οἶδε καὶ φήμη πολ-*

14. Β' Βασιλ. 1,19–20.

ποὺ ἔχουν πέσει. Ἂς μὴ χαιρώμαστε λοιπὸν οὔτε γι' αὐτὸ οὔτε γιὰ ὁποιοδήποτε ἄλλο πονηρὸ κατασκεύασμα, κι ἂν ἀκόμη εἶναι πολλοὶ οἱ ἁμαρτάνοντες, ὥστε νὰ τοὺς διαπομπεύουν καὶ νὰ λένε, ὅτι εἶναι πολλοί, ἀλλὰ ἂς τοὺς κλείνουμε τὸ στόμα κι ἂς τοὺς συγκρατοῦμε.

Μὴ μοῦ λές, ὅτι πολλοὶ νήστεψαν, ἀλλὰ διόρθωσε τοὺς πολλούς. Δὲν ἀφιέρωσα τόσους πολλοὺς λόγους γι' αὐτό, γιὰ νὰ κατηγορήσης τοὺς πολλούς, ἀλλὰ γιὰ νὰ κάμης τοὺς πολλοὺς λίγους, ἢ καλύτερα ὄχι λίγους, ἀλλὰ καὶ αὐτοὺς νὰ τοὺς σώσης. Μὴ διαπομπεύης λοιπὸν τὰ ἁμαρτήματα, ἀλλὰ θεράπευέ τα. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ τὰ διαπομπεύουν καὶ ἀσχολοῦνται μόνο μ' αὐτό, κι ἂν ἀκόμη εἶναι λίγοι ἐκεῖνοι ποὺ ἁμάρτησαν, συντελοῦν στὸ νὰ νομίζωνται πολλοί, ἔτσι κι ἐκεῖνοι ποὺ συγκρατοῦν καὶ ἀποστομώνουν τοὺς δυσφημιστὲς καὶ φροντίζουν γιὰ ἐκείνους ποὺ ἔπεσαν, κι ἂν εἶναι αὐτοὶ πολλοί, καὶ αὐτοὺς τοὺς διορθώνουν εὔκολα, καὶ δὲν ἀφήνουν κανένα ἄλλον νὰ βλαβῆ ἀπὸ τὴ διάδοση αὐτή. Δὲν ἄκουσες τί ἔλεγε ὁ Δαυΐδ, ὅταν θρηνοῦσε τὸν Σαούλ; «Πῶς ἔπεσαν οἱ δυνατοί; Μὴν τὸ κάμετε γνωστὸ στὴ Γέθ, οὔτε νὰ ἐπιτρέψετε νὰ διαδοθῆ σὰν χαρμόσυνη εἴδηση στοὺς δρόμους τῆς Ἀσκάλωνος, γιὰ νὰ μὴ εὐφρανθοῦν οἱ θυγατέρες τῶν ἀλλοφύλων, οὔτε νὰ νιώσουν ἀγαλλίαση οἱ θυγατέρες τῶν ἀπεριτμήτων»[14]. Ἂν λοιπὸν δὲν ἤθελε νὰ διαπομπεύεται ἕνα πρᾶγμα φανερό, ὥστε νὰ μὴ νιώσουν εὐχαρίστηση οἱ ἐχθροί, πόσω μᾶλλον δὲν πρέπει νὰ γνωστοποιοῦμε τὰ δικά μας στὰ αὐτιὰ ἀνθρώπων ἐκτὸς τῆς Ἐκκλησίας, ἢ καλύτερα οὔτε στ' αὐτιὰ τῶν δικῶν μας, ὥστε οὔτε οἱ ἐχθροί μας ἀκούοντάς νὰ χαίρωνται, οὔτε οἱ δικοί μας ἀκούοντάς τα νὰ πέφτουν, ἀλλὰ νὰ τὰ συγκρατοῦμε καὶ νὰ τὰ περιφράσουμε ἀπὸ παντοῦ. Μὴ μοῦ λές, ὅτι τὸ εἶπα στὸν τάδε. Κράτα τον μέσα σου τὸν λόγο. Γιατί, ὅπως ἐσὺ δὲν ἄντεξες νὰ σιωπήσης, ἔτσι οὔτε ἐκεῖνος θὰ ἀντέξη.

5. Αὐτὰ δὲν τὰ λέγω μόνο γιὰ τὴν παροῦσα νηστεία, ἀλλὰ καὶ γιὰ ἀναρίθμητα ἄλλα ἁμαρτήματα. Ἂς μὴ ἐξετάζουμε αὐτὸ μόνο, ἂν δηλαδὴ εἶναι πολλοὶ οἱ παρασυρόμενοι, ἀλλ' ἂς φροντίσουμε πῶς θὰ τοὺς ἀπομακρύνουμε ἀπὸ αὐτά. Ἂς μὴ ἐξυψώνουμε τὰ πράγματα τῶν ἐχθρῶν μας, καὶ νὰ μειώνουμε τὰ δικά μας· Ἂς μὴ παρουσιάζουμε ἐκείνους ἰσχυροὺς καὶ τὰ δικά μας πράγματα ἀσθενῆ, ἀλλὰ νὰ κάμνουμε τὸ ἐντελῶς ἀντίθετο. Γνωρίζει καὶ ἡ φήμη πολλὲς φορὲς

λάκις καθελεῖν καὶ ἀναστῆσαι ψυχὴν καὶ τὴν οὐκ οὖσαν προθυμίαν ἐμβαλεῖν καὶ τὴν οὖσαν καταλῦσαι πάλιν. Διὰ τοῦτο παραινῶ τὰς φήμας αὔξειν ἐκείνας, αἳ τὰ ἡμέτερα αἴρουσι πράγματα καὶ μεγάλα ποιοῦσι φαίνεσθαι· ἀλλὰ μὴ ἐκείνας, αἳ τοῦ κοινοῦ τῶν ἀδελφῶν καταχέουσιν ὄνειδος. Κἂν μὲν ἀκούσωμέν τι χρηστόν, εἰς πάντας ἐκφέρωμεν, ἂν δέ τι φαῦλον καὶ πονηρόν, παρ' ἑαυτοῖς κατακρύψωμεν καὶ ὅπως ἀνέλωμεν αὐτὸ πάντα ποιήσωμεν.

Καὶ νῦν τοίνυν περιέλθωμεν, πολυπραγμονήσωμεν, ἴδωμεν τοὺς πεσόντας, κἂν εἰς οἰκίαν δέῃ εἰσελθεῖν, μὴ κατοκνήσωμεν. Εἰ δὲ ἄγνωστος εἴη καὶ μηδαμόθεν σοι προσήκων ὁ πεπτωκώς, περιέργασαι καὶ πολυπραγμόνησον, τίνα ἔχει φίλον καὶ ἐπιτήδειον καὶ τίνι μάλιστα πείθεται, κἀκεῖνο λαβών, εἴσελθε εἰς τὴν οἰκίαν· μὴ αἰσχυνθῇς, μηδὲ ἐρυθριάσῃς. Εἰ μὲν γὰρ χρήματα εἰσῄεις αἰτήσων ἢ χάριν τινὰ ληψόμενος παρ' αὐτοῦ, εἰκὸς ἦν αἰσχύνεσθαι· εἰ δὲ ὑπὲρ τῆς ἐκείνου σωτηρίας τρέχεις, ἡ τῆς εἰσόδου πρόφασις ἁπάντων ἀπαλλάττει σε τῶν ἐγκλημάτων. Παρακάθισον δὴ καὶ εἰπὲ πρὸς αὐτόν, ἑτέρωθεν ποιησάμενος τὴν ἀρχήν, ὥστε ἀνύποπτον γενέσθαι τὴν διόρθωσιν. Ἐπαινεῖς, εἰπέ μοι, τοὺς Ἰουδαίους, ὅτι τὸν Χριστὸν ἐσταύρωσαν καὶ βλασφημοῦσιν εἰς αὐτὸν νῦν καὶ παράνομον αὐτὸν καλοῦσι; Πάντως οὐκ ἀνέξεται, ἐὰν ᾖ Χριστιανός, κἂν μυριάκις ἰουδαΐζῃ, οὐκ ἀνέξεται εἰπεῖν, ὅτι ἐπαινῶ· ἀλλ' ἐμφράξει τὴν ἀκοὴν καὶ ἐρεῖ πρὸς σέ, μὴ γένοιτο, εὐφήμει ἄνθρωπε. Εἶτα ὅταν αὐτοῦ λάβῃς τὴν συγκατάθεσιν, πάλιν ἐπανάλαβε, καὶ εἰπέ· 'πῶς οὖν αὐτοῖς κοινωνεῖς, εἰπέ μοι; πῶς μετέχεις τῆς ἑορτῆς, πῶς μετ' ἐκείνων νηστεύεις;' Εἶτα κατηγόρησον αὐτῶν τῆς ἀγνωμοσύνης· εἰπὲ τὴν παρανομίαν ἅπασαν ἣν ἐν ταῖς ἔμπροσθεν ἡμέραις διῆλθον πρὸς τὴν ὑμετέραν ἀγάπην, τὴν ἀπὸ τὴν τόπου, τὴν ἀπὸ τοῦ καιροῦ, τὴν ἀπὸ τὴν τοῦ ἱεροῦ, τὴν ἀπὸ τῆς προρρήσεως τῶν προφητῶν ἐλεγχομένην· δεῖξον πῶς εἰκῇ καὶ μάτην ἅπαντα πράττουσι καὶ οὐδέ ποτε ἐπὶ τὴν προτέραν ἐπανήξουσι πολιτείαν καὶ ὅτι οὐ θέμις αὐτοῖς ἔξω τῶν Ἱεροσολύμων οὐδὲν τοιοῦτον ἐπιτελεῖν.

νὰ καταποντίζη καὶ νὰ ἀνορθώνη μιὰ ψυχή, καὶ νὰ ἐμβάλλη τὴν προθυμία ἐκεῖ ὅπου ἀπουσιάζει, καὶ νὰ τὴν ἀφαιρῆ ἀπὸ ἐκεῖ ποὺ ὑπάρχει. Γι' αὐτὸ σᾶς συμβουλεύω νὰ αὐξάνετε τὶς φῆμες ἐκεῖνες ποὺ ἐξυψώνουν τὰ δικά μας πράγματα καὶ τὰ κάμνουν νὰ φαίνωνται μεγάλα, καὶ ὄχι ἐκεῖνες ποὺ προξενοῦν ντροπὴ στὴν κοινότητα τῶν ἀδελφῶν. Καὶ ἂν τύχη ν' ἀκούσουμε κάποιο καλό, νὰ τὸ διαδίδουμε σ' ὅλους, ἂν ὅμως κάποιο φαῦλο καὶ κακό, ἂς τὸ κρύψουμε μέσα μας κι ἂς κάμνουμε τὸ πᾶν, ὥστε νὰ τὸ ἐξαλείψουμε.

Καὶ τώρα λοιπὸν ἂς μεταβοῦμε παντοῦ, ἂς ἐξετάσουμε μέ σχολαστικότητα, ἂς δοῦμε τοὺς ἀσθενεῖς, κι ἂν χρειασθῆ νὰ μποῦμε σὲ σπίτια, ἂς μὴ διστάσουμε νὰ τὸ κάμουμε. Καὶ ἂν εἶναι ἄγνωστος ὁ πεσμένος καὶ δὲν ἔχη καμμιὰ συγγένεια μαζί σου, ἐξέτασε καὶ ἐρεύνησε μὲ ἐπιμονὴ νὰ μάθης ποιόν ἔχει φίλο καὶ συγγενῆ καὶ σὲ ποιόν κυρίως ἔχει ἐμπιστοσύνη, καὶ παίρνοντας ἐκεῖνον μαζί σου, μπὲς στὸ σπίτι του, χωρὶς νὰ ντραπῆς οὔτε καὶ νὰ κοκκινίσης. Γιατί, ἂν πήγαινες γιὰ νὰ ζητήσης χρήματα ἢ νὰ λάβης κάποια χάρη ἀπ' αὐτόν, φυσικὸ ἦταν νὰ ντρέπεσαι· ἂν ὅμως τρέχης γιὰ τὴ σωτηρία του, ἡ αἰτία τῆς ἐπισκέψεώς σου στὸ σπίτι του σὲ ἀπαλλάσσει ἀπὸ ὅλες τὶς κατηγορίες. Κάθησε λοιπὸν δίπλα του καὶ μίλησέ του, ἀρχίζοντας ἀπὸ κάπου ἀλλοῦ, ὥστε ἡ διόρθωση νὰ γίνη χωρὶς νὰ τὸ ὑποπτευθῆ. Πές μου, ἐπαινεῖς τοὺς Ἰουδαίους, γιατὶ σταύρωσαν τὸν Χριστὸ καὶ βλασφημοῦν τώρα σ' αὐτὸν καὶ τὸν ἀποκαλοῦν παράνομο; Ὁπωσδήποτε δὲν θὰ τὸ ἀνεχθῆ, ἂν εἶναι Χριστιανός, κι ἂν ἀκόμη ἰουδαΐζη ὑπερβολικά, δὲν θὰ ἀνεχθῆ νὰ πῆ, 'τοὺς ἐπαινῶ', ἀλλὰ θὰ κλείση τὰ αὐτιά του καὶ θὰ σοῦ πῆ. Μὴ γένοιτο! Σιώπα, ἄνθρωπε! Ἔπειτα, ἀφοῦ πάρης τὴ συγκατάθεσή του, ἐπανέλαβε πάλι καὶ πές του. 'Πές μου λοιπόν, πῶς συναναστρέφεσαι αὐτούς; πῶς συμμετέχεις στὴν ἑορτή τους; πῶς νηστεύεις μαζί τους;' Μετὰ κατηγόρησε τὴν ἀχαριστία τῶν Ἰουδαίων. Πές του ὅλη ἐκείνη τὴν παρανομία, γιὰ τὴν ὁποία μίλησα στὴν ἀγάπη σας τὶς προηγούμενες ἡμέρες, καὶ ποὺ ἀποδεικνύεται ὡς τέτοια ἀπο τὸν τόπο, ἀπὸ τὸν καιρό, ἀπὸ τὸ ναὸ καὶ ἀπὸ τὶς προφητεῖες τῶν προφητῶν. Δεῖξε του, πῶς ὅλα τὰ κάμνουν μάταια καὶ ἀνώφελα, ὅτι δὲν πρόκειται νὰ ἐπανέλθουν ποτὲ στὸ προηγούμενο πολίτευμά τους, καὶ ὅτι δὲν ἐπιτρέπεται νὰ ἐπιτελοῦν τίποτε ἀπὸ ὅλα αὐτὰ ἔξω ἀπὸ τὰ Ἰεροσόλυμα.

Καὶ πρὸς τούτοις ἀνάμνησον τῆς γεέννης, τοῦ φοβεροῦ βήματος τοῦ Κυρίου, τῶν εὐθυνῶν τῶν ἐκεῖ, καὶ ὅτι τούτων ἁπάντων δώσομεν λόγον καὶ τιμωρία τις οὐ μικρὰ κεῖται τοῖς τὰ τοιαῦτα τολμῶσιν· ἀνάμνησον καὶ Παύλου λέγοντος, «οἵ τινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε», καὶ πάλιν ἀπειλοῦντος, «ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Καὶ εἰπὲ ὅτι καθάπερ περιτομή, οὕτω καὶ νηστεία ἰουδαϊκὴ τῶν οὐρανῶν ἐκβάλλει τὸν νηστεύοντα, κἂν μυρία ἕτερα κατορθώματα ἔχῃ· εἰπὲ ὅτι Χριστιανοὶ διὰ τοῦτο καὶ καλούμεθα καὶ ἐσμέν, ἵνα τῷ Χριστῷ πειθώμεθα, οὐχ ἵνα πρὸς τοὺς ἐχθροὺς τρέχωμεν. Ἂν δέ τινας θεραπείας προτείνηται καὶ λέγῃ πρὸς σέ, ὅτι 'ὑπισχνοῦνται θεραπεύειν καὶ διὰ τοῦτο πρὸς αὐτοὺς τρέχω', ἀνακάλυψον αὐτῶν τὰς μαγγανείας, τὰς ἐπῳδάς, τὰ περιάμματα, τὰς φαρμακείας. Οὐδὲ γὰρ ἄλλῳ τινὶ τρόπῳ δοκοῦσι θεραπεύειν, οὐδὲ γὰρ θεραπεύουσι κατὰ ἀλήθειαν, μὴ γένοιτο. Ἐγὼ δὲ ὑπερβολὴν ποιοῦμαι πολλὴν καὶ ἐκεῖνο λέγω, ὅτι εἰ καὶ θεραπεύουσιν ἀληθῶς, βέλτιον ἀποθανεῖν ἢ τοῖς ἐχθροῖς τοῦ Θεοῦ προσδραμεῖν καὶ τοῦτον θεραπευθῆναι τὸν τρόπον. Τί γὰρ ὄφελος, σῶμα θεραπεύεσθαι, τῆς ψυχῆς ἀπολλυμένης; Τί δὲ κέρδος, ἐνταῦθά τινος τυγχάνειν παραμυθίας, μέλλοντας εἰς τὸ ἀθάνατον παραπέμπεσθαι πῦρ;

Ἵνα γὰρ μὴ λέγωσι ταῦτα, ἄκουσον τί φησιν ὁ Θεός· «ἐὰν ἀναστῇ προφήτης ἐν σοί, ἢ ἐνυπνιαζόμενος ἐνύπνιον, καὶ δῷ σημεῖον καὶ τέρας, καὶ ἔλθῃ τὸ σημεῖον καὶ τὸ τέρας, ὃ ἐλάλησε, καὶ εἴπῃ, 'πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις', οὐκ ἀκούσεσθε τοῦ προφήτου ἐκείνου, ὅτι πειράζει Κύριος ὁ Θεὸς ὑμᾶς, εἰ ἀγαπᾶτε Κύριον τὸν Θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐὰν εἴπῃ τις προφήτης, φησίν, ὅτι δύναμαι νεκρὸν ἐγεῖρε ἢ τυφλὸν θεραπεῦσαι, ἀλλὰ πεισθῆτέ μοι καὶ προσκυνήσωμεν τοῖς δαίμοσιν ἢ εἰδωλολατρήσωμεν· εἶτα ὁ ταῦτα λέγων, δυνηθῇ θεραπεῦσαι τὸν τυφλὸν ἢ

15. Γαλ. 5,4.
16. Γαλ. 5,2.
17. Δευτ. 13,2-3.

Καὶ μαζὶ μ' ὅλα αὐτὰ θύμισέ του τὴ γέεννα, τὸ φοβερὸ βῆμα τοῦ Κυρίου, τὶς ἐκεῖ εὐθύνες, ὅτι γιὰ ὅλα τὰ ἐδῶ ἔργα μας θὰ δώσουμε λόγο, καὶ ὅτι τιμωρία μεγάλη ἐπιφυλάσσεται γιὰ ἐκείνους ποὺ διαπράττουν τέτοια ἔργα. Θύμισέ του καὶ τὸν Παῦλο ποὺ λέγει, «ὅσοι ζητᾶτε νὰ ἐπιτύχετε τὴ δικαίωση ἀπὸ τὸν νόμο, ἐκπέσατε ἀπὸ τὴ χάρη»[15], καὶ ἀλλοῦ ποὺ ἀπειλεῖ· «ὅτι, ἂν περιτέμνεσθε, ὁ Χριστὸς δὲν θὰ σᾶς ὠφελήση σὲ τίποτε»[16]. Καὶ πές του, ὅτι, ὅπως ἡ περιτομὴ ἔτσι καὶ ἡ ἰουδαϊκὴ νηστεία ἀπομακρύνει ἀπὸ τὴν οὐράνια βασιλεία ἐκεῖνον ποὺ νηστεύει μὲ τοὺς Ἰουδαίους, ἔστω κι ἂν ἔχη μύρια ἄλλα κατορθώματα. Πές του, ὅτι γι' αὐτὸ καὶ καλούμαστε καὶ εἴμαστε Χριστιανοί, γιὰ νὰ ὑπακοῦμε στὸν Χριστὸ καὶ ὄχι νὰ τρέχουμε πρὸς τοὺς ἐχθρούς. Ἂν πάλι αὐτὸς προβάλλη ὡρισμένες θεραπεῖες καὶ σοῦ λέγει, ὅτι αὐτοὶ ὑπόσχονται ὅτι θεραπεύουν καὶ γι' αὐτὸ τρέχω πρὸς αὐτούς, ἀποκάλυψέ του τὶς μαγγανεῖες τους, τὰ μαγικά τους λόγια, τὰ φυλακτήρια καὶ τὶς μαγεῖες τους. Γιατὶ δὲν φαίνονται νὰ θεραπεύουν μὲ κανένα ἄλλον τρόπο, ἀλλ' οὔτε βέβαια καὶ θεραπεύουν στὴν πραγματικότητα· μὴ γένοιτο. Ἐγὼ ὅμως φθάνω καὶ σὲ μιὰ μεγάλη ὑπερβολὴ καὶ λέγω καὶ αὐτό, ὅτι, κι ἂν ἀκόμη θεραπεύουν πραγματικά, καλύτερα νὰ πεθάνω, παρὰ νὰ τρέξω στοὺς ἐχθροὺς τοῦ Θεοῦ καὶ νὰ θεραπευθῶ ἔτσι. Γιατὶ ποιό τὸ ὄφελος ἂν τὸ σῶμα θεραπευθῆ, ὅταν ἡ ψυχὴ ἔχη χαθῆ; Ποιό τὸ κέρδος, τὸ νὰ ἐπιτύχουμε στὴν ἐδῶ ζωὴ μιὰ κάποια ἀνακούφιση, τὴ στιγμὴ ποὺ πρόκειται νὰ παραπεμφθοῦμε στὸ ἀθάνατο πῦρ;

Γιὰ νὰ μὴ λέγουν λοιπὸν αὐτά, ἄκουσε τί λέγει ὁ Θεός· «ἂν παρουσιασθῆ ἀνάμεσά σας προφήτης ἢ κάποιος ποὺ βλέπει καὶ ἑρμηνεύει ὄνειρα καὶ σᾶς ὑποσχεθῆ κάποιο σημάδι καὶ καταπληκτικὸ θαῦμα καὶ συμβῆ τὸ σημάδι αὐτὸ καὶ τὸ καταπληκτικὸ θαῦμα ποὺ σᾶς προανήγγειλε καὶ σᾶς πῆ μετά, 'ἂς πάμε νὰ λατρεύσουμε ἄλλους θεούς', δὲν θὰ τὸν ἀκούσετε ἐκεῖνον τὸν προφήτη, γιατὶ σᾶς δοκιμάζει ὁ Κύριος ὁ Θεός σας, ἂν ἀγαπᾶτε τὸν Κύριο τὸν Θεό σας μὲ ὅλη τὴν καρδιά σας καὶ μὲ ὅλη τὴν ψυχή σας»[17]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἂν σᾶς πῆ, λέγει, κάποιος προφήτης, ὅτι μπορῶ ν' ἀναστήσω νεκρὸν ἢ νὰ θεραπεύσω τυφλόν, ἀλλὰ πιστέψτε με καὶ ἂς προσκυνήσουμε τοὺς δαίμονες ἢ ἂς λατρεύσουμε τὰ εἴδωλα, καὶ μετὰ αὐτὸς ποὺ λέγει αὐτὰ μπορέση νὰ θεραπεύση τὸν τυφλὸ ἢ νὰ ἀναστήση τὸν νεκρό, οὔτε καὶ τότε ἀκόμη, λέγει, νὰ τὸν πιστέψης·

τὸν νεκρὸν ἐγεῖραι, μηδὲ οὕτω πεισθῇς, φησί. Διὰ τί; Ὅτι πειράζων σε ὁ Θεός, συνεχώρησεν ἐκείνῳ δυνηθῆναι τοῦτο, οὐκ ἐπειδὴ αὐτὸς ἠγνόει σου τὴν γνώμην, ἀλλ' ἵνα σοι δοκιμὴν παράσχῃ εἰ φιλεῖς τὸν Θεὸν ὄντως. Φιλοῦντος δέ ἐστι, τὸ κἂν νεκροὺς παρέχωσιν ἀνισταμένους οἱ σπουδάζοντες ἡμᾶς ἀφελκύσαι τοῦ φιλουμένου, μηδ' οὕτως ἀφίστασθαι. Εἰ δὲ Ἰουδαίοις ταῦτα ἔλεγε, πολλῷ μᾶλλον ἡμῖν, οὓς ἐπὶ μείζονα φιλοσοφίαν ἤγαγεν, οἷς τὴν περὶ τῆς ἀναστάσεως ἤνοιξε θύραν, οἷς κελεύει, μὴ τοῖς παροῦσιν ἐμφιλοχωρεῖν, ἀλλὰ τὰς ἐλπίδας ἁπάσης πρὸς τὴν μέλλουσαν ζωὴν ἔχειν.

6. Ἀλλὰ τί λέγεις; Ὅτι θλίβει σε καὶ πιέζει τοῦ σώματος ἡ νόσος; Ἀλλ' οὔπω τοσαῦτα πέπονθας, ὅσα ὁ μακάριος Ἰώβ, μᾶλλον δὲ οὐδὲ τὸ πολλοστὸν μέρος ἐκείνου. Μετὰ γὰρ τὴν ἀθρόαν τῶν ποιμνίων καὶ τῶν βουκολίων καὶ τῶν ἄλλων ἁπάντων ἀπώλειαν, ἡρπάσθη καὶ τῶν παίδων ὁλόκληρος ὁ χορός· καὶ πάντα ἐν ἡμέρᾳ μιᾷ ἐγένετο, ἵνα μὴ ἡ φύσις τῶν πειρασμῶν μόνον, ἀλλὰ καὶ ἡ συνέχεια καταβάλῃ τὸν ἀθλητήν. Μετ' ἐκεῖνα πάντα καιρίαν ἐν τῷ σώματι δεξάμενος τὴν πληγήν, σκώληκας ἑώρα πάντοθεν βρύοντας ἀπὸ τοῦ σώματος καὶ γυμνὸς ἐπὶ τὴν κοπρίαν ἐκάθητο, κοινὸν τοῖς παροῦσι συμφορᾶς θέατρον, ὁ δίκαιος, ὁ ἀληθινός, ὁ θεοσεβής, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινά· ἀλλ' ὀδύναι μεθημεριναὶ καὶ νυκτεριναί· καὶ λιμός τις αὐτὸν ἐπολιόρκει ξένος καὶ παράδοξος. «Βρῶμον γάρ», φησίν, «ὁρῶ τὰ σῖτά μου», ὀνείδη καθημερινά, χλευασίαι, σκώμματα, γέλως. Οἱ οἰκέται γάρ μου, φησί, καὶ υἱοὶ τῶν παλλακίδων μου ἐπανέστησάν μοι, ἐν ἐνυπνίοις φόβοι, ζάλη τις λογισμῶν διηνεκής. Ἀλλ' ὅμως τούτων ἁπάντων ἀπαλλαγὴν ἐπηγγέλλετο ἡ γυνὴ λέγουσα οὕτως, «εἶπόν τι ῥῆμα πρὸς Κύριον καὶ τελεύτα». Βλασφήμησον, φησί, καὶ ἀπαλλαγήσῃ τῶν ἐπικειμένων πόνων. Τί οὖν παρέτρεψε τὸν ἅγιον ἐκεῖνον ἡ συμβουλή; Τοὐναντίον μὲν οὖν καὶ ἐποίησε καὶ ἐπέρρωσε μειζόνως αὐτόν, ὡς καὶ ἐπιτι-

18. Ἰὼβ 6,7.
19. Ἰὼβ 2,9.

Γιὰ ποιό λόγο; Γιατὶ ὁ Θεός, θέλοντας νὰ σὲ δοκιμάση, ἐπέτρεψε σ' ἐκεῖνον νὰ τὸ κάμη αὐτό, ὄχι γιατὶ αὐτὸς ἀγνοοῦσε τὴ δική σου γνώμη, ἀλλὰ γιὰ νὰ σὲ δοκιμάση, ἂν ἀγαπᾶς τὸν Θεὸ πραγματικά. Γνώρισμα ἐκείνου ποὺ ἀγαπᾶ εἶναι τὸ νὰ μὴ ἐγκαταλείπη ἐκεῖνον ποὺ ἀγαπᾶ, καὶ ἂν ἀκόμη, αὐτοὶ ποὺ ἐπιχειροῦν νὰ τὸν ἀπομακρύνουν ἀπὸ κοντά του, ἀνασταίνουν νεκρούς. Καὶ ἂν αὐτὰ τὰ ἔλεγε στοὺς Ἰουδαίους, πολὺ περισσότερο τὰ λέγει σὲ μᾶς, ποὺ μᾶς ὡδήγησε σὲ μιὰ ἀνώτερη φιλοσοφία, ποὺ μᾶς ἄνοιξε τὴ θύρα τῆς ἀναστάσεως καὶ μᾶς προτρέπει νὰ μὴ ἀσχολούμαστε μὲ τὰ παρόντα, ἀλλὰ νὰ ἔχουμε ὅλες τὶς ἐλπίδες μας στραμμένες πρὸς τὴ μέλλουσα ζωή.

6. Ἀλλὰ τί λές; Ὅτι σὲ θλίβει καὶ σὲ πιέζει ἡ ἀσθένεια τοῦ σώματος; Ἀλλὰ δὲν ἔχεις πάθει ἀκόμη τόσα, ὅσα ὁ μακάριος ἐκεῖνος Ἰώβ, ἢ καλύτερα οὔτε καὶ τὸ ἐλάχιστο μέρος τῶν παθημάτων ἐκείνου. Γιατί, μετὰ τὴν μέσα σὲ μιὰ στιγμὴ ἀπώλεια τῶν κοπαδιῶν τῶν προβάτων καὶ τῶν βοδιῶν καὶ ὅλων τῶν ἄλλων, ἔχασε καὶ ὅλα τὰ παιδιά του, καὶ ὅλα αὐτὰ συνέβηκαν μέσα σὲ μιὰ ἡμέρα, ὥστε νὰ κεταβάλη τὸν ἀθλητὴ ὄχι μόνο ἡ φύση τῶν πειρασμῶν, ἀλλὰ καὶ τὸ συνεχόμενο αὐτῶν. Ὕστερα ἀπ' ὅλα ἐκεῖνα, ἀφοῦ δέχθηκε στὸ σῶμα μιὰ θανάσιμη πληγή, ἔβλεπε, καθισμένος γυμνὸς ἐπάνω στὴν κοπριά, νὰ ἀναβλύζουν ἀπὸ ὅλο τὸ σῶμά του σκουλήκια, γενόμενος ἔτσι κοινὸ θέαμα συμφορᾶς στοὺς παρόντες, αὐτὸς ὁ δίκαιος, ὁ ἀληθινός, ὁ θεοσεβής, αὐτὸς ποὺ ἀπεῖχε ἀπο κάθε πονηρὸ πρᾶγμα. Καὶ δὲν σταμάτησαν μέχρις ἐδῶ τὰ δεινά, ἀλλὰ πόνοι φοβεροὶ τὸν ἔζωναν ἡμέρα καὶ νύκτα καὶ μιὰ πεῖνα παράξενη καὶ παράδοξη τὸν πολιορκοῦσε, γιατὶ λέγει, «σὰν μιὰ κάποια ἀκαθαρσία βλέπω τὶς τροφές μου»[18], καὶ καθημερινὰ ἀντιμετώπιζε ὀνειδισμούς, καὶ χλευασμοὺς καὶ ἐμπαιγμοὺς καὶ γέλωτες. Διατί, λέγει, οἱ ὑπηρέτες μου καὶ τὰ παιδιὰ τῶν παλλακίδων μου ξεσηκώθηκαν ἐναντίον μου, στὰ ὄνειρά μου κυριαρχεῖ φόβος καὶ ζάλη συνεχὴς ὑπάρχει στοὺς λογισμούς μου. Ἡ γυναῖκα του ὅμως τὸν παρώτρυνε ν' ἀπαλλαγῆ ἀπὸ ὅλα αὐτά, λέγοντάς του τὰ ἑξῆς· «πὲς ἕνα λόγο ἐναντίον τοῦ Κυρίου καὶ θέσε τέρμα στὴ ζωή σου»[19]. Βλασφήμησε, λέγει, στὸ Θεὸ καὶ θ' ἀπαλλαγῆς ἀπὸ τοὺς πόνους σου αὐτούς. Ὡς πρὸς τί λοιπὸν μετέπεισε ἡ συμβουλὴ αὐτὴ τὸν ἅγιο ἐκεῖνον; Τὸ ἀντίθετο μάλιστα ἐπέτυχε· τὸν ἐνδυνάμωσε περισσότερο, ὥστε καὶ νὰ ἐπιτιμή-

μῆσαι τῇ γυναικί. Ἡιρεῖτο γὰρ μᾶλλον ὀδυνᾶσθαι καὶ ταλαιπωρεῖσθαι καὶ μυρία πάσχειν δεινά, ἢ μετὰ βλασφημίας ἀπαλλαγήν τινα τῶν τοσούτων εὑρέσθαι κακῶν.

Οὕτω καὶ ὁ τριακονταοκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ καθ' ἕκαστον ἐνιαυτὸν ἔτρεχεν ἐπὶ τὴν κολυμβήθραν, καὶ καθ' ἕκαστον ἐξεκρούετο, καὶ θεραπείας οὐκ ἐτύγχανεν. Ἀλλ' ἑτέρους μὲν ἑώρα καθ' ἕκαστον ἐνιαυτὸν ἀπαλλαττομένους, διὰ τὸ πολλοὺς ἔχειν τοὺς θεραπεύοντας, αὐτόν τε διὰ τὴν ἐρημίαν τῶν προστησομένων ἐν διηνεκεῖ μένοντα παρέσει. Καὶ οὐδὲ οὕτως ἔδραμεν ἐπὶ μάντεις, οὐκ ἦλθε πρὸς ἐπαοιδούς, οὐκ ἐπέδησε περίαπτα, ἀλλ' ἀνέμενε τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν· διὰ τοῦτο πρὸς τῷ τέλει θαυμαστῆς τινος καὶ παραδόξου θεραπείας ἔτυχεν. Ὁ δὲ Λάζαρος λιμῷ καὶ νόσῳ καὶ ἐρημίᾳ πάντα τὸν χρόνον ἐπάλαισεν, οὐ τριακονταοκτὼ ἔτη ἔχων μόνον, ἀλλὰ πᾶσαν τὴν ζωήν· οὕτω γοῦν καὶ ἐξέπνευσεν ἐν τῷ πυλῶνι κείμενος τοῦ πλουσίου, καταφρονούμενος, χλευαζόμενος, λιμώττων, τοῖς κυσὶ βορὰ προκείμενος. Οὕτω γὰρ αὐτοῦ τὸ σῶμα παρεῖτο, ὡς μηδὲ ἀποσοβεῖν δύνασθαι τοὺς κύνας ἐπιόντας καὶ τὰ τραύματα λιχμωμένους. Ἀλλ' ὅμως οὐκ ἐπαοιδὸν ἐζήτησεν, οὐ πέταλα περιῆψεν, οὐ μαγγανείας ἐκίνησεν, οὐ γόητας πρὸς ἑαυτὸν ἐκάλεσεν, οὐκ ἄλλο τι τῶν κεκωλυμένων ἐποίησεν, ἀλλ' εἵλετο μᾶλλον τοῖς κακοῖς ἐναποθανεῖν ἐκείνοις, ἢ τῆς εὐσεβείας μικρόν τι προδοῦναι μέρος.

Τίνα οὖν ἕξομεν συγγνώμην ἡμεῖς, εἰ τοσαῦτα πασχόντων ἐκείνων καὶ καρτερούντων διὰ πυρετὸν ἢ διὰ τραύματα, τρέχομεν ἐπὶ συναγωγὰς καὶ τοὺς φαρμακοὺς καὶ γόητας εἰς τὰς οἰκίας καλοῦμεν τὰς ἑαυτῶν; Οὐκ ἤκουσας τί φησιν ἡ Γραφή; «Τέκνον, ἐὰν προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον· ἐν νόσῳ καὶ πενίᾳ ἐπ' αὐτῷ πεποιθὼς γίνου. Ὥσπερ γὰρ ἐν πυρὶ δοκιμάζεται χρυσίον, οὕτως ἄνθρωπος δεκτὸς ἐν καμίνῳ ταπεινώσεως». Ἂν σὺ τὸν οἰκέτην μαστίζῃς τὸν σόν, εἶτα ἐκεῖνος τριάκοντα ἢ πεντήκοντα λαβὼν πληγάς, εὐθέως ἐλευθερίαν ἀναβοήσῃ ἢ καταλείπῃ σου τὴν

20. Ἰω. 5,2–15.
21. Σοφ. Σειρὰχ 2,1–5.

ση τὴ γυναῖκα του. Γιατὶ προτιμοῦσε νὰ ὑποφέρη μᾶλλον καὶ νὰ ταλαιπωρῆται καὶ μύρια κακὰ νὰ πάσχη, παρὰ νὰ ἐπιτύχη κάποια ἀπαλλαγὴ ἀπὸ τὰ τόσα κακά, βλασφημώντας τὸν Θεό.

Ἀλλὰ καὶ ἐκεῖνος ποὺ ἐπὶ τριάντα ὀκτὼ χρόνια κατείχετο ἀπὸ ἀσθένεια, κάθε χρόνο ἔτρεχε στὴν κολυμβήθρα καὶ κάθε φορὰ ἐμποδιζόταν καὶ θεραπεία δὲν εὕρισκε[20]. Καὶ κάθε χρόνο ἔβλεπε ἄλλους νὰ θεραπεύωνται ἐπειδὴ εἶχαν πολλοὺς νὰ τοὺς βοηθήσουν, ὁ ἴδιος ὅμως νὰ παραμένη σὲ μιὰ συνεχῆ παραλυσία, ἐπειδὴ δὲν εἶχε κανένα νὰ τὸν βοηθήση. Καὶ οὔτε γι' αὐτὸ κατέφυγε σὲ μάντεις, δὲν πῆγε στοὺς μάγους, δὲν ἔδεσε ἐπάνω του φυλακτά, ἀλλὰ περίμενε τὴ βοήθεια τοῦ Θεοῦ. Γι' αὐτὸ ἐπέτυχε στὸ τέλος κάποια θαυμαστὴ καὶ παράδοξη θεραπεία. Ὁ Λάζαρος πάλι σὲ ὅλη του τὴ ζωὴ πάλαιψε μὲ τὴν πεῖνα καὶ τὴν ἀρρώστια καὶ τὴ μοναξιά, ὄχι μόνο τριάντα ὀκτὼ χρόνια, ἀλλὰ σ' ὅλη του τὴ ζωὴ καὶ στὴν κατάσταση αὐτὴ ἐξέπνευσε μπροστὰ στὴν αὐλόπορτα τοῦ πλουσίου, καταφρονούμενος, χλευαζόμενος, πεινασμένος καὶ ἐκτεθειμένος στὰ σκυλιὰ ὡς τροφή. Γιατὶ τὸ σῶμα του εἶχε τέτοια παραλυσία, ὥστε νὰ μὴ μπορῆ νὰ διώξη τὰ σκυλιὰ ποὺ πήγαιναν καὶ τοῦ ἔγλυφαν τὶς πληγές. Ἀλλ' ὅμως δὲν ἀνεζήτησε μάγους, δὲν φόρεσε φυλακτά, δὲν κατέφυγε στὶς μαγεῖες, δὲν κάλεσε κοντά του γόητες, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ ἀπαγορευμένα ἔκαμε, ἀλλὰ προτίμησε νὰ πεθάνη μέσα στὰ κακὰ ἐκεῖνα, παρὰ νὰ προδώση ἔστω καὶ στὸ ἐλάχιστο τὴν εὐσέβεια.

Ποιά λοιπὸν συγχώρηση θὰ ἔχουμε ἐμεῖς, ἄν, ἐνῶ ἐκεῖνοι τόσα πολλὰ ἔπαθαν καὶ ἔδειξαν ὑπομονή, ἐμεῖς τρέχουμε ἐξ αἰτίας πυρετοῦ ἢ τραυμάτων στὶς συναγωγὲς καὶ καλοῦμε στὰ σπίτια μας τοὺς μάγους καὶ τοὺς γόητες; Δὲν ἄκουσες τί λέγει ἡ Γραφή; «Τέκνο μου, ἂν ἔρχεσαι νὰ ὑπηρετήσης τὸν Κύριο, ἑτοίμασε τὴν ψυχή σου γιὰ δοκιμασίες, κάνε εὐθεῖα τὴν καρδία σου καὶ ὑπομονετική. Στὶς ἀρρώστιες καὶ στὴ φτώχεια κράτησε σταθερὴ τὴν πίστη σου σ' αὐτόν. Γιατί, ὅπως ἀκριβῶς ὁ χρυσὸς καθαρίζεται μὲ τὴ φωτιά, ἔτσι καὶ ὁ ἄνθρωπος γίνεται δεκτὸς ἀπὸ τὸν Κύριο ἀφοῦ περάση μέσα ἀπὸ τὸ καμίνι τῆς ταπεινώσεως»[21]. Ἂν σὺ μαστιγώσης τὸν ὑπηρέτη σου καὶ ἔπειτα ἐκεῖνος, ἐπειδὴ δέχθηκε τριάντα ἢ πενήντα μαστιγώματα, ζητήση ἀμέσως νὰ βρῆ τὴν ἐλευθερία του ἢ νὰ ἐγκαταλείψη τὴ δεσποτεία σου καὶ γιὰ τὸ σκοπὸ αὐτὸ πάη σὲ κάποιους

δεσποτείαν καὶ πρὸς ἑτέρους τινὰς ἀπέλθῃ τῶν μισούντων σε καὶ παροξύνῃ, ἆρα δυνήσεται συγγνώμης τυχεῖν, εἰπέ μοι; Ἆρα δυνήσεται ἀπολογήσασθαί τις ὑπὲρ αὐτοῦ; Οὐδαμῶς. Τί δή ποτε; Ὅτι προσῆκον δεσπότῃ κολάζειν οἰκέτην. Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι, εἰ καταφυγεῖν ἐχρῆν, οὐχὶ πρὸς τοὺς ἐχθρούς, οὐδὲ πρὸς τοὺς μισοῦντας, ἀλλὰ πρὸς τοὺς φίλους τοὺς γνησίους ἔδει.

Καὶ σὺ τοίνυν, ὅταν ἴδῃς τὸν Θεόν σε κολάζοντα, μὴ πρὸς τοὺς ἐχθροὺς αὐτοῦ καταφύγῃς τοὺς Ἰουδαίους, ἵνα μὴ μᾶλλον αὐτὸν παροξύνῃς, ἀλλὰ πρὸς τοὺς φίλους αὐτοῦ, τοὺς μάρτυρας, τοὺς ἁγίους καὶ εὐηρεστηκότας αὐτῷ καὶ πολλὴν ἔχοντας παρρησίαν. Καὶ τί λέγω περὶ οἰκετῶν καὶ δεσποτῶν; Υἱὸς οὐ δυνήσεται τοῦτο ποιῆσαι διὰ τὰς παρὰ τοῦ πατρὸς μάστιγας, οὐδὲ ἀρνήσασθαι τὴν πρὸς ἐκεῖνον συγγένειαν. Καὶ γὰρ οἱ τῆς φύσεως καὶ παρὰ τῶν ἀνθρώπων τεθέντες νόμοι, κἂν μαστίζῃ, κἂν τραπέζης εἴργῃ, κἂν ἐκβάλλῃ τῆς οἰκίας, κἂν παντὶ κολάζῃ τρόπῳ, κελεύουσιν ἅπαντα φέρειν γενναίως, κἂν μὴ πείθηται, μηδὲ ἀνέχηται, οὐδεμίαν οὐδεὶς αὐτῷ δίδωσι συγγνώμην· ἀλλὰ κἂν μυρία ἀποδύρηται μαστιχθεὶς ὁ παῖς, ταῦτα πρὸς αὐτὸν ἅπαντες λέγουσι τὰ ῥήματα, ὅτι 'πατήρ ἐστιν ὁ μαστίξας καὶ κύριος καὶ ἐξουσίαν ἔχων πᾶν ὁτιοῦν ἐργάσασθαι καὶ ποιῆσαι καὶ δεῖ πάντα πρᾴως φέρειν'. Εἶτα οἰκέται μὲν ἀνέχονται δεσποτῶν καὶ υἱοὶ πατέρων, πολλάκις οὐδὲ δεόντως κολαζόντων αὐτοὺς ἐκείνων, σὺ δὲ οὐκ ἀνέξῃ τοῦ Θεοῦ παιδεύοντός σε, τοῦ καὶ δεσποτῶν ὄντως κυριωτέρου καὶ πατέρων μᾶλλόν σε φιλοῦντος καὶ πρὸς ὀργὴν μὲν οὐδέν, πάντα δὲ πρὸς τὸ συμφέρον πραγματευομένου καὶ ποιοῦντος; Ἀλλ' ἂν μικρά τις γένηται νόσος, εὐθέως ἀποπηδᾷς αὐτοῦ τῆς δεσποτείας καὶ ἐπὶ τοὺς δαίμονας τρέχεις καὶ πρὸς τὰς συναγωγὰς αὐτομολεῖς; Καὶ ποίας τεύξῃ συγγνώμης λοιπόν; Πῶς δὲ δυνήσῃ αὐτὸν παρακαλέσαι πάλιν; Μᾶλλον δὲ οὐδεὶς ἕτερος, κἂν τὴν Μωσέως σχῇ παρρησίαν, δυνήσεται περὶ σοῦ δεηθῆναι. Οὐκ ἔστιν οὐδείς. Ἢ οὐκ ἀκούεις, τί περὶ Ἰουδαίων ὁ Θεός φησι πρὸς τὸν Ἱερεμίαν; «Μὴ προσεύχου περὶ τοῦ λαοῦ

ἄλλους ποὺ σὲ μισοῦν καὶ τοὺς ξεσηκώση ἐναντίον σου, ἄραγε, πές μου, θὰ μπορέση νὰ ἐπιτύχη τὴ συγχώρησή σου; ἄραγε θὰ μπορέση κάποιος ν' ἀπολογηθῆ ὑπὲρ αὐτοῦ; Μὲ κανένα τρόπο. Γιατί ἄραγε; Γιατὶ πρέπει ὁ κύριος νὰ τιμωρῆ τὸν δοῦλο του. Καὶ ὄχι μόνο γι' αὐτό, ἀλλὰ καὶ γιατί, ἂν ἔπρεπε νὰ καταφύγη κάπου, ἔπρεπε νὰ καταφύγη ὄχι στοὺς ἐχθροὺς οὔτε καὶ σ' ἐκείνους ποὺ τὸν μισοῦν, ἀλλὰ στοὺς γνήσιους φίλους.

Καὶ σὺ λοιπόν, ὅταν δῆς τὸν Θεὸ νὰ σὲ τιμωρῆ, μὴ καταφύγης πρὸς τοὺς ἐχθρούς του τοὺς Ἰουδαίους, γιὰ νὰ μὴν τὸν ἐξοργίσης περισσότερο, ἀλλὰ πρὸς τοὺς φίλους του, πρὸς τοὺς μάρτυρες, πρὸς τοὺς ἁγίους καὶ πρὸς ἐκείνους ποὺ τὸν εὐαρέστησαν καὶ ἔχουν πολλὴ παρρησία ἐνώπιόν του. Καὶ γιατί ὁμιλῶ γιὰ δούλους καὶ κυρίους; Οὔτε ὁ υἱὸς θὰ μπορέση νὰ τὸ κάμη αὐτὸ ἐπειδὴ μαστιγώθηκε ἀπὸ τὸν πατέρα του, οὔτε καὶ ν' ἀρνηθῆ τὴν συγγένειά του πρὸς ἐκεῖνον. Γιατὶ οἱ νόμοι, ποὺ τέθηκαν καὶ ἀπὸ τὴ φύση καὶ ἀπὸ τοὺς ἀνθρώπους, ὁρίζουν εἴτε ὁ πατέρας του τὸν δέρνει, εἴτε τοῦ στερεῖ τὸ φαγητό, εἴτε τὸν διώχνει ἀπὸ τὸ σπίτι καὶ εἴτε τὸν τιμωρεῖ μὲ κάθε ἄλλο τρόπο, νὰ τὰ ὑπομένη ὅλα μὲ γενναιότητα, καὶ ἂν δὲν ὑπακούη καὶ δὲν τὰ ἀνέχεται αὐτά, τότε κανεὶς δὲν τὸν συγχωρεῖ. Ἀλλὰ κι ἂν ἀκόμη κλαίη καὶ ὀδύρεται ὁ υἱός ποὺ μαστιγώθηκε, ὅλοι τοῦ λέγουν αὐτὰ τὰ λόγια· 'ὁ πατέρας σου εἶναι αὐτὸς ποὺ σὲ μαστίγωσε καὶ εἶναι κύριος καὶ ἔχει κάθε δικαίωμα νὰ κάμη καὶ νὰ πράξη ὁ,τιδήποτε, καὶ πρέπει ὅλα νὰ τὰ ὑπομένης ἀγόγγυστα'. Ἔπειτα, οἱ δοῦλοι βέβαια ἀνέχονται τοὺς κυρίους καὶ τὰ παιδιὰ τοὺς πατέρες, οἱ ὁποῖοι πολλὲς φορὲς δὲν τοὺς τιμωροῦν δίκαια, σὺ δὲν θὰ ἀνεχθῆς τὸν Θεὸ ποὺ σὲ παιδεύει, ὁ ὁποῖος εἶναι ἀνώτερος ἀπὸ τοὺς κυρίους καὶ σὲ ἀγαπᾶ περισσότερο ἀπὸ τοῦ γονεῖς καὶ δὲν κάμνει τίποτε ἀπὸ ὀργή, ἀλλ' ὅλα τὰ ἐπινοεῖ καὶ τὰ κάμνει γιὰ τὸ συμφέρον σου; καί, ἂν σοῦ συμβῆ κάποια ἀσήμαντη ἀρρώστια, ἀμέσως φεύγεις ἀπὸ τὴ δεσποτεία του καὶ τρέχεις στοὺς δαίμονες καὶ λιποτακτεῖς πρὸς τὶς συναγωγές; Καὶ ποιά συγχώρηση θὰ ἐπιτύχης; πῶς θὰ μπορέσης νὰ τὸν παρακαλέσης πάλι; Μᾶλλον ὅμως οὔτε κανένας ἄλλος, κι ἂν ἀκόμη αὐτὸς ἔχη τὴν παρρησία τοῦ Μωϋσῆ, θὰ μπορέση νὰ τὸν παρακαλέση γιὰ σένα. Δὲν ὑπάρχει κανείς. Ἢ δὲν ἀκοῦς τί λέγει ὁ Θεὸς στὸν Ἰερεμία γιὰ τοὺς Ἰουδαίους; «Μὴ προσεύχεσαι γιὰ τὸν λαὸ αὐτόν, γιατί, κι ἂν ἀκόμη ὁ Μωϋσῆς καὶ ὁ Σα-

τούτου, ὅτι ἂν στῇ Μωϋσῆς καὶ Σαμουήλ, οὐκ εἰσακούσομαι αὐτῶν». Οὕτως ἐστὶν ἁμαρτήματα πᾶσαν ὑπερβαίνοντα συγγνώμην καὶ οὐ δυνάμενα ἀπολογίας τυχεῖν.

Μὴ τοίνυν τοσαύτην ἐπισπασώμεθα καθ' ἑαυτῶν ὀργήν. Κἂν γὰρ δόξωσι παραμυθεῖσθαι τὸν πυρετὸν ταῖς ἐπῳδαῖς, οὐ γὰρ δὴ παραμυθοῦνται, ἀλλὰ χαλεπώτερον ἕτερον εἰς τὸ συνειδὸς ἄγουσι πυρετόν, τοῦ λογισμοῦ σε καθ' ἑκάστην κεντοῦντος τὴν ἡμέραν, τοῦ συνειδότος μαστίζοντος καὶ λέγοντος, ἠσέβησας, ἠνόμησας, παρέβης τὰς συνθήκας τὰς πρὸς τὸν Χριστὸν διὰ μικρὰν ἀρρωστίαν τὴν εὐσέβειαν προέδωκας. Μὴ γὰρ σὺ μόνος ταῦτα πέπονθας; Οὐχὶ πολλῷ σου χαλεπώτερα πεπόνθασιν ἕτεροι; Ἀλλ' ὅμως οὐδεὶς ἐκείνων τοιοῦτον οὐδὲν ἐτόλμησε· σὺ δε ὁ χαῦνος καὶ διαλελυμένος τὴν ψυχήν σου κατέθυσας. Πῶς ἀπολογήσῃ τῷ Χριστῷ; πῶς αὐτὸν καλέσεις ἐν ταῖς εὐχαῖς; ποίῳ συνειδότι λοιπὸν ἐπιβήσῃ τῆς Ἐκκλησίας; ποίοις ὀφθαλμοῖς ὄψει τὸν ἱερέα; ποίᾳ χειρὶ τῆς ἱερᾶς ἅψῃ τραπέζης; ποίαις ἀκοαῖς ἀκούσῃ τῶν ἀναγινωσκομένων ἐκεῖ Γραφῶν;

7. Ταῦτα καθ' ἑκάστην ἡμέραν κεντῶν ὁ λογισμὸς καὶ τὸ συνειδὸς μαστίζων ἐρεῖ. Ποία οὖν αὕτη ὑγίεια, ὅταν ἔνδον τοιούτους ἔχωμεν κατηγόρους; Ἂν μέν τοι καρτερήσῃς μικρὸν καὶ τοὺς βουλομένους ἢ ἐπᾶσαί τινα ἐπῳδήν, ἢ περιάψαι τι τῷ σώματι περίαπτον ἀτιμάσῃς καὶ μετὰ πολλῆς ἐξαγάγῃς τῆς ὕβρεως ἐκ τῆς οἰκίας, εὐθέως ἔλαβες δρόσον ἀπὸ τοῦ συνειδότος. Κἂν μυριάκις ὁ πυρετὸς καταφλέγῃ, ἡ ψυχή σου πάσης δρόσου καὶ πάσης νοτίδος παραμυθίαν εἰσάγει σοι βελτίω καὶ λυσιτελεστέραν. Ὥσπερ γὰρ μετὰ τὸ δέξασθαι τὴν ἐπῳδήν, κἂν ὑγιαίνῃς, τῶν πυρεττόντων ἀθλιώτερον διάκεισαι, τὴν ἁμαρτίαν λογιζόμενος, οὕτω καὶ νῦν, κἂν πυρέττῃς, κἂν μυρία πάσχῃς δεινά, διακρουσάμενος τοὺς μιαροὺς ἐκείνους, ὑγιαίνοντος παντὸς ἄμεινον διακείσῃ, τοῦ λογισμοῦ γαυρουμένου, τῆς ψυχῆς χαιρούσης καὶ εὐφραινομένης, τοῦ συνειδότος ἐπαινοῦντός σε καὶ ἀποδεχομένου καὶ λέγοντος· εὖγε, εὖγε, ὦ ἄνθρωπε, ὁ Χριστοῦ δοῦλος, ὁ πιστὸς ἀνήρ, ὁ ἀθλητὴς τῆς εὐ-

22. Ἱερ. 15,1.

μουὴλ ἔλθουν καὶ μὲ παρακαλέσουν, δὲν θὰ τοὺς ἀκούσω»[22]. Ὑπάρχουν ἑπομένως ἁμαρτήματα ποὺ ὑπερβαίνουν κάθε συγγνώμη καὶ δὲν μπορεῖ νὰ ὑπάρξη ἀπολογία γι' αὐτά.

Ἂς μὴ ἐπισύρουμε λοιπὸν ἐναντίον μας τόση μεγάλη ὀργή. Διατί, καὶ ἂν ἀκόμη νομίζουν ὅτι ἀνακουφίζεται ὁ πυρετός τους μὲ τὰ μαγικὰ λόγια, στὴν πραγματικότητα ὅμως δὲν τὸν ἀνακουφίζουν, ἀλλὰ βάζουν μέσα στὴ συνείδησή σου ἕναν ἄλλο φοβερώτερο πυρετό, μὲ τὸ νὰ σὲ κεντάη καθημερινὰ ἡ σκέψη, καὶ νὰ σὲ μαστίζη ἡ συνείδηση καὶ νὰ σοῦ λέγη· 'ἀσέβησες, παρανόμησες, παρέβηκες τὶς συμφωνίες σου μὲ τὸν Χροστό, γιὰ μιὰ ἀσήμαντη ἀσθένεια πρόδωσες τὴν εὐσέβεια'. Γιατὶ μήπως σὺ μόνος τὰ ἔπαθες αὐτά; Δὲν ἔχουν πάθει ἄλλοι πολὺ χειρότερα ἀπὸ σένα; Ἀλλ' ὅμως κανεὶς ἀπὸ ἐκείνους δὲν τόλμησε κάτι τέτοιο· ἐνῶ σὺ ὁ ἀποχαυνωμένος καὶ παραλυμένος θυσίασες τὴν ψυχή σου. Πῶς θ' ἀπολογηθῆς στὸν Χριστό; πῶς θὰ τὸν ἐπικαλεσθῆς στὶς προσευχές σου; μὲ ποιά συνείδηση πλέον θὰ μπῆς στὴν ἐκκλησία; μὲ ποιά μάτια θὰ ἀντικρύσης τὸν ἱερέα; μὲ ποιό χέρι θὰ ἀγγίξης τὴν τράπεζα; μὲ ποιὰ αὐτιὰ θ' ἀκούσης ἐκεῖ τὰ ἀναγνώσματα τῶν Γραφῶν;

7. Αὐτὰ καθημερινὰ θὰ σοῦ λέγη ἐνῶ θὰ σὲ κεντρίζη ὁ λογισμός σου καὶ θὰ σὲ μαστιγώνη ἡ συνείδησή σου. Ποιά ὑγεία λοιπὸν εἶναι αὐτή, ὅταν μέσα μας ἔχουμε τέτοιους κατηγόρους; Ἂν ὅμως δείξης γιὰ λίγο ὑπομονὴ καὶ περιφρονήσης ἐκείνους ποὺ θέλουν νὰ σοῦ ψάλλουν κάποια μαγικὴ ᾠδὴ ἢ νὰ κρεμάσουν στὸ σῶμα σου κάποιο φυλακτὸ καὶ τοὺς διώξης ἀπὸ τὸ σπίτι σου μὲ πολλὲς ὕβρεις, ἀμέσως ἡ συνείδησή σου ἔλαβε ἀνακούφιση. Κι ἂν ἀκόμη ὁ πυρετὸς σὲ κατακαίη ἀκατάπαυστα, ἡ ψυχή σου εἰσάγει μέσα σου μιὰ ἀνακούφιση καλύτερη καὶ ὠφελιμώτερη ἀπὸ κάθε ἄλλη δροσιὰ καὶ ἁπαλὴ ὑγρασία. Γιατί, ὅπως ἀκριβῶς ἀφοῦ ἀποδεχθῆς τὴ μαγικὴ ᾠδή, κι ἂν ἀκόμη εἶσαι ὑγιής, βρίσκεσαι σὲ χειρότερη κατάσταση ἀπὸ ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ πυρετό, συλλογιζόμενος τὴν ἁμαρτία, ἔτσι καὶ τώρα, εἴτε ὑποφέρεις ἀπὸ πυρετὸ εἴτε πάσχεις ἀπὸ ἄπειρα κακά, ἂν ἀποκρούσης τοὺς μιαροὺς ἐκείνους, θὰ βρεθῆς σὲ καλύτερη κατάσταση ἀπὸ κάθε ὑγιῆ, γιατὶ ὁ λογισμός σου θὰ νιώθη ὑπερηφάνεια, ἡ ψυχή σου θὰ χαίρεται καὶ θὰ εὐφραίνεται, ἡ συνείδηση θὰ σὲ ἐπαινῆ καὶ θὰ σὲ παραδέχεται καὶ θὰ σοῦ λέγει· 'Εὖγε, εὖγε, ἄνθρωπε, δοῦλε τοῦ Χριστοῦ, πιστὲ ἄνδρα, ἀθλητὰ τῆς

σεβείας· ὁ τοῖς δεινοῖς αἱρούμενος ἐναποθανεῖν μᾶλλον, ἢ προδοῦναι τὴν ἐγχειρισθεῖσαν εὐσέβειαν, μετὰ τῶν μαρτύρων στήσῃ κατ' ἐκείνην τὴν ἡμέραν. Καθάπερ γὰρ ἐκεῖνοι μαστίζεσθαι καὶ βασανίζεσθαι εἵλοντο, ἵνα τιμηθῶσιν, οὕτω καὶ σὺ σήμερον εἵλου μαστίζεσθαι καὶ βασανίζεσθαι παρὰ τοῦ πυρετοῦ καὶ τῶν τραυμάτων, ὥστε μὴ προσίεσθαι ἀσεβεῖς ἐπῳδάς, μηδὲ περίαπτα καὶ ταῖς ἐλπίσι ταύταις τρεφόμενος, οὐδὲ αἰσθήσῃ τῶν ἀντικειμώνων δεινῶν. Κἂν γὰρ μὴ οὗτός σε ἀπενέγκῃ ὁ πυρετός, ἕτερος ἀποίσει πάντως, κἂν μὴ νῦν ἀποθάνωμεν, μετὰ ταῦτα ἀποθανούμεθα.

Φθαρτὸν ἐλάχομεν τὸ σῶμα, οὐχ ἵνα διὰ τὰ πάθη αὐτοῦ τὴν ἀσέβειαν ἐπισπασώμεθα, ἀλλὰ ἵνα τοῖς πάθεσιν αὐτοῦ πρὸς εὐσέβειαν ἀποχρησώμεθα. Αὐτὴ γὰρ ἡ φθορὰ καὶ αὐτὸ τὸ θνητὸν εἶναι τὸ σῶμα, ἐὰν νήφωμεν, ὑπόθεσις εὐδοκιμήσεως ἡμῖν γενήσεται καὶ πολλὴν ἡμῖν κατ' ἐκείνην τὴν ἡμέραν δώσει τὴν παρρησίαν, οὐ κατ' ἐκείνην δὲ μόνον, ἀλλὰ καὶ κατὰ τὴν παροῦσαν ζωήν. Ὅταν γὰρ ἐκβάλῃς τοὺς ἐπῳδοὺς μετὰ πολλῆς τῆς ὕβρεως ἐκ τῆς οἰκίας, πάντες ἀκούσαντες ἐπαινέσονται καὶ θαυμάσονται καὶ πρὸς ἀλλήλους ἐροῦσιν· 'ὁ δεῖνα ἀρρωστῶν καὶ κάμνων, μυρία παρακαλούντων τινῶν καὶ παραινούντων καὶ συμβουλευόντων ἐπῳδαῖς χρήσασθαι μαγικαῖς τισιν, οὐ προσήκατο, ἀλλ' εἶπε· βέλτιον ἀποθανεῖν οὕτως, ἢ προδοῦναι τὴν εὐσέβειαν'. Ἐπὶ τούτοις ἕψονται κρότοι πολλοὶ παρὰ τῶν ἀκουόντων, πάντων ἐκπληττομένων, τὸν Θεὸν δοξαζόντων. Πόσων οὖν ἔσται σοι τοῦτο ἀνδριάντων τιμιώτερον, πόσων εἰκόνων λεμπρότερον, πόσης τιμῆς ἐπισημότερον; Ἅπαντες ἐπαινέσονται καὶ μακαριοῦσι καὶ στεφανώσουσι καὶ αὐτοὶ βελτίους ἔσονται καὶ ζηλώσουσι πάλιν καὶ μιμήσονταί σου τὴν ἀνδρείαν, κἂν ἕτερος ἐργάσηταί τι τοιοῦτον, σὺ τὸν μισθὸν ἕξεις, ὁ τὴν ἀρχὴν παρασχὼν τῷ ζήλῳ. Οὐκ ἔπαινοι δὲ μόνον ἔσονταί σου τῶν κατορθωμάτων, ἀλλὰ καὶ λύσις ταχίστη, αὐτῆς τε τῆς γενναίας σου προαιρέσεως ἐπισπωμένης καὶ τὸν Θεὸν εἰς πλείονα εὐ-

εὐσεβείας'. Σὺ ποὺ προτίμησες νὰ πεθάνης μέσα στὰ βάσανα, παρὰ νὰ προδώσης τὴν εὐσέβεια ποὺ εἶχες, θὰ βρεθῆς μαζὶ μὲ τοὺς μάρτυρες κατὰ τὴν ἡμέρα ἐκείνη. Γιατί, ὅπως ἀκριβῶς ἐκεῖνοι προτιμοῦσαν νὰ μαστιγώνωνται καὶ νὰ βασανίζωνται γιὰ νὰ τιμηθοῦν, ἔτσι καὶ σὺ σήμερα προτίμησες νὰ μαστιγώνεσαι καὶ νὰ βασανίζεσαι ἀπὸ τὸν πυρετὸ καὶ τὰ τραύματα, καὶ νὰ μὴ καταφύγης σὲ λόγια μαγικὰ καὶ ἀσεβῆ οὔτε καὶ σὲ φυλακτά, καὶ ἔτσι τρεφόμενος μὲ τὶς ἐλπίδες αὐτές, οὔτε κἂν θὰ νιώσης τὰ δεινὰ ποὺ σὲ πολεμοῦν. Γιατί, κι ἂν ἀκόμη ὁ πυρετὸς αὐτὸς δὲν σὲ ὁδηγήση στὸ θάνατο, ὁπωσδήποτε ὅμως κάποιος ἄλλος, καὶ ἂν τώρα δὲν πεθάνουμε, θὰ πεθάνουμε ἀργότερα.

Μᾶς δόθηκε σῶμα φθαρτό, ὄχι γιὰ νὰ καταφύγουμε στὴν ἀσέβεια ἐξ αἰτίας τῶν παθῶν αὐτοῦ, ἀλλὰ γιὰ νὰ ὁδηγηθοῦμε μέσω τῶν παθῶν του στὴν εὐσέβεια. Γιατί, αὐτὴ ἡ φθορὰ καὶ τὸ ὅτι τὸ σῶμα εἶναι φθαρτό, ἂν εἴμαστε προσεκτικοί, θὰ γίνουν γιὰ μᾶς αἰτία εὐδοκιμήσεως καὶ θὰ μᾶς δώσουν πολλὴ παρρησία κατὰ τὴν ἡμέρα ἐκείνη, καὶ ὄχι μόνο κατὰ τὴν ἡμέρα ἐκείνη, ἀλλὰ καὶ κατὰ τὴν παροῦσα ζωή. Ὅταν δηλαδὴ διώξης ἀπὸ τὸ σπίτι σου τοὺς μάγους μὲ ὕβρεις πολλές, ὅλοι ἀκούοντάς το θὰ σὲ ἐπαινέσουν καὶ θὰ σὲ θαυμάσουν καὶ θὰ ποῦν μεταξύ τους· "Ὁ τάδε, ἂν καὶ ἦταν ἄρρωστος καὶ ὑπόφερε καὶ τὸν παρακαλοῦσαν κάποιοι ἀσταμάτητα καὶ τὸν προέτρεπαν καὶ τὸν συμβούλευαν νὰ δεχθῆ μαγικὰ λόγια, δὲν δέχθηκε, ἀλλὰ τοὺς εἶπε· 'Εἶναι καλύτερα νὰ πεθάνω ἔτσι, παρὰ νὰ προδώσω τὴν εὐσέβειά μου'. Καὶ μαζὶ μ' αὐτὰ θ' ἀκολουθήσουν καὶ πολλὰ χειροκροτήματα ἀπὸ ἐκείνους ποὺ θὰ τὰ ἀκούσουν, καὶ ὅλοι θὰ ἐκπλαγοῦν καὶ θὰ δοξάσουν τὸν Θεό. Ἀπὸ πόσους λοιπὸν ἀδριάντες δὲν θὰ σοῦ εἶναι αὐτὸ τιμιότερο ἀπὸ πόσες εἰκόνες δὲν θὰ εἶναι λαπρότερο, ἀπὸ πόση τιμὴ δὲν θὰ εἶναι ἐπισημότερο; Ὅλοι θὰ σὲ ἐπαινέσουν καὶ θὰ σὲ μακαρίσουν καὶ θὰ σὲ σταφανώσουν, καὶ οἱ ἴδιοι θὰ γίνουν καλύτεροι, θὰ γίνουν πάλι ζηλωτὲς καὶ θὰ μιμηθοῦν τὴν ἀνδρεία σου, κι ἂν κάποιος ἄλλος κάμη κάτι τέτοιο, σὺ θὰ λάβης τὸν μισθό, σὺ ποὺ πρῶτος παρεκίνησες τὸν ζῆλο. Καὶ δὲν θὰ ἐπαινεθοῦν μόνο τὰ κατορθώματά σου, ἀλλὰ θ' ἀκολουθήση σύντομα καὶ ἀπαλλαγὴ ἀπὸ τὴν ἀσθένειά σου, γιατὶ αὐτὴ ἡ γενναία ἀπόφασή σου καὶ τὸν Θεὸ θὰ ἀποσπάση πρὸς μεγαλύτερη εὔνοια, καὶ

νοιαν καὶ τῶν ἁγίων πάντων συνηδομένων σου τῇ προθυμίᾳ καὶ ἐκ τοῦ βάθους τῆς καρδίας τὰς ὑπὲρ σοῦ ποιουμένων εὐχάς.

Εἰ δὲ ἐνταῦθα τοιαῦτα τὰ ἔπαθλα τῆς ἀνδρείας ταύτης, ἐννόησον πηλίκους ἐκεῖ λήψῃ σταφάνους, ὅταν τῶν ἀγγέλων παρόντων, τῶν ἀρχαγγέλων ἁπάντων, τότε παρελθὼν ὁ Χριστὸς καὶ τῆς χειρός σου λαβόμενος εἰς μέσον περιαγάγῃ τὸ θέατρον ἐκεῖνο, καὶ πάντων ἀκουόντων λέγῃ· 'οὗτος ὁ ἄνθρωπος πυρετῷ ποτε ληφθείς, μυρίων αὐτῷ παραινούντων ἀπαλλαγῆναι τοῦ πυρετοῦ, διὰ τὸ ὄνομα τὸ ἐμὸν καὶ τὸν φόβον τὸν εἰς ἐμέ, ἵνα ἐν μηδενὶ προσκρούσῃ, διώσατο καὶ ἠτίμωσε τοὺς ὑπισχνουμένους αὐτὸν θεραπεύειν ἐκείνῳ τῷ τρόπω καὶ εἵλετο μᾶλλον ἐναποθανεῖν τῷ νοσήματι, ἢ προδοῦναι τὴν εἰς ἐμὲ εὔνοιαν'. Εἰ γὰρ τοὺς ποτίσαντας αὐτὸν καὶ ἐνδύσαντας καὶ θρέψαντας εἰς μέσον παράγει, πολλῷ μᾶλλον τοὺς δι' αὐτὸν ἑλομένους ἀνέχεσθαι πυρετῶν. Οὐ γάρ ἐστιν ἴσον, ἄρτον δοῦναι καὶ ἱμάτιον καὶ νόσον μακρὰν ὑπομένειν, ἀλλὰ πολλῷ μεῖζον τοῦτο ἐκείνου. Ὅσῳ δὲ μείζων ὁ πόνος, τοσούτῳ καὶ ὁ στέφανος ἔσται λαμπρότερος. Ταῦτα καὶ ὑγιαίνοντες μελετῶμεν καὶ κάμνοντες καὶ πρὸς ἑτέρους λέγωμεν· κἂν ἴδωμεν ἑαυτούς ποτε ἐν πυρετῷ γενομένους ἀφορήτῳ, ἐκεῖνο πρὸς ἑαυτοὺς εἴπωμεν· τί δαί, εἴ ποθεν ἐπενεχθείσης ἡμῖν κατηγορίας, εἰς δικαστήριον εἰσηνέχθημεν, εἶτα ἀναρτηθέντες κατεξαινόμεθα τὰς πελυράς, οὐκ ἀνάγκη ἦν ὑπομεῖναι πάντως καὶ ἀκερδῶς καὶ χωρὶς μισθοῦ τινος; Τοῦτο καὶ νῦν λογιζώμεθα· προκείσθω καὶ τῇ ὑπομονῇ ὁ μισθός, ἱκανὸς ὢν ἀλεῖψαι τὴν πεπτωκυῖαν διάνοιαν.

Ἀλλὰ χαλεπὸς ὁ πυρετός. Ἀλλ' ἀντίστησον τῷ πυρετῷ τὸ τῆς γεέννης πῦρ, ὃ διαφεύξῃ πάντως, ἐὰν ἕλῃ τοῦτο μεθ' ὑπομονῆς ἁπάσης ἐνεγκεῖν· ἀναμνήσθητι τῶν ἀποστόλων, ὅσα ἔπασχον· ἀναμνήσθητι τῶν δικαίων, ὅτι διὰ παντὸς ἦσαν ἐν θλίψεσιν· ἀναμνήσθητι τοῦ μακαρίου Τιμοθέου, ὅτι οὐδέποτε ἐκ τῆς ἀρρωστίας ἀνέπνευσεν, ἀλλὰ σύντροφος ἦν νοσήματι διηνεκεῖ. Καὶ τοῦτο ὁ Παῦ-

23. Ματθ. 25,31–46.

ὅλοι οἱ ἅγιοι, νιώθοντας χαρὰ ἀπὸ τὴν προθυμία σου, θὰ προσεύχωνται ἀπὸ τὰ βάθη τῆς καρδιᾶς τους γιὰ σένα.

῞Αν λοιπὸν ἐδῶ τέτοια εἶναι τὰ ἔπαθλα τῆς ἀνδρείας αὐτῆς, σκέψου πόσα στεφάνια θὰ λάβῃς ἐκεῖ, ὅταν τότε, παρουσία τῶν ἀγγέλων καὶ ὅλων τῶν ἀρχαγγέλων, θὰ ἔλθη ὁ Χριστὸς καί, ἀφοῦ σὲ πάρη ἀπὸ τὸ χέρι, σὲ ὁδηγήση στὸ μέσο τοὺ θεάτρου ἐκείνου καί, ἐνῶ ὅλοι θὰ ἀκοῦν, πῆ· ‛Ο ἄνθρωπος αὐτός, ὅταν κάποτε κυριεύθηκε ἀπὸ πυρετὸ καὶ ἐνῶ πάρα πολλοὶ τὸν συμβούλευαν νὰ ἀπαλλαγῆ ἀπὸ τὸν πυρετό, χάριν τοῦ ὀνόματός μου καὶ τοῦ σεβασμοῦ του πρὸς ἐμένα, γιὰ νὰ μὴ προσκρούση σὲ τίποτε, ἔδιωξε καὶ ἀτίμωσε ὅλους ἐκείνους ποὺ ὑπόσχονταν νὰ τὸν θεραπεύσουν μὲ τὸν τρόπο ἐκεῖνο, καὶ προτίμησε νὰ πεθάνη μᾶλλον μέσα στὴν ἀσθένειά του, παρὰ νὰ προδώση τὴν ἀγάπη του σὲ μένα’. Γιατί, ἂν ἐκείνους ποὺ τὸν πότισαν καὶ τὸν ἔντυσαν καὶ τὸν ἔθρεψαν[23] τοὺς ὁδηγῆ στὸ μέσον τοῦ θεάτρου, πολὺ περισσότερο θὰ ὁδηγήση ἐκείνους ποὺ γιὰ χάρη του προτίμησαν νὰ ὑπομείνουν τὸν πυρετό. Γιατὶ δὲν εἶναι τὸ ἴδιο πρᾶγμα τὸ νὰ δώση κανεὶς ψωμὶ καὶ ἐνδύματα, καὶ τὸ νὰ ὑπομένη μακροχρόνια ἀσθένεια, ἀλλ’ εἶναι πολὺ μεγαλύτερο αὐτὸ ἀπὸ ἐκεῖνο. Καὶ ὅσο μεγαλύτερος εἶναι ὁ πόνος, τόσο λαμπρότερο θὰ εἶναι καὶ τὸ στεφάνι. Αὐτὰ ἂς τὰ σκεπτώμαστε καὶ ὅταν εἴμαστε ὑγιεῖς καὶ ὅταν εἴμαστε ἄρρωστοι καὶ ἂς τὰ λέμε καὶ σὲ ἄλλους, καὶ ἂν συμβῆ κάποτε νὰ κυριευθοῦμε ἀπὸ ἀνυπόφορο πυρετό, ἂς ποῦμε στὸν ἑαυτό μας αὐτὸν τὸν λόγο. Τί λοιπόν, ἂν μᾶς ἀποδιδόταν κάποτε κατηγορία καὶ ὁδηγούμασταν στὸ δικαστήριο καὶ μετά, ἀφοῦ μᾶς κρέμαζαν, μᾶς ξέσχιζαν τὶς πλευρές, δὲν θὰ ἤμασταν ἀναγκασμένοι νὰ τὸ ὑπομείνουμε ὁπωσδήποτε καὶ χωρὶς κέρδος καὶ χωρὶς κάποιο μισθό; Αὐτὸ ἂς σκεπτώμαστε καὶ τώρα. ῞Ας προστεθῆ στὴν ὑπομονὴ καὶ ὁ μισθός, ποὺ εἶναι ἱκανὸς νὰ ἐνδυναμώση τὸν πεσμένο ἠθικά.

᾿Αλλ’ ὁ πυρετὸς εἶναι φοβερός. ᾿Αντίταξε στὸν πυρετὸ τὴ φλόγα τῆς κολάσεως, τὴν ὁποία θὰ διαφύγῃς ὁπωσδήποτε, ἂν προτιμήσῃς νὰ ὑποφέρῃς τὸν πυρετὸ μὲ ὅλη τὴν ὑπομονή σου. Θυμήσου τοὺς ᾿Αποστόλους πόσα πάθαιναν· θυμήσου τοὺς δικαίους ποὺ διαρκῶς βρίσκονταν σὲ θλίψεις· θυμήσου τὸν μακάριο Τιμόθεο, ποὺ ποτὲ δὲν ἀνέπνευσε ἀπὸ τὴν ἀρρώστια του, ἀλλὰ ζοῦσε μὲ σύντροφο διαρκῶς τὴν ἀσθένειά του. Καὶ γιὰ νὰ δείξη αὐτὸ ὁ Παῦλος ἔλε-

λος δηλῶν ἔλεγεν· «οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας». Εἰ δὲ ὁ δίκαιος ἐκεῖνος καὶ ἅγιος καὶ τὴν τῆς οἰκουμένης προστασίαν ἐγκεχειρισμένος καὶ νεκροὺς ἐγείρων καὶ δαίμονας ἐλαύνων καὶ μυρία νοσήματα διορθούμενος ἐν ἑτέροις, τοσαῦτα ἔπασχε δεινά, τίνα ἕξεις ἀπολογίαν σὺ ὁ θορυβούμενος καὶ ἀσχάλλων ἐπὶ προσκαίροις νοσήμασιν; Οὐκ ἤκουσας τῆς Γραφῆς λεγούσης, ὅτι «ὃν ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται»; Πόσοι ποσάκις ἐπεθύμησαν μαρτυρίου στέφανον λαβεῖν; Τοῦτο ἀπηρτισμένος ἐστὶ μαρτυρίου στέφανος. Οὐ γὰρ τὸ κελευσθῆναι, εἶτα ἑλέσθαι μᾶλλον ἀποθανεῖν ἢ θῦσαι, ποιεῖ μάρτυρα μόνον, ἀλλὰ καὶ τὸ ὁτιοῦν φυλάττοντα μόνον δυνάμενον θάνατον ἐπισπάσασθαι, μαρτύριόν ἐστι σαφές.

8. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ἀναμνήσθητι πῶς μὲν ὁ Ἰωάννης ἀπέθανε καὶ τίνος ἕνεκεν καὶ διὰ τί, πῶς δὲ ὁ Ἄβελ. Οὐδέτερος γὰρ τούτων οὐ βωμὸν εἶδε καιόμενον, οὐ ξόανον ἑστηκός, οὐ θῦσαι ἐπετάγη δαίμοσιν· ἀλλ' ὁ μέν, ἐπειδὴ μόνον ἤλεγξε τὸν Ἡρώδην, ἀπετμήθη τὴν κεφαλήν, ὁ δὲ ἐπειδὴ τὸν Θεὸν ἐτίμησε θυσίᾳ πλείονι τοῦ ἀδελφοῦ, κατεσφάττετο. Ἆρ' οὖν ἀπεστέρηνται τῶν τοῦ μαρτυρίου στεφάνων; Καὶ τίς ἂν τοῦτο τολμήσειεν εἰπεῖν; Μάλιστα μὲν γὰρ καὶ αὐτὸς ὁ τοῦ θανάτου τρόπος ἱκανὸς ἅπαντας πεῖσαι, ὅτι εἰς τοὺς πρώτους τῶν μαρτύρων τελοῦσιν. Εἰ δὲ καὶ ψῆφον ζητεῖς θείαν ὑπὲρ τούτων ἐξενηνεγμένην ἰδεῖν, ἄκουσον τί φησιν ὁ Παῦλος· ἃ γὰρ ἐκεῖνος φθέγγεται, δῆλον ὅτι τοῦ Πνεύματός ἐστι. «Δοκῶ», γάρ φησι, «κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν». Τί οὖν οὗτός φησιν; Ἀρξάμενος ἀπὸ τοῦ Ἄβελ καὶ εἰπών, ὅτι πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ· εἶτα καταβὰς εἰς τοὺς προφήτας καὶ διελθὼν εἰς τὸν Ἰωάννην καὶ εἰπών, «ἐν φόνῳ μαχαίρας ἀπέθανον, ἕτεροι δὲ ἐτυμπανίσθησαν», καὶ πολλοὺς καὶ διαφόρους διηγησάμενος θανάτους, ἐπήγαγεν οὕτω· «τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι

24. Α' Τιμ. 5,23.
25. Ἑβρ. 12,6. Παροιμ. 3.12.
26. Α' Κορ. 7,10.
27. Ἑβρ. 11,37.

γε· «νὰ χρησιμοποιῆς λίγο κρασὶ ἐξ αἰτίας τοῦ στομαχιοῦ σου καὶ τῶν πυκνῶν ἀσθενειῶν σου»[24]. Ἂν ὁ δίκαιος καὶ ἅγιος ἐκεῖνος, στὸν ὁποῖο εἶχε ἀνατεθῆ ἡ προστασία τῆς οἰκουμένης, καὶ ποὺ ἀνέσταινε νεκροὺς καὶ ἐξε δίωκε δαιμόνια καὶ θεράπευε ἄπειρες ἀσθένειες σὲ ἄλλους, ἔπασχε τόσα δεινά, ποιά ἀπολογία θὰ ἔχης σὺ ποὺ θορυβεῖσαι καὶ δυσανασχετεῖς γιὰ πρόσκαιρες ἀσθένειες; Δὲν ἄκουσες τὴ Γραφὴ ποὺ λέγει, «ὅποιον ἀγαπᾶ ὁ Κύριος τὸν παιδεύει, καὶ μαστιγώνει κάθε παιδί του ποὺ τὸ δέχεται γιὰ δικό του»[25]; Πόσοι πόσες φορὲς δὲν ἐπιθύμησαν νὰ λάβουν μαρτυρικὸ σταφάνι; Αὐτὸ τὸ στεφάνι εἶναι πραγματικὸ στεφάνι μαρτυρίου. Γιατὶ δὲν κάμνει κάποιον μάρτυρα μόνο τὸ ἂν λάβη τὴν προσταγὴ νὰ θυσιάση στὰ εἴδωλα καὶ αὐτὸς προτιμήση νὰ πεθάνη μᾶλλον παρὰ νὰ θυσιάση, ἀλλὰ καὶ τὸ νὰ φυλάττη μόνο ὁ,τιδήποτε ἄλλο χάριν τοῦ Χριστοῦ, ποὺ μπορεῖ νὰ ὁδηγήση στὸ θάνατο, εἶναι μαρτύριο πραγματικό.

8. Καὶ γιὰ νὰ μάθης ὅτι αὐτὸ εἶναι ἀληθές, θυμήσου πῶς πέθανε ὁ Ἰωάννης καὶ γιὰ ποιό λόγο καὶ γιατί, πῶς ἐπίσης καὶ ὁ Ἄβελ. Γιατὶ κανεὶς ἀπ' αὐτοὺς δὲν εἶδε οὔτε βωμὸ νὰ καίεται οὔτε ἄγαλμα στημένο, οὔτε διατάχθηκε νὰ θυσιάση στοὺς δαίμονες, ἀλλ' ὁ ἕνας, ἐπειδὴ μόνο ἤλεγξε τὸν Ἡρώδη, ἀποκεφαλίσθηκε, ἐνῶ ὁ ἄλλος, ἐπειδὴ τίμησε τὸν Θεὸ μὲ θυσία μεγαλύτερη ἀπὸ ἐκείνη τοῦ ἀδελφοῦ του, κατασφαγιάσθηκε. Ἄραγε λοιπὸν ἔχουν ἀποστερηθῆ τὰ στεφάνια τοῦ μαρτυρίου; Καὶ ποιός θὰ τολμοῦσε νὰ τὸ πῆ αὐτό; Καὶ προπάντων αὐτὸς ὁ τρόπος τοῦ θανάτου εἶναι ἱκανὸς νὰ πείση ὅλους, ὅτι συγκαταλέγονται μεταξὺ τῶν πρώτων μάρτυρων. Ἂν ὅμως ζητῆς νὰ δῆς καὶ ἀπόφαση τοῦ Θεοῦ γι' αὐτούς, ἄκουσε τί λέγει ὁ Παῦλος· γιατὶ ἐκεῖνα ποὺ λέγει ἐκεῖνος, εἶναι φανερὸ ὅτι εἶναι λόγια τοῦ Πνεύματος· γιατὶ λέγει· «νομίζω καὶ ἐγὼ ὅτι ἔχω Πνεῦμα Θεοῦ»[26]. Τί λέγει λοιπὸν αὐτός; Ἀφοῦ ἄρχισε ἀπὸ τὸν Ἄβελ καὶ εἶπε, ὅτι ὁ Ἄβελ πρόσφερε στὸ Θεὸ μεγαλύτερη θυσία παρὰ ὁ Κάϊν, καὶ εἶπε ἀκόμη ὅτι πέθανε ἐξ αἰτίας αὐτῆς, στὴ συνέχεια φθάνοντας στοὺς προφῆτες καὶ ἀφοῦ μίλησε γιὰ τὸν Ἰωάννη καὶ εἶπε, «πέθαναν φονευμένοι μὲ μάχαιρα καὶ ἄλλοι μὲ τὸν θάνατο τοῦ τυμπανισμοῦ»[27], καὶ ἀφοῦ διηγήθηκε πολλοὺς καὶ διαφόρους ἄλλους θανάτους, πρόσθεσε τὰ ἑξῆς· «καὶ ἐμεῖς λοιπόν, ἀφοῦ ἔχουμε μπροστά μας ἕνα τόσο μεγάλο σύννεφο μαρτύρων, ἂς ἀποβάλουμε ἀπὸ

πάντα, δι' ὑπομονῆς τρέχωμεν». Ὁρᾷς, ὅτι καὶ τὸν Ἄβελ μάρτυρα ἐκάλεσε καὶ τὸν Νῶε καὶ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ. Οἱ μὲν γὰρ αὐτῶν οὕτως ἀπέθανον διὰ τὸν Θεόν· ὥσπερ οὖν καὶ Παῦλός φησι, «καθ' ἡμέραν ἀποθνήσκω»· καίτοι οὐκ ἀποθνήσκων, ἀλλὰ τῇ προθέσει μόνον ὑπομένων τοῦτο.

Οὕτω καὶ σύ, ἂν διακρούσῃ τὰς φαρμακείας καὶ τὰς μαγγανείας καὶ ἀποθάνῃς τῇ νόσῳ, μάρτυς ἀπηρτισμένος εἶ, ὅτι ἀπαλλαγὴν μετὰ ἀσεβείας ἐπαγγελλομένων ἑτέρων, εἵλου θάνατον μετ' εὐσεβείας μᾶλλον. Καὶ ταῦτα μὲν ἡμῖν εἴρηται πρὸς τοὺς κομπάζοντας καὶ λέγοντας, ὅτι θεραπεύουσι δαίμονες· ἵνα δὲ μάθῃς, ὅτι οὐδέ τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησιν ὁ Χριστὸς περὶ τοῦ διαβόλου· «ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς». Ὁ Θεὸς λέγει, «ἀνθρωποκτόνος» καὶ σὺ ὡς πρὸς ἰατρὸν τρέχεις; Καὶ τίνα ἕξεις λόγον εἰπεῖν ἐγκαλούμενος, εἰπέ μοι, τῆς ἀποφάσεως τοῦ Χριστοῦ τὰς γοητείας τούτων ἀξιοπιστοτέρας εἶναι νομίζων; Ὅταν γὰρ ὁ μὲν Θεὸς λέγῃ, ὅτι «ἀνθρωποκτόνος» ἐστίν, οὗτοι δὲ ὅτι νοσήματα δύναται λύειν λέγωσιν, ἀπεναντίας τῇ θείᾳ ψήφῳ, σὺ δὲ καταδέχῃ τὰς μαγγανείας τούτων καὶ τὰς ἐπῳδάς, οὐδὲν ἕτερον ἀλλ' ἢ τούτους ἀξιοπιστοτέρους ἐκείνου νομίζεις εἶναι, δι' ὧν ποιεῖς, κἂν μὴ λέγῃς τοῦτο τοῖς ῥήμασιν. Εἰ δὲ ὁ διάβολος ἀνθρωποκτόνος, εὔδηλον ὅτι καὶ οἱ διακονοῦντες αὐτῷ δαίμονες. Καὶ τοῦτό σε δι' αὐτῶν τῶν ἔργων ἐπαίδευσεν ὁ Χριστός· ὅτε γοῦν αὐτοὺς ἀφῆκεν ἐμπεσεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων, κατεπόντισαν εἰς τὸν κρημνὸν ἅπασαν τὴν ἀγέλην ἐκείνην, ἵνα μάθῃς, ὅτι καὶ τοὺς ἀνθρώπους ταῦτα ἂν εἰργάσαντο καὶ ἀπέπνιξαν εὐθέως, εἰ συνεχώρησεν αὐτοῖς ὁ Θεός. Νυνὶ δὲ αὐτὸς αὐτοὺς κατεῖχε καὶ ἐκώλυε καὶ οὐδὲν ἠφίει τοιοῦτον ἐργάσασθαι· καὶ τοῦτο ἐξουσίαν λαβόντες κατὰ τῶν χοίρων ἐδήλωσαν. Εἰ γὰρ χοίρων οὐκ ἐφείσαντο, πολλῷ μᾶλλον ἡμῶν οὐκ ἂν ἀπέσχοντο.

Μὴ τοίνυν, ἀγαπητέ, ταῖς ἐκείνων ἀπάταις παρασύρου, ἀλλ' ἔσο ἐστηριγμένος ἐν τῷ φόβῳ τοῦ Θεοῦ. Πῶς δὲ καὶ εἰσελεύσῃ εἰς τὴν συναγωγήν; Ἂν μὲν σφραγίσῃς τὸ πρόσωπον, εὐθέως ἀπεπή-

28. Ἑβρ. 12,1.
29. Α' Κορ. 15,31.
30. Ἰω. 8,44.
31. Ματθ. 8,28–34.

πάνω μας κάθε βάρος καὶ ἂς τρέχουμε μὲ ὑπομονή»[28]. Βλέπεις, ὅτι καὶ τὸν Ἄβελ τὸν ὠνόμασε μάρτυρα καὶ τὸν Νῶε καὶ τὸν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ. Γιατὶ μερικοὶ ἀπ' αὐτοὺς ἔτσι πέθαναν γιὰ τὸν Θεό, ὅπως λέγει καὶ ὁ Παῦλος, «καθημερινὰ πεθαίνω»[29], ἂν καὶ δὲν πέθαινε, ἀλλὰ μὲ τὴ διάθεσή του ὑπέμενε τὸν θάνατο.

Ἔτσι καὶ σύ, ἂν ἀπορρίψης τὶς μαγεῖες καὶ τὶς μαγγανεῖες καὶ πεθάνης ὑπομένοντας τὴν ἀσθένειά σου, εἶσαι ὡλοκληρωμένος μάρτυρας, γιατί, ἂν καὶ ἄλλοι σοῦ ὑπόσχονταν ἀπαλλαγὴ ἀπὸ αὐτὴν μὲ ἀσέβεια, προτίμησες τὸν θάνατο μὲ εὐσέβεια. Καὶ αὐτὰ βέβαια τὰ εἶπα γιὰ ἐκείνους ποὺ κομπάζουν καὶ λέγουν, ὅτι οἱ δαίμονες θεραπεύουν· γιὰ νὰ μάθης ὅμως, ὅτι οὔτε κι αὐτὸ εἶναι ἀληθές, ἄκουσε τί λέγει ὁ Χριστὸς γιὰ τὸν διάβολο· «ἐκεῖνος ἦταν ἀνθρωποκτόνος ἀπὸ τὴν ἀρχή»[30]. Ὁ Θεὸς λέγει ὅτι εἶναι «ἀνθρωποκτόνος» καὶ σὺ τρέχεις σ' αὐτὸν σὰν σὲ γιατρό; Καὶ ποιά δικαιολογία, πές μου, θὰ ἔχης νὰ πῆς κατηγορούμενος, θεωρώντας τώρα πιὸ ἀξιόπιστες τὶς μαγεῖες αὐτῶν ἀπὸ τὴν ἀπόφαση τοῦ Χριστοῦ; Γιατί, ὅταν ὁ Θεὸς λέγη, ὅτι εἶναι «ἀνθρωποκτόνος», καὶ αὐτοί, ἀντίθετα πρὸς τὴ θεία ἀπόφαση, λένε, ὅτι μπορεῖ νὰ θεραπεύση νοσήματα, καὶ σὺ παραδέχεσαι τὶς μαγγανεῖες αὐτῶν καὶ τὰ μαγικὰ λόγια, μ' αὐτὰ ποὺ κάμνεις δὲν δείχνεις τίποτε ἄλλο, παρὰ ὅτι θεωρεῖς αὐτοὺς πιὸ ἀξιόπιστους ἀπὸ τὸν Θεό, ἔστω κι ἂν δὲν τὸ ὁμολογῆς μὲ τὰ λόγια. Κι ἂν ὁ διάβολος εἶναι ἀνθρωποκτόνος, εἶναι φανερό, ὅτι εἶναι καὶ οἱ δαίμονες ποὺ τὸν ὑπηρετοῦν. Καὶ αὐτὸ σοῦ τὸ δίδαξε ὁ Χριστὸς μὲ τὰ ἴδια τὰ ἔργα του. Ὅταν δηλαδὴ τοὺς ἐπέτρεψε νὰ εἰσέλθουν στὴν ἀγέλη τῶν χοίρων, ἔρριξαν ὅλη τὴν ἀγέλη ἐκείνη στὸν γκρεμό[31], γιὰ νὰ μάθης ὅτι καὶ στοὺς ἀνθρώπους τὰ ἴδια θὰ μποροῦσαν νὰ κάμουν καὶ θὰ τοὺς ἔπνιγαν ἀμέσως, ἂν τοὺς τὸ ἐπέτρεπε ὁ Θεός. Ἀλλὰ τώρα αὐτὸς τοὺς συγκρατοῦσε καὶ τοὺς ἐμπόδιζε καὶ δὲν τοὺς ἄφηνε νὰ κάνουν κάτι τέτοιο· καὶ αὐτὸ τὸ ἔδειξαν μὲ τὴν ἐξουσία ποὺ ἔλαβαν κατὰ τῶν χοίρων. Γιατί, ἂν δὲν λυπήθηκαν τοὺς χοίρους, πολὺ περισσότερο δὲν θὰ ἀπέφευγαν νὰ τὸ κάμουν σὲ μᾶς.

Μὴ παρασύρεσαι λοιπόν, ἀγαπητέ μου, ἀπὸ τὶς ἀπάτες ἐκείνων, ἀλλὰ παράμεινε στηριγμένος στὸ φόβο τοῦ Θεοῦ. Καὶ πῶς θὰ εἰσέλθης στὴν συναγωγή; Ἂν σφραγίσης τὸ πρόσωπό σου, ἀμέσως

δησεν ἡ πονηρὰ δύναμις ἡ τὴν συναγωγὴν οἰκοῦσα· ἂν δὲ μὴ σφραγίσης, ἀπὸ τῶν θυρῶν εὐθέως τὸ ὅπλον ἔρριψας· εἶτα γυμνὸν καὶ ἄοπλόν σε λαβὼν ὁ διάβολος, μυρία διαθήσει δεινά. Καὶ τί χρὴ λέγεσθαι ταῦτα παρ' ἡμῶν; Ὅτι γὰρ καὶ αὐτὸς σὺ μεγίστην ἁμαρτίαν εἶναι νομίζεις τὸ δραμεῖν εἰς τὸ πονηρὸν ἐκεῖνο χωρίον, δῆλον ἀπὸ τοῦ τρόπου τῆς ἀφίξεως. Καὶ γὰρ λαθεῖν σπουδάζεις ἀφικνούμενος ἐκεῖσε καὶ οἰκέταις καὶ φίλοις καὶ γείτοσι πρακελεύῃ, μὴ κατειπεῖν σου πρὸς τοὺς ἱερέας, κἂν διαβάλῃ τις, ἀγανακτεῖς. Πόσης οὖν οὐκ ἂν εἴη ἀνοίας, ἀνθρώπους πειρᾶσθαι λανθάνειν, τοῦ δὲ Θεοῦ ὁρῶντος, τοῦ πανταχοῦ παρόντος, ἀναισχύντως τὴν παρανομίαν ταύτην τολμᾶν; Ἀλλ' οὐ δέδοικας τὸν Θεόν; Οὐκοῦν κἂν αὐτοὺς αἰδέσθητι τοὺς Ἰουδαίους. Ποίοις γὰρ αὐτοὺς ὀφθαλμοῖς ὄψει; Καὶ ποίῳ διαλέξῃ στόματι, Χριστιανὸς μὲν εἶναι ὁμολογῶν, πρὸς δὲ τὰς ἐκείνων τρέχων συναγωγὰς καὶ τῆς παρ' ἐκείνων δεόμενος βοηθείας; Οὐκ ἐννοεῖς, ὅσον σου καταχέουσι γέλωτα, ὅσα σκώμματα, ὅσην χλευασίαν, ὅσην αἰσχύνην, ὅσον ὄνειδος, εἰ καὶ μὴ φανερῶς, ἀλλὰ κατὰ τὸ συνειδὸς τὸ ἑαυτῶν;

9. Ταῦτ' οὖν, εἰπέ μοι, φορητὰ ἢ ἀνεκτά; Εἰ γὰρ μυρίους ἀποθανεῖν θανάτους ἔδει, εἰ γὰρ τὰ ἀνήκεστα παθεῖν, οὐ πολλῷ βέλτιον ἦν ἅπαντα ὑπομεῖναι τὰ χαλεπά, ἢ τῶν μιαρῶν ἐκείνων γενέσθαι γέλωτα καὶ χλευασίαν καὶ μετὰ συνειδότος ζῆν πονηροῦ; Ταῦτα λέγω, οὐχ ἵνα ἀκούητε μόνον, ἀλλ' ἵνα τοὺς τὰ τοιαῦτα νοσοῦντας θεραπεύητε. Ὥσπερ γὰρ ἐκείνοις ἐγκαλοῦμεν, ὅτι ἀσθενοῦσι περὶ τὴν πίστιν, οὕτως ὑμῖν ἐγκαλοῦμεν, ὅτι τοὺς ἀσθενοῦντας διορθοῦν οὐ βούλεσθε. Μὴ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, ἀγαπητέ, ἵνα ἐνταῦθα εἰσιὼν ἀκούσῃς τὰ λεγόμενα· τοῦτο μὲν οὖν καὶ κρίμα ἐστίν, ὅταν μὴ προσῇ τῇ τῶν λόγων ἀκροάσει καὶ ἔργον. Διὰ τοῦτο Χριστιανὸς εἶ, ἵνα τὸν Χριστὸν μιμῇ καὶ τοῖς ἐκείνου πείθῃ νόμοις. Τί δαὶ ἐκεῖνος ἐποίησεν; Οὐκ ἐν Ἱεροσολύμοις καθήμενος ἐκάλει πρὸς ἑαυτὸν τοὺς ἀρρώστους, ἀλλὰ περίῃει πόλεις καὶ κώμας, ἑκατέρων τὴν ἀρρωστίαν θεραπεύων, καὶ τὴν τοῦ σώματος καὶ τὴν τῆς ψυ-

32. Ματθ. 4,23.

ἔφυγε ἡ πονηρὴ δύναμη ποὺ κατοικεῖ στὴ συναγωγή, ἂν ὅμως δὲν τὸ σφραγίσης, ἀπὸ τὶς θύρες ἀκόμη ἔρριψες τὸ ὅπλο σου, καὶ στὴ συνέχεια, ἀφοῦ σὲ παραλάβη γυμνὸ καὶ ἄοπλο, θὰ σὲ παραδώση σὲ ἄπειρα κακά. Καὶ γιατί πρέπει νὰ λέγωνται αὐτὰ ἀπὸ μένα; Γιατί, τὸ ὅτι καὶ σὺ ὁ ἴδιος πιστεύεις, ὅτι εἶναι πολὺ μεγάλη ἁμαρτία τὸ νὰ μεταβῆς στὸν πονηρὸ ἐκεῖνο χῶρο, γίνεται φανερὸ ἀπὸ τὸν τρόπο τῆς μεταβάσεως ἐκεῖ. Γιατὶ φροντίζεις νὰ μεταβῆς ἐκεῖ κρυφὰ καὶ λὲς στοὺς δούλους καὶ τοὺς φίλους καὶ τοὺς γείτονες νὰ μὴ τὸ καταγγείλουν στοὺς ἱερεῖς, καὶ ἂν κάποιος σὲ κατηγορήση, ἀγανακτεῖς. Πόσης λοιπὸν ἀνοησίας δὲν θὰ ἦταν δεῖγμα, νὰ προσπαθοῦμε νὰ διαφύγουμε τὴν προσοχὴ τῶν ἀνθρώπων, καί, ἐνῶ μᾶς βλέπει ὁ Θεὸς ποὺ εἶναι πανταχοῦ παρών, νὰ τολμοῦμε χωρὶς καμμιὰ ντροπὴ νὰ κάμουμε τὴν παρανομία αὐτή; Ἀλλὰ δὲν φοβᾶσαι τὸν Θεό; Νιῶσε τότε ντροπὴ ἔστω καὶ πρὸς τοὺς Ἰουδαίους. Γιατὶ μὲ ποιά μάτια θὰ τοὺς κοιτάξης; καὶ μὲ ποιό στόμα θὰ μιλήσης ὅταν, ἐνῶ ὁμολογεῖς ὅτι εἶσαι Χριστιανός, τρέχης στὶς συναγωγὲς ἐκείνων καὶ ἔχης ἀνάγκη ἀπὸ τὴ βοήθειά τους; Δὲν καταλαβαίνεις πόσα γέλια κάνουν ἐναντίον σου, μὲ πόσες κοροϊδίες σὲ περιβάλλουν, μὲ πόσους χλευασμούς, πόσο σὲ ντροπιάζουν καὶ πόσο σὲ κατηγοροῦν, ἂν καὶ ὄχι φανερά, ἀλλὰ μέσα στὴ συνείδησή τους;

9. Αὐτὰ λοιπόν, πές μου, εἶναι ὑποφερτὰ καὶ ἀνεκτά; Γιατί, ἂν ἔπρεπε νὰ ὑποστῆς ἄπειρους θανάτους, ἂν ἔπρεπε νὰ πάθης ἀθεράπευτα κακά, δὲν θὰ ἦταν προτιμότερο νὰ ὑπομείνης ὅλα τὰ φοβερὰ αὐτά, παρὰ νὰ γίνης περίγελως καὶ χλευασμὸς τῶν μιαρῶν ἐκείνων καὶ νὰ ζῆς μὲ συνείδηση βαρειά; Αὐτὰ τὰ λέγω ὄχι γιὰ νὰ τὰ ἀκοῦτε μόνο, ἀλλὰ γιὰ νὰ θεραπεύετε ἐκείνους ποὺ πάσχουν ἀπὸ τέτοιες ἀσθένειες. Γιατί, ὅπως ἀκριβῶς κατηγορῶ ἐκείνους, ὅτι εἶναι ἀσθενεῖς κατὰ τὴν πίστη, ἔτσι κατηγορῶ καὶ σᾶς, γιατὶ δὲν θέλετε νὰ θεραπεύετε τοὺς ἀσθενεῖς. Μήπως αὐτὸ εἶναι, ἀγαπητέ, τὸ ζητούμενο, νὰ ἔρχεσαι ἐδῶ γιὰ ν' ἀκούσης τὰ λεγόμενα; αὐτὸ εἶναι καὶ αἰτία καταδίκης, ὅταν τὴν ἀκρόαση τῶν λόγων δὲν τὴν ἀκολουθοῦν καὶ ἔργα. Γι' αὐτὸ εἶσαι Χριστιανός, γιὰ νὰ μιμῆσαι τὸν Χριστὸ καὶ νὰ ὑπακοῦς στοὺς νόμους του. Τί ἔκαμε λοιπὸν ἐκεῖνος; Δὲν καθόταν στὰ Ἱεροσόλυμα καὶ καλοῦσε τοὺς ἀρρώστους κοντά του, ἀλλὰ περιώδευε πόλεις καὶ χωριὰ θεραπεύοντας τὴν ἀσθένεια καὶ τῶν δύο, καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς[32]. Ἂν καὶ βέβαια μποροῦσε, διαμέ-

χῆς. Καίτοι γε ἐδύνατο ἐν ἑνὶ καθήμενος τόπῳ πάντας ἑλκύσαι πρὸς ἑαυτόν· ἀλλ' οὐκ ἐποίησε τοῦτο, ἡμῖν διδοὺς ὑπόδειγμα εἰς τὸ περιιέναι καὶ ζητεῖν τοὺς ἀπολλυμένους.

Πάλιν καὶ διὰ τῆς κατὰ τὸν ποιμένα παραβολῆς τοῦτο ἠνίξατο. Καὶ γὰρ οὐκ ἐκάθισε μετὰ τῶν ἐνενηκονταεννέα προβάτων καὶ ἀνέμεινε τὸ πλανώμενον ἐλθεῖν πρὸς αὐτόν, ἀλλ' αὐτὸς ἀπῆλθε καὶ ἐβάστασεν ἐπὶ τῶν ὤμων καὶ ἀπεκόμισεν. Οὐχ ὁρᾷς καὶ τοὺς ἰατροὺς αὐτὸ τοῦτο ποιοῦντας; Οὐκ ἀναγκάζουσι τοὺς ἀρρώστους ἐπὶ τῶν κλινιδίων κατακειμένους εἰς τὰς οἰκίας αὐτῶν φέρεσθαι, ἀλλ' αὐτοὶ τρέχουσι πρὸς ἐκείνους. Τοῦτο καὶ σὺ ποίησον, ἀγαπητέ, εἰδὼς ὅτι βραχὺς ὁ παρὼν βίος, κἂν μὴ ταῦτα κερδάνωμεν τὰ κέρδη, οὐδεμίαν ἕξομεν ἐκεῖ σωτηρίαν. Δύναται πολλάκις μία κερδηθεῖσα ψυχὴ μυρίων ὄγκον ἁμαρτημάτων ἀφανίσαι καὶ γενέσθαι ἡμῖν ἀντίψυχον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἐννόησον διὰ τί προφῆται, διὰ τί ἀπόστολοι, διὰ τί δίκαιοι, διὰ τί ἄγγελοι πολλάκις ἐπέμφθησαν, διὰ τί αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ παρεγένετο· οὐχ ἵνα ἀνθρώπους διασώσῃ; οὐχ ἵνα πεπλανημένους ἐπαναγάγῃ; Τοῦτο καὶ σὺ ποίησον κατὰ δύναμιν τὴν σὴν καὶ πᾶσαν σπουδὴν ἐπίδειξαι καὶ πρόνοιαν εἰς τὴν τῶν πεπλανημένων ἐπάνοδον.

Ταῦτα καθ' ἑκάστην ὑμῖν παραινῶν σύναξιν οὐ διαλιμπάνω, κἂν προσέχητε, κἂν μὴ προσέχητε, ἐγὼ λέγων οὐ παύσομαι. Τοῦτο γὰρ ἡμῖν παρὰ τοῦ Θεοῦ νόμος, ἄν τε ἀκούσῃ τις, ἄν τε μὴ ἀκούσῃ, τὴν διακονίαν ταύτην πληροῦν. Ἀλλ' ἐὰν μὲν ἀκούσητε καὶ ποιήσητε τὰ λεγόμενα, μετὰ πολλῆς αὐτὸ τοῦτο ἐργασόμεθα τῆς ἡδονῆς· ἂν δὲ ἀμελήσητε καὶ ῥᾳθυμήσητε, μετὰ πολλῆς τῆς ἀθυμίας. Ἡμῖν μὲν γὰρ ἐκ τῆς ὑμετέρας παρακοῆς οὐδεὶς ἔσται λοιπὸν κίνδυνος· τὸ γὰρ ἡμέτερον ἅπαν ἐπληρώσαμεν· πλὴν ἀλλὰ κἂν μὴ κινδυνεύωμεν τῷ πεπληρωκέναι τὰ παρ' ἑαυτῶν ἅπαντα, ἀλγοῦμεν ὑμῶν ἐγκαλουμένων κατὰ τὴν ἡμέραν ἐκείνην. Οὐ γὰρ ἀκίνδυνος ὑμῖν ἔσται ἡ ἀκρόασις, ὅταν ἡ διὰ τῶν ἔργων προσθήκη μὴ γένηται. Ἄκουσον γοῦν πῶς τοῖς διδασκάλοις ἐγκαλῶν τοῖς ἀποκρύπτουσι τὸν λόγον καὶ τοὺς μαθητευομένους ἐφόβησεν. Εἰπὼν γάρ, «ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας», καὶ

33. Ματθ. 18,12 ἑ. Λουκᾶ 15 4

νοντας σ' ἕναν τόπο, νὰ τοὺς προσελκύση ὅλους κοντά του· ἀλλὰ δὲν τὸ ἔκαμε, γιὰ νὰ μᾶς δώση ὡς παράδειγμα, νὰ περιερχώμαστε καὶ νὰ ἀναζητοῦμε τοὺς χαμένους.

Ἐπίσης καὶ μὲ τὴν παραβολὴ τοῦ καλοῦ ποιμένα[33] τὸ ἴδιο ὑπαινίχθηκε. Καθ' ὅσον δὲν ἔμεινε κοντὰ στὰ ἐνενήντα ἐννιὰ πρόβατα καὶ περίμενε νὰ ἐπιστρέψη κοντά του τὸ χαμένο πρόβατο, ἀλλ' αὐτὸς πῆγε νὰ τὸ ἀναζητήση καὶ τὸ βάσταξε στοὺς ὤμους του καὶ τὸ ἐπανέφερε στὸ κοπάδι. Δὲν βλέπεις καὶ τοὺς γιατροὺς ποὺ κάμνουν τὸ ἴδιο; Δὲν ἐξαναγκάζουν τοὺς κατάκοιτους ἀρρώστους νὰ μεταφερθοῦν στὰ σπίτια τους, ἀλλ' αὐτοὶ οἱ ἴδιοι τρέχουν σ' αὐτούς. Αὐτό, ἀγαπητέ, κάμε καὶ σύ, γνωρίζοντας ὅτι ἡ παροῦσα ζωὴ εἶναι σύντομη, καὶ ἂν δὲν κερδίσουμε τὰ κέρδη αὐτά, δὲν θὰ ἔχουμε ἐκεῖ καμμιὰ σωτηρία. Μιὰ κερδισμένη ψυχὴ μπορεῖ νὰ ἐξαλείψη ὄγκο ἀπείρων ἁμαρτημάτων καὶ νὰ ἀποβῆ ἀντίλυτρο γιὰ μᾶς κατὰ τὴν ἡμέρα ἐκείνη. Σκέψου γιατί στάλθηκαν οἱ προφῆτες, γιατί οἱ ἀπόστολοι, γιατί οἱ δίκαιοι, γιατί οἱ ἄγγελοι πολλὲς φορές, γιατί ἦλθε ὁ ἴδιος ὁ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενής. Δὲν ἦλθε γιὰ νὰ σώση τοὺς ἀνθρώπους; δὲν ἦλθε γιὰ νὰ ἐπαναφέρη κοντὰ στὸ Θεὸ ἐκείνους ποὺ πλανήθηκαν; Αὐτὸ κάμε καὶ σὺ σύμφωνα μὲ τὶς δυνάμεις σου καὶ δεῖξε κάθε φροντίδα καὶ μέριμνα γιὰ τὴν ἐπάνοδο τῶν πλανημένων.

Αὐτὰ δὲν παραλείπω νὰ σᾶς τὰ συστήνω σὲ κάθε σύναξη, καὶ εἴτε προσέχετε εἴτε δὲν προσέχετε ἐγὼ δὲν θὰ παύσω νὰ τὰ λέγω. Γιατὶ αὐτὸ εἶναι γιὰ μᾶς νόμος τοῦ Θεοῦ, εἴτε ἀκούσει κανεὶς εἴτε δὲν ἀκούσει, νὰ ἐπιτελοῦμε αὐτὴν τὴν διακονία. Ἀλλ' ἂν ἀκούσετε καὶ κάμετε αὐτὰ ποὺ σᾶς λέγω, μὲ περισσότερη εὐχαρίστηση θὰ ἐπιτελῶ αὐτήν, ἂν ὅμως ἀδιαφορήσετε καὶ ραθυμήσετε, θὰ τὴν ἐπιτελῶ μὲ πολλὴ λύπη. Γιατὶ σὲ μένα κανένας κίνδυνος δὲν θὰ ὑπάρξη ἀπὸ τὴ δική σας παρακοή, ἀφοῦ ἔκαμα στὸ ἀκέραιο τὸ καθῆκον μου, πλὴν ὅμως, κι ἂν ἀκόμη δὲν κινδυνεύω γιατὶ ἔκαμα στὸ ἀκέραιο τὸ καθῆκον μου, ὅμως πονῶ φοβερὰ ποὺ θὰ κατηγορηθῆτε κατὰ τὴν ἡμέρα ἐκείνη. Γιατὶ δὲν θὰ εἶναι ἀκίνδυνη ἡ ἀκρόαση τῶν λόγων μου, ὅταν δὲν προστεθοῦν καὶ τὰ ἔργα. Ἄκουσε λοιπὸν πῶς ἐλέγχοντας τοὺς διδασκάλους ἐκείνους ποὺ ἀποκρύπτουν τὸν λόγο, φόβησε καὶ τοὺς μαθητές. Γιατί, ἀφοῦ εἶπε, «ἔπρεπε νὰ καταθέσης τὰ χρήματά μου στοὺς τραπεζίτες», καὶ πρόσθεσε, «καὶ ἐγὼ ἐρχό-

ἐπαγαγών, ὅτι «κἀγὼ ἐλθὼν μετὰ τόκου ἂν ἀπήτησα αὐτό», ἔδειξεν, ὅτι μετὰ τὴν ἀκρόασιν (τοῦτο γάρ ἐστιν ἡ τοῦ ἀργυρίου καταβολὴ) τοὺς ὑποδεξαμένους τὴν διδασκαλίαν τόκον ἐργάζεσθαι χρή. Τόκος δὲ διδασκαλίας οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἡ διὰ τῶν ἔργων ἐπίδειξις.

Ἐπεὶ οὖν καὶ ἡμεῖς κατεβάλομεν τὸ ἀργύριον εἰς τὴν ἀκοὴν τὴν ὑμετέραν, ἀνάγκη λοιπόν, ὑμᾶς ἀποδοῦναι τὸν τόκον τῷ δεσπότῃ, τουτέστι, τὴν σωτηρίαν τῶν ἀδελφῶν τῶν ὑμετέρων. Ὥστε εἰ μένοιτε ταῦτα κατέχοντες τὰ εἰρημένα μόνον καὶ μηδὲν ἐν ἑαυτοῖς ἐργαζόμενοι, δέδοικα μὴ τὴν αὐτὴν τῷ τὸ τάλαντον κατορύξαντι δῶτε δίκην. Καὶ γὰρ ἐκεῖνος διὰ τοῦτο τοὺς πόδας καὶ τὰς χεῖρας δεθείς, εἰς τὸ σκότος ἐξήγετο τὸ ἐξώτερον, ὅτι οὐκ ἐξήνεγκεν εἰς ἑτέρους ἅπερ ἤκουσεν. Ἵν' οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, τὸν τὰ πέντε δεξάμενον καὶ τὸν τὰ δύο τάλαντα, μιμησώμεθα· κἂν τε λόγον, κἂν τε χρήματα, κἂν τε σώματος πόνον, κἂν εὐχήν, κἂν ἄλλ' ὁτιοῦν εἰς τὴν τοῦ πλησίον σωτηρίαν ἀναλῶσαι δεήσῃ, μὴ ὀκνήσωμεν, ἵνα, πανταχόθεν τὸ παρὰ τοῦ Θεοῦ δοθὲν ἡμῖν τάλαντον ἀναλόγως ἕκαστοι πολυπλασιάσαντες, δυνηθῶμεν τῆς μακαρίας ἐκείνης ἀκοῦσαι φωνῆς, «εὖ δοῦλε, ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου», ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μενος θὰ ζητοῦσα νὰ τὰ πάρω μὲ τόκο»[34], ἔδειξε ὅτι μετὰ τὴν ἀκρόαση (γιατὶ αὐτὴ εἶναι ἡ κατάθεση τοῦ ἀργυρίου) πρέπει ἐκεῖνοι ποὺ ἄκουσαν τὴ διδασκαλία νὰ ἀποφέρουν τόκο. Καὶ τόκος τῆς διδασκαλίας δὲν εἶναι τίποτε ἄλλο, παρὰ ἡ ἐπίδειξη αὐτῆς μὲ ἔργα.

Ἐπειδὴ λοιπὸν καὶ ἐγὼ κατέθεσα τὸ ἀργύριο στὴν ἀκοή σας, εἶναι ἀνάγκη πλέον νὰ ἀποδώσετε σεῖς στὸν Κύριο τὸν τόκο, δηλαδὴ τὴ σωτηρία τῶν ἀδελφῶν σας. Ὥστε, ἂν ἀρκεσθῆτε στὸ νὰ κατέχετε μόνο τὰ λεχθέντα καὶ δὲν κάμνετε τίποτε ἐσεῖς, φοβοῦμαι μήπως δεχθῆτε τὴν ἴδια τιμωρία μὲ ἐκεῖνον ποὺ ἔκρυψε τὸ τάλαντο στὴ γῆ[35]. Γιατὶ ἐκεῖνος γι' αὐτό, ἀφοῦ τοῦ δέθηκαν τὰ χέρια καὶ τὰ πόδια, ὡδηγοῦνταν στὸ σκότος τὸ ἐξώτερο, γιατὶ δὲν μετέφερε στοὺς ἄλλους ἐκεῖνα ποὺ ἄκουσε. Γιὰ νὰ μὴν πάθουμε λοιπὸν καὶ ἐμεῖς τὰ ἴδια, ἂς μιμηθοῦμε ἐκεῖνον, ποὺ ἔλαβε τὰ πέντε καὶ ἐκεῖνον ποὺ ἔλαβε τὰ δύο τάλαντα. Καὶ ἂν χρειασθῆ νὰ ξοδέψουμε γιὰ τὴ σωτηρία τοῦ πλησίον εἴτε λόγο εἴτε χρήματα εἴτε κόπο σωματικὸ εἴτε προσευχὴ εἴτε ὁ,τιδήποτε ἄλλο, ἂς μὴ διστάσουμε, ὥστε, πολλαπλασιάζοντας ἀπὸ παντοῦ τὸ τάλαντο ποὺ ἀνάλογα μᾶς δόθηκε ἀπὸ τὸν Θεό, νὰ μπορέσουμε ν' ἀκούσουμε τὴ μακάρια ἐκείνη φωνή· «Εὖγε, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπειδὴ στὰ λίγα φάνηκες πιστός, σὲ πολλὰ θὰ σὲ ἐγκαταστήσω. Εἴσελθε στὴ χαρὰ τοῦ Κυρίου σου»[36], τὴν ὁποία εἴθε νὰ ἐπιτύχουμε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

34. Ματθ. 25,27.
35. Ματθ. 25,25 ἑ.
36. Ματθ. 25,21.

ΛΟΓΟΣ

ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΒΑΒΥΛΑΝ

ΛΟΓΟΣ

ΕΙΣ ΤΟΝ ΜΑΚΑΡΙΟΝ ΒΑΒΥΛΑΝ

ΚΑΙ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΚΑΙ ΠΡΟΣ ΕΛΛΗΝΑΣ

1. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μέλλων πρὸς τὸ πάθος ἤ χωρεῖν καὶ τὸν θάνατον ἀποθνήσκειν τὸν ζωοποιὸν αὐτῇ τῇ τελι ταίᾳ νυκτί, καλέσας ἰδίᾳ τοὺς ἑαυτοῦ μαθητάς, ἄλλα τε διελέχ πολλὰ καὶ παρήνεσε καὶ μετὰ τῶν ἄλλων εἶπέ τι καὶ τοιοῦτον α τοῖς· «ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγ ποιῶ, κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει». Καίτοι πο λοὶ ἕτεροι διδάσκαλοί τε ἐγένοντο καὶ μαθητὰς ἔσχον καὶ θαύματ ἐπεδείξαντο, καθὼς Ἑλλήνων παῖδες κομπάζουσιν, ἀλλ' ὅμως οι δεὶς οὐδέποτε ἐκείνων τοιοῦτον οὐδὲ οὔτε εἰς νοῦν ἐβάλετο, οὔτ εἰπεῖν ἐτόλμησεν. Οὐδ' ἂν ἔχοιεν Ἑλλήνων τινές, κἂν πάντα ἀναι σχυντοῖεν, ἐπιδεῖξαι πρόρρησιν ἢ λόγον τοιοῦτον κείμενον παρ' αὐ τοῖς· ἀλλὰ φάσματα μὲν τῶν κατοιχομένων καὶ νεκρῶν τινων εἴ δωλα δεῖξαι, πολλοὶ πολλοὺς παρ' αὐτοῖς θαυματοποιούς φασι κα φωνὰς δέ τινας ἀπὸ μνημείων τισὶν ἐνεχθῆναι λέγουσιν, ὅτι δέ τις τῶν ζησάντων ἀνθρώπων καὶ θαυμασθέντων παρ' αὐτοῖς, ἢ οὓς μετὰ τελευτὴν ἐνόμισαν εἶναι θεούς, εἰπέ τι τοιοῦτον τοῖς ἑαυτοῦ μαθηταῖς, οὐδεὶς ἂν αὐτῶν ἰσχυρίσαιτό ποτε. Καὶ τὴν αἰτίαν δὲ εἰ βούλεσθε ἐρῶ, διὰ τί τὰ ἄλλα πάντα ἀπηρυθριασμένως καὶ γυμνῇ ψευδόμενοι τῇ κεφαλῇ, τοιοῦτον οὐδέποτε οὐδὲν πλάσασθαι ἐτόλμησαν. Οὐ γὰρ ἁπλῶς, οὐδὲ ἄνευ τινὸς λόγου ταύτης ἀπέσχοντο

1. Ἰω. 14,12.

ΛΟΓΟΣ

ΣΤΟΝ ΜΑΚΑΡΙΟ ΒΑΒΥΛΑ

ΚΑΙ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΕΛΛΗΝΕΣ

1. Ὅταν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπρόκειτο πλέον νὰ βαδίση πρὸς τὸ πάθος καὶ νὰ ὑποστῆ τὸν ζωοποιὸ θάνατο, τὴν τελευταία ἐκείνη νύχτα, ἀφοῦ κάλεσε ἰδιαιτέρως τοὺς μαθητές του, συζήτησε μαζί τους πολλὰ θέματα καὶ τοὺς ἔδωσε συμβουλές, καὶ μαζὶ μὲ τὰ ἄλλα τοὺς εἶπε καὶ αὐτό· «ἀλήθεια, ἀλήθεια σᾶς λέγω, ἐκεῖνος ποὺ πιστεύει σὲ μένα, τὰ ἔργα ποὺ κάμνω ἐγώ, καὶ ἐκεῖνος θὰ τὰ κάμη, ἀλλὰ καὶ μεγαλύτερα ἀπ' αὐτὰ θὰ κάμη»[1]. Ἂν καὶ βέβαια ὑπῆρξαν καὶ πολλοὶ ἄλλοι διδάσκαλοι, ποὺ καὶ μαθητὲς εἶχαν καὶ θαύματα ἔκαμεν, ὅπως καυχῶνται οἱ εἰδωλολάτρες, ἀλλ' ὅμως κανεὶς ἀπ' αὐτοὺς ποτὲ δὲν σκέφθηκε κάτι τέτοιο οὔτε καὶ τόλμησε νὰ πῆ. Οὔτε θὰ μποροῦσαν κάποιοι ἀπὸ τοὺς εἰδωλολάτρες, κι ἂν ἀκόμη ξεπερνοῦσαν κάθε ἀδιαντροπιά, νὰ δείξουν ὅτι ὑπάρχει στὰ βιβλία τους μιὰ τέτοια προφητεία ἢ λόγοι παρόμοιοι. Βέβαια μποροῦν νὰ ποῦν, ὅτι πολλοὶ θαυματοποιοί τους παρουσίασαν φαντάσματα πεθαμένων καὶ εἴδωλα κάποιων νεκρῶν, καὶ νὰ λέγουν ἐπίσης, ὅτι ἀπὸ ὡρισμένους ἀκούσθηκαν φωνὲς προερχόμενες ἀπὸ μνήματα, ὅμως κανεὶς δὲν θὰ μποροῦσε νὰ ἰσχυρισθῆ ποτέ, ὅτι κάποιος ἀπὸ τοὺς ἀνθρώπους, ποὺ ἔζησαν καὶ θαυμάσθηκαν ἀπ' αὐτοὺς ἢ ποὺ θεωρήθηκαν μετὰ τὸν θάνατό τους θεοί, εἶπε κάτι τέτοιο στοὺς μαθητές του. Κι ἂν θέλετε μπορῶ νὰ σᾶς πῶ καὶ τὴν αἰτία, γιατί δηλαδή, ἐνῶ γιὰ ὅλα τὰ ἄλλα ψεύδονται χωρὶς νὰ κοκκινίζουν καὶ νὰ σκεπάζουν τὸ πρόσωπό τους ἀπὸ ντροπή, ὅμως δὲν τόλμησαν ποτὲ νὰ πλάσουν κάτι τέτοιο. Καὶ βέβαια δὲν ἀπέφυγαν ἔτσι στὴν τύχη καὶ χωρὶς κανένα λόγο τὴ μηχανορραφία αὐτή, ἀλλὰ σκέφθηκαν μὲ πανουργία οἱ διαφθορεῖς ἐκεῖνοι, ὅτι ἐκεῖνος ποὺ θέ-

τῆς μηχανῆς, ἀλλ' εἶδον τοῦτο κακούργως οἱ λυμεῶνες ἐκεῖνοι, ὅτι τὸν μέλλοντα ἀπατᾶν πιθανά τινα καὶ πολλῆς γέμοντα κομψείας καὶ πρὸ τὸ μὴ φωραθῆναι δυσδιάγνωστα συντιθέναι χρή.

Καὶ γὰρ τοὺς δεινοὺς τῶν τε ἰχθύων τῶν τὲ ὀρνίθων θηρευτὰς ἔθος οὐ γυμνὰ προτιθέναι τὰ θήρατρα, ἀλλὰ τῷ δελέατι πάντοθεν αὐτὰ περιστείλαντας ἀκριβῶς, οὕτω τῆς ἄγρας περιγενέσθαι ἑκατέρας ἑκατέρους. Εἰ δὲ ἐκκαλύψαντες αὐτὰ τοῖς ἁλίσκεσθαι μέλλουσιν οὕτω παρεῖχον ὁρᾶν, οὔτε ἰχθῦς, οὔτε ὄρνιθες τῶν ἀρκύων ἐκείνων ἐντὸς ἂν ἐγένοντό ποτε· μᾶλλον δὲ οὐδ' ἂν τὴν ἀρχὴν προσῆλθον αὐτοῖς, ἀλλὰ κεναῖς ἂν ἕκαστος ἀπῆλθε χερσὶν οἴκαδε, ὅ τε θαλάττιος ὅ τε χερσαῖος θηρατής. Ἐπεὶ οὖν καὶ τούτοις σαγηνεύειν ἀνθρώπους προύκειτο, οὐκ ἔρριψαν γυμνὴν τὴν ἀπάτην εἰς τὸ τοῦ βίου πέλαγος, ἀλλὰ πλασάμενοι καὶ συνθέντες τὰ δυνάμενα τοὺς ἀλογωτέρους ἑλεῖν, περαιτέρω προελθεῖν ἐφείσαντο τῷ ψεύδει, δεδοικότες τὴν ὑπερβολὴν καὶ φοβούμενοι, μὴ τῇ τῶν δευτέρων ἀμετρίᾳ καὶ τὰ πρότερα ἀναλύσωσιν. Εἰ γὰρ εἶπον ὅτι τοιοῦτόν τι παρ' αὐτοῖς ἐπηγγείλατό τις, οἷον ὁ ἡμέτερος Σωτὴρ τοῖς μαθηταῖς εἶπε τοῖς ἑαυτοῦ καὶ οἱ παρ' αὐτῶν ἠπατημένοι κατεγέλασαν ἂν αὐτῶν, ὡς οὐδὲ πιθανὰ ψεύσασθαι δυνηθέντων. Τὰ γὰρ τοιαῦτα καὶ προλέγειν καὶ πληροῦν μετὰ ἀληθείας, τῆς μακαρίας ἐκείνης δυνάμεως μόνης ἐστίν. Εἰ δέ τι καὶ δαίμονες ἴσχυσάν ποτε φαντάσαι τοὺς ἠπατημένους μικρόν, ἀλλ' ὅτε οὔπω τοῦ φωτὸς ἡ πηγὴ γνώριμος ἦν τοῖς πολλοῖς. Καὶ τότε δὲ αὐτόθεν ἐδείκνυτο, ὅτι δαιμόνων ἦν ἔργα τὰ τελούμενα, τῇ τε ἄλλῃ ἀπάτῃ καὶ ταῖς θυσίαις αὐταῖς. Τὸ γὰρ ἀνθρωπίνοις αἵμασι τοὺς ἑαυτῶν προστάττειν φοινίττεσθαι βωμοὺς καὶ παρὰ τῶν σπειράντων τὰ τοιαῦτα αὐτοῖς κελεύειν ἱερεῖα καταβάλλεσθαι, τίνα οὐκ ἂν ἀποκρύψειε μανίας ὑπερβολήν; Οἱ γὰρ μηδέποτε ἐκ τῶν ἡμετέρων κορεννύμενοι συμφορῶν, μηδὲ εἰδότες ὅρον τινὰ καὶ πέρας τῆς μάχης τῆς πρὸς ἡμᾶς, ἀλλὰ ἀθάνατα λυττῶντες ἀεί, καθάπερ οὐκ ἀρκοῦν αὐτῶν ἐμπλῆσαι τὸν θυμόν, τὸ γυναῖκας καὶ παῖδας ἀντὶ προβάτων καὶ βοῶν εἰς

λει νὰ ἐξαπατήση πρέπει τὰ λεγόμενά του νὰ ἔχουν κάποια ἀληθοφάνεια καὶ νὰ εἶναι γεμᾶτα ἀπὸ κομψότητα, καὶ γιὰ νὰ μὴν ἀποκαλυφθῆ ἡ ἀπάτη του νὰ τὰ παρουσιάζη δυσκολονόητα.

·Πράγματι καὶ οἱ ἔμπειροι κυνηγοὶ καὶ τῶν πουλιῶν καὶ τῶν ψαριῶν συνηθίζουν νὰ μὴ τοποθετοῦν ἀκάλυπτες τὶς παγίδες τους, ἀλλὰ ἀφοῦ τὶς τυλίξουν μὲ προσοχὴ ἀπὸ παντοῦ μὲ δολώματα, ἔτσι κατορθώνουν νὰ ἔχουν ἐπιτυχία στὸ κυνήγι τους ὁ καθένας ἀπὸ αὐτούς. Ἂν ὅμως ξεσκέπαζαν τὶς παγίδες τους δίνοντας ἔτσι τὴ δυνατότητα στὰ θηράματά τους νὰ τὶς δοῦν, οὔτε ψάρια οὔτε πουλιὰ θὰ ἔμπαιναν μέσα στὶς παγίδες ἐκεῖνες· ἢ καλύτερα οὔτε κἂν θὰ τὶς πλησίαζαν ἀπὸ τὴν ἀρχή, καὶ ἔτσι θὰ γύριζαν στὸ σπίτι μὲ ἄδεια χέρια καὶ ὁ ψαρᾶς καὶ ὁ κυνηγός. Ἐπειδὴ λοιπὸν καὶ αὐτοὶ ἐπρόκειτο νὰ ἁλιεύουν ἀνθρώπους, δὲν ἔρριξαν ἀκάλυπτη τὴν ἀπάτη στὸ πέλαγος τῆς ζωῆς, ἀλλά, ἀφοῦ διέπλασαν καὶ συνέθεσαν ἐκεῖνα ποὺ μποροῦν νὰ συλλάβουν τοὺς ἀλογωτέρους, δίσταξαν νὰ προχωρήσουν παρὰ πέρα καὶ νὰ φθάσουν στὸ ψεῦδος, γιατὶ φοβήθηκαν τὴν ὑπερβολή, μήπως δηλαδὴ μὲ τὴν ἀμετρία τῶν δευτέρων ἀποκαλύψουν καὶ τὰ προηγούμενα. Ἂν δηλαδὴ ἔλεγαν, ὅτι κάποιος δικός τους εἶπε κάτι τέτοιο ποὺ εἶπε ὁ δικός μας Σωτήρας στοὺς μαθητές του, τότε καὶ ἐκεῖνοι ποὺ ἐξαπατήθηκαν ἀπ' αὐτοὺς θὰ τοὺς εἰρωνεύονταν, γιατὶ δὲν μπόρεσαν οὔτε πειστικὰ ψέματα νὰ ποῦν. Γιατὶ τὸ νὰ προλέγη τέτοια πράγματα καὶ νὰ τὰ πραγματοποιῆ μὲ ἀκρίβεια ἀνήκει σ' ἐκείνη μόνο τὴ μακάρια δύναμη. Ἂν ὅμως κάποτε καὶ οἱ δαίμονες μπόρεσαν νὰ πείσουν κάπως ἐκείνους ποὺ ἀπατήθηκαν, αὐτὸ συνέβηκε τότε ποὺ δὲν ἦταν ἡ πηγὴ τοῦ φωτὸς γνωστὴ στοὺς πολλούς. Ἀλλὰ και τότε ἀπὸ αὐτὸ γίνονταν φανερό, ὅτι ἦταν ἔργα τῶν δαιμόνων ἐκεῖνα ποὺ γίνονταν, καὶ ἀπὸ τὴν ἀπάτη δηλαδὴ καὶ ἀπὸ τὶς ἴδιες τὶς θυσίες. Γιατί, τὸ νὰ προστάζουν νὰ βάφουν τοὺς βωμούς τους μὲ ἀνθρώπινα αἵματα καὶ νὰ προσφέρουν σ' αὐτοὺς οἱ ἴδιοι οἱ γονεῖς τὰ παιδιά τους σὰν θυσία ἱερή, ποιά μανία ὑπερβολικὴ δὲν ξεπερνάει; Ἐκεῖνοι δηλαδὴ ποὺ δὲν χορταίνουν ποτὲ ἀπὸ τὶς συμφορές μας οὔτε γνωρίζουν κάποιο ὅριο καὶ τέλος τοῦ πολέμου τους πρὸς ἐμᾶς, ἀλλὰ αἰώνια λυσσομανοῦν ἐναντίον μας, σὰν νὰ μὴ ἔφθανε νὰ ἱκανοποιήση τὸ θυμό τους τὸ ὅτι κατασφάζονταν ἐπάνω στοὺς βωμούς τους γυναῖκες καὶ παιδιὰ ἀντὶ προβάτων καὶ βοδιῶν,

τοὺς αὐτῶν κατασφάττεσθαι βωμούς, ἐπενόησαν ξένην ἀνδροφονίας παρανομίαν καὶ καινότερον συμφορᾶς ἐπεισήγαγον τρόπον.

Οὓς γὰρ ἔδει πενθεῖν τὰς τῶν ἀνῃρημένων σφαγάς, τούτους ἔπεισαν εἰς τὴν ἀθλίαν ἐκείνην μιαιφονίαν προάγειν αὐτούς. Καὶ ἵνα μὴ μόνον οἱ παρὰ τῶν ἀνθρώπων τεθέντες ἀτιμάζωνται νόμοι καὶ τοὺς τῆς φύσεως αὐτοὺς θεσμοὺς ἐκ βάθρων ἀνέσπασαν, αὐτὴν καθ' ἑαυτῆς ἐκβακχεύσαντες, καὶ τὸν ἀπάντων ἐναγέστερον φόνον εἰς τὸν τῶν ἀνθρώπων εἰσάγοντες βίον. Οὐδένας γὰρ ἐχθροὺς οὕτω λοιπόν, ὡς τοὺς γεγεννηκότας ἅπαντες ἔδεισαν καὶ οἷς ἐχρῆν μάλιστα πάντων θαρρεῖν, τούτους μάλιστα πάντων δι' ὑποψίας εἶχον καὶ ἀπεστρέφοντο. Οἱ γὰρ ἀλάστορες ἐκεῖνοι, δι' ὧν ὁ Θεὸς αὐτοὺς ἐπὶ τὴν θεωρίαν τοῦδε τοῦ κόσμου παρήγαγε, διὰ τούτων αὐτοὺς ταύτης ἐκβαλεῖν ἐφιλονείκησαν τῆς δωρεᾶς, τοὺς πρὸς τὸ ζῆν ὑπηρετησαμένους, τούτους καὶ τοῦ θανάτου καταστήσαντες αἰτίους, ὥσπερ ἐπιδεῖξαι βουλόμενοι, ὅτι πλέον οὐδὲν αὐτοῖς γέγονεν ἐκ τῆς ἀγαθότητος τοῦ Θεοῦ· οὐ γὰρ ἑτέρων δεήσονται σφαγέων, ἀλλὰ τῶν φυσαμένων αὐτῶν. Ταῦτα εἰ καὶ θαῦμά τι παρηκολούθησεν μέγα, μὴ ὅτι εἴ που τι καὶ ἐδείχθη μικρὸν καὶ οὐδενὸς ἄξιον λόγου καὶ πολλῆς γέμον ἀπάτης ἦν, ἀλλ' εἰ καὶ μεγάλα ἦν τὰ γινόμενα ταῦτα, ἅπερ εἶπον, τοῖς μὴ λίαν ἐξεστηκόσιν ἱκανὰ δεῖξαι, τίνες ἦσαν οἱ καὶ ἐκεῖνα ἐργαζόμενοι, πῶς μιαροὶ καὶ παμμίαροι καὶ πάντα ἐπ' ἀνατροπῇ καὶ τῆς ζωῆς καὶ τῆς καταστάσεως τεκταίνοντες τῆς ἡμετέρας.

2. Ἀλλ' οὐχ ὁ Κύριος ἡμῶν Ἰησοῦς τοιοῦτον οὐδὲν ἐπέταξεν ἡμῖν, ἀλλὰ θαυμαστὸς ὢν διὰ τὰ τεράστια, διὰ τὰ προστάγματα τῶν θαυμάτων οὐχ ἧττον, παρὰ πάντων ἂν προσκυνοῖτο δικαίως καὶ πιστεύοιτο εἶναι Θεός. Τὴν γὰρ παρανομίαν ταύτην αὐτὸς ἐλθὼν ἔλυσε· καὶ τὸ θαυμαστότερον, ὅτι τῆς ἀγρίας καὶ ἀπηνοῦς τυραννίδος, οὐ τοὺς προσκυνοῦντας αὐτὸν μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς βλασφημοῦντας αὐτὸν ἐκείνους ἀπήλλαξεν· οὐδὲ γὰρ Ἑλλήνων τις ἔτι τοιαύτας θυσίας τοῖς ἑαυτοῦ δαίμοσι προσάγειν ἠνάγκασται.

ἐπινόησαν παράξενη παρανομία ἀνθρωποκτονίας καὶ καθιέρωσαν καινούργιο τρόπο συμφορᾶς.

Ἐκείνους δηλαδὴ ποὺ ἔπρεπε νὰ πενθοῦν ὅσους σφαγιάζονται, τοὺς ἔπεισαν νὰ κάμουν τὴν ἄθλια ἐκείνη ἀνθρωποκτονία. Καὶ γιὰ νὰ μὴν ἀτιμάζωνται μόνο οἱ νόμοι ποὺ θεσπίσθηκαν ἀπο τοὺς ἀνθρώπους, ἐκρίζωσαν καὶ αὐτοὺς ἀκόμη τοὺς θεσμοὺς τῆς φύσεως, ἐξεγείροντας αὐτὴν κατὰ τρόπο μανιακὸ κατὰ τοῦ ἑαυτοῦ της, καὶ ἔτσι εἰσήγαγαν στὴ ζωὴ τῶν ἀνθρώπων τὸν πιὸ βδελυρὸ φόνο ἀπὸ ὅλους. Γιατὶ κανένα πλέον ἀπὸ τοὺς τοὺς ἐχθρούς τους δὲν φοβοῦνταν ὅλοι τόσο, ὅσο τοὺς γονεῖς τους, καὶ ἐκείνους ποὺ ἔπρεπε κυρίως νὰ ἐμπιστεύωνται, αὐτοὺς πρὸ πάντων ὑποψιάζονταν περισσότερο ἀπ' ὅλους καὶ τοὺς ἀποστρέφονταν. Οἱ ἄθλιοι δηλαδὴ ἐκεῖνοι δαίμονες κατώρθωσαν μὲ ἐκείνους ποὺ ὁ Θεὸς ἔφερε τοὺς ἀνθρώπους στὴ ζωὴ αὐτή, μὲ αὐτοὺς νὰ ἀφαιρέσουν ἀπὸ αὐτοὺς αὐτὴ τὴ δωρεά, καὶ ἐκείνους ποὺ ὑπηρέτησαν αὐτοὺς νὰ ἔλθουν στὴ ζωή, αὐτοὺς κατέστησαν αἴτιους καὶ τοῦ θανάτου τους, θέλοντας ἔτσι νὰ τοὺς δείξουν, ὅτι δὲν κέρδισαν τίποτε ἀπὸ τὴν ἀγαθότητα τοῦ Θεοῦ· γιατὶ δὲν θὰ χρειασθοῦν ἄλλους σφαγεῖς, ἀλλ' ἐκεῖνοι ποὺ τοὺς ἔφεραν στὴ ζωὴ θὰ γίνουν οἱ σφαγεῖς τους. Κι ἂν αὐτὰ τὰ συνώδευε κατὰ τύχη καὶ κάποιο μεγάλο θαῦμα, γιὰ νὰ μὴ ἀποδειχθῆ κάτι ἀπὸ ἐκεῖνα ποὺ συνέβαιναν μηδαμινὸ καὶ ἀνάξιο λόγου, καὶ τὸ θαῦμα αὐτὸ ἦταν γεμᾶτο ἀπὸ ἀπάτη· ἀλλὰ κι ἂν ἀκόμη ἐκεῖνα ποὺ συνέβαιναν καὶ τὰ ὁποῖα ἀνέφερα ἦταν μεγάλα, ἦταν ὅμως ἱκανὰ νὰ δείξουν σ' ἐκείνους ποὺ δὲν εἶχαν φθάσει σὲ μεγάλο βαθμὸ παραλογισμοῦ, ποιοί ἦταν ἐκεῖνοι ποὺ ἔκαμναν καὶ αὐτά, πῶς ἦταν μιαροὶ καὶ γεμᾶτοι βδελυγμό, καὶ ὅτι ὅλα τὰ μηχανεύονταν γιὰ νὰ ἀνατρέψουν τὴ ζωὴ καὶ τὴν ὅλη κατάστασή μας.

2. Ὅμως ὁ Κύριός μας Ἰησοῦς Χριστὸς δὲν ἔδωσε καμμιὰ τέτοια ἐντολή, ἀλλὰ ὄντας θαυμαστὸς γιὰ τὰ ὑπερφυσικὰ θαύματα ποὺ ἔκαμε καὶ ὄχι λιγώτερο καὶ γιὰ τὰ προστάγματα πρὸς ἐπιτέλεση θαυμάτων, δικαίως θὰ ἔπρεπε νὰ προσκυνῆται καὶ πιστεύεται ἀπὸ ὅλους ὅτι εἶναι Θεός. Γιατὶ τὴν παρανομία αὐτὴ τὴν κατάργησε ὅταν ἦλθε, καὶ τὸ θαυμαστότερο εἶναι, ὅτι ἀπάλλαξε ἀπὸ τὴν ἄγρια καὶ σκληρὴ τυραννία τῶν δαιμόνων ὄχι μόνο ἐμᾶς ποὺ τὸν προσκυνοῦμε, ἀλλὰ καὶ ἐκείνους ποὺ τὸν βλασφημοῦν. Κανεὶς δηλαδὴ τώρα οὔτε καὶ ἀπὸ τοὺς ἐδωλολάτρες ἀναγκάζεται πιὰ νὰ προσφέρη

Τοσαύτῃ πρὸς τὸ ἡμέτερον ἀεὶ φιλανθρωπίᾳ κέχρηται γένος καὶ ὧν οἱ δαίμονες τοὺς ἑαυτῶν φίλους εἰργάσαντο κακῶν, μείζονα ὁ Θεὸς τοὺς ἐχθροὺς ἐποίησεν ἀγαθά. Οἱ μὲν γὰρ δαίμονες τοὺς θεραπεύοντας αὐτοὺς καὶ τιμῶντας, τῶν οἰκείων παίδων γενέσθαι σφαγέας ἠνάγκασαν, ὁ δὲ Χριστὸς τοὺς ἀποστρεφομένους αὐτὸν τούτων τῶν ἐπιταγμάτων ἀπήλλαξε καὶ τῆς θηριώδους λειτουργίας τὴν ἀτέλειαν καὶ τὴν θαυμαστὴν ταύτην εἰρήνην, οὐκ εἰς τοὺς οἰκείους μόνους συνέκλεισεν, ἀλλὰ καὶ εἰς τοὺς ἀλλοτρίους ἐξήγαγεν, δεικνὺς ὅτι ἐκεῖνοι μὲν τύραννοί τινες καὶ τοῦ γένους ἡμῶν ἐχθροὶ καὶ λυμεῶνές εἰσι, δι' ὃ καὶ τοῖς οἰκειωμένοις ὡς ἀλλοτρίοις ἐκέχρηντο· καὶ γὰρ ἦσαν ἀλλότριοι. Ὁ δὲ βασιλεὺς καὶ δημιουργὸς καὶ σωτὴρ τοῦ παντὸς γένους ἀνθρώπων αὐτὸς ἦν· διὸ καὶ τῶν ἀλλοτριωμένων ὡς ἰδίων ἐφείδετο. Καὶ γὰρ ἦν ἴδιον ἔργον αὐτοῦ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, καθὼς καὶ ὁ μαθητὴς αὐτοῦ φησιν, «εἰς τὰ ἴδια ἦλθε καὶ οἱ ἴδιοι αὐτὸν οὐκ ἐδέξαντο».

Ἀλλὰ πᾶσαν μὲν αὐτοῦ καταλέγειν τὴν φιλανθρωπίαν οὐ τοῦ παρόντος καιροῦ, ἀλλὰ κἂν πάντας τοὺς αἰῶνας περὶ αὐτῆς φθέγγηταί τις, κἂν τοσαύτην ἔχῃ δύναμιν, ὅσην τὰς ἀσωμάτους δυνάμεις εἰκός, οὐδὲ οὕτως ἐφάψεται τῆς ἀξίας ποτέ. Ὅσον γὰρ ἐστιν ἀγαθός, μόνος οἶδεν αὐτός, ἐπειδὴ καὶ μόνος ἐστὶν οὕτως ἀγαθός. Ὅρα γοῦν οἷα τοῖς μαθηταῖς φησιν, «ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει». Οὐδὲ γὰρ ἂν τοσαύτης αὐτοῖς μετέδωκε τῆς τιμῆς, μὴ λίαν καὶ ἀπείρως ὢν ἀγαθός. Εἰ δέ τις ἡμῖν ἀμφισβητοίη, ποῦ τέλος ἔσχεν οὗτος ὁ χρησμός, τὸ βιβλίον μετὰ χεῖρας λαβών, ὃ καλεῖται μὲν Πράξεις ἀποστόλων, ἔχει δὲ αὐτὰς οὐ πάσας, ἀλλ' οὐδὲ πάντων αὐτῶν, ἀλλ' ἑνὸς ἢ δύο καὶ ταύτας εὐαριθμήτους, ὄψεται τοὺς μὲν ἀρρωστοῦντας ἐπὶ τῶν κλινιδίων κατακειμένους, τὰς δὲ σκιὰς μόνον τῶν μακαρίων ἐκείνων ἐφαπτομένας τε αὐτῶν ἅμα καὶ τὴν ὑγίειαν ἐργαζομένας, πολλοῖς δὲ τῶν μαινομένων τῶν ἱματίων Παύλου οὐδὲν πλέον ἐδέησε πρὸς τὴν τοῦ κινοῦντος αὐ-

2. Ἰω. 1,11.
3. Ἰω. 14,12.
4. Πράξ. 5,15.

τέτοιες θυσίες στοὺς θεούς του. Τόση μεγάλη φιλανθρωπία δείχνει πάντοτε πρὸς τὸ γένος μας καὶ ἀντὶ τῶν συμφορῶν ποὺ προξένησαν οἱ δαίμονες στοὺς φίλους τους, ὁ Θεὸς χάρισε μεγαλύτερα ἀγαθὰ στοὺς ἐχθρούς του. Οἱ δαίμονες δηλαδὴ ἐξανάγκασαν ἐκείνους ποὺ τοὺς λατρεύουν καὶ τοὺς τιμοῦν νὰ γίνουν σφαγεῖς τῶν παιδιῶν τους, ἐνῶ ὁ Χριστὸς ἀπάλλαξε ἀπὸ τὰ προστάγματα αὐτὰ καὶ τὴν ἀτέλεια τῆς θηριώδους θυσίας ἐκείνους ποὺ τὸν ἀποστρέφονταν, καὶ τὴν θαυμαστὴ αὐτὴ εἰρήνη δὲν τὴν περιώρισε στοὺς δικούς του μόνο, ἀλλὰ τὴν ἐπεξέτεινε καὶ στοὺς ξένους, δείχνοντας ἔτσι, ὅτι ἐκεῖνοι εἶναι τύραννοι τοῦ γένους μας καὶ ἐχθροὶ καὶ καταστροφεῖς, γι' αὐτὸ καὶ τοὺς δικούς τους τοὺς ἀντιμετώπιζαν σὰν ξένους, καὶ παραγματικὰ ἦταν ξένοι, ἐνῶ ὁ Χριστὸς εἶναι βασιλεὺς καὶ δημιουργὸς καὶ σωτήρας ὅλου τοῦ γένους τῶν ἀνθρώπων, γι' αὐτὸ καὶ λυπόταν γιὰ ἐκείνους ποὺ εἶχαν ἀποξενωθῆ ἀπὸ αὐτόν. Καθ' ὅσον δικό του ἔργο εἶναι κάθε ἀνθρώπινη φύση, ὅπως λέγει καὶ ὁ μαθητής του· «ἦλθα στὰ δικά μου καὶ οἱ δικοί μου δὲν μὲ δέχθηκαν»[2].

Ὅμως τὸ νὰ ἀναφέρουμε τώρα ὅλη τὴ φιλανθρωπία του δὲν εἶναι τοῦ παρόντος καιροῦ, ἀλλὰ κι ἂν ἀκόμη κάποιος ὁμιλῆ ὅλους τοὺς αἰῶνες γι' αὐτήν, κι ἂν ἀκόμη ἔχη τόση δύναμη, ὅση φυσικὸ εἶναι νὰ ἔχουν οἱ ἀσώματες δυνάμεις, οὔτε καὶ ἔτσι θὰ μπορέση ποτὲ νὰ μιλήση ἐπάξια γι' αὐτήν. Τὸ πόσο ἀγαθὸς δηλαδὴ εἶναι, αὐτὸς μόνος τὸ γνωρίζει, ἐπειδὴ καὶ μόνος αὐτὸς εἶναι τόσο ἀγαθός. Πρόσεχε λοιπὸν τί λέγει στοὺς μαθητές του· «ἀλήθεια σᾶς λέγω, ἐκεῖνος ποὺ πιστεύει σὲ μένα, τὰ ἔργα ποὺ κάμνω ἐγω, θὰ τὰ κάμη καὶ ἐκεῖνος, ἀλλὰ καὶ μεγαλύτερα ἀπὸ αὐτὰ θὰ κάμη»[3]. Δὲν θὰ ἦταν δυνατὸ νὰ δώση τόση μεγάλη τιμὴ σ' αὐτούς, ἂν δὲν ἦταν ὑπερβολικὰ ἀγαθός. Ἂν ὅμως κάποιος ἀπὸ μᾶς ἔφθανε στὸ σημεῖο ν' ἀμφισβητήση καὶ νὰ πῆ, 'ποῦ ἐκπληρώθηκε ὁ χρησμὸς αὐτός', ἂς πάρη στὰ χέρια του τὸ βιβλίο ποὺ καλεῖται Πράξεις Ἀποστόλων (δὲν ἔχει αὐτὸ ὅλες τὶς πράξεις ἀλλ' οὔτε καὶ τὶς πράξεις ὅλων τῶν Ἀποστόλων, παρὰ μόνον ἑνὸς ἢ δύο καὶ ἀπ' αὐτὲς λίγες πάλι), καὶ θὰ δῆ ὅτι πολλοὶ ἀσθενεῖς, ποὺ ἦταν κατάκοιτοι στὰ κρεββάτια τους, μόλις οἱ σκιὲς μόνο τῶν Ἀποστόλων τοὺς ἄγγισαν ἀμέσως ἀπέκτησαν τὴν ὑγεία τους[4], ἐνῶ πολλοὶ δαιμονιζόμενοι δὲν χρειάσθηκαν τίποτε περισσότερο ἀπὸ τὸ νὰ ἀγγίσουν τὰ ἐνδύματα τοῦ Παύλου καὶ ν'

τοὺς δαίμονος ἀπαλλαγήν. Εἰ δέ τις ταῦτα τῦφον εἶναι λέγοι καὶ τερατείαν πλασμάτων ἀπίθανον, ἀλλὰ τά γε νῦν ὁρώμενα ἱκανὰ τὸ βλάσφημον ἐμφράξαι στόμα καὶ καταισχῦναι καὶ τὴν ἀχαλίνωτον γλῶτταν ἐπισχεῖν. Οὐ γάρ ἐστιν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ οὐ χώρα, οὐκ ἔθνος, οὐ πόλις, ἔνθα ταῦτα οὐκ ᾄδεται τὰ παράδοξα, οὐ θαυμασθέντα ποτὲ εἰ πλάσματα ἦν. Καὶ τοῦ λόγου τὴν μαρτυρίαν ὑμεῖς ἂν παράσχοιτε ταύτην ἡμῖν· οὐ γὰρ δεησόμεθα παρ' ἑτέρων τὴν πίστιν τῶν λεγομένων λαβεῖν, ὑμῶν τῶν ἐχθρῶν ταύτην παρεχομένων ἡμῖν.

Εἰπὲ γάρ μοι, διὰ τί τὸν Ζωροάστρην ἐκεῖνον καὶ τὸν Ζάμολξιν οὐδὲ ἐξ ὀνόματος ἴσασιν οἱ πολλοί, μᾶλλον δὲ οὐδέ τινες, πλὴν ὀλίγων τινῶν; Ἆρ' οὐχ ὅτι πλάσματα ἦν τὰ περὶ ἐκείνων λεγόμενα ἅπαντα; Καίτοι γε κἀκεῖνοι καὶ οἱ τὰ ἐκείνων συνθέντες δεινοὶ γενέσθαι λέγονται, οἱ μὲν γοητείαν εὑρεῖν καὶ ἐργάσασθαι, οἱ δὲ συσκιάσαι ψεῦδος τῇ τῶν λόγων πιθανότητι. Ἀλλὰ πάντα μάτην γίνεται καὶ εἰκῇ, ὅταν ἡ τῶν λεγομένων ὑπόθεσις σαθρὰ καὶ ψευδὴς οὖσα τύχῃ, ὥσπερ οὖν, ὅταν ἰσχυρὰ καὶ ἀληθής, ἅπαντα πάλιν μάτην γίνεται καὶ εἰκῇ τὰ πρὸς ἀνατροπὴν ἐπινοούμενα παρὰ τῶν ἐχθρῶν· οὐδεμιᾶς γὰρ δεῖται βοηθείας ἡ τῆς ἀληθείας ἰσχύς· ἀλλὰ κἂν μυρίους ἔχῃ τοὺς σβεννύντας αὐτήν, οὐ μόνον οὐκ ἀφανίζεται, ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἐπηρεάζειν ἐπιχειρούντων φαιδροτέρα καὶ ὑψηλοτέρα ἄνεισι, τῶν εἰκῇ κοπτόντων ἑαυτοὺς καὶ μαινομένων καταγελῶσα.

Τὰ μὲν γὰρ παρ' ἡμῖν, ἃ φατε πλάσματα εἶναι, καὶ τύραννοι καὶ βασιλεῖς καὶ λόγων ἄμαχοι σοφισταί, ἤδη δὲ καὶ φιλόσοφοι καὶ γόητες καὶ μάγοι καὶ δαίμονες καθελεῖν ἐσπούδασαν, «καὶ ἐξησθένησεν ἐπ' αὐτοὺς ἡ γλῶσσα αὐτῶν», κατὰ τὸν προφητικὸν λόγον, καὶ «βέλη νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν». Οἱ μὲν γὰρ βασι-

5. Ὁ Ζωροάστρης ἢ Ζαρατούστρα εἶναι θεὸς τῶν ἰρανικῶν φυλῶν, ἐνῶ ὁ Ζάμολξις ἦταν ὁ νομοθέτης καὶ ὁ θρησκευτικὸς μεταρρυθμιστὴς τῶν Θρακῶν καὶ ἰδικὰ τῶν Γεττῶν, ἀπὸ τοὺς ὁποίους καὶ θεοποιήθηκε. Βλ. Ἡροδότου, *Ἱστορία* IV 94–96.

6. Ψαλμ. 63,9.

ἀπαλλαγοῦν ἀπὸ τὸν δαίμονα ποὺ τοὺς κατηύθυνε. Ἂν κάποιος πάλι λέγη ὅτι αὐτὰ εἶναι κομπασμὸς καὶ ἀπίστευτη τερατώδης φαντασία, ὅμως αὐτὰ ποὺ βλέπουμε τώρα εἶναι ἱκανὰ νὰ κλείσουν καὶ νὰ καταντροπιάσουν τὸ βλάσφημο στόμα καὶ νὰ συγκρατήσουν τὴν ἀχαλίνωτη γλῶσσα. Γιατὶ δὲν ὑπάρχει στὴν αὐτοκρατορία μας οὔτε χώρα οὔτε ἔθνος οὔτε πόλη, ποὺ νὰ μὴν ἐξιστοροῦνται αὐτὰ τὰ παράδοξα καὶ ποὺ δὲν θὰ θαυμάζονταν ποτέ, ἂν ἦταν πλάσματα φαντασίας. Καὶ τὴν ἀλήθεια αὐτὴ τοῦ λόγου μου θὰ τὴν ἐπιβεβαιώσετε σεῖς οἱ ἴδιοι· γιατὶ δὲν θὰ χρειασθῆ νὰ ἐπιβεβαιώσωμε ἀπὸ ἄλλους τὰ λεγόμενά μας, ἀφοῦ σεῖς οἱ ἐχθροί μας μᾶς παρέχετε τὴν ἐπιβεβαίωση αὐτή.

Πές μου λοιπόν· γιατί τὸν Ζωροάστρη καὶ τὸν Ζάμολξη[5] δὲν τοὺς γνωρίζουν οὔτε κατ' ὄνομα οἱ πολλοί, ἢ καλύτερα ὄχι πολλοί, ἀλλὰ ἐλάχιστοι μόνο; Ἄραγε ὄχι ἐπειδὴ τὰ ὅσα λέγονται γιὰ ἐκείνους εἶναι κατασκευάσματα τῆς φαντασίας; Ἂν καὶ βέβαια καὶ ἐκεῖνοι καὶ αὐτοὶ ποὺ συνέθεσαν τὰ σχετικὰ μὲ τὴ ζωή τους λέγεται ὅτι ἦσαν δεινοί, ἐκεῖνοι ἐφευρίσκοντας καὶ πράττοντας μεγεῖες, αὐτοὶ πάλι συγκαλύπτοντας τὸ ψεῦδος μὲ τὴν πειστικότητα τῶν λόγων. Ἀλλ' ὅλα γίνονται στὰ χαμένα καὶ χωρὶς λόγο, ὅταν συμβῆ ἡ αἰτία τῶν λεγόμενων νὰ εἶναι σαθρὴ καὶ ψευδής, ὅπως πάλι, ὅταν εἶναι ἰσχυρὴ καὶ ἀληθής, γίνονται τότε στὰ χαμένα καὶ χωρὶς λόγο ὅλα ἐκεῖνα ποὺ ἐπινοοῦνται ἀπὸ τοὺς ἐχθροὺς γιὰ τὴν ἀντροπή της. Γιατὶ ἡ δύναμη τῆς ἀλήθειας δὲν ἔχει ἀνάγκη ἀπὸ καμμιὰ βοήθεια, ἀλλά, κι ἂν ἀκόμη εἶναι μυριάδες ἐκεῖνοι ποὺ θέλουν νὰ τὴν σβήσουν, ὄχι μόνο δὲν ἐξαφανίζεται, ἀλλὰ ἀνέρχεται σφοδρότερα σὲ μεγαλύτερα ὕψη μὲ τὴ βοήθεια ἐκείνων ποὺ ἐπιχειροῦν νὰ τὴ βλάψουν, καταγελώντας ὅλους αὐτοὺς ποὺ ἄσκοπα κοπιάζουν καὶ μαίνονται ἐναντίον της.

Ὅλα λοιπὸν τὰ δικά μας, τὰ ὁποῖα σεῖς λέτε ὅτι εἶναι πλάσματα φαντασίας, ἐπεχείρησαν νὰ τὰ ἐξαφανίσουν καὶ τύραννοι καὶ βασιλεῖς καὶ ἀκαταμάχητοι στοὺς λόγους σοφιστές, καθὼς ἐπίσης καὶ φιλόσοφοι καὶ θαυματοποιοὶ καὶ μάγοι καὶ δαίμονες, ἀλλὰ κατὰ τὸν προφητικὸ λόγο, «παρέλυσε σ' αὐτοὺς ἡ γλῶσσα τους»[6], καὶ «κατήντησαν τὰ πλήγματα αὐτῶν ὅμοια μὲ τὶς πληγὲς ποὺ προξε-

λεῖς τοσοῦτον ἐκέρδαναν ἐκ τῆς καθ' ἡμῶν ἐπιβουλῆς, ὅσον θηριωδίας δόξαν παρὰ πᾶσιν ἔλαβον. Διὰ γὰρ τὸν κατὰ τῶν μαρτύρων θυμὸν εἰς τὴν τῆς κοινῆς φύσεως ἐξενεχθέντες ἀπήνειαν, μυρίοις ἑαυτοὺς οὐ συνεῖδον περιβαλόντες ὀνείδεσιν. Οἱ δὲ φιλόσοφοι καὶ δεινοὶ ῥήτορες δόξαν πολλήν, οἱ μὲν ἐπὶ σεμνότητι, ὁ δὲ ἐπὶ λόγων δυνάμει παρὰ τοῖς πολλοῖς ἔχοντες, μετὰ τὴν πρὸς ἡμᾶς μάχην καταγέλαστοι γεγόνασι καὶ παίδων ληρούντων ἁπλῶς οὐδὲν διαφέρειν ἔδοξαν. Ἀπὸ γὰρ ἐθνῶν καὶ δήμων τοσούτων οὐ σοφόν τινα, οὐκ ἄσοφον, οὐκ ἄνδρα, οὐ γυναῖκα, ἀλλ' οὐδὲ παιδίον μικρὸν μεταπεῖσαι ἴσχυσαν, ἀλλὰ τοσοῦτός ἐστι τῶν ὑπ' αὐτῶν γεγραμμένων ὁ γέλως, ὥστε ἀφανισθῆναι καὶ τὰ βιβλία πάλαι καὶ ἅμα τῷ δειχθῆναι καὶ ἀπολέσθαι τὰ πολλά. Εἰ δὲ πού τι καὶ εὑρεθείη διασωθέν, παρὰ Χριστιανοῖς τοῦτο σωζόμενον εὕροι τις ἄν· τοσοῦτον ἀπέχομεν βλάβην τινὰ παρὰ τῆς ἐκείνων ὑποπτεύειν ἐπιβουλῆς· οὕτω καταγελῶμεν τῆς πολλῆς τῶν μηχανημάτων αὐτῶν περιεργίας. Οὔτε γὰρ εἰ τὰ σώματα ἀδαμάντινα καὶ ἄφθαρτα ἦν ἡμῖν, σκορπίους καὶ ὄφεις καὶ πῦρ ταῖς χερσὶν ἐπισφίγγοντες ἐδείσαμεν ἄν, ἀλλὰ καὶ ἐπεδειξάμεθα· οὔτε ἐπειδὴ τὰς ψυχὰς ἡμῖν καὶ τὴν πίστιν τοιαύτην κατεσκεύασεν ὁ Χριστός, τὰ φάρμακα τῶν ἐχθρῶν ἔχοντες δεδοίκαμεν. Εἰ γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων καὶ πάσης τοῦ διαβόλου τῆς τυραννίδος πατεῖν ἡμῖν ἐπιτέτακται, πολλῷ μᾶλλον ἐπάνω σκωλήκων καὶ κανθάρων· τοσοῦτον γὰρ τὸ μέσον τῆς τούτων βλάβης πρὸς τὴν ἐκείνου τοῦ πονηροῦ δαίμονος ἐπιβουλήν.

3. Καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα, τὰ δὲ ὑμέτερα ἐπολέμησε μὲν αὐτοῖς οὐδεὶς οὐδέποτε· οὐδὲ γὰρ θέμις Χριστιανοῖς ἀνάγκῃ καὶ βίᾳ καταστρέφειν τὴν πλάνην, ἀλλὰ καὶ πειθοῖ καὶ λόγῳ καὶ προσηνείᾳ τὴν τῶν ἀνθρώπων ἐργάζεται σωτηρίαν. Ὅθεν οὐδεὶς τῶν τὰ τοῦ Χριστοῦ φρονούντων βασιλεὺς δόγματα καθ' ὑμῶν ἔθηκε τοιαῦτα, οἷα καθ' ἡμῶν οἱ τὰ τῶν δαιμόνων θεραπεύσαντες ἐπενόησαν. Ἀλλ' ὅμως τοσαύτης ἀπολαύσασα ἡσυχίας καὶ ὑπ' οὐδε-

7. Ψαλμ. 63,8.

8. Πρόκειται γιὰ τοὺς μαρτυρικοὺς θανάτους τῶν Χριστιανῶν ὑπὸ θηρίων.

νοῦν τὰ βέλη τῶν νηπίων»[7]. Οἱ βασιλεῖς δηλαδὴ αὐτὸ μόνο κέρδισαν μὲ τὴν ἐπιβουλὴ ἐνατίον μας, τὸ νὰ γνωρίσουν ὅλοι τὴ θηριωδία τους. Γιατὶ φθάνοντας μὲ τὸν θυμό τους ἐναντίον τῶν μαρτύρων στὴν ἀπανθρωπιὰ αὐτὴ κατὰ τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων, δὲν ἀντιλήφθηκαν ὅτι περιέβαλαν τὸν ἑαυτό τους μὲ ἀμέτρητα χλευάσματα. Οἱ φιλόσοφοι πάλι καὶ οἱ δεινοὶ ρήτορες ποὺ θεωροῦνται ἀπὸ τοὺς πολλοὺς ἔνδοξοι οἱ πρῶτοι γιὰ τὴ σεμνότητά τους καὶ οἱ δεύτεροι γιὰ τὴ ρητορική τους δεινότητα, ἔγιναν καταγέλαστοι μετὰ τὴν ἐναντίον μας μάχη καὶ φάνηκαν ὅτι δὲν διαφέρουν καθόλου ἀπὸ τὰ παιδιὰ ποὺ φλυαροῦν. Γιατὶ ἀπὸ τὰ τόσα πολλὰ ἔθνη καὶ τοὺς τόσους λαοὺς ὄχι μόνο δὲν μπόρεσαν νὰ μεταπείσουν κάποιον σοφὸ ἢ ἄσοφο ἢ ἄνδρα ἢ γυναῖκα, ἀλλ' οὔτε καὶ ἕνα μικρό παιδί, καὶ τόσο γέλωτα προκαλοῦν τὰ γραφόμενά τους, ὥστε νὰ ἐξαφανισθοῦν πρὸ πολλοῦ τὰ βιβλία τους καὶ πολλὰ νὰ χαθοῦν ἀμέσως μετὰ τὴ δημοσιότητά τους. Κι ἂν ἔτυχε κάποιο νὰ ἔχη διασωθῆ, αὐτὸ μπορεῖ νὰ τὸ βρῆ κανεὶς στὰ χέρια Χριστιανῶν· τόσο πολὺ ἀπέχομε ἀπὸ τὸ νὰ πιστεύομε ὅτι εἶναι δυνατὸ νὰ ὑποστοῦμε βλάβη ἀπὸ τὴν ἐπιβουλὴ ἐκείνων, τόσο πολὺ καταγελοῦμε ὅλες αὐτὲς τὶς ἐπίμονες μηχανορραφίες τους ἐναντίον μας. Γιατί, ὅπως δὲν φοβηθήκαμε σφίγγοντας στὰ χέρια μας σκορπιοὺς καὶ φίδια ἀλλὰ καὶ τὰ ἐπιδεικνύαμε[8] σὰν νὰ ἦταν τὰ σώματά μας ἀδαμάντινα καὶ ἄφθαρτα, ἔτσι δὲν φοβώμαστε νὰ ἔχωμε καὶ τὰ δηλητήρια τῶν ἐχθρῶν, γιατὶ ὁ Χριστὸς ἔκαμε τέτοιες τὶς ψυχές μας καὶ τὴν πίστη μας. Ἂν δηλαδὴ πήραμε ἐντολὴ νὰ καταπατοῦμε τὰ φίδια καὶ τοὺς σκορπιοὺς καὶ ὅλη τὴν τυραννικὴ ἐξουσία τοῦ διαβόλου[9], πολὺ πιὸ εὔκολα καταπατοῦμε τὰ σκωλήκια καὶ τὰ σκαθάρια· τόσο δηλαδὴ ἀπέχει ἡ βλάβη αὐτῶν ἀπὸ τὴν ἐναντίον μας ἐπιβουλὴ τοῦ πονηροῦ δαίμονα.

3. Ἡ πίστη λοιπὸν ἡ δική μας ἔπαθε ὅλα αὐτά, ἐνῶ τὰ δικά σας δὲν τὰ πολέμησε ποτὲ κανείς· γιατὶ δὲν ἐπιτρέπεται στοὺς Χριστιανοὺς νὰ καταστρέφουν τὴν πλάνη μὲ τρόπο ἀναγκαστικὸ καὶ βίαιο, ἀλλὰ νὰ φροντίζουν μὲ τὴν πειθὼ καὶ τὴ διδασκαλία καὶ τὴν πραότητα νὰ ὁδηγοῦν τοὺς ἀνθρώπους στὴ σωτηρία. Γι' αὐτὸ λοιπὸν καὶ κανένας χριστιανὸς βασιλεὺς δὲν ἐξέδωκε ἐναντίον σας διατάγματα παρόμοια μὲ ἐκεῖνα ποὺ ἐπενόησαν ἐναντίον μας ἐκεῖνοι ποὺ λάτρευαν τοὺς δαίμονες. Ἀλλ' ὅμως, ἂν καὶ ἀπόλαυσε τόση ἡσυχία

9. Λουκᾶ 10,19.

νὸς ἐνοχληθεῖσά ποτε τῆς Ἑλληνικῆς δεισιδαιμονίας ἡ πλάνη ἀφ' ἑαυτῆς ἐσβέσθη καὶ περὶ ἑαυτὴν διέπεσε, καθάπερ τῶν σωμάτων τὰ τηκεδόνι παραδοθέντα μακρᾷ καὶ μηδενὸς αὐτὰ βλάπτοντος, αὐτόματα φθείρεται καὶ διαλυθέντα κατὰ μικρὸν ἀφανίζεται. Ὥστε εἰ καὶ μὴ τέλεον ὁ σατανικὸς οὗτος ἐξήλειπται γέλως ἀπὸ τῆς γῆς, ἀλλ' ἱκανά γε τὰ ἤδη γενόμενα πιστώσασθαι καὶ ὑπὲρ τῶν μελλόντων ὑμᾶς. Τοῦ γὰρ πλείονος καθαιρεθέντος ἐν οὕτω χρόνῳ βραχεῖ, περὶ τοῦ λειπομένου οὐδεὶς φιλονεικήσει λοιπόν. Οὐδὲ γὰρ πόλεως ἁλούσης καὶ τειχῶν κατενεχθέντων καὶ βουλευτηρίων καὶ θεάτρων καὶ περιπάτων κατακαυθέντων καὶ τῶν ἐν ἡλικίᾳ πάντων ἀνηρημένων στοάς τις ἰδὼν ἡμικαύστους καὶ οἰκιῶν ὀλίγων ἑστῶτα μέρη, μετὰ γραϊδίων καὶ παιδίων μικρῶν, ἀμφισβητήσειε τῷ νικήσαντι καὶ περιγενομένῳ τοῦ πλείονος, ὡς οὐ δυναμένῳ κατεργάσασθαι τὸ περιλειφθέν.

Ἀλλ' οὐ τά γε τῶν ἁλιέων τοιαῦτα, ἀλλὰ καθ' ἑκάστην ἀνθεῖ τὴν ἡμέραν καὶ ταῦτα οὐ δι' εὐρυχωρίας τινὸς καὶ ἀνέσεως εἰς τὸν ἡμέτερον εἰσαχθέντα βίον, ἀλλὰ διὰ θλίψεως καὶ πολέμων καὶ μάχης. Ὁ μὲν γὰρ Ἑλληνισμὸς πανταχοῦ τῆς γῆς ἐκταθεὶς καὶ τὰς ἁπάντων ἀνθρώπων ψυχὰς κατασχών, οὕτως ὕστερον μετὰ τὴν τοσαύτην ἰσχὺν καὶ τὴν ἐπίδοσιν ὑπὸ τῆς τοῦ Χριστοῦ κατελύθη δυνάμεως, τὸ δὲ κήρυγμα τὸ ἡμέτερον οὐ μετὰ τὸ διαδοθῆναι πανταχοῦ καὶ στῆναι βεβαίως ἔσχε τοὺς πολεμοῦντας, ἀλλὰ πρὶν ἢ παγῆναι καὶ φυτευθῆναι ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς, ἐξ αὐτῶν τῶν προοιμίων πρὸς ἅπασαν ἠναγκάζετο παρατάττεσθαι τὴν οἰκουμένην, «πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας»· οὔπω γὰρ τοῦ σπινθῆρος τῆς πίστεως ἀφθέντος καλῶς, ποταμοὶ καὶ ἄβυσσοι πάντοθεν ἐπέρρεον. Ἴστε δὲ δή που ὡς οὐκ ἔστιν ἴσον τὸ μυρίοις ἔτεσι ῥιζωθὲν ἀνασπάσαι φυτὸν καὶ τὸ ἐπὶ τῆς γῆς ἄρτι τεθέν· ἀλλὰ καὶ τούτων οὕτως ἐχόντων, ἐπέκλυζε μὲν ἔτι μικρὸν ὄντα τὸν σπινθῆρα, ὡς ἔφην, τῆς εὐσεβείας τὸ τῶν

10. Ἐφεσ. 6,12.

καὶ δὲν ἐνωχλήθηκε ποτὲ ἀπὸ κανένα ἡ πλάνη τῆς ἑλληνικῆς δεισιδαιμονίας, ὅμως ἀπὸ μόνη της ἔσβησε καὶ παρήκμασε, ὅπως ἀκριβῶς τὰ σώματα ἐκεῖνα ποὺ παραδόθηκαν σὲ μακροχρόνια σήψη, χωρὶς πιὰ νὰ τὰ βλάπτη ἄλλος κανεὶς φθείρονται ἀπὸ μόνα τους καὶ διαλύονται σιγὰ σιγὰ μέχρι ποὺ ἐξαφανίζονται. Ὥστε, ἂν καὶ δὲν ἐξέλειπε τελείως ἀπὸ τὴ γῆ ὁ σατανικὸς αὐτὸς γέλωτας, ἀλλ' ὅμως τὰ ὅσα ἤδη συνέβηκαν εἶναι ἀρκετὰ νὰ σᾶς ἐπιβεβαιώσουν καὶ ἐκεῖνα ποὺ πρόκειται νὰ συμβοῦν στὸ μέλλον. Γιατί, ἀφοῦ τὸ μεγαλύτερο μέρος τῆς πλάνης ἐξαφανίσθηκε μέσα σὲ τόσο σύντομο χρόνο, κανεὶς πλέον δὲν θ' ἀμφισβητήση γιὰ τὴν ἐξαφάνιση καὶ τοῦ ὑπολοίπου. Οὔτε βέβαια ὅταν μιὰ πόλη κυριευθῆ, γκρεμισθοῦν τὰ τείχη της, κατακαοῦν τὰ δημόσια κτίρια καὶ τὰ θέατρα καὶ οἱ χῶροι τῶν περιπάτων καὶ φονευθοῦν ὅλοι οἱ ἡλικιωμένοι, βλέποντας κανεὶς ν' ἀπομένουν μόνο μερικὲς μισοκαμμένες στοὲς καὶ μέρη ἀπὸ λίγα σπίτια, καθὼς ἐπίσης καὶ μερικὲς γρηὲς καὶ μικρὰ παιδιά, θὰ μποροῦσε ν' ἀμφισβητήση, ὅτι ὁ νικητὴς καὶ πορθητὴς τοῦ μεγαλύτερου τμήματος δὲν θὰ μπορέση νὰ καταστρέψη καὶ ὅ,τι ἀπέμεινε.

Ὅμως ὅλα ἐκεῖνα ποὺ κηρύχθηκαν ἀπὸ τοὺς ἁλιεῖς δὲν εἶναι τέτοια, ἀλλὰ καθημερινὰ ἀνθοῦν, καὶ ὅλα αὐτὰ ἂν καὶ δὲν μπῆκαν στὴ ζωὴ μὲ εὐκολία καὶ ἄνεση, ἀλλὰ μὲ θλίψεις καὶ πολέμους καὶ μάχες. Γιατὶ ἡ εἰδωλολατρία ποὺ ἐπεκτάθηκε σὲ κάθε γωνιὰ τῆς γῆς καὶ κατέκτησε τὶς ψυχὲς ὅλων τῶν ἀνθρώπων, μετὰ ἀπὸ μιὰ τέτοια ἀκριβῶς δύναμη καὶ πρόοδο ἔτσι καταλύθηκε ἀπὸ τὴ δύναμη τοῦ Χριστοῦ, ἐνῶ τὸ κήρυγμα τὸ δικό μας δὲν πολεμήθηκε ἀφοῦ πρῶτα διαδόθηκε παντοῦ καὶ σταθεροποιήθηκε, ἀλλὰ προτοῦ ἀκόμη σταθεροποιηθῆ καὶ φυτευθῆ στὶς ψυχὲς τῶν ἀκροατῶν ἀναγκάσθηκε ἀπὸ τὴν πρώτη στιγμὴ νὰ τεθῆ ἀντιμέτωπο πρὸς ὁλόκληρη τὴν οἰκουμένη, «πρὸς τὶς ἀρχές, πρὸς τὶς ἐξουσίες, πρὸς τοὺς κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνα αὐτοῦ, πρὸς τὰ πνεύματα τῆς πονηρίας»[10]· ἐνῶ ἀκόμη δὲν εἶχε ἀνάψει γιὰ καλὰ ἡ σπίθα τῆς πίστεως, ἀπὸ παντοῦ ξεχύθηκαν ἐναντίον της ποταμοὶ καὶ ἄβυσσοι. Καὶ γνωρίζετε βέβαια ὅτι δὲν εἶναι τὸ ἴδιο πρᾶγμα τὸ νὰ ξερριζώση κανεὶς τὸ φυτὸ ἐκεῖνο ποὺ εἶναι βαθιὰ ριζωμένο ἐπὶ πολλὰ χρόνια καὶ ἐκεῖνο ποὺ μόλις τώρα φυτεύθηκε στὴ γῆ. Ἀλλὰ καὶ ἐνῶ τὰ πράγματα εἶχαν ἔτσι καί, ὅπως εἶπα, τὸ πέλαγος τῶν ἐχθρῶν κατέκλυζε τὴ σπίθα τῆς πίστεως ποὺ ἦταν ἀκόμη μικρή, αὐτὴ ὄχι μόνο

ἐναντίων πέλαγος· ὁ δὲ οὐ μόνον οὐκ ἐσβέννυτο τούτῳ, ἀλλὰ καὶ μείζων γινόμενος καὶ φαιδρότερος πάντα ἐπῄει ταχέως, τὰ μὲν τῶν ἐχθρῶν καταλύων καὶ ἀναλίσκων εὐκόλως, τὰ δὲ τῶν οἰκείων ἀνιστῶν καὶ πρὸς ὕψος ἄφατον αἴρων, καίτοι ἀνδρῶν εὐτελῶν καὶ ἀσήμων ὑπηρετησαμένων αὐτῷ.

Τὸ δὲ αἴτιον οὐκ ἦν τῶν ἁλιέων ἐκείνων οὔτε τὰ ῥήματα, οὔτε τὰ θαύματα, ἀλλὰ τῆς εἰς αὐτοὺς ἐνεργούσης δυνάμεως τοῦ Χριστοῦ. Τῶν γὰρ ταῦτα ἐργασαμένων ὁ μὲν ἦν σκηνοποιός, ὁ Παῦλος, ὁ Πέτρος δὲ ἁλιεύς, καὶ οὐκ ἂν οὕτως εὐτελέσι καὶ ταπεινοῖς πλάσαι τι τοιοῦτον ἐπῆλθέ ποτε, πλὴν εἰ μαίνεσθαί τις αὐτοὺς φαίη καὶ παραπαίειν. Ὅτι δὲ οὐκ ἐμαίνοντο δῆλον ἐξ ὧν εἰπόντες κατώρθωσαν καὶ ἐκ τῶν ἔτι καὶ νῦν πειθομένων αὐτοῖς. Οὐκ ἂν οὖν ποτε τοιαῦτα ἐψεύσαντο, οὐδὲ ἐκόμπασαν ἁπλῶς. Καὶ γάρ, ὅπερ ἀρχόμενος ἔφην, ὁ μέλλων ἐξαπατᾶν, ψεύδεται μέν, ψεύδεται δὲ οὐχ οὕτως ὡς πᾶσι γενέσθαι καταφανής. Εἰ γὰρ καὶ τῶν πραγμάτων ἐκβεβηκότων καὶ τοσούτων μαρτυρούντων τῷ τέλει, τῶν τε ἐν ἐκείνοις πιστευσάντων τοῖς χρόνοις καὶ τῶν ἐξ ἐκείνου πανταχοῦ ταῦτα ᾀδόντων, οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ βαρβάροις καὶ τοῖς ἐκείνων μᾶλλον ἐκτεθηριωμένοις, ὅμως εἰσί τινες μετὰ τοσαῦτα τεκμήρια καὶ τῆς οἰκουμένης ὡς εἰπεῖν ἁπάσης τὴν μαρτυρίαν, οἳ διαπιστοῦσι τοῖς γεγενημένοις καὶ πολλοὶ οὕτω ἀβασανίστως καὶ ἀνεξετάστως· τίς ἂν παρὰ τὴν ἀρχὴν μήτε πράγματα θεασάμενος, μήτε μαρτυρίας ἀξιοπίστους τούτων ἔχων, ταύτην ἂν τὴν πίστιν ἐδέξατο τῇ ψυχῇ;

Τί δὲ ὅλως καὶ ἐπῆρε πλάσαι καὶ συνθεῖναί τι τοιοῦτον αὐτούς; Οὔτε γὰρ λόγων ἰσχύϊ (πῶς γάρ, ὧν θάτερος οὔτε γράμματα ὅλως ἠπίστατο;) οὔτε χρημάτων ἐθάρσουν περιουσίᾳ· καὶ γὰρ τῆς ἀναγκαίας μόλις εὐπόρουν τροφῆς, ἀπὸ τῆς τῶν χειρῶν τέχνης διαζῶντες ἀμφότεροι. Ἀλλ' οὐδὲ ἐπὶ γένους λαμπρότητι παρῆν αὐτοῖς μέγα φρονεῖν· τοῦ μὲν γὰρ οὐδὲ τὸν πατέρα ἴσμεν ὅστις ἦν, οὕτως

δὲν ἔσβησε ἀπὸ αὐτό, ἀλλὰ καθιστάμενη καὶ μεγαλύτερη καὶ λαμπρότερη κατελάμβανε πολὺ γρήγορα τὰ πάντα, καταλύοντας ἔτσι καὶ καταστρέφοντας εὔκολα τὰ τῶν ἐχθρῶν, καὶ ἀπὸ τὸ ἄλλο μέρος ἐξυψώνοντας τὰ δικά μας καὶ ἀνεβάζοντάς τα σὲ ὕψος ἀπερίγραπτο, ἂν καὶ ἐκεῖνοι ποὺ ὑπηρέτησαν αὐτὴν ἦταν ἄνδρες ἁπλοϊκοὶ καὶ ἄσημοι.

Καὶ ἡ αἰτία αὐτοῦ δὲν ἦταν οὔτε ἡ διδασκαλία τῶν ψαράδων ἐκείνων οὔτε τὰ θαύματά τους, ἀλλὰ ἡ δύναμη τοῦ Χριστοῦ ποὺ ἐνεργοῦσε μέσω αὐτῶν. Γιατὶ ἀπὸ ἐκείνους ποὺ κατώρθωσαν αὐτὰ ὁ ἕνας, ὁ Παῦλος, ἦταν σκηνοποιός, ὁ Πέτρος ψαρᾶς, καὶ δὲν θὰ μποροῦσε ποτὲ νὰ περάση ἀπὸ τὸ μυαλὸ αὐτῶν τῶν τόσο εὐτελῶν καὶ ταπεινῶν νὰ πλάσουν κάτι τέτοιο, ἐκτὸς ἂν ἰσχυρισθῆ κανείς, ὅτι ἦταν μανιακοὶ καὶ ἀνισόρροποι. Τὸ ὅτι ὅμως δὲν ἦταν μανιακοὶ φαίνεται ἀπὸ ἐκεῖνα ποὺ κατώρθωσαν μὲ τὸ κήρυγμά τους καὶ ἀπὸ ἐκείνους ποὺ ἀκόμη καὶ σήμερα πιστεύουν σ' αὐτούς. Δὲν θὰ ἦταν δυνατὸ νὰ ποῦν τόσα μεγάλα ψεύδη οὔτε καὶ γενικὰ θὰ ἔφθαναν σὲ τέτοιο κομπασμό. Γιατί, ὅπως εἶπα καὶ στὴν ἀρχή, ἐκεῖνος ποὺ θέλει νὰ ἐξαπατήση ψεύδεται βέβαια, δὲν ψεύδεται ὅμως ἔτσι, ὥστε νὰ μὴ γίνη ἀντιληπτὸς σὲ ὅλους. Ἂν λοιπὸν τώρα ποὺ καὶ τὰ πράγματα ἔγιναν πράξη καὶ ὑπάρχουν τόσοι μάρτυρες τοῦ αἴσιου αὐτοῦ τέλους, καὶ ἐκεῖνοι δηλαδὴ ποὺ πίστεψαν ἐκεῖνα τὰ χρόνια καὶ ἐκεῖνοι ποὺ ἀπὸ τότε διακηρύσσουν αὐτὰ παντοῦ, ὄχι μόνο ἀνάμεσά μας, ἀλλὰ καὶ ἀνάμεσα στοὺς βαρβάρους καὶ σὲ ἐκείνους ποὺ εἶναι περισσότερο θηριώδεις καὶ ἀπὸ αὐτούς, καὶ παρ' ὅλα αὐτὰ ὑπάρχουν μερικοὶ ποὺ μετὰ ἀπὸ αὐτὲς τὶς ἀποδείξεις καὶ τὴν μαρτυρία ὅλης γενικά, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, τῆς οἰκουμένης δυσπιστοῦν στὰ γεγονότα, καὶ μάλιστα πολλοὶ ἔτσι ἀβασάνιστα καὶ ἀνεξέταστα, ποιός θὰ μποροῦσε στὴν ἀρχὴ νὰ δεχθῆ στὴν ψυχή του αὐτὴν τὴν πίστη χωρὶς νὰ ἔχη δῆ γεγονότα οὔτε καὶ νὰ ἔχη ἀξιόπιστους μάρτυρες γι' αὐτά;

Τί ἦταν λοιπὸν ἐκεῖνο ποὺ συνάρπασε τοὺς ἀποστόλους, ὥστε νὰ πλάσουν καὶ νὰ συνθέσουν κάτι τέτοιο; Οὔτε βέβαια μποροῦσαν νὰ στηριχθοῦν στὴ δύναμη τῶν λόγων τους (πῶς θὰ ἦταν δυνατὸ τὴ στιγμὴ ποὺ ὁ ἕνας ἀπ' αὐτοὺς δὲν γνώριζε γενικὰ οὔτε γράμματα;) οὔτε καὶ στὴν ἀφθονία τῶν χρημάτων τους, καθ' ὅσον μὲ δυσκολία ἐξασφάλιζαν τὴν ἀναγκαία τροφή τους, ζώντας καὶ οἱ δυὸ μὲ τὴ χει-

ἦν ἄσημος καὶ ἀφανής· τοῦ Πέτρου δὲ δῆλος μέν ἐστιν ὁ πατήρ· τοσοῦτον δὲ ἔχει θατέρου πλέον, ὅσον τὴν προσηγορίαν αὐτοῦ γνώριμον ἡμῖν ἐποίησαν αἱ Γραφαὶ μόνον καὶ τοῦτο διὰ τὸν υἱόν. Εἰ δὲ καὶ χώραν τις καὶ ἔθνος ἐξετάζειν βούλοιτο, τὸν μὲν Κίλικα εὑρήσει, τὸν δὲ πόλεως ἀσήμου πολίτην, μᾶλλον δὲ οὐδὲ πόλεως, ἀλλὰ κώμης τῆς ἐσχάτης· ἀπὸ Βηθσαϊδὰ γάρ· τῆς Γαλιλαίας δέ ἐστι χωρίον οὕτως καλούμενον, ἐξ ἧς ὁ μακάριος ἐκεῖνος ἦν. Καὶ τὰς τέχνας δέ τις αὐτῶν ἀκούσας, ὄψεται οὐδὲν μέγα ἐχούσας καὶ σεμνόν· τοῦ μὲν γὰρ ἁλιέως ὁ σκηνοποιὸς τιμιώτερος, τῶν δὲ ἄλλων χειροτεχνῶν εὐτελέστερος. Πόθεν οὖν, εἰπέ μοι, πόθεν πρᾶγμα τοσοῦτον ὑποκρίνασθαι ἐτόλμησαν; ποίαις ἐπαρθέντες ἐλπίσι; τίνι θαρρήσαντες; ἆρα τῷ καλάμῳ καὶ τῷ ἀγκίστρῳ, ἢ τῇ σμίλῃ καὶ τῷ τρυπάνῳ; Οὐκ ἀπελθόντες ἀπάγξεσθέ που, ἢ καὶ κατακρημνίσετε ἑαυτοὺς τοσαύτην ὀφλισκάνοντες ἄνοιαν;

4. Θῶμεν δέ, εἰ βούλεσθε, καθ' ὑμᾶς καὶ τὸ ἀδύνατον τοῦτο γενέσθαι δυνατὸν καὶ τὸν μὲν ἀπὸ τῆς λίμνης ἀνελθόντα λέγειν, ὅτι ἡ σκιὰ τοῦ σώματος τοῦ ἐμοῦ νεκροὺς ἀνέστησε, τὸν δὲ ἐκπηδήσαντα τῶν τοῦ σκηνορραφείου δέρρεων, τὰ αὐτὰ δὴ ταῦτα κομπάζειν ἐκείνῳ περὶ τῶν ἱματίων αὐτοῦ· τίς οὕτως ἐμεμήνει τῶν ταῦτα ἀκουόντων, ὡς ψιλοῖς ῥήμασι πιστεῦσαι περὶ πραγμάτων τοιούτων; Διατί δὲ μηδεὶς τῶν κατ' ἐκεῖνον τὸν χρόνον χειροτέχνης ἀνὴρ εἶπέ τι περὶ ἑαυτοῦ τοιοῦτόν ποτε, ἢ ἕτερός τις περὶ αὐτοῦ; Καίτοι εἰ τὰ ἡμέτερα πλάσματα ἦν, τοὺς μετ' ἐκείνους εὐκολώτερον τὰ τοιαῦτα ψεύδεσθαι εἰκὸς ἦν. Ἐκεῖνοι μὲν γὰρ οὐκ εἶχον εἰς ἑτέρους ἀνενεγκόντες ὑπὲρ τούτων, ἐλπίσαι τοῦ πλάσματος περιέσεσθαι· οἱ δὲ μετ' ἐκείνοις, εἰς ἐκείνους ὁρῶντες, προχειρότερον ἂν τοῦ πλάσματος κατετόλμησαν, τοῦ παραδείγματος τῶν προτέρων τοῖς δευ-

ρωνακτική ἐργασία τους. Ἀλλ' οὔτε καὶ γιὰ εὐγενικὴ καταγωγὴ μποροῦσαν νὰ ὑπερηφανεύωνται, γιατὶ τοῦ ἑνὸς οὔτε τὸν πατέρα γνωρίζομε καλὰ ποιός ἦταν· τόσο πολὺ ἄσημος καὶ ἀφανὴς ἦταν· τοῦ Πέτρου πάλι ὁ πατέρας μᾶς εἶναι βέβαια γνωστός, ἀλλὰ τόσο μόνο περισσότερο ἀπὸ τὸν πατέρα τοῦ Παύλου, ὅσο τὸ ὄνομα μόνο ποὺ μᾶς ἔκαμε γνωστὸ ἡ Γραφή, καὶ αὐτὸ ἐξ αἰτίας τοῦ υἱοῦ. Ἂν ὅμως θελήση κανεὶς νὰ ἐξετάση καὶ τὴ χώρα καὶ τὸ ἔθνος, θὰ βρῆ ὅτι ὁ ἕνας καταγόταν ἀπὸ τὴν Κιλικία, ἐνῶ ὁ ἄλλος ἦταν πολίτης μιᾶς ἄσημης πόλεως, ἢ καλύτερα ὄχι πόλεως, ἀλλὰ τοῦ πιὸ ἄσημου χωριοῦ· γιατὶ καταγόταν ἀπὸ τὴν Βηθσαϊδᾶ ὁ μακάριος ἐκεῖνος, ποὺ εἶναι χωριὸ τῆς Γαλιλαίας καὶ εἶχε αὐτὴν τὴν ὀνομασία. Κι ἂν ἀκούση κανεὶς καὶ τὶς τέχνες αὐτῶν, θὰ δῆ ὅτι δὲν ἦταν καθόλου σπουδαῖες καὶ ὑπολήψιμες· ὁ σκηνοποιὸς βέβαια ἐκτιμᾶται περισσότερο ἀπὸ τὸν ψαρά, εἶναι ὅμως καὶ αὐτὸς κατώτερος ἀπὸ τοὺς ἄλλους χειροτέχνες. Ἀπὸ ποῦ λοιπόν, πές μου, ἀπὸ ποῦ παρωρμήθηκαν στὸ νὰ τολμήσουν νὰ κάνουν ἕνα τόσο τεράστιο πρᾶγμα; ἀπὸ ποιές ἐλπίδες συναρπάσθηκαν; σὲ τί στήριξαν τὸ θάρρος τους; Μήπως στὸ καλάμι καὶ στὸ ἀγκίστρι ἢ στὴ σμίλη καὶ στὸ τρυπάνι; Δὲν πρέπει νὰ πᾶτε κάπου καὶ ν' ἀπαγχονισθῆτε ἢ καὶ νὰ πέσετε στὸ γκρεμό, τὴ στιγμὴ ποὺ φαίνεσθε νὰ ἔχετε τόση τρέλλα;

4. Ἂν θέλετε ὅμως, ἂς ὑποθέσωμε, ὅτι τὸ ἀδύνατο αὐτὸ ἦταν δυνατό, ὅπως σεῖς πιστεύετε, νὰ γίνη, καὶ ἔτσι ἐκεῖνος ποὺ μόλις ἐγκατέλειψε τὴ λίμνη νὰ λέγη, 'ἡ σκιὰ τοῦ σώματός μου ἀνέστησε νεκρούς', ἐνῶ ὁ ἄλλος, ἐγκαταλείποντας τὰ δέρματα τοῦ σκηνορραφείου, νὰ λέγη μὲ κομπασμὸ τὰ ἴδια ἀκριβῶς αὐτὰ γιὰ τὴν θαυματουργικὴ δύναμη τῶν ἐνδυμάτων του. Ποιός ἀπὸ ἐκείνους ποὺ τὰ ἄκουαν αὐτὰ θὰ ἦταν τόσο ἀνόητος, ὥστε νὰ πιστέψη σὲ ἁπλὰ λόγια ποὺ λέγονταν γιὰ τέτοια πράγματα; Καὶ γιατί κανεὶς ἄλλος χειροτέχνης τῆς ἐποχῆς ἐκείνης ἢ κάποιος ἄλλος δὲν εἶπε ποτὲ γιὰ τὸν ἑαυτόν του κάτι τέτοιο; Ἂν καὶ βέβαια, ἂν ὅλα τὰ δικά μας ἦταν πλάσματα φαντασίας, φυσικὸ ἦταν οἱ μετὰ τοὺς ἀποστόλους νὰ ψεύδονταν εὐκολώτερα γιὰ τὰ πράγματα αὐτά. Γιατὶ οἱ ἀπόστολοι δὲν μποροῦσαν, ἀναφέροντας ὅλα αὐτὰ σὲ ἄλλους, νὰ ἐλπίσουν ὅτι τὸ κατασκεύασμά τους θὰ γίνη πιστευτό, ἐνῶ οἱ μετὰ ἀπὸ ἐκείνους, στηριζόμενοι σ' ἐκείνους, μποροῦσαν μὲ μεγαλύτερη εὐκολία καὶ προχειρότητα νὰ προβάλλουν τὰ κατασκευάσματα τῆς φαντασίας

τέροις παρακελευομένου θαρρεῖν, ὡς οὐδενὸς ἐν τῇ γῇ νοῦν ἔχοντες, ἀλλὰ πάντων ἐξεστηκότων καὶ μεμηνότων καὶ τοῖς βουλομένοις ἐξὸν ἅπασιν, ἅπερ ἂν θέλωσι περὶ ἑαυτῶν λέγειν τε καὶ πιστεύεσθαι. Λῆρος ταῦτα καὶ γέλως καὶ μωρίας ἑλληνικῆς ῥήματα.

Καθάπερ γὰρ ἂν εἴ τις προαχθείη τοξεύειν τὸν οὐρανόν, ὡς διαρρήξων αὐτὸν τοῖς αὐτοῦ βέλεσιν, ἢ τὸν Ὠκεανὸν ἐξαντλεῖν, ὡς κενώσων αὐτὸν ταῖς ἑαυτοῦ χερσίν, οὐδεὶς ὅστις οὐ γελάσεται τῶν ἀστειοτέρων αὐτόν, οἱ δὲ σεμνότεροι καὶ δακρύσονται δάκρυσι πολλοῖς· οὕτως ὅταν ἡμῖν Ἕλληνες ἀντιλέγωσι, γελᾶν αὐτοὺς καὶ δακρύειν καλόν· πολλῷ γὰρ τοῦ τὸν οὐρανὸν τρώσειν καὶ τὴν ἄβυσσον κενώσειν ἐλπίζοντος ἀπορωτέροις ἐπιχειροῦσι πράγμασιν. Οὔτε γὰρ τὸ φῶς ἔσται σκότος ποτέ, ἕως ἂν ᾖ φῶς, οὔτε ἡ τῶν παρ' ἡμῖν πραγμάτων ἀλήθεια διελεγχθήσεται· ἀλήθεια γάρ ἐστι· ταύτης δὲ ἰσχυρότερον οὐδέν. Ὅτι μὲν οὖν καὶ τὰ ἀρχαῖα ἃ ἀκοῇ ἴσμεν, τῶν παρόντων καὶ ὁρωμένων οὐχ ἧττόν ἐστι πιστά, πᾶς ὁστισοῦν μὴ παραπαίων καὶ ἐξεστηκὼς ὁμολογήσειεν ἄν· ἵνα δὲ καὶ ἐκ περιουσίας τὴν νίκην ἀρώμεθα, βούλομαι καὶ ἐπὶ τῆς ἡμετέρας γενεᾶς γενόμενόν τι παράδοξον εἰπεῖν. Ἀλλὰ μὴ θορυβηθῆτε εἰ θαῦμα ὑποσχόμενος ἐρεῖν ἐφ' ἡμῶν γεγονός, εἶτα ἐκ παλαιᾶς ἱστορίας ἄρχομαι τοῦ διηγήματος ὑφαίνειν τὴν ἀρχήν. Οὔτε γὰρ μέχρις ἐκείνων στήσομαι μόνον, οὔτε ἀλλότρια τῆς νέας ὑποθέσεως ἐρῶ τὰ παλαιά· ἀλλήλων γὰρ ἑκάτερα ἔχεται καὶ διαζευχθῆναι τὴν ἀκολουθίαν αὐτῶν οὐκ ἔνι· εἴσεσθε δὲ καλῶς αὐτῶν τῶν πραγμάτων ἀκούσαντες.

5. Ἐγένετό τις βασιλεὺς ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων καὶ τὰ μὲν ἄλλα ὁποῖός τις ἦν οὗτος ὁ βασιλεὺς οὐκ ἔχω λέγειν· τὸ δὲ ἄγος ὅπερ ἐτόλμησεν ἀκούσαντες εἴσεσθε καὶ περὶ τῆς λοιπῆς τῶν τρόπων ὠμότητος. Τί οὖν τὸ ἄγος ἦν; Ἔδοξεν ἔθνει τινὶ τῶν

11. Πολλοὶ ὑποστηρίζουν ὅτι αὐτὸς εἶναι ὁ Ρωμαῖος αὐτοκράτορας Φίλιππος ὁ Ἄραβας (244–249). Κατὰ Εὐσέβιο ὅμως (*Ἐκκλ. Ἱστορία 6,34*), ἐμποδίσθηκε ἀπὸ τὸν ἐπίσκοπο κατὰ τὴν ἡμέρα τοῦ Πάσχα νὰ εἰσέλθη στὸν ναό. Αὐτὸς τότε ἐξομολογήθηκε καὶ ἔτσι τοῦ ἐπετράπη ἡ εἴσοδος στὸν ναό. Ἄρα ὁ Φίλιππος ἦταν Χριστιανός, πρᾶγμα ποὺ δὲν συμφωνεῖ μὲ τὰ λεγόμενα παρακάτω. Ἑπομένως πρόκειται γιὰ ἄλλον βασιλέα, καὶ αὐτὸς πιθανῶς εἶναι ὁ μεγάλος διώκτης τῶν Χριστιανῶν Δέκιος, ὑπὸ τοῦ ὁποίου θανατώθηκε ὁ ἅγιος Βαβύλας μεταξὺ τῶν ἐτῶν 250–252 μ.Χ., χωρὶς ὅμως καὶ πάλι νὰ λύνεται τὸ πρόβλημα, γιατὶ ὁ Δέκιος ἦταν εἰδωλολάτρης· πῶς τότε θέλησε νὰ εἰσέλθη στὸ ναό; Κατὰ τὸν Συ-

τους, γιατὶ τὸ παράδειγμα τῶν προηγουμένων ἔδινε θάρρος στοὺς μετέπειτα νὰ πιστεύουν, ὅτι κανεὶς στὴ γῆ δὲν ἔχει μυαλό, ἀλλ' ὅλοι εἶναι τρελλοὶ καὶ ἀνόητοι, καὶ μπορεῖ ὅποιος θέλει νὰ λέγη γιὰ τὸν ἑαυτό του ὅ,τι θέλει καὶ νὰ γίνεται πιστευτός. Αὐτὰ εἶναι φλυαρίες καὶ γελοιότητες καὶ λόγια τῆς εἰδωλολατρικῆς ἀνοησίας.

Ὅπως ἀκριβῶς δηλαδὴ ἂν κάποιος ἐπιχειρήση νὰ τοξεύση τὸν οὐρανὸ γιὰ νὰ τὸν τρυπήση μὲ τὰ βέλη του ἢ νὰ ἐκκενώση τὸν ὠκεανὸ ἀδειάζοντας τὸ νερὸ μὲ τὰ χέρια του, δὲν ὑπάρχει κανεὶς καὶ ἀπὸ τοὺς πιὸ ἀστείους ἀκόμη ποὺ δὲν θὰ τὸν περιγελάση, ἐνῶ οἱ πιὸ σοβαροὶ θὰ χύσουν καὶ δάκρυα πολλὰ γι' αὐτόν, ἔτσι καὶ ὅταν ἀντιλέγουν οἱ εἰδωλολάτρες πρὸς ἐμᾶς πρέπει νὰ γελᾶμε καὶ νὰ δακρύζωμε, γιατὶ ἐπιχειροῦν πράγματα πολὺ πιὸ δύσκολα καὶ ἀπὸ ἐκεῖνον ποὺ ἐλπίζει νὰ τρυπήση μὲ τὸ τόξο του τὸν οὐρανὸ καὶ ν' ἀδειάση μὲ τὰ χέρια του τὸν ὠκεανό. Γιατὶ οὔτε τὸ φῶς θὰ γίνη ποτὲ σκότος, ὅσο θὰ ὑπάρχη φῶς, οὔτε καὶ ἡ ἀλήθεια τῶν πραγμάτων τῆς πίστεώς μας θὰ ἀμφισβητηθῆ· γιατὶ εἶναι ἀλήθεια καὶ τίποτε δὲν ὑπάρχει ἰσχυρότερο ἀπὸ τὴν ἀλήθεια. Τὸ ὅτι βέβαια καὶ τὰ παλιά, ποὺ γνωρίζομε ἐξ ἀκοῆς, δὲν εἶναι λιγώτερο ἀξιόπιστα ἀπὸ τὰ τωρινὰ ποὺ τὰ βλέπομε, θὰ τὰ ὡμολογοῦσε κάθε ἄνθρωπος ποὺ δὲν εἶναι ἀνισόρροπος καὶ ἀνόητος, γιὰ νὰ γίνη ὅμως περίτρανη ἡ νίκη μας θέλω νὰ σᾶς διηγηθῶ κάποιο θαυμαστὸ γεγονὸς ποὺ συνέβηκε στὴ δική μας γενεά. Ἀλλὰ μὴ θορυβηθῆτε, ἄν, ἐνῶ ὑποσχέθηκα νὰ σᾶς διηγηθῶ θαῦμα ποὺ συνέβηκε στὶς ἡμέρες μας, ἀρχίζω τὴ διήγηση ἐξιστορώντας παλιὰ ἱστορία. Γιατὶ οὔτε σ' ἐκείνη μόνο θὰ ἀρκεσθῶ, οὔτε τὰ παλιὰ ποὺ θὰ πῶ θὰ εἶναι ἄσχετα μὲ τὴ νέα ὑπόθεση· καθ' ὅσον ἡ παλιὰ καὶ νέα ἱστορία συνδέονται στενὰ ἡ μιὰ τὴν ἄλλη καὶ δὲν εἶναι δυνατὸ νὰ διασπασθῆ ἡ στενὴ σύνδεση αὐτῶν, πρᾶγμα ποὺ θὰ τὸ καταλάβετε καλύτερα ἀφοῦ ἀκούσετε τὰ ἴδια τὰ γεγονότα.

5. Ὑπῆρξε κατὰ τὴν ἐποχὴ τῶν προγόνων μας κάποιος βασιλεύς[11]· ποιός ἦταν ὁ βασιλεὺς αὐτὸς ὡς πρὸς τὰ ἄλλα δὲν θὰ πῶ τίποτε, ἂν ὅμως ἀκούσετε τὴ μιαρὴ πράξη ποὺ τόλμησε νὰ κάνη θ' ἀντιληφθῆτε καὶ ὅλη τὴν ὑπόλοιπη σκληρότητα τοῦ χαρακτῆρα

ναξαριστὴ ὁ βασιλεὺς ὀνομάζεται Νουμεριανός. Κανένας ὅμως αὐτοκράτορας δὲν μνημονεύεται μὲ τὸ ὄνομα αὐτὸ κατὰ τὴν περίοδο αὐτή. Πρόκειται μᾶλλον γιὰ μεταποίηση τοῦ ὀνόματος τοῦ Δεκίου, ποὺ θυμίζει ἀριθμό. (numerys).

ἐκείνῳ πολεμούντων τῷ βασιλεῖ καταλῦσαι τὸν πόλεμον καὶ μήτε ἑτέρους κόπτειν, μήτε αὐτοὺς ὑπὸ ἑτέρων κόπτεσθαι τοῦ λοιποῦ. Ἀλλὰ πραγμάτων μὲν ἀπηλλάχθαι καὶ κινδύνων καὶ φόβων, στέργειν δὲ τοῖς ὑπάρχουσι καὶ μηδὲν πλέον τῶν ὄντων ἐπιζητεῖν· κρεῖττον γὰρ εἶναι μετὰ ἀφοβίας ἀπολαύειν μετρίων, ἢ τοῦ πλείονος ἐφιεμένους δεδοικέναι καὶ τρέμειν ἀεὶ καὶ κατὰ αὐτούς τε ἑτέροις διδόντας καὶ παρ' ἑτέρων λαμβάνοντας ζῆν.

Δόξαν δὴ καταθέσθαι τὸν πόλεμον καὶ τὸν ἀπράγμονα βίον ζῆν, ἔδοξεν ἰσχυρῷ τινι θεσμῷ καὶ ὅροις ἀσφαλέσι τοῦτο καταδῆσαι τὸ καλόν· καὶ ποιησάμενοι συνθήκας καὶ λαβόντες ὅρκους καὶ δόντες, ἐκ περιουσίας ἐπεχείρουν πείθειν τὸν βασιλέα τὸν αὐτῶν, τὸν υἱὸν τὸν αὐτοῦ, παιδίον δὲ ἦν κομιδῇ, τῆς εἰρήνης ἐνέχυρον καταθέντα ἀσφαλές, τοῖς τε πρότερον πολεμίοις οὖσι παρέχειν θαρρεῖν, τῆς τε οἰκείας γνώμης μαρτύριον ἐξενεγκεῖν, ὡς ἀδόλως τὴν εἰρήνην πεποιημένου πρὸς αὐτούς. Καὶ ταῦτα λέγοντες ἔπεισαν καὶ ἐξέδωκε τὸν υἱὸν ὁ βασιλεύς, ὡς μὲν αὐτὸς ᾤετο, τοῖς φίλοις καὶ συμμάχοις, ὡς δὲ τὸ τέλος ἔδειξε, τῷ πάντων ἀπηνεστάτῳ θηρίῳ. Λαβὼν γὰρ νόμῳ φιλίας καὶ συνθηκῶν τὸ παιδίον ἐκεῖνο τὸ βασιλικόν, πάντα ὁμοῦ κατεπάτησε καὶ ἀνέτρεψε, τοὺς ὅρκους, τὰς συνθήκας, τὴν πρὸς ἀνθρώπους αἰδῶ, τὴν πρὸς τὸ Θεῖον εὐλάβειαν, τὸν ἀπὸ τῆς ἡλικίας ἔλεον· καὶ οὔτε ἡ νεότης τὸ θηρίον ἐπέκαμψεν, οὔτε ἡ παρεπομένη τοῖς τοιούτοις μιάσμασι δίκη τὸν ἄγριον ἐκεῖνον ἐφόβησεν, οὔτε τὰ τοῦ παρακατεθεμένου πατρὸς αὐτὸν εἰσῆλθε ῥήματα, ἅπερ ἐκεῖνος τὸν υἱὸν ἐγχειρίζων ἴσως ἐπέσκηπτεν, ἐν ἐπιμελείᾳ τε αὐτὸν ἔχειν ἀξιῶν πολλῇ καὶ πατέρα αὐτὸν ἐπιφημίζων τῷ παιδὶ καὶ ὡς αὐτὸν γεγεννηκότα, οὕτω τρέφειν καὶ παιδεύειν παρακαλῶν καὶ τῆς τῶν οἰκείων προγόνων εὐγενείας ἄξιον ἀποφαίνειν· καὶ μετὰ τούτων τῶν ῥημάτων τὴν δεξιὰν τοῦ παιδὸς τῇ δεξιᾷ τοῦ φονέως ἐντιθεὶς καὶ μετὰ δακρύων διαλυόμενος· τούτων οὐδὲν εἰς νοῦν ὁ μιαρὸς ἐκεῖνος ἐβάλετο, ἀλλὰ πάντα ῥίψας

του. Ποιά εἶναι λοιπὸν ἡ μιαρὴ πράξη του; Κάποιο ἔθνος ἀπὸ ἐκεῖνα ποὺ εἶχαν πόλεμο μὲ τὸν βασιλέα θέλησε νὰ τερματίση τὸν πόλεμο καὶ στὸ ἑξῆς οὔτε αὐτοὶ νὰ φονεύουν ἄλλους οὔτε οἱ ἴδιοι νὰ φονεύωνται ἀπὸ ἄλλους· ν' ἀπαλλαγοῦν ἀπὸ τὰ πολεμικὰ αὐτὰ πράγματα, τοὺς κινδύνους καὶ τοὺς φόβους, καὶ ν' ἀρκοῦνται στὰ ὑπάρχοντά τους, χωρὶς νὰ ζητοῦν περισσότερα ἀπὸ αὐτὰ ποὺ ἔχουν· γιατὶ εἶναι προτιμότερο ν' ἀπολαμβάνουν χωρὶς φόβο τὰ λίγα, παρά, ἐπιχειρώντας ν' ἀποκτήσουν τὰ περισσότερα, νὰ ζοῦν πάντοτε μὲ φόβο καὶ τρόμο, προξενώντας κακὰ στοὺς ἄλλους καὶ δεχόμενοι κακὰ ἀπὸ ἄλλους.

Παίρνοντας λοιπὸν τὴν ἀπόφαση αὐτὴ νὰ τερματίσουν τὸν πόλεμο καὶ νὰ ζοῦν ἀνενόχλητοι, θεώρησαν καλὸ νὰ διασφαλίσουν τὸ καλὸ αὐτὸ μὲ κάποιον ἰσχυρὸ θεσμὸ καὶ ὅρους ἀσφαλεῖς. Ἀφοῦ ἔκαμαν συνθήκη καὶ ἀντάλλαξαν ὅρκους, προσπαθοῦσαν μὲ κάθε τρόπο νὰ πείσουν τὸν βασιλέα τους νὰ παραδώση τὸν υἱό του, ποὺ ἦταν ἀκόμη μικρὸ παιδί, σὰν ἀσφαλὲς ἐνέχυρο τῆς εἰρήνης, ὥστε καὶ οἱ ἐχθροὶ νὰ ἔχουν κάτι ποὺ θὰ τοὺς παρέχη ἐμπιστοσύνη, καὶ ὁ ἴδιος νὰ δώση βεβαίωση γιὰ τὶς προθέσεις του, ὅτι χωρὶς δόλο συνῆψε τὴν εἰρήνη μαζί τους. Καὶ λέγοντας αὐτὰ τὸν ἔπεισαν καὶ παρέδωσε ὁ βασιλεὺς τὸν υἱό του, ὅπως ὁ ἴδιος βέβαια νόμιζε, στοὺς φίλους καὶ συμμάχους, ὅπως ὅμως ἀπέδειξε τὸ τέλος, στὸ πιὸ φοβερὸ ἀπὸ ὅλα θηρίο. Ἀφοῦ δηλαδη παρέλαβε στὸ ὄνομα τῆς φιλίας καὶ τῆς συνθήκης τὸ βασιλόπαιδο ἐκεῖνο, ἀμέσως τὰ παρέβηκε ὅλα καὶ τὰ καταπάτησε, τοὺς ὅρκους, τὶς συνθῆκες, τὴ ντροπὴ πρὸς τοὺς ἀνθρώπους, τὸν σεβασμὸ πρὸς τὸν Θεὸ καὶ τὰ αἰσθήματα συμπάθειας ποὺ ἀπορρέουν ἀπὸ τὴν ἡλικία αὐτὴ τῶν παιδιῶν. Οὔτε λοιπὸν τὸ νεαρὸ τῆς ἡλικίας λύγισε τὸ θηρίο οὔτε ἡ τιμωρία ποὺ ἀκολουθεῖ τὶς μιαρὲς αὐτὲς πράξεις φόβισε τὸν ἄγριο ἐκεῖνον, οὔτε τὰ λόγια τοῦ πατέρα ποὺ ἐνδεχομένως εἶπε πρὸς αὐτὸν ὅταν παρέδινε σὰν παρακαταθήκη στὰ χέρια του τὸν υἱό του, ἀξιώνοντας νὰ τὸν φροντίζη μὲ πολλὴ ἐπιμέλεια, ἀποκαλώντας αὐτὸν πατέρα τοῦ παιδιοῦ του καὶ παρακαλώντας τον νὰ τὸ ἀναθρέψη καὶ νὰ τὸ μορφώση σὰν νὰ τὸ εἶχε γεννήσει ὁ ἴδιος, ὥστε νὰ φανῆ ἄξιο τῆς εὐγενικῆς καταγωγῆς του, τοποθετώντας μετὰ ἀπὸ τὰ λόγια αὐτὰ τὸ δεξὶ χέρι τοῦ παιδιοῦ στὸ δεξὶ χέρι τοῦ βασιλέως καὶ ξεσπώντας σὲ λυγμούς. Τίποτε ἀπὸ αὐτὰ δὲν θυμήθηκε ὁ μιαρὸς ἐκεῖνος, ἀλλ' ἀποβάλλο-

ἀθρόως ἀπὸ τῆς ψυχῆς, τὸν φόνον ἐκεῖνον τὸν πάντων ἐναγέστατον τῶν φόνων ἐργάζεται.

Τοῦτο γὰρ καὶ παιδοκτονίας χεῖρον τὸ μίασμα· καὶ μάρτυρες ὑμεῖς, οἱ οὐκ ἂν οὕτως ἀλγήσαντες, εἴπερ τοῖς ἐμοῖς πάθεσι καὶ τὰ ὑμέτερα στοχάζεσθαι χρή, εἰ τὸν υἱὸν ὅτι κατέσφαξεν ἠκούσατε τὸν αὐτοῦ· τότε μὲν γὰρ μετὰ τῶν κοινῶν νόμων καὶ οἱ τῆς φύσεως ἐδόκουν ἀνατετράφθαι θεσμοί· ἐνταῦθα δὲ πολλὰ ὁμοῦ συνδεδράμηκεν, ἃ καὶ τῆς φυσικῆς ἀνάγκης ἰσχυρότερα τῷ πλήθει γίνεται. Ὅταν γὰρ ἐννοήσω τὸ μειράκιον τὸ μηδὲν ἠδικηκός, τὸ παρὰ τοῦ πατρὸς ἐκδοθέν, τὸ τῶν προγονικῶν βασιλείων ἀποσπασθὲν καὶ τῆς οἰκείας τρυφῆς καὶ δόξης καὶ τιμῆς, ἀλλαξάμενον τὴν ἐν ἀλλοτρίᾳ διαγωγήν, ἵνα ἐξῇ τῷ μιαρῷ θαρρεῖν ἐκείνῳ περὶ τῶν συνθηκῶν, εἶτα ὑπ' αὐτοῦ κατεργασθὲν καὶ τῶν οἴκοι λαμπρῶν δι' αὐτὸν ἀποστερηθὲν καὶ ὑπ' αὐτοῦ πάλιν ἀποσφαγέν, ἐναντίον τι πάσχω πάθος, τηκόμενός τε ὁμοῦ τὴν ψυχὴν καὶ ἐξοιδῶν, τὸ μὲν τοῦ θυμοῦ, τὸ δὲ τῆς ἀθυμίας ἐργαζομένης. Ὅταν μὲν γὰρ ἐννοήσω τὸν μιαρὸν ἐκεῖνον ὁπλιζόμενον καὶ τὸ ξίφος ἀνατείνοντα καὶ τὴν δειρὴν κατέχοντα τοῦ παιδὸς καὶ τὴν δεξιάν, ᾗ τὴν παρακαταθήκην ἐδέξατο, ταύτῃ κατ' αὐτῆς ὠθοῦντα τὸ ξίφος, διαρρήγνυμαι καὶ ἀποπνίγομαι τῷ θυμῷ· ὅταν δὲ πάλιν ἴδω τὸν νέον δεδοικότα καὶ τρέμοντα καὶ οἰμώζοντα τὰς ἐσχάτας οἰμωγὰς καὶ τὸν πατέρα ἀνακαλοῦντα καὶ τούτων αἴτιον αὐτὸν γεγενῆσθαι λέγοντα καὶ τὴν σφαγὴν οὐ τῷ βαπτίζοντι τὸ ξίφος εἰς τὸν λαιμόν, ἀλλὰ τῷ γεγεννηκότι λογιζόμενον καὶ μὴ δυνάμενον ἐκφυγεῖν μηδὲ ἐπαμῦναι ἑαυτῷ, ἀλλ' ἀνήνυτα λοιπὸν τῷ φυσαμένῳ μεμφόμενον καὶ δεχόμενον τὴν πληγὴν και ἀσπαίροντα καὶ λακτίζοντα τοὔδαφος καὶ τὴν γῆν τοῖς τῶν αἱμάτων μολύνοντα κρουνοῖς, διακόπτομαι τὰ σπλάγχνα καὶ σκοτοῦμαι τὸν λογισμὸν καὶ μού τις ἀχλὺς ἀθυμίας καταχεῖται τοῖς ὀφθαλμοῖς.

Ἀλλ' οὐχ ὁ θὴρ ἐκεῖνος ἔπαθέ τι τοιοῦτον οὐδέν, ἀλλ' ὥσπερ τινὰ ἀρνὸν καταθύειν μέλλων ἢ μόσχον, οὕτω διετέθη πρὸς τὴν

ντάς τα ὅλα μέσα σὲ μιὰ στιγμὴ μέσα ἀπὸ τὴν ψυχή του, διέπραξε τὸν φόνο ἐκεῖνο τὸν πιὸ μιαρὸ ἀπ' ὅλους τοὺς φόνους.

Πραγματικὰ αὐτὸ τὸ μίασμα εἶναι χειρότερο καὶ ἀπὸ παιδοκτονία, καὶ μάρτυρες εἶσθε σεῖς, ποὺ δὲν θὰ πονούσατε τόσο, ἂν φυσικὰ πρέπει νὰ σκεφθῶ καὶ γιὰ σᾶς ὅτι νιώσατε τὸν ἴδιο πόνο ποὺ ἔνιωσα καὶ ἐγώ, ἂν ἀκούγατε, ὅτι κατέσφαξε τὸν υἱό του. Γιατὶ τότε βέβαια θὰ φαινόταν ὅτι ἀνατράπηκαν μαζὶ μὲ τοὺς ἀνθρώπινους νόμους καὶ οἱ θεσμοὶ τῆς φύσεως, ἐνῶ στὴν περίπτωση αὐτὴ πολλὰ μαζὶ ἔχουν συμβῆ, τὰ ὁποῖα μὲ τὸ πλῆθος τους αὐτὸ γίνονται ἰσχυρότερα καὶ ἀπὸ τὴ φυσικὴ ἀνάγκη. Ὅταν δηλαδὴ σκεφθῶ τὸ μικρὸ ἐκεῖνο παιδὶ ποὺ δὲν διέπραξε κανένα ἀδίκημα, ποὺ παραδόθηκε ἀπὸ τὸν πατέρα του, ποὺ ἀποσπάσθηκε ἀπὸ τὰ πατρικά του ἀνάκτορα, καὶ ἀντάλλαξε τὴ δική του ἀπόλαυση, τὴ δόξα καὶ τὴν τιμὴ μὲ ἕνα ἄλλο τρόπο ζωῆς στὴν ξένη χώρα, γιὰ νὰ μπορῆ ὁ μιαρὸς ἐκεῖνος βασιλεὺς νὰ ἔχη ἐμπιστοσύνη στὶς συνθῆκες ποὺ ἔγιναν, καὶ στὴ συνέχεια ταλαιπωρήθηκε ἀπὸ αὐτὸν καὶ ἔχασε ἐξ αἰτίας αὐτοῦ ὅλη τὴ λαμπρότητα ποὺ θὰ εἶχε στὴν πατρίδα του καὶ στὸ τέλος κατασφάχθηκε ἀπ' αὐτόν, κυριεύομαι ἀπὸ ἕνα διπλὸ ἀντίθετο πάθος· συγχρόνως δηλαδὴ καὶ λειώνει ἡ ψυχή μου καὶ φουσκώνει· καὶ τὸ πρῶτο μοῦ τὸ προξενεῖ ἡ λύπη, ἐνῶ τὸ δεύτερο ὁ θυμός. Ὅταν δηλαδὴ σκεφθῶ τὸν μιαρὸ ἐκεῖνον νὰ ὁπλίζεται, νὰ σηκώνη τὸ ξίφος καὶ νὰ κρατᾶ τὸν λαιμὸ τοῦ παιδιοῦ καὶ τὸ δεξί χέρι, μὲ τὸ ὁποῖο δέχθηκε τὸ παιδὶ σὰν ἐνέχυρο, μὲ αὐτὸ νὰ βυθίζη τὸ ξίφος στὸ λαιμό του, σκάζω καὶ πνίγομαι ἀπὸ τὸν θυμό μου· κι ὅταν πάλι δῶ τὸ παιδὶ νὰ φοβᾶται καὶ νὰ τρέμη καὶ ν' ἀφήνη τοὺς τελευταίους λυγμούς του καὶ νὰ καλῆ τὸν πατέρα του καὶ νὰ λέγη, ὅτι αὐτὸς ἔγινε αἴτιος ὅλων αὐτῶν, καὶ νὰ καταλογίζη τὴ σφαγὴ ὄχι σ' αὐτὸν ποὺ βύθιζε τὸ ξίφος στὸ λαιμό του, ἀλλὰ σ' ἐκεῖνον ποὺ τὸ γέννησε, καὶ νὰ μὴ μπορῆ νὰ ξεφύγη οὔτε καὶ νὰ ὑπερασπισθῆ τὸν ἑαυτό του, ἀλλὰ νὰ κατηγορῆ ἀνώφελα πλέον τὸν πατέρα του καὶ νὰ δέχεται τὸ πλῆγμα τοῦ ξίφους καὶ νὰ σπαρταρᾶ καὶ νὰ κλωτσᾶ τὸ χῶμα καὶ νὰ μολύνη τὴ γῆ μὲ τοὺς κρουνοὺς τοῦ αἵματός του, ξεσχίζονται τὰ σπλάγχνα μου καὶ σκοτεινιάζει ἡ σκέψη μου καὶ ἕνα θόλωμα ἀπὸ λύπη σκεπάζει τὰ μάτια μου.

Ὅμως τὸ θηρίο ἐκεῖνο δὲν ἔπαθε κάτι τέτοιο, ἀλλὰ σὰν νὰ ἐπρόκειτο νὰ σφάξη ἀρνὶ ἢ μοσχάρι, μὲ τέτοια διάθεση διέπραξε τὴ

μιαρὰν ἐκείνην σφαγήν. Καὶ ὁ μὲν παῖς ἔκειτο νεκρὸς δεξάμενος τὴν πληγήν, ὁ δὲ σφαγεὺς ἐπηγωνίζετο τῷ μιάσματι, τοῖς δευτέροις τὰ πρότερα ἀποκρύψαι φιλονεικῶν. Τάχα μέ τις οἴεταί τι περὶ τῆς ταφῆς ἐρεῖν καὶ ὅτι μετὰ τὴν σφαγὴν οὐδὲ βραχείας τῷ φονευθέντι μετέδωκε γῆς· ἐγὼ δέ τι τούτου τολμηρότερον ἕτερον ἐρῶ. Τὰς γὰρ ἀνόμους χεῖρας ἐκείνας τοιούτῳ μολύνας αἵματι καὶ τὴν καινὴν ἐργασάμενος τραγῳδίαν, ὡς οὐδὲν ὅλως τετολμηκὼς ὁ ἀναιδὴς καὶ πετρῶν αὐτῶν σκληρότερος, πρὸς τὴν Ἐκκλησίαν ἠπείγετο τοῦ Θεοῦ. Καὶ ἴσως τινὲς θαυμάζουσι, πῶς οὐκ ἐπλήγη θεηλάτῳ πληγῇ τοιαῦτα τολμῶν, ἢ πῶς οὐκ ἐπαφῆκεν αὐτῷ σκηπτὸν ἄνωθεν ὁ Θεὸς καὶ πρὸ τῆς εἰσόδου τὴν ἀναίσχυντον ὄψιν κατέφλεξε τῷ κεραυνῷ· ἐγὼ δὲ εἴ τινες ἔλαβον τοῦτον τὸν λογισμόν, ἐπαινῶ μὲν αὐτοὺς καὶ θαυμάζω τῆς πυρώσεως, λείπειν δὲ αὐτοὺς οὐ μικρὸν τῷ θαύματι τούτῳ καὶ τοῖς ἐπαίνοις φημί. Δικαίαν μὲν γὰρ τὴν ἀγανάκτησιν ἔσχον ὑπέρ τε οὐκ ἐν δίκῃ κατακοπέντος παιδός, ὑπέρ τε τῶν τοῦ Θεοῦ νόμων οὕτως ὑβρισθέντων ἰταμῶς, ἀλλὰ τῷ θυμῷ ζέοντες, οὐ συνεῖδον ὅσον ἰδεῖν ἐχρῆν· τοῦ γὰρ δικαίου τούτου νόμος ἕτερος ἀνώτερος πολλῷ κεῖται ἐν τοῖς οὐρανοῖς.

Τίς οὖν ἐστιν ὁ νόμος; Τοῖς ἡμαρτηκόσι μὴ κατὰ πόδας τὴν τιμωρίαν ἐπάγειν, ἀλλ' ἐνδιδόναι τῷ πεπλημμεληκότι χρόνους καὶ προθεσμίαν, ὥστε τὸ πλημμεληθὲν ἀποδύσασθαι καὶ διὰ τῆς μετανοίας ἐξισωθῆναι τοῖς οὐδὲν εἰργασμένοις δεινόν, ὅπερ καὶ τότε ἐνεδείξατο εἰς τὸν δείλαιον ἐκεῖνον ὁ Θεός· ἐγίνετο δὲ πλέον οὐδέν, ἀλλ' ἔμενεν ἀδιόρθωτος. Ὁ δὲ φιλάνθρωπος καὶ τοῦτο προειδώς, οὐδὲ οὕτως ὑπερεῖδεν αὐτόν, οὐδὲ ἐνέλιπε τὰ παρ' ἑαυτοῦ ποιῶν, ἀλλ' αὐτὸς μὲν καὶ ἐπεσκόπησε κάμνοντα καὶ τὰ πρὸς ὑγίειαν ἔπραξεν· ἐκεῖνος δὲ οὐκ ἠθέλησε τὸ φάρμακον δέξασθαι, ἀλλὰ καὶ τὸν ἐπὶ τούτῳ πεμφθέντα συνέκοψεν ἰατρόν· τὸ δὲ φάρμακον καὶ ὁ τῆς ἰατρείας τρόπος τοιοῦτος ἦν.

μιαρὴ ἐκείνη σφαγή. Καὶ τὸ παιδὶ βέβαια ἀφοῦ δέχθηκε τὸ κτύπημα βρισκόταν κάτω νεκρό, ἐνῶ ὁ φονιὰς ἀγωνιζόταν νὰ μεγαλώση τὴ βδελυρὴ πράξη του, ἐπιδιώκοντας μὲ μιὰ δεύτερη πράξη του ν' ἀποκρύψη τὴν πρώτη. Ἴσως νομίζη κανείς, ὅτι θὰ μιλήσω γιὰ τὴ ταφή του καὶ ὅτι μετὰ τὴ σφαγὴ δὲν παρεχώρησε στὸ φονευμένο παιδὶ οὔτε ἕνα κομμάτι γῆς, ἐγὼ ὅμως θὰ πῶ κάτι πολὺ πιὸ τολμηρὸ ἀπὸ αὐτό. Ἀφοῦ δηλαδὴ μόλυνε τὰ ἄνομα ἐκεῖνα χέρια του μὲ τέτοιο αἷμα καὶ διέπραξε τὴν πρωτοφανῆ αὐτὴ τραγωδία, σὰν νὰ μὴν ἔκαμε τίποτε ὁ ἀναιδής, σκληρότερος καὶ ἀπὸ τὶς ἴδιες τὶς πέτρες ἀκόμη, ἔσπευδε μὲ βιασύνη νὰ πάη στὴν Ἐκκλησία τοῦ Θεοῦ. Καὶ ἴσως ν' ἀποροῦν μερικοί, πῶς, τολμώντας τέτοια πράγματα, δὲν δέχθηκε κάποιο θεόσταλτο πλῆγμα ἢ πῶς δὲν ἔρριξε ὁ Θεὸς ἐπάνω του κεραυνὸ ἀπὸ τὸν οὐρανὸ γιὰ νὰ κατακάψη τὸ ἀδιάντροπο πρόσωπό του προτοῦ μπῆ στὴν ἐκκλησία. Ἐγὼ ὅμως ἂν κάποιοι ἔκαναν αὐτὴ τὴ σκέψη τοὺς ἐπαινῶ καὶ τοὺς θαυμάζω γιὰ τὴ φλογερὴ αὐτὴ ἀγανάκτησή τους, ἀλλὰ νομίζω ὅτι δὲν τοὺς ταιριάζει ἐξ ὁλοκλήρου ὁ θαυμασμὸς αὐτὸς καὶ ὁ ἔπαινος. Εἶναι δικαιολογημένη βέβαια ἡ ἀγανάκτησή τους γιὰ τὴν ἄδικη σφαγὴ τοῦ παιδιοῦ, γιὰ τὸ ὅτι μὲ τόση θρασύτητα περιφρονήθηκαν οἱ νόμοι τοῦ Θεοῦ, ἀλλὰ καταφλεγόμενοι ἀπὸ τὸ θυμό τους δὲν εἶδαν τὸ πρᾶγμα τόσο καθαρά, ὅσο ἔπρεπε νὰ τὸ δοῦν. Γιατὶ πάνω ἀπὸ τὸν δίκαιο αὐτὸ νόμο τῶν ἀνθρώπων ὑπάρχει στοὺς οὐρανοὺς ἄλλος νόμος πολὺ πιὸ ἀνώτερος.

Ποιός λοιπὸν εἶναι ὁ νόμος αὐτός; Νὰ μὴ καταφέρη ἀμέσως τὴν τιμωρία σὲ ἐκείνους ποὺ ἁμάρτησαν, ἀλλὰ νὰ δίνη χρόνο καὶ προθεσμία σ' ἐκεῖνον ποὺ ἁμάρτησε, ὥστε νὰ ἐξαλείψη τὸ ἁμάρτημά του καὶ μὲ τὴ μετάνοιά του νὰ ἐξισωθῆ μὲ ἐκείνους ποὺ δὲν διέπραξαν κανένα κακό. Αὐτὸ ἔκαμε τότε ὁ Θεὸς καὶ γιὰ τὸν ἄθλιο ἐκεῖνον, κι ὅμως δὲν σημειώθηκε καμμιὰ μεταβολή, ἀλλὰ παρέμενε ἀδιόρθωτος. Ὁ φιλάνθρωπος ὅμως Θεὸς προβλέποντάς το καὶ αὐτὸ οὔτε καὶ ἔτσι τὸν παρέβλεψε οὔτε καὶ σταμάτησε νὰ κάμνη ὅ,τι ἐξαρτᾶτα ἀπὸ αὐτόν· αὐτὸς βέβαια ἐπέδειξε ὅλη τὴ φροντίδα του πρὸς τὸν ἀσθενῆ καὶ ἔκαμε ὅλα ἐκεῖνα ποὺ θ' ἀποκαταστοῦσαν τὴν ὑγεία του, ἐκεῖνος ὅμως δὲν θέλησε νὰ δεχθῆ τὸ φάρμακο ἀλλὰ καὶ κατέσφαξε καὶ τὸν γιατρὸ ποὺ στάλθηκε γιὰ τὸν σκοπὸ αὐτό. Τὸ φάρμακο καὶ ὁ τρόπος τῆς θεραπείας ἦταν τὰ ἑξῆς.

6. Ἔτυχε κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν τὸ ἀπηνὲς τοῦτο δρᾶμα ἐτολμᾶτο καὶ ἐλεεινόν, ἄνδρα τινὰ μέγαν καὶ θαυμαστόν, εἴ γε δεῖ αὐτὸν ἄνδρα καλεῖν, τῆς ποίμνης ἐπιμελεῖσθαι τῆς παρ' ἡμῖν· Βαβύλας ἦν ὄνομα αὐτῷ. Οὗτος τοίνυν τότε τοῦ Χριστοῦ τὴν Ἐκκλησίαν τὴν ἐνθάδε ὑπὸ τῆς τοῦ Πνεύματος χάριτος ἐγχειρισθείς, τὸν Ἠλίαν καὶ τὸν τούτου ζηλωτὴν τὸν Ἰωάννην ὅτι παρήλασε μὲν οὐκ ἂν εἴποιμι, μὴ καὶ λίαν φορτικὸν τὸ λεγόμενον ᾖ, ἔφθασε δὲ οὕτως, ὡς μηδὲ τὸ τυχὸν ἀπολειφθῆναι τῆς ἐλευθερίας τῶν γενναίων ἐκείνων ἀνδρῶν. Οὐ γὰρ τετράρχην πόλεων ὀλίγων, οὐδὲ ἑνὸς ἔθνους βασιλέα, ἀλλὰ τὸν τὸ πλεῖστον μέρος τῆς οἰκουμένης ἁπάσης κατέχοντα, αὐτὸν δὴ τοῦτον τὸν ἀνδροφόνον, καὶ πολλὰ μὲν ἔθνη, πολλὰς δὲ πόλεις καὶ στρατιὰν ἄπειρον κεκτημένον καὶ πάντοθεν ὄντα φοβερόν, ἀπό τε τοῦ μεγέθους τῆς ἀρχῆς, ἀπό τε τῆς τῶν τρόπων θρασύτητος, ὡς ἀνδράποδον εὐτελὲς μετὰ τοσαύτης ἀταραξίας καὶ ἀφοβίας, μεθ' ὅσης ἂν ποιμὴν πρόβατον ψώρας ἐμπεπλησμένον καὶ νενοσηκὸς τῆς ποίμνης ἀπείρξειε, κωλύων εἰς τὰ λοιπὰ διαβῆναι τὴν νόσον τοῦ κάμνοντος. Καὶ ταῦτα ἔπραττεν, ἔργῳ τὸν τοῦ Σωτῆρος λόγον βεβαιῶν, ὅτι μόνος δοῦλός ἐστιν ὁ τὴν ἁμαρτίαν ποιῶν, κἂν μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους, κἂν ἁπάντων δοκῇ τῶν ἐπὶ τῆς γῆς ἀνθρώπων κρατεῖν· ὁ δὲ οὐδὲν ἑαυτῷ συνειδὼς πονηρόν, κἂν ἐν τῇ τῶν ὑπηκόων καταλέγηται τάξει, πάντων ἐστὶ βασιλέων βασιλικώτερος. Αὐτίκα γοῦν τὸν ἄρχοντα διέταττεν ὁ ἀρχόμενος καὶ τῷ κρατοῦντι πάντων ἔκρινεν ὁ ὑπήκοος καὶ τὴν καταδικάζουσαν αὐτὸν ψῆφον ἔφερε.

Σὺ δὲ ταῦτα ἀκούων, μὴ παρέλθῃς ἁπλῶς τὸ λεχθέν· ἱκανὸν μὲν γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ τοῦτο ἀπαγγελθέν, ὅτι τὸν βασιλέα τῶν τῆς Ἐκκλησίας προθύρων ἐξήλασε τῶν ὑπὸ τὴν ἀρχὴν ὄντων τις τὴν αὐτοῦ, διαναστῆσαι καὶ ἐκπλῆξαι τὴν τῶν ἀκουόντων ψυχήν. Εἰ δὲ βούλει τὸ θαῦμα ἅπαν καταμαθεῖν ἀκριβῶς, μὴ ψιλῷ τῷ ῥήματι πρόσεχε, ἀλλ' ὑπόγραψον τοὺς δορυφόρους, τοὺς ὑπα-

12. Ἰω. 8,34. πρβλ. Ρωμ. 6,16 ἑ. Β' Πέτρ. 2,19.

6. Ἔτυχε κατὰ τὸν καιρὸ ἐκεῖνο, ποὺ διαπράχθηκε τὸ ἀπάνθρωπο καὶ ἐλεεινὸ αὐτὸ δρᾶμα, νὰ εἶναι προϊστάμενος τῆς ποίμνης μας ἕνας μεγάλος καὶ θαυμαστὸς ἄνδρας, ἂν βέβαια πρέπει νὰ ὀνομάζω αὐτὸν ἄνδρα, ποὺ ὠνομαζόταν Βαβύλας. Αὐτὸς λοιπὸν παίρνοντας τότε στὰ χέρια, μὲ τὴ χάρη τοῦ Πνεύματος, τὴν διακυβέρνηση τῆς ἐδῶ Ἐκκλησίας, δὲν θὰ μποροῦσα βέβαια νὰ πῶ ὅτι ξεπέρασε τὸν Ἠλία καὶ τὸν μιμητή του τὸν Ἰωάννη, μήπως θεωρηθῇ πολὺ ἐνοχλητικὸς ἕνας τέτοιος λόγος, ἔφθασε ὅμως σὲ τέτοιο ὕψος, ὥστε νὰ μὴν ὑπολείπεται οὔτε ὡς πρὸς τὸ ἐλάχιστο ἀπὸ τὴν ἐλευθερία τῶν γενναίων ἐκείνων ἀνδρῶν. Γιατὶ αὐτὸς ὄχι τὸν διοικητὴ λίγων πόλεων οὔτε τὸν βασιλέα ἑνὸς ἔθνους, ἀλλὰ αὐτὸν ποὺ εἶχε κάτω ἀπὸ τὴν ἐξουσία του τὸ μεγαλύτερο μέρος τῆς οἰκουμένης, τὸν ἴδιο δηλαδὴ τὸν φονιὰ τοῦ παιδιοῦ, ποὺ εἶχε ὑπὸ τὴν κυριαρχία του πολλὰ ἔθνη καὶ στρατεύματα ἄπειρα, καὶ ἦταν ἐξ αἰτίας πολλῶν φοβερός, καὶ ἐξ αἰτίας τοῦ μεγέθους τῆς ἐξουσίας του καὶ ἐξ αἰτίας τῆς σκληρότητας τοῦ χαρακτῆρα του, αὐτὸν λοιπὸν σὰν ἕνα δοῦλο ἄσημο καὶ ἀνάξιο κάθε λόγου ἔτσι τὸν ἔδιωξε μέσα ἀπὸ τὴν ἐκκλησία καὶ μὲ τόση ἀταραξία καὶ ἀφοβία, μὲ ὅση ὁ βοσκὸς ἀπομακρύνει ἀπὸ τὸ κοπάδι τὸ ψωριασμένο καὶ ἄρρωστο πρόβατο, ἐμποδίζοντας ἔτσι τὴν νόσο τοῦ ἀρρώστου νὰ μεταδοθῇ καὶ στὰ ὑπόλοιπα. Καὶ κάμνοντας αὐτὰ ἔμπρακτα ἐπιβεβαίωνε τὸν λόγο τοῦ Κυρίου, ὅτι δοῦλος εἶναι μόνο ἐκεῖνος ποὺ διαπράττει τὴν ἁμαρτία[12], κι ἂν ἀκόμη ἔχῃ πάνω στὸ κεφάλι του ἄπειρα στεφάνια, καὶ ἂν ἀκόμη φαίνεται ὅτι ἐξουσιάζει ὅλους τοὺς ἀνθρώπους τῆς γῆς. Ὅποιος ὅμως δὲν αἰσθάνεται βαρειὰ τὴ συνείδησή του γιὰ κάποιο κακό, κι ἂν ἀκόμη συγκαταλέγεται στὴν τάξη τῶν ὑπηκόων, εἶναι βασιλικώτερος ἀπ' ὅλους τοὺς βασιλεῖς. Ἀμέσως λοιπὸν διέταξε ὁ ἀρχόμενος τὸν ἄρχοντα καὶ ὁ ὑπήκοος ἔκρινε τὸν ἐξουσιαστὴ ὅλων, ἐκφέροντας τὴν καταδικαστικὴ ἀπόφαση γι' αὐτόν.

Σὺ ὅμως ἀκούοντας αὐτὰ μὴ προσπεράσῃς τὰ λεγόμενα μὲ ἐπιπολαιότητα. Βέβαια τὸ γεγονὸς αὐτὸ καθ' ἑαυτό, τὸ ὅτι δηλαδὴ ἐξεδίωξε ἀπὸ τὰ πρόθυρα της ἐκκλησίας τὸν βασιλέα κάποιος ποὺ βρισκόταν ὑπὸ τὴν ἐξουσία του, εἶναι ἱκανὸ νὰ διεγείρῃ καὶ νὰ προκαλέσῃ ἔκπληξη στὶς ψυχὲς τῶν ἀκροατῶν, ἂν ὅμως θέλῃς νὰ γνωρίσῃς μὲ ἀκρίβεια ὅλο τὸ θαῦμα, μὴν ἀρκεσθῇς στὴν ἁπλῆ σημασία τοῦ λεγομένου, ἀλλὰ φαντάσου τὴ βασιλικὴ συνοδεία,

σπιστάς, τοὺς στρατηγούς, τοὺς ἄρχοντας, τοὺς ἐν ταῖς βασιλικαῖς αὐλαῖς τρεφομένους, τοὺς ἐπὶ τῶν πόλεων τεταγμένους, τὸν τῦφον τῶν προηγουμένων, τῶν ἑπομένων τῶν σοβούντων τὸ πλῆθος, τὴν ἄλλην θεραπείαν ἅπασαν. Εἶτα αὐτὸν ἐν τῷ μέσῳ μετὰ πολλοῦ μὲν ἐπιβαίνοντα τοῦ φρονήματος, σεμνότερον δὲ ἀπὸ τῶν ἱματίων φαινόμενον καὶ τῆς ἁλουργίδος καὶ τῶν λίθων τῶν πανταχοῦ διεσπαρμένων κατὰ τὴν δεξιάν, κατὰ τὴν συμβολὴν τῆς χλανίδος, τῶν ἀπὸ τοῦ διαδήματος ἐξ αὐτῆς ἀστραπτόντων τῆς κεφαλῆς. Καὶ μηδὲ μέχρι τούτου στήσῃς τὴν εἰκόνα, ἀλλ' ἔκτεινον αὐτὴν καὶ ἐπὶ τὸν τοῦ Θεοῦ δοῦλον, τὸν μακάριον Βαβύλαν, καὶ τὸ σχῆμα τὸ ταπεινὸν καὶ ἐπὶ τὴν στολὴν τὴν ἰδιωτικὴν καὶ τὴν συντετριμμένην ψυχὴν καὶ τὸ θράσους ἀπηλλαγμένον φρόνημα, καὶ οὕτως ἀμφοτέρους διαγράψας καὶ ἀντιθείς, τότε γνώσῃ τὸ θαῦμα καλῶς, μᾶλλον δὲ οὐδὲ οὕτως ἐπιλήψῃ τῆς ἀκριβείας αὐτῆς· τὴν γὰρ παρρησίαν ἐκείνην λόγος μὲν οὐδεὶς οὐδὲ ὄψις παραστῆσαι δύναιτ' ἄν, ἡ πεῖρα δὲ μόνη καὶ ἡ χρῆσις αὐτῆς. Καὶ τὸ παράστημα τῆς τοῦ γενναίου ψυχῆς μόνος ἐκεῖνος δύναιτ' ἂν εἰδέναι καλῶς, ὁ δυνηθεὶς εἰς τὴν αὐτὴν αὐτῷ τῆς παρρησίας φθάσαι κορυφήν. Πῶς γὰρ προσῆλθε ὁ γέρων; πῶς τοὺς δορυφόρους διέκοψε; πῶς τὸ στόμα διῆρε; πῶς ἐφθέγξατο; πῶς ἐπετίμησε; πῶς τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισε τὸ φλεγμαῖνον ἔτι τῷ θυμῷ καὶ ζέον τῷ φόνῳ; πῶς ἀπώσατο τὸν ἀνδροφόνον; Οὐδὲν αὐτὸν τῶν δρωμένων κατέπληξε καὶ τῆς προθέσεως ἐξέκρουσεν. Ὢ ψυχῆς ἀκαταπλήκτου καὶ διανοίας ὑψηλῆς! ὢ φρενῶν οὐρανίων καὶ παραστήματος ἀγγελικοῦ!

Ὥσπερ γὰρ ἐν τοίχῳ γεγραμμένην ἅπασαν τὴν φαντασίαν ἐκείνην ὁρῶν, οὕτως ἀταράχως ἅπαντα ἔπραττεν ὁ γενναῖος ἀνήρ. Καὶ γὰρ ἦν πεπαιδευμένος ἀπὸ τῶν θείων δογμάτων, ὅτι σκιὰ καὶ ὄναρ καὶ τούτων οὐδαμινώτερα ἅπαντα τὰ τοῦ κόσμου πράγματα. Διὰ τοῦτο οὐδὲν αὐτὸν τούτων καταπτῆξαι ἐποίησεν, ἀλλὰ καὶ μᾶλλον ἐθάρρυνεν. Ἡ γὰρ ὄψις ἐκείνη τῶν δρωμένων τὴν διάνοιαν

13. Πρβλ. Φιλιπ. 3,8.

τοὺς ὑπασπιστές, τοὺς στρατηγούς, τοὺς ἄρχοντες, ἐκείνους ποὺ ζοῦν στὶς βασιλικὲς αὐλές, τοὺς διοικητὲς τῶν πόλεων, τὴν ἀλαζονεία ἐκείνων ποὺ προηγοῦνται τῆς βασιλικῆς συνοδείας καὶ ἐκείνων ποὺ ἀκολουθοῦν, τὸ πλῆθος ἐκείνων ποὺ ἐπευφημοῦν τὸν βασιλέα καθὼς καὶ τὶς ἄλλες ἐκδηλώσεις. Ἔπειτα φαντάσου τὸν βασιλέα νὰ προχωρῆ ἀνάμεσά τους γεμᾶτος ὑπερηφάνεια καὶ νὰ φαίνεται ἀκόμη πιὸ ἐπιβλητικότερος ἀπὸ τὰ ἐνδύματά του καὶ τὴ βασιλικὴ πορφύρα, ἐνῶ οἱ διασκορπισμένοι παντοῦ πολύτιμοι λίθοι πάνω στὸ δεξὶ χέρι, στὸ μέρος ποὺ τελειώνει ὁ μανδύας καὶ στὸ στέμμα τῆς κεφαλῆς νὰ ἀστραφτοκοποῦν. Καὶ μὴ σταματήσης μέχρις ἐδῶ τὴν εἰκόνα τῆς φαντασίας, ἀλλ' ἐπέκτεινε αὐτὴν καὶ στὸν δοῦλο τοῦ Θεοῦ, τὸν μακάριο Βαβύλα, στὸ ταπεινό του παράστημα, στὴν ἀνεπίσημη στολή του, στὴν συντετριμμένη ψυχή του, στὸ ἀπαλλαγμένο ἀπὸ θράσος φρόνημά του, καὶ ἀφοῦ ἔτσι ζωγραφίσης καὶ τοὺς δυὸ καὶ τοποθετήσης τὸν ἕνα ἀπέναντι στὸν ἄλλο, τότε θὰ κατανοήσης καλὰ τὸ θαῦμα, ἢ καλύτερα οὔτε καὶ τότε θὰ μπορέσης νὰ τὸ κατανοήσης μὲ ἀκρίβεια. Γιατὶ τὴν παρρησία ἐκείνη δὲν θὰ μποροῦσε κανεὶς λόγος οὔτε καὶ εἰκόνα νὰ τὴν παραστήση, ἀλλὰ μόνο ἡ πεῖρα καὶ ἡ χρήση αὐτῆς. Καὶ τὸ παράστημα τῆς ψυχῆς τοῦ γενναίου ἐκείνου ἄνδρα μόνον ἐκεῖνος ποὺ μπόρεσε νὰ φθάση στὴν ἴδια μὲ αὐτὸν κορυφὴ θάρρους μπορεῖ νὰ τὴν νιώση καλά. Πῶς δηλαδὴ ὁ γέροντας πλησίασε τὸν βασιλέα; πῶς διέσχισε τὴ συνοδεία; πῶς ἄνοιξε τὸ στόμα του; πῶς μίλησε; πῶς τὸν ἐπετίμησε; πῶς ἄγγιξε μὲ τὸ δεξί του χέρι τὸ στῆθος ποὺ φλεγόταν ἀκόμη ἀπὸ τὸ θυμὸ καὶ ἦταν κατάζεστο ἀπὸ τὸ φόνο; πῶς ἀπώθησε τὸν φονιὰ τοῦ παιδιοῦ; Τίποτε ἀπὸ ἐκεῖνα ποὺ γίνονταν γύρω του δὲν τὸν κατέπληξε καὶ δὲν τοῦ ἄλλαξε τὴν πρόθεσή του. Πὼ πὼ ψυχὴ ἀτρόμητη καὶ διάνοια ὑψηλή! πὼ πὼ φρόνημα οὐράνιο καὶ παράστημα ἀγγελικό!

Ὅπως ἀκριβῶς λοιπὸν βλέπει κανεὶς ὅλη ἐκείνη τὴ φαντασία ἐπάνω σὲ τοῖχο ζωγραφισμένη, μὲ τέτοια ἀταραξία ὁ γενναῖος ἐκεῖνος ἄνδρας τὰ ἔπρατε ὅλα. Γιατὶ εἶχε διδαχθῆ ἀπὸ τὴ θεία διδασκαλία, ὅτι ὅλα τὰ πράγματα τοῦ κόσμου εἶναι σκιὰ καὶ ὄνειρο καὶ πιὸ μηδαμινὰ ἀκόμη ἀπὸ αὐτά[13]. Γι' αὐτὸ τίποτε ἀπ' ὅλα αὐτὰ δὲν τὸν ἔκαμε νὰ φοβηθῆ, ἀλλὰ καὶ μεγαλύτερο θάρρος τοῦ ἔδιναν. Γιατὶ ἡ θέα ὅλων ἐκείνων ποὺ συνέβαιναν ἐκεῖ μετέφερε τὸν νοῦ του στὸν

παρέπεμπεν ἐπὶ τὸν ἄνω βασιλέα τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ καὶ βλέποντα ἀβύσσους, ἐπὶ τὸν θρόνον τὸν ἔνδοξον καὶ ὑψηλόν, ἐπὶ τὴν στρατιὰν τὴν οὐράνιον, ἐπὶ τὰς μυριάδας τῶν ἀγγέλων, ἐπὶ τὰς χιλιάδας τῶν ἀργαγγέλων, ἐπὶ τὸ βῆμα τὸ φοβερόν, ἐπὶ τὸ κριτήριον τὸ ἀδέκαστον, ἐπὶ τὸν τοῦ πυρὸς ποταμόν, ἐπὶ τὸν κριτὴν αὐτόν. Διά τοι τοῦτο ὅλον ἑαυτὸν μεταστήσας ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, ὡς ἐκείνῳ τῷ δικαστῇ παρεστὼς καὶ αὐτοῦ κελεύοντος ἀκούων, τὸν ἐναγῆ καὶ μιαρὸν τῆς ἱερᾶς ἀγέλης ἐξωθεῖν, οὕτως ἐξέβαλε καὶ τῶν λοιπῶν προβάτων ἀφώρισε καὶ πρὸς οὐδὲν ἐπεστρέφετο τῶν ὁρωμένων καὶ δοκούντων εἶναι φοβερῶν, ἀλλ' ἀνδρείως αὐτὸν μάλα καὶ γενναίως ἀπωσάμενος, παρέστη τυραννουμένοις τοῖς τοῦ Θεοῦ νόμοις.

Καίτοι πόση περὶ τοὺς λοιποὺς αὐτὸν παρρησίᾳ κεχρῆσθαι εἰκός; Ὁ γὰρ τῷ κρατοῦντι μετὰ τοσαύτης ἐξουσίας προσενεχθείς, τίνα τῶν λοιπῶν ἔδεισεν ἄν; Ἐγὼ τὸν ἄνδρα ἐκεῖνον στοχάζομαι, μᾶλλον δὴ οὐ στοχάζομαι, ἀλλὰ πιστεύω, μὴ πρὸς χάριν, μὴ πρὸς ἀπέχθειαν, μήτε πρᾶξαι μήτε εἰπεῖν τί ποτε, ἀλλὰ καὶ πρὸς φόβον καὶ πρὸς τὴν τούτου δυνατωτέραν κολακείαν καὶ πρὸς τὰ ἄλλα τὰ τοιαῦτα (πολλὰ δὲ τὰ ἀνθρώπινα) γενναίως στῆναι καὶ ἀνδρείως καὶ μηδὲ μικρόν τι τῆς ὀρθῆς διαφθεῖραι κρίσεως. Εἰ γὰρ «στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων καὶ βῆμα ποδὸς ἀπαγγέλλει τὰ περὶ αὐτοῦ», πολλῷ μᾶλλον τὰ τοσαῦτα κατορθώματα πᾶσαν ἡμῖν ἱκανὰ τοῦ λοιποῦ βίου παραδεῖξαι τὴν ἀρετήν· οὐδὲ γὰρ ἐπὶ τῇ παρρησίᾳ μόνον αὐτὸν θαυμάζειν χρή, ἀλλὰ καὶ ἐπὶ τῷ μέχρι τοσούτου τὴν παρρησίαν ἐκτεῖναι καὶ ἐπὶ τῷ πάλιν μηδὲν προσθεῖναι πλέον αὐτῇ.

7. Τοιαύτη γὰρ ἡ τοῦ Χριστοῦ σοφία, μήτε ἐλλιπῶς μήτε περιττῶς ἀγωνίζεσθαι συγχωροῦσα, ἀλλὰ πανταχοῦ τὴν συμμετρίαν φυλάττουσα. Καίτοι γε ἐνῆν εἴπερ ἐβούλετο καὶ περαιτέρω προελθεῖν. Τῷ γὰρ ἀπαγορεύσαντι τὸ ζῆν (οὐδ' ἂν τὴν ἀρχὴν προσῆλθεν, εἰ μὴ τοιούτοις αὐτὸν ὥπλισε λογισμοῖς) μετ' ἐξουσίας ἅπαντα πράττειν ἐξῆν καὶ ὕβρεσι πλῦναι τὸν βασιλέα καὶ τὸ διάδημα καθελεῖν τῆς

14. Σοφ. Σειρ. 19,30.

οὐράνιο βασιλέα, ποὺ κάθεται ἐπάνω στὰ Χερουβὶμ καὶ ἐπιβλέπει ἀβύσσους, στὸν θρόνο τὸν ἔνδοξο καὶ ὑψηλό, στὰ οὐράνια στρατεύματα, στὶς μυριάδες τῶν ἀγγέλων, στὶς χιλιάδες τῶν ἀρχαγγέλων, στὸ φοβερὸ ἐκεῖνο βῆμα καὶ στὸ ἀδωροδόκητο δικαστήριο, στὸν πύρινο ποταμό, σ' αὐτὸν τὸν ἴδιο τὸν κριτή. Γι' αὐτὸ λοιπόν, μεταφέροντας ὅλον τὸν ἑαυτό του ἀπὸ τὴ γῆ στὸν οὐρανό, σὰν νὰ βρισκόταν μπροστὰ σ' ἐκεῖνον τὸν δικαστὴ καὶ ἄκουγε νὰ τοῦ δίνη ἐντολὴ ν' ἀπομακρύνη ἀπὸ τὴν ἱερὴ ἀγέλη τὸν βδελυρὸ καὶ μιαρό, ἔτσι τὸν ἀπομάκρυνε καὶ τὸν ξεχώρισε ἀπὸ τὰ ὑπόλοιπα πρόβατα καὶ τίποτε ἀπὸ αὐτὰ ποὺ ἔβλεπε καὶ φαίνονταν φοβερὰ δὲν τὸν ἔκαμαν ν' ἀλλάξη γνώμη, ἀλλ' ἀφοῦ τὸν ἀπώθησε μὲ πολὺ μεγάλη ἀνδρεία καὶ γενναιότητα, ὑπερασπίσθηκε τοὺς νόμους τοῦ Θεοῦ ποὺ καταπατοῦνταν. Ἂν καὶ βέβαια μὲ πόση παρρησία φυσικὸ ἦταν ν' ἀντιμετωπίση τοὺς ὑπόλοιπους τῆς συνοδείας; Γιατὶ ἐκεῖνος ποὺ μὲ τόσο θάρρος στάθηκε μπροστὰ στὸν ἐξουσιαστή, ποιόν ἀπὸ τοὺς ἄλλους θὰ ἦταν δυνατὸ νὰ φοβηθῆ; Ὅμως ἐγὼ σκέπτομαι, ἢ καλύτερα δὲν σκέπτομαι ἀλλὰ πιστεύω, ὅτι αὐτὸς ποτὲ δὲν εἶπε ἢ ἔπραξε κάτι γιὰ νὰ πετύχη κάποια χάρη ἢ κινούμενος ἀπὸ ἔχθρα, ἀλλὰ στάθηκε μὲ γενναιότητα καὶ ἀνδρεία μπροστὰ στὸν φόβο καὶ στὴν κολακεία, ποὺ εἶναι ἰσχυρότερη καὶ ἀπὸ αὐτόν, καὶ σ' ὅλα τὰ ἄλλα τὰ παρόμοια (πραγματικὰ εἶναι πολλὰ τὰ ἀνθρώπινα πάθη) καὶ δὲν ἀπομακρύνθηκε οὔτε ἐλάχιστα ἀπὸ τὴν ὀρθὴ ἐκτίμηση τῶν πραγμάτων. Γιατὶ ἂν «ἡ ἐνδυμασία τοῦ ἀνθρώπου, τὸ γέλιο τῶν δοντιῶν του καὶ τὸ βάδισμά του δείχνουν τί ἄνθρωπος εἶναι αὐτός»[14], πολὺ περισσότερο τὰ τόσο μεγάλα κατορθώματα εἶναι ἱκανὰ νὰ δείξουν τὴν ἀρετὴ τοῦ ὑπόλοιπου βίου αὐτοῦ. Δὲν πρέπει δηλαδὴ νὰ τὸν θαυμάζωμε γιὰ τὸ θάρρος του μόνο, ἀλλὰ καὶ γιὰ τὸ ὅτι ἐπεξέτεινε τὸ θάρρος του μέχρι σ' αὐτὸ τὸ σημεῖο, χωρὶς ὅμως καὶ πάλι νὰ προσθέση τίποτε τὸ ἐπὶ πλέον σ' αὐτό.

7. Πραγματικὰ τέτοια εἶναι ἡ σοφία τοῦ Χριστοῦ· δὲν ἐπιτρέπει ν' ἀγωνιζώμαστε οὔτε περισσότερο οὔτε λιγώτερο ἀπὸ αὐτὸ ποὺ πρέπει, ἀλλὰ παντοῦ διατηρεῖ τὴ συμμετρία. Ἂν καὶ βέβαια μποροῦσε, ἂν ἤθελε, νὰ προχωρήση καὶ πιὸ πέρα. Γιατὶ αὐτὸς ποὺ δὲν σκέφθηκε τὴ ζωή του (καὶ δὲν θὰ ἔκαμνε τὴν ἀρχή, ἂν δὲν εἶχε ὁπλίσει τὸν ἑαυτό του μὲ τέτοια ἀπόφαση) μποροῦσε μὲ πολὺ θάρρος καὶ δύναμη ὅλα νὰ τὰ κάμη, καὶ νὰ περιλούση μὲ ὕβρεις τὸν βα-

κεφαλῆς καὶ πληγὰς εἰς τὸ πρόσωπον ἐντεῖναι, ὅτε τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισεν. Ἀλλ' οὐδὲν τούτων ἐποίησε· τῷ γὰρ ἅλατι τῷ πνευματικῷ τὴν ψυχὴν ἠρτυμένος ἦν· δι' ὅπερ οὐδὲν ἔπραττεν εἰκῇ καὶ μάτην, ἀλλὰ πάντα κρίσει λογισμῶν ὀρθῇ καὶ μετὰ καταστάσεως ὑγιοῦς· οὐ καθάπερ οἱ παρ' Ἕλλησι σοφοί, οἳ συμμέτρως μὲν οὐδέποτε, πανταχοῦ δέ, ὡς εἰπεῖν, ἢ πλέον ἢ ἔλαττον τοῦ δέοντος παρρησιάζονται, ἵνα ἀνδρείας μὲν οὐδαμοῦ, παθῶν δὲ ἀλογίστων δόξαν λάβωσι πανταχοῦ, ἐν οἷς μὲν ὑστέρησαν, δειλίας, ἐν οἷς δὲ ὑπερέβησαν, ἀλαζονείας καὶ φιλοδοξίας παρὰ πᾶσιν ἁλισκόμενοι.

Ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος· οὐ γὰρ ἁπλῶς τὸ ἐπελθὸν ἔπραττεν, ἀλλὰ πάντα βασανίζων ἀκριβῶς καὶ πρὸς τοὺς θείους νόμους τοὺς λογισμοὺς ἁρμόζων τοὺς ἑαυτοῦ, οὕτως ἐπὶ τὸ πράττειν ἐξήγαγεν αὐτούς. Διὰ τοῦτο καὶ τὴν τομὴν οὔτε ἐπιπόλαιον ἔδωκεν, ὥστε μὴ πλέον τοῦ νενοσηκότος ἐναπομεῖναι μέρος, οὔτε βαθυτέραν τοῦ δέοντος, ὥστε μὴ τῷ περιττῷ τῆς πληγῆς λυμήνασθαι τὴν ὑγίειαν πάλιν, ἀλλὰ συμμετρήσας τῷ νοσήματι τὴν πληγήν, οὕτω τὴν ἀρίστην ἰατρείαν εἰργάσατο. Ἐντεῦθεν αὐτὸν καὶ θυμοῦ καὶ δειλίας καὶ ἀλαζονείας καὶ δοξομανίας καὶ ἀπεχθείας καὶ φόβων καὶ κολακείας θαρρούντως ἀπεφηνάμην εἶναι καθαρόν· εἰ δὲ δεῖ τι καὶ παράδοξον εἰπεῖν, οὐχ οὕτω θαυμάζω τοῦ μακαρίου τὸ κατατολμῆσαι τῆς τοῦ κρατοῦντος μανίας, ὡς τὸ συνιδεῖν μέχρι τίνος τοῦτο ποιῆσαι ἐχρῆν καὶ μηδὲν περαιτέρω, μήτε πρᾶξαι, μήτε εἰπεῖν. Καὶ ὅτι τοῦτο ἐκείνου θαυμαστότερον, πολλοὺς ἂν εὕροι τις τούτου μὲν περιγεγονότας, ὑπ' ἐκείνου δὲ ἡττηθέντας· τὸ μὲν γὰρ ἁπλῶς παρρησιάσασθαι καὶ τῶν τυχόντων πολλάκις ἐστί, τὸ δὲ εἰς δέον καὶ καιρῷ τῷ προσήκοντι καὶ μετὰ τῆς ἁρμοζούσης συμμετρίας καὶ συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης λίαν καὶ θαυμαστῆς δεῖται ψυχῆς· ἐπεὶ καὶ τὸν μακάριον Δαυίδ, μετὰ πολλῆς τῆς ἐξουσίας ὕβρισεν ὁ Σεμεῒ καὶ ἄνδρα αἱμάτων ἐκάλεσεν·

15. Πρβλ. Κολοσ. 4,6.

σιλέα, καὶ τὸ βασιλικὸ στέμμα ν' ἀποσπάση ἀπ' τὸ κεφάλι του, καὶ νὰ τοῦ προξενήση πληγὲς στὸ πρόσωπο, ὅταν πρόβαλε τὸ δεξί του χέρι πάνω στὸ στῆθος γιὰ νὰ τὸν ἀπωθήση. Ἀλλὰ τίποτε ἀπὸ αὐτὰ δὲν ἔκαμε· γιατὶ ἡ ψυχή του ἦταν ἀρτυμένη μὲ τὸ πνευματικὸ ἁλάτι[15] καὶ γι' αὐτὸ τίποτε δὲν ἔκαμνε ἄσκοπα καὶ στὰ χαμένα, ἀλλ' ὅλα τὰ ἔκαμνε μὲ κρίση ὀρθὴ καὶ βρισκόμενος σὲ κατάσταση ὑγιῆ. Ὄχι ὅπως ἀκριβῶς οἱ σοφοὶ τῶν Ἑλλήνων, ποὺ ποτὲ δὲν ἐνεργοῦν μὲ μέτρο, ἀλλὰ παντοῦ, ὅπως θὰ λέγαμε, δείχνουν περισσότερο θάρρος ἀπὸ αὐτὸ ποὺ χρειάζεται, ὥστε πουθενὰ νὰ μὴ διακρίνωνται γιὰ ἀνδρεία, ἀλλὰ παντοῦ νὰ φαίνωνται κυριευμένοι ἀπὸ παράλογα πάθη· γιὰ ὅσα ὑστέρησαν κατηγορήθηκαν ἀπὸ ὅλους γιὰ δειλία, ἐνῶ γιὰ τὰ λαμπρὰ κατορθώματά τους κατηγορήθηκαν γιὰ ἀλαζονεία καὶ φιλοδοξία.

Ὅμως ὁ μακάριος ἐκεῖνος δὲν ἐνεργοῦσε ἔτσι· γιατὶ δὲν ἔκαμνε τυχαῖα ἐκεῖνο ποὺ ἐρχόταν στὸ νοῦ του, ἀλλ' ἀφοῦ πρῶτα βασάνιζε ὅλα μὲ πολλὴ προσοχὴ καὶ προσάρμοζε τὶς σκέψεις του πρὸς τοὺς θείους νόμους, τότε μετέτρεπε αὐτὲς σὲ πράξεις. Γι' αὐτὸ καὶ τὴν τομὴ δὲν τὴν ἔκαμνε ἐπιφανειακή, γιὰ νὰ μὴ ἀπομείνη μεγαλύτερο τμῆμα ἀπὸ τὸ ἄρρωστο μέρος, οὔτε βαθύτερη ἀπὸ ὅ,τι ἔπρεπε, γιὰ νὰ μὴ βλάψη καὶ πάλι μὲ τὴν περιττὴ πληγὴ τὴν ὑγεία, ἀλλὰ ἐνεργώντας τὴ τομὴ κατὰ συμμετρία μὲ τὴν ἀσθένεια, ἔτσι κατώρθωσε τὴν ἄριστη θεραπεία. Γι' αὐτὸ καὶ εἶπα χωρὶς ἐνδοιασμούς, ὅτι αὐτὸς ἦταν ἀπαλλαγμένος καὶ ἀπὸ θυμὸ καὶ ἀπὸ δειλία καὶ ἀπὸ ἀλαζονεία καὶ ἀπὸ δοξομανία καὶ ἀπὸ μῖσος καὶ ἀπὸ φόβο καὶ ἀπὸ κολακεία· καὶ ἂν πρέπει νὰ πῶ καὶ κάτι τὸ παράδοξο, δὲν θαυμάζω τόσο πολὺ τὴν τόλμη τοῦ μακαρίου ἐναντίον τῆς μανίας τοῦ βασιλέως, ὅσο τὸ ὅτι ἔκρινε μὲ μεγάλη περισκεψία μέχρι ποῦ ἔπρεπε νὰ προχωρήση ἡ ἐνέργειά του, χωρὶς νὰ κάμη ἢ νὰ πῆ τίποτε τὸ περιττό. Καὶ ὅτι αὐτὸ εἶναι πιὸ θαυμαστὸ ἀπὸ ἐκῆνο ἀποδεικνύεται ἀπὸ τὸ ὅτι μπορεῖ κανεὶς νὰ βρῆ πολλοὺς ποὺ κατώρθωσαν βέβαια αὐτό, ἀλλὰ ἀπέτυχαν στὸ ἄλλο. Γιατὶ τὸ νὰ ἔχη κανεὶς θάρρος αὐτὸ πολλὲς φορὲς εἶναι γνώρισμα καὶ τοῦ ὁποιουδήποτε, τὸ νὰ δείξη ὅμως τὸ θάρρος αὐτὸ ἐκεῖ ποὺ πρέπει, στὸν κατάλληλο καιρὸ καὶ μὲ τὴν πρέπουσα συμμετρία καὶ σύνεση ποὺ ἀπαιτεῖται, αὐτὸ χρειάτεται πολὺ μεγάλη καὶ θαυμαστὴ ψυχή. Καθ' ὅσον καὶ τὸν μακάριο Δαυΐδ μὲ πολλὴ θάρρος τὸν ἐξύβρισε ὁ Σεμεῒ καὶ τὸν ἀποκάλεσε ἄνδρα αἱ-

ἀλλ' οὐκ ἂν εἴποιμι τοῦτο παρρησίαν ἐγώ, ἀλλὰ γλώττης ἀκολασίαν καὶ θρασύτητα διανοίας καὶ ἀναγωγίαν καὶ ἀπόνοιαν καὶ πάντα μᾶλλον ἢ παρρησίαν.

Δεῖ γὰρ οἶμαι τὸν μέλλοντα εἶναι ἐλεγκτικόν, θρασύτητος μάλιστα καὶ ἀπονοίας ὡς πορρωτάτω τὴν ἑαυτοῦ ψυχὴν ἀπαγαγεῖν καὶ τὸ δραστήριον ἐν τῇ φύσει τῶν ῥημάτων καὶ τῶν πραγμάτων ἐπιδείκνυσθαι μόνον. Καὶ γὰρ ἰατρῶν παῖδες, ὅταν τέμνειν τὰ σεσηπότα δέῃ τῶν μελῶν, ἢ τὰ φλεγμαίνοντα καταστέλλειν, οὐκ ὀργῆς πρότερον γεμίσαντες ἑαυτούς, οὕτως ἐπὶ τὴν ἰατρείαν ἔρχονται, ἀλλὰ τότε μάλιστα ἐν καταστάσει τῇ προσηκούσῃ σπουδάζουσι φυλάττειν τὸν λογισμόν, ὥστε μὴ τῇ τέχνῃ λυμήνασθαι τὴν ἐκείνου ταραχήν. Εἰ δὲ σῶμά τις θεραπεύειν μέλλων τοσαύτης δεῖται γαλήνης, τὸν ψυχὰς ἰατρεύοντα ποῦ τάξομεν, εἰπέ μοι, καὶ πόσην ἀπαιτήσομεν φιλοσοφίαν; Πολλῷ μείζονα δῆλον ὅτι, καὶ τοσαύτην, ὅσην ὁ ἀγαθὸς ἐκεῖνος ἐπεδείξατο μάρτυς. Καθάπερ γάρ τινας ὅρους καὶ κανόνας ἡμῖν τιθείς, ἵν' ἐξ ἐκείνων τὰ μέτρα, καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τὴν ἀναλογίαν λαμβάνωμεν, οὕτω τὸν δείλαιον ἐκεῖνον ἀπὸ τῶν ἱερῶν περιβόλων ἀπώσατο.

Καὶ δοκεῖ μὲν ἓν κατόρθωμα εἶναι τὸ γεγονός, εἰ δέ τις αὐτὸ διασκέψαιτο καὶ ἀναπτύξας πάντοθεν κατοπτεύσειεν ἀκριβῶς καὶ δεύτερον καὶ τρίτον συμπεφυκὸς εὑρήσει καλὸν καὶ πολὺν τῆς ὠφελείας τὸν θησαυρόν. Ὁ μὲν γὰρ ἀπελαυνόμενος τότε εἷς μόνος ἦν, οἱ δὲ δι' ἐκείνου κερδαίνοντες πολλοί. Τῆς γὰρ ἀρχῆς τῆς ὑπὸ τῷ τυράννῳ κειμένης (αὕτη δὲ ἦν τὸ πλεῖστον τῆς οἰκουμένης μέρος), ὅσοιπερ ἂν ἦσαν ἄπιστοι, κατεπλάγησαν καὶ ἐθαύμασαν μαθόντες ὅσης τοῖς ἑαυτοῦ δούλοις ὁ Χριστὸς τῆς παρρησίας μετέδωκε, κατεγέλασαν τῆς παρ' αὐτοῖς δουλοπρεπείας καὶ ἀνελευθερίας καὶ ταπεινότητος, εἶδον ὅσον τῆς Χριστιανῶν εὐγενείας πρὸς τὴν Ἑλλήνων αἰσχύνην τὸ μέσον. Οἱ μὲν γὰρ παρ' αὐτοῖς τὴν τῶν ἱερῶν ἐπιμέλειαν ἐγκεχειρισμένοι, μᾶλλον δεσποτῶν καὶ τῶν εἰδώ-

16. Β' Βασιλ. 16,5–14.

μάτων[16], ἀλλ' ὅμως δὲν θὰ μποροῦσα ἐγὼ νὰ τὸ ὀνομάσω αὐτὸ θάρρος, ἀλλὰ ἀκολασία γλώσσας καὶ θρασύτητα τῆς διάνοιας καὶ ἔλλειψη ἀγωγῆς καὶ ἀνοησία καὶ πολὺ περισσότερο ὅλα τὰ ἄλλα, παρὰ θάρρος.

Πράγματι ἔχω τὴν ἐντύπωση ὅτι πρέπει ἐκεῖνος ποὺ θέλει νὰ ἐλέγξη ν' ἀπομακρύνη ὅσο τὸ δυνατὸ περισσότερο ἀπὸ τὴν ψυχή του τὴ θρασύτητα καὶ τὴν ἀλαζονεία, καὶ νὰ περιορίζη τὴν ὅλη δραστηριότητά της μέσα στὰ φυσικὰ ὅρια τῶν λόγων καὶ τῶν πραγμάτων. Γιατὶ καὶ οἱ γιατροί, ὅταν χρειάζεται ν' ἀποκόψουν τὰ σάπια μέλη ἢ νὰ καταπραΰνουν ἐκεῖνα φλέγονται ἀπὸ πυρετό, δὲν ἐπιχειροῦν τὴ θεραπεία ἀφοῦ προηγουμένως ἀφήσουν τὸν ἑαυτό τους νὰ γεμίση ἀπὸ θυμό, ἀλλὰ τότε πρὸ πάντων φροντίζουν νὰ διατηρήσουν τὸν νοῦν τους στὴν πρέπουσα ἤρεμη κατάσταση, ὥστε μὲ τὴν ταραχή τους νὰ μὴ ζημιώσουν τὴν τέχνη τους. Ἂν λοιπὸν προκειμένου κανεὶς νὰ θεραπεύση ἕνα σῶμα χρειάζεται μιὰ τόση ἠρεμία, πές μου, ποῦ νὰ κατατάξωμε ἐκεῖνον ποὺ θεραπεύει ψυχὲς καὶ πόση σύνεση πρέπει νὰ ζητήσωμε ἀπ' αὐτόν; Ἀσφαλῶς πολὺ πιὸ μεγαλύτερη καὶ τόση, ὅση ἐπέδειξεν ὁ ἀγαθὸς ἐκεῖνος μάρτυρας. Γιατί, διώχνοντας μὲ τὸν τρόπο ἐκεῖνο ἀπὸ τὸν ἱερὸ χῶρο τὸν ἄθλιο ἐκεῖνον βασιλέα, μᾶς ὥρισε κατὰ κάποιο τρόπο ὅρια καὶ κανόνες, γιὰ νὰ λαμβάνωμε ἀπ' αὐτὰ τὰ ἀνάλογα μέτρα καὶ γιὰ τὶς ἄλλες ἐνέργειές μας.

Καὶ φαίνεται βέβαια τὸ γεγονὸς ὅτι εἶναι ἕνα κατόρθωμα, ἂν ὅμως τὸ καλοσκεφθῆ κανείς, τὸ ἀναπτύξη ἀπ' ὅλες τὶς πλευρὲς καὶ τὸ ἐρευνήση μὲ ἀκρίβεια, θὰ βρῆ ὅτι ὑπάρχει μαζὶ μ' αὐτὸ καὶ δεύτερο καὶ τρίτο καλὸ καὶ πολὺς θησαυρὸς ὠφέλειας. Γιατὶ ὁ διωκόμενος τότε ἦταν βέβαια ἕνας καὶ μόνος, ἐκεῖνοι ὅμως ποὺ κέρδισαν ἐξ αἰτίας του πολλοί. Ἀπὸ τοὺς ἄρχοντες δηλαδὴ ποὺ βρίσκονταν κάτω ἀπὸ τὴν ἐξουσία τοῦ τυράννου (καὶ ἦταν αὐτοὶ οἱ περισσότεροι τῆς οἰκουμένης), ὅσοι ἦσαν ἄπιστοι ἔμειναν κατάπληκτοι καὶ ἔκθαμβοι ὅταν ἔμαθαν πόση παρρησία ἔδωσε ὁ Χριστὸς στοὺς δούλους του, καταγέλασαν τὴ δουλοπρέπεια, τὴν ἀνελευθερία καὶ ταπεινότητά τους, καὶ διαπίστωσαν πόση ἀπόσταση ὑπάρχει ἀνάμεσα στὴν εὐγένεια τῶν Χριστιανῶν καὶ στὴν αἰσχύνη τῶν εἰδωλολατρῶν. Γιατὶ ὅσοι ἀπ' αὐτοὺς εἶχαν ἀναλάβει τὰ ἱερατικὰ καθήκοντα, ὑπηρετοῦν τοὺς βασιλεῖς περισσότερο καὶ ἀπὸ τοὺς δεσπότες καὶ

λων δὲ αὐτῶν τοὺς βασιλεῖς θεραπεύουσι καὶ διὰ τὸν ἐκείνων φόβον καὶ τοῖς ξοάνοις αὐτοῖς παρεδρεύουσιν, ὡς τοὺς πονηροὺς δαίμονας τοῖς βασιλεῦσι χάριν ἔχειν τῆς εἰς αὐτοὺς τιμῆς. Αὐτίκα γοῦν ὅταν τινα συμβῇ μὴ τὰ ἐκείνων φρονοῦντα ἐπὶ ταύτην ἐλθεῖν τὴν ἀρχήν, εἰσιών τις εἰς τοὺς τῶν εἰδώλων ναούς, πανταχοῦ τῶν τοίχων ὄψεται διατεταμένα τὰ τῶν ἀραχνίων ὑφάσματα καὶ τοσαύτην ἐπικειμένην τῷ ξοάνῳ τὴν κόνιν, ὡς μήτε ῥῖνα, μήτε ὀφθαλμόν, μήτε ἄλλο τι τοῦ προσώπου φαίνεσθαι μέρος· τῶν δὲ βωμῶν τῶν μὲν τὰ λείψανα μόνον ἕστηκε, τοῦ πλείονος ἀποθραυσθέντος μέρους, τοὺς δὲ οὕτω βαθεῖα πάντοθεν περιβάλλει πόα, ὡς τὸν ἀγνοοῦντα κοπρίας τινὸς σωρείαν εἶναι νομίζειν τὸ φαινόμενον. Τὸ δὲ αἴτιον, ὅτι πάλαι μὲν αὐτοῖς κλέπτειν ἐξῆν ὅσα ἐβούλοντο καὶ γαστρίζεσθαι διὰ τῆς τῶν ξοάνων θεραπείας, νῦν δὲ ὑπὲρ τίνος ἑαυτοὺς κόψουσι; Προσεδρεύοντες γὰρ καὶ δαπανώμενοι, παρ᾽ ἐκείνων μὲν οὐδὲ μίαν προσδοκῶσιν ἀμοιβήν· καὶ γάρ εἰσι ξύλα καὶ λίθοι· τὸ δὲ πεῖθον αὐτοὺς ὑποκρίνεσθαι τὴν θεραπείαν, ἡ παρὰ τῶν κρατούντων τιμὴ καὶ αὕτη ἀνῄρηται, τῶν βασιλευόντων γενομένων συνετῶν καὶ τὸν τοῦ Θεοῦ προσκυνούντων Υἱόν.

8. Ἀλλ᾽ οὐ τά γε ἡμέτερα τοιαῦτα, ἀλλὰ πᾶν τοὐναντίον. Ὅταν μὲν γάρ τις ὁμολογῶν ἡμῖν ἐν τῇ περὶ τοῦ Θείου δόξῃ ἐπὶ τὸν βασιλικὸν ἀναβῇ θρόνον, ῥᾳθυμότερα γίνεται τὰ Χριστιανῶν· τοσοῦτον ἀπέχει ταῖς ἀνθρωπίναις ὀρθοῦσθαι τιμαῖς· ὅταν δέ τις κρατήσῃ δυσσεβὴς καὶ πάντοθεν ἡμᾶς ἐλαύνων καὶ μυρίοις περιβάλλων κακοῖς, τότε εὐδοκιμεῖ καὶ λαμπρότερα γίνεται τὰ καθ᾽ ἡμᾶς, τότε ἀριστείων καὶ τροπαίων καιρός, τότε στεφάνων καὶ ἀναρρήσεων καὶ πάσης ἀνδραγαθίας ἀφορμή. Εἰ δὲ λέγοι τις ὅτι καὶ νῦν εἰσι πόλεις τὴν ἴσην δεισιδαιμονίαν ἐπιδεικνύμεναι περὶ τὴν τῶν εἰδώλων μανίαν, πρῶτον μὲν εὐαριθμήτους καὶ ὀλίγας ἐρεῖ, πλὴν ἀλλ᾽ οὐδὲ οὕτω τὸν ἡμέτερον βλάψει λόγον. Ἡ γὰρ ὑπόθεσις ἡ αὐτὴ καὶ ἀντὶ τοῦ κρατοῦντος, τοὺς τὴν πόλιν οἰκοῦντας ἔχουσι τὴν ἴσην αὐτοῖς παρεχομένους τιμήν· καὶ τοῦτο αἴτιον τῆς θεραπείας, αἱ κραιπάλαι καὶ οἱ κῶμοι, οἱ μεθ᾽ ἡμέραν, οἱ διὰ πάσης νυκτός, οἱ αὐλοὶ καὶ τὰ

ἀπὸ αὐτὰ τὰ εἴδωλα ἀκόμη, καὶ ἐξ αἰτίας τοῦ φόβου τους πρὸς τοὺς βασιλεῖς ὑπηρετοῦν καὶ τὰ εἴδωλα, ὥστε οἱ πονηροὶ δαίμονες νὰ χρεωστοῦν χάρη στοὺς βασιλεῖς γιὰ τὴν τιμὴ πρὸς αὐτούς. Ὅταν συμβῆ λοιπὸν κάποιος, ποὺ δὲν εἶναι εἰδωλολάτρης, νὰ γίνη βασιλεύς, ἂν τότε εἰσέλθη κανεὶς στοὺς ναοὺς τῶν εἰδώλων θὰ δῆ τὰ ὑφαντὰ τῶν ἀραχνῶν ἁπλωμένα σ' ὅλα τὰ μέρη τῶν τοίχων καὶ τόση σκόνη νὰ ὑπάρχη ἐπάνω στὰ εἴδωλα, ὥστε νὰ μὴ φαίνεται οὔτε ἡ μύτη, οὔτε οἱ ὀφθαλμοὶ οὔτε κάποιο ἄλλο μέρος τοῦ προσώπου. Ἀπὸ τοὺς βωμοὺς πάλι ἄλλων μόνο τὰ λείψανα σώζονται, γιατὶ τὸ μεγαλύτερο μέρος ἔχει θραυσθῆ, ἐνῶ ἄλλοι καλύπτονται ἀπὸ παντοῦ μὲ τόσα χόρτα, ὥστε ἐκεῖνος ποὺ δὲν ξέρει νὰ νομίζη ὅτι αὐτὸ ποὺ βλέπει εἶναι σωρὸς κοπριᾶς. Καὶ αἰτία αὐτοῦ εἶναι τὸ ὅτι παλαιότερα μὲ τὴ λατρεία τῶν εἰδώλων μποροῦσαν νὰ κλέβουν ὅσα ἤθελαν καὶ νὰ γεμίζουν τὰ στομάχια τους, τώρα ὅμως γιὰ ποιὸ λόγο νὰ κοπιάζουν; Γιατὶ ὑπηρετώντας τὰ εἴδωλα καὶ κοπιάζοντας γι' αὐτὰ δὲν περιμένουν καμμιὰ ἀμοιβὴ ἀπ' αὐτά, ἀφοῦ εἶναι ξύλα καὶ λίθοι, ἐνῶ ἐκεῖνο ποὺ τους ἔπειθε νὰ ὑπηρετοῦν αὐτὰ μὲ ὑποκρισία, δηλαδὴ ἡ τιμὴ πρὸς αὐτὰ τῶν ἀρχόντων, καὶ αὐτὴ ἔχει ἐκλείψει, γιατὶ οἱ βασιλεῖς ἔγιναν συνετοὶ καὶ προσκυνοῦν τὸν Υἱὸ τοῦ Θεοῦ.

8. Ὅμως τὰ δικά μας δὲν εἶναι τέτοια, ἀλλ' ἐντελῶς ἀντίθετα. Ὅταν δηλαδὴ ἀνεβῆ στὸν θρόνο κάποιος βασιλεὺς ποὺ δέχεται τὴν ὁμολογία τῆς πίστεώς μας, τότε οἱ Χριστιανοὶ μὲ μεγαλύτερη ραθυμία ἐπιτελοῦν τὰ τῆς πίστεως· τόσο πολὺ ἀπέχει ἡ πίστη μας ἀπὸ τὸ νὰ στηρίζεται σ' ἀνθρώπινες τιμές. Ὅταν ὅμως πάρη τὴν ἐξουσία κάποιος δυσσεβὴς καὶ μᾶς καταδιώκει μὲ κάθε τρόπο καὶ μᾶς περιβάλλει μὲ ἀναρίθμητες συμφορές, τότε εὐδοκιμοῦν καὶ γίνονται λαμπρότερα τὰ τῆς πίστεώς μας, τότε εἶναι καιρὸς γιὰ βραβεῖα καὶ τρόπαια, τότε ὑπάρχει ἀφορμὴ γιὰ στεφάνια καὶ ἡρωϊσμοὺς καὶ γιὰ κάθε ἀνδραγαθία. Ἂν ὅμως πῆ κανείς, ὅτι καὶ τώρα ὑπάρχουν πόλεις ποὺ παρουσιάζουν τὴν ἴδια δεισιδαιμονία ὡς πρὸς τὴν μανία τῶν εἰδώλων, κατὰ πρῶτον αὐτὲς ποὺ θ' ἀναφέρη εἶναι πολὺ λίγες ποὺ μποροῦν εὔκολα νὰ μετρηθοῦν, πλὴν ὅμως οὔτε καὶ μ' αὐτὸ θ' ἀνατρέψη τὸν λόγο μου. Γιατὶ ἡ αἰτία παραμένει ἡ ἴδια, καὶ ἀντὶ τοῦ βασιλέως τιμοῦν τώρα οἱ κάτοικοι τῆς πόλεως ἐξ ἴσου τὰ εἴδωλα· καὶ αἰτία τῆς λατρείας αὐτῆς τῶν δαιμόνων εἶναι αὐτή, οἱ κραιπάλες δηλαδὴ καὶ οἱ διασκεδάσεις ποὺ διαρκοῦν ὅλη τὴν ἡμέρα καὶ ὅλη

τύμπανα, τὸ μετὰ πάσης ἀναισχυντίας αἰσχρὰ μὲν εἰπεῖν, πρᾶξαι δὲ αἰσχρότερα· τὸ διαρραγῆναι μὲν ὑπὸ τῆς ἀδηφαγίας, ἐκβακχευθῆναι δὲ ὑπὸ τῆς μέθης καὶ εἰς τὴν αἰσχίστην μανίαν ἐκπεσεῖν· αὗται αἱ ἀσχήμονες δαπάναι συνέχουσιν ἔτι καὶ διακρατοῦσι διαπίπτουσαν τὴν πλάνην. Οἱ γὰρ εὐπορώτεροι τοὺς διὰ τὴν ἀργίαν ὑπὸ τοῦ λιμοῦ φθειρομένους ἐκλέγοντες, ἐν τάξει παρασίτων καὶ τῶν περὶ τὰς τραπέζας τρεφομένων ἔχουσι κυνῶν, τοῖς λειψάνοις τοῖς ἀπὸ τῶν παρανόμων δείπνων διασπῶντες τὰς γαστέρας τὰς ἀναιδεῖς καὶ πρὸς ὅπερ ἂν θέλωσιν αὐταῖς χρώμενοι.

Ἡμεῖς δὲ καθάπαξ τὴν ὑμετέραν ἀλογίαν καὶ παρανομίαν μισήσαντες, τοὺς μὲν ἀργοῦντας καὶ διὰ τοῦτο πεινῆν ἀναγκαζομένους οὐ τρέφομεν, ἀλλ' ἐργαζομένους καὶ ἑαυτοῖς καὶ ἑτέροις ἀρκεῖν πείθομεν· τοὺς δὲ ἀναπήρους τῷ σώματι γενομένους παρὰ τῶν ἐχόντων τῆς ἀναγκαίας μόνον συγχωροῦμεν ἀπολαύειν τροφῆς· κῶμοι δὲ καὶ μέθαι καὶ πᾶσα ἡ λοιπὴ μανία καὶ αἰσχρότης ἐκβέβληται, ἀντεισῆκται δὲ ἀντὶ τούτων «ὅσα σεμνά, ὅσα ἁγνά, ὅσα δίκαια, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος». Καὶ τὰ ἄλλα δὲ ἃ ὑπὲρ τῶν παρ' αὐτοῖς φιλοσοφησάντων κομπάζουσιν, ἀπέδειξε κενοδοξίαν καὶ θρασύτητα καὶ παιδικῆς ἔργα διανοίας. Οὐ γὰρ πίθον ἐκεῖ λαβὼν κατέκλεισεν ἑαυτόν, οὐδὲ ῥάκη περιβαλλόμενος οὕτω περιήει κατὰ τὴν ἀγοράν. Ταῦτα γὰρ δοκεῖ μέν τινα εἶναι θαυμαστὰ καὶ πόνον ἔχειν πολὺν καὶ τὴν ἐσχάτην ταλαιπωρίαν, ἐπαίνου δὲ παντὸς ἀπεστέρηται. Καὶ τοῦτο δὲ τῆς τοῦ διαβόλου κακουργίας, τοὺς δουλεύοντας αὐτῷ τοιούτοις παραδιδόναι πόνοις, οἳ καὶ διασπάσονται τοὺς ἠπατημένους καὶ μάλιστα πάντων καταγελάστους ἀποφανοῦσιν αὐτούς· πόνος γὰρ οὐδὲν κέρδος ἔχων, ἐγκωμίου παντὸς ἀπεστέρηται. Καὶ γὰρ ἔτι καὶ νῦν εἰσιν ἄνθρωποι φθορεῖς καὶ μυρίων γέμοντες κακῶν, τοῦ φιλοσόφου

17. Φιλιπ. 4,8.
18. Πρόκειται γιὰ τὸν φιλόσοφο Διογένη.

τὴ νύχτα, οἱ αὐλοὶ καὶ τὰ τύμπανα, τὰ ἀδιάντροπα λόγια ποὺ ἐκστομίζονται καὶ οἱ αἰσχρὲς πράξεις ποὺ ἀκολουθοῦν αὐτά, ἡ πολυφαγία ποὺ φθάνει μέχρι τὸ σκασμό, ἡ βακχικὴ ἀναισθησία ποὺ προκαλεῖται ἀπὸ τὴ μέθη καὶ ποὺ καταλήγει στὴ χειρότερη μορφὴ μανίας. Αὐτὲς οἱ αἰσχρὲς δαπάνες συγκρατοῦν καὶ διατηροῦν ἀκόμη τὴν πλάνη ποὺ προχωρεῖ τὸν δρόμο τῆς καταπτώσεώς της. Οἱ πιὸ πλούσιοι δηλαδή, ἐπιλέγοντας ἐκείνους ποὺ πεθαίνουν ἀπὸ τὴν πεῖνα ἐξ αἰτίας τῆς τεμπελιᾶς τους, τοὺς ἔχουν σὰν τοὺς παρασίτους καὶ τὰ σκυλιὰ ποὺ τριγυρίζουν γύρω ἀπὸ τὰ τραπέζια, καὶ ἀφοῦ παραγεμίσουν τὰ βρώμικα στομάχια τους μὲ τὰ περισσεύματα τῶν παρανόμων δείπνων, τοὺς χρησιμοποιοῦν στὴ συνέχεια γιὰ ὁ,τιδήποτε θέλουν αὐτοί.

Ἐμεῖς ὅμως ποὺ μισήσαμε μιὰ γιὰ πάντα τὴν δική σας ἀνοησία, ἐκείνους ποὺ δὲν ἐργάζονται καὶ γι' αὐτὸ κατ' ἀνάγκη πεινοῦν, δὲν τοὺς τρέφουμε, ἀλλὰ τοὺς πείθουμε νὰ ἐργασθοῦν ὥστε νὰ μποροῦν νὰ τρέφουν καὶ τὸν ἑαυτό τους καὶ ἄλλους, ἐνῶ ἐκείνους ποὺ πάσχουν ἀπὸ σωματικὴ ἀναπηρία, τοὺς ἐπιτρέπουμε νὰ λαμβάνουν ἀπὸ ἐκείνους ποὺ ἔχουν τὴν ἀναγκαία μόνο τροφή. Οἱ διασκεδάσεις δηλαδὴ καὶ οἱ μέθες καὶ ὅλη ἡ ὑπόλοιπὴ μανία καὶ αἰσχρότητα ἔχουν ἀπομακρυνθῆ καὶ στὴ θέση τους εἰσήχθηκαν «ὅσα εἶναι σεμνά, ὅσα ἁγνά, ὅσα δίκαια, ὅσα ἔχουν καλὴ φήμη, ὁ,τιδήποτε συντελεῖ στὴν ἀρετὴ καὶ ὁ,τιδήποτε εἶναι ἄξιο ἐπαίνου»[17]. Ὅλα τὰ ἄλλα, τὰ ὁποῖα προβάλλουν μὲ κομπασμὸ ὡς ἔργα τῶν φιλοσόφων τους, ἀπέδειξε ὅτι εἶναι κενοδοξία καὶ θρασύτητα καὶ ἔργα παιδικῆς σκέψεως. Γιατὶ δὲν πῆρε καὶ κλείσθηκε μέσα σὲ πυθάρι, οὔτε φόρεσε ράκη καὶ περιφερόταν ἔτσι στὴν ἀγορά[18]. Μερικὰ βέβαια ἀπ' αὐτὰ φαίνονται ἄξια θαυμασμοῦ καὶ συνοδεύονται ἀπὸ πολὺ κόπο καὶ ἀπὸ τὴ χειρότερη μορφὴ ταλαιπωρίας, στεροῦνται ὅμως ὁποιουδήποτε ἐπαίνου. Καὶ αὐτὸ εἶναι τέχνασμα τῆς κακουργίας τοῦ διαβόλου, νὰ παραδίνη δηλαδὴ ἐκείνους ποὺ τὸν ὑπηρετοῦν σὲ τέτοιους κόπους, ὥστε μὲ τὸν τρόπο αὐτὸ νὰ ἀποσπάσουν ἐκείνους ποὺ ἔχουν ἐξαπατηθῆ καὶ μάλιστα νὰ τοὺς ἐμφανίσουν σὰν τοὺς πιὸ καταγέλαστους ἀπὸ ὅλους. Γιατὶ κόπος ποὺ δὲν προσφέρει κανένα κέρδος, στερεῖται κάθε ἐπαίνου. Καὶ ὑπάρχουν πράγματι ἀκόμη καὶ σήμερα ἄνθρωποι διεφθαρμένοι καὶ γεμᾶτοι ἀπὸ ἄπειρα κακά, ποὺ ἔχουν νὰ ἐπιδείξουν πολὺ πιὸ μεγαλύτερα τεχνάσματα καὶ ἀπὸ τὸν

πολλῷ μείζονα ἐπιδεικνύμενοι· οἱ μὲν γὰρ ἥλους ὀξεῖς καὶ ἠκονημένους ἔφαγον, οἱ δὲ ὑποδήματα διεμασήσαντο καὶ κατέπιον, οἱ δὲ πρὸς ἕτερα πολλῷ τούτων παρεβουλεύσαντο μοχθηρότερα, καίτοι τὰ τοιαῦτα πολλῷ τοῦ πίθου καὶ τῶν ρακίων θαυμαστότερα· ἀλλ' οὐκ ἀποδεχόμεθα αὐτά, ὥσπερ οὖν οὐδὲ ἐκεῖνα, ἀλλ' ἐξίσης τῷ φιλοσόφῳ κακίζομεν καὶ δακρύομεν καὶ τούτους καὶ πάντας ὁμοίως τοὺς τὰ τοιαῦτα τερατευομένους εἰκῇ.

Ἀλλὰ καὶ παρρησίαν ἐπεδείξατο πρὸς βασιλέα πολλήν. Ἴδωμεν οὖν καὶ τὴν πολλὴν παρρησίαν, μή ποτε καὶ αὐτὴ τῆς τοῦ πίθου τερατείας ματαιοτέρα οὖσα τύχοι. Τίς οὖν ἡ παρρησία; Ἐλαύνοντι τῷ Μακεδόνι ποτὲ ἐπὶ τὸν Πέρσην, ἐπιστάντι τε αὐτῷ καὶ ἀπαγγεῖλαι προτρέψαντι εἴ τινος δέοιτο, οὐδενὸς ἔφη, πλὴν τοῦ μὴ ἐπισκοτεῖν αὐτῷ τὸν βασιλέα· καὶ γὰρ ἔτυχε τότε ἡλίῳ θερμαινόμενος ὁ φιλόσοφος. Οὐ καταδύσεσθε; οὐκ ἐγκαλύψεσθε; οὐκ ἀπελθόντες ἑαυτούς που κατορύξετε, ἐπὶ τούτοις μέγα φρονοῦντες ἐφ' οἷς αἰσχύνεσθαι ἐχρῆν; Πόσῳ γὰρ βέλτιον ἦν ἱμάτιον ἐνδύντα ἁδρὸν ἐνεργὸν εἶναι καί τι τῶν χρησίμων τὸν βασιλεύοντα τότε αἰτεῖν, ἢ καθῆσθαι μετὰ τῶν ρακίων θερμαινόμενον, κατὰ τὰ μικρὰ καὶ ὑπομάζια τῶν παιδίων, ἅπερ αἱ τιτθαί, μετὰ τὸ λοῦσαι καὶ ἀλεῖψαι, προτιθέασιν εἰς τοῦτο, εἰς ὅπερ ὁ φιλόσοφος τότε ἐκάθητο, γραϊδίου δυστήνου χάριν αἰτῶν; Ἀλλ' ἡ παρρησία ἴσως θαυμαστή; Ἀλλὰ ταύτης οὐδὲν τερατωδέστερον. Τὸν γὰρ ἀγαθὸν ἄνδρα, πρὸς τὸ κοινωφελὲς ἅπαντα πράττεν χρὴ καὶ τὸν τῶν ἄλλων βίον κατορθοῦν· τὸ δὲ ἀξιῶσαι μὴ ἐπισκοτεῖν, ποίαν πόλιν, ποίαν οἰκίαν, τίνα ἄνδρα, ποίαν γυναῖκα διέσωσεν; Εἰπὲ τῆς παρρησίας τὸ κέρδος· τὸ γὰρ τοῦ μάρτυρος ἡμεῖς ἐπεδείξαμεν καὶ προϊόντες δὲ αὐτὸ σαφέστερον ἐκκαλύψομεν.

9. Τέως δὲ τὸν ὑβριστὴν ἐκόλασε καὶ ταύτῃ ᾗ τὸν ἱερέα κολάζειν θέμις ἐστί, τὰ τῶν ἀρχόντων κατέστειλε φρονήματα, τοῖς τοῦ Θεοῦ νόμοις κινουμένοις ἐπήμυνε, τιμωρίαν ὑπὲρ τοῦ κακῶς σφαγέντος ἀπήτησε, τὴν πασῶν τιμωριῶν χαλεπωτέραν τοῖς γε νοῦν

φιλόσοφο. Ἄλλοι δηλαδὴ ἔφαγαν καρφιὰ μυτερὰ καὶ ἀκονισμένα, ἄλλοι μάσησαν καὶ κατάπιαν ὑποδήματα καὶ ἄλλοι μηχανεύθηκαν ἄλλα πολὺ πιὸ δολιότερα ἀπὸ αὐτά, ἂν καὶ βέβαια αὐτὰ εἶναι πολὺ πιὸ θαυμαστὰ ἀπὸ τὸ πυθάρι καὶ τὰ ράκη. Ἐμεῖς ὅμως δὲν τὰ ἀποδεχόμαστε αὐτὰ ὅπως βέβαια οὔτε καὶ ἐκεῖνα, ἀλλ' ἐξ ἴσου μὲ τὸν φιλόσοφο τὰ κακίζομε καὶ ὅμοια δάκρυα χύνομε γι' αὐτοὺς καὶ γιὰ ὅλους ἐκείνους ποὺ ἄσκοπα ἐπιχειροῦν τέτοια τερατουργήματα.

Ἀλλὰ καὶ πολὺ θάρρος ἔδειξε ὁ φιλόσοφος ἐνώπιον τοῦ βασιλέως. Ἂς δοῦμε λοιπὸν καὶ τὸ πολὺ θάρρος, μήπως καὶ αὐτὸ συμβαίνει νὰ εἶναι πιὸ ἄσκοπο καὶ ἀπὸ τὸ τερατούργημα τοῦ πίθου. Ποιό λοιπὸν ἦταν τὸ θάρρος του; Ἐκστρατεύοντας κάποτε ὁ Μακεδόνας βασιλεὺς ἐναντίον τῶν Περσῶν συνάντησε αὐτὸν καὶ ἐρωτώντας τον ἂν ἤθελε κάτι νὰ τοῦ δώση, εἶπε, ὅτι δὲν ἤθελε τίποτε ἄλλο, παρὰ μόνο νὰ μὴ τὸν σκιάζη ὁ βασιλεὺς μὲ τὸ σῶμα του· γιατὶ ἔτυχε τὴν ὥρα ἐκείνη ὁ φιλόσοφος νὰ θερμαίνεται στὸν ἥλιο. Δὲν πᾶτε νὰ χαθῆτε; δὲν πηγαίνετε νὰ κρυφθῆτε ἀπὸ ντροπή; δὲν πηγαίνετε νὰ παραχωθῆτε κάπου ὅλοι σεῖς ποὺ μεγαλοφρονεῖτε γι' αὐτὰ γιὰ τὰ ὁποῖα ἔπρεπε νὰ ντρέπεσθε; Πόσο προτιμότερο δὲν θὰ ἦταν ἂν φοροῦσε ἕνα χοντρὸ ἔνδυμα καὶ ἐργαζόταν καὶ ζητοῦσε τότε κάτι τὸ χρήσιμο ἀπὸ τὸν βασιλέα, παρὰ νὰ κάθεται μὲ τὰ κουρέλια καὶ νὰ ζεσταίνεται στὸν ἥλιο, σὰν ἀκριβῶς τὰ μικρὰ παιδιὰ ποὺ θηλάζουν, τὰ ὁποῖα οἱ τροφοί τους μετὰ τὸ λούσιμο καὶ τὸ ἄλειμμα τὰ τοποθετοῦν ἀπέναντι στὸν ἥλιο, ὅπως καθόταν τότε ὁ φιλόσοφος, ζητώντας χάρη σὰν ἕνα δυστυχισμένο γραΐδιο; Μήπως ὅμως τὸ θάρρος του εἶναι ἄξιο θαυμασμοῦ; Ἀλλὰ πιὸ τερατῶδες ἀπὸ αὐτὸ δὲν ὑπάρχει. Γιατὶ ὁ ἀγαθὸς ἄνδρας πρέπει νὰ τὰ κάμνη ὅλα γιὰ τὸ κοινὸ ὄφελος καὶ τὴν ἀνύψωση τῆς ζωῆς τῶν ἄλλων. Τὸ νὰ ἀξιώση ὅμως νὰ μὴν τὸν σκιάζη ὁ βασιλεύς, ποιά πόλη, ποιά οἰκία, ποιόν ἄνδρα καὶ ποιά γυναῖκα διέσωσε αὐτό; Πές τὸ κέρδος ἀπὸ τὸ θάρρος του. Γιατὶ ἐγὼ ἔδειξα τὸ κέρδος τοῦ θάρρους τοῦ μάρτυρος καὶ στὴ συνέχεια τοῦ λόγου μου θὰ τὸ παρουσιάσω σαφέστερα.

9. Τιμώρησε λοιπὸν ὁ μάρτυρας τότε τὸν ὑβριστὴ βασιλέα, καὶ μάλιστα μὲ τέτοια τιμωρία ποὺ ταιριάζει σὲ ἱερέα, κατέστειλε τὰ ἐγωϊστικὰ φρονήματα τῶν ἀρχόντων, ὑπεραμύνθηκε τοὺς νόμους τοῦ Θεοῦ ποὺ καταπατοῦνταν, καὶ ἐπέβαλε τιμωρία γιὰ τὴν ἄδικη σφαγὴ τοῦ παιδιοῦ, ποὺ εἶναι ἡ χειρότερη ἀπὸ ὅλες τὶς τιμωρίες γιὰ

ἔχουσι. Μέμνησθε δήπου πάντως, ὅτε περὶ τοῦ φόνου διελεγόμην, πῶς ἕκαστος διεθερμαίνετο τῶν ἀκροατῶν καὶ τὸν αὐθέντην λαβεῖν εἰς χεῖρας ἐπεθύμει καὶ φανῆναί ποθεν τὸν ἐκδικήσοντα τὸν φόνον ηὔχετο. Τοῦτο τοίνυν ὁ μακάριος ἐκεῖνος ἐποίησε καὶ δίκην ἐπέθηκεν αὐτῷ τε πρέπουσαν, κἀκεῖνον ἐπιστρέψαι ἱκανήν, εἰ μὴ λίαν ἀναίσθητος ἔτυχεν ὤν, οὐχ ἡλίῳ θερομένῳ αὐτῷ τὸν βασιλέα ἐπισκοποῦντα ἀποστῆναι ἀξιῶν, ἀλλ' ἀναιδῶς τοῖς ἱεροῖς ἐπιπηδῶντα περιβόλοις καὶ πάντα συγχέοντα, καθάπερ τινὰ κύνα καὶ οἰκέτην ἀγνώμονα τῶν δεσποτικῶν ἀπείργων αὐλῶν.

Ὁρᾷς ὡς οὐ κομπάζων ἔλεγον, ὅτι παιδικῆς ἔργα διανοίας τὰ τῶν παρ' ὑμῖν φιλοσόφων ἀπέδειξε θαύματα; Ἀλλὰ καὶ ἐσωφρόνησεν ὁ Σινωπεὺς ἐκεῖνος καὶ ἐν ἐγκρατείᾳ διήγαγε καὶ τῶν κατὰ νόμον οὐκ ἀνεχόμενος γάμων. Ἀλλὰ πῶς καὶ τίνι τρόπῳ προστίθει. Ἀλλ' οὐ προσθήσεις, ἀλλ' ἥδιον τῶν τῆς σωφροσύνης ἐγκωμίων ἀποστερήσεις αὐτόν, ἢ τὸν τρόπον τῆς σωφροσύνης ἐρεῖς· οὕτως αἰσχρὸς καὶ πολλῆς γέμων αἰσχύνης ἦν. Ἐπῆλθον δ' ἂν καὶ τὸν τῶν ἄλλων λῆρον καὶ τὴ ματαιοπονίαν καὶ τὴν αἰσχρότητα· ποῦ γάρ, εἰπέ μοι, χρήσιμον γονῆς ἀπογεύεσθαι ἀνθρωπίνης, ὅπερ ὁ Σταγειρίτης ἐποίει; ποῖον δὲ ὄφελος μίγνυσθαι μητράσι καὶ ἀδελφαῖς, ὅπερ ὁ τῆς Στοᾶς προεστὼς φιλόσοφος ἐνομοθέτει; Καὶ τὸν τῆς Ἀκαδημίας δὲ ἄρξαντα καὶ τὸν ἐκείνου διδάσκαλον καὶ τοὺς ἔτι τούτων μᾶλλον θαυμαζομένους, τούτων αἰσχροτέρους ἀνέδειξα ἄν, καὶ τὴν παιδεραστίαν, ἣν σεμνὸν εἶναι τίθενται καὶ φιλοσοφίας μέρος, ἐξεκάλυψα πάσης ἀπαμφιάσας τῆς ἀλληγορίας, εἰ μὴ εἰς μακρὸν ὁ λόγος ἡμῖν ἐξετείνετο μῆκος καὶ πρὸς ἕτερον ἠπείγετο μέρος καὶ ἱκανῶς καὶ διὰ τοῦ ἑνὸς τὸν γέλωτα πάντων διήλεγξεν. Ὅταν γὰρ ὁ κρατῶν, κατὰ τὸ δοκοῦν αὐστηρότερον εἶναι τῆς φιλοσοφίας μέρος καὶ παρρησίας καὶ ἐγκρατείας ἕνεκεν, οὕτως αἰσχρὸς καὶ ἄτοπος καὶ περιττὸς ἀποφαίνηται (καὶ γὰρ καὶ τὸ ἀνθρώπινον ἀπογεύεσθαι ἔλεγεν ἀδιάφορον εἶναι), τίς ἡμῖν πρὸς τοὺς ἄλλους

19. Δηλαδὴ ὁ Ζήνων ὁ Κιτιεύς.
20. Ἐννοεῖ τὸν Πλάτωνα (428–347 π.Χ) καὶ τὸν Σωκράτη (470–399π.Χ).

ἐκείνους ποὺ ἔχουν μυαλό. Θυμᾶσθε ὁπωσδήποτε βέβαια, ὅταν σᾶς μιλοῦσα γιὰ τὸν φόνο, πῶς ὁ καθένας ἀπὸ τοὺς ἀκροατὲς ἔβραζε ἀπὸ θυμὸ καὶ ἤθελε ν' ἁρπάξῃ μὲ τὰ χέρια του τὸν βασιλέα καὶ εὐχόταν ἀπὸ κάπου νὰ φανῇ ἐκεῖνος ποὺ θὰ ἔπαιρνε ἐκδίκηση γιὰ τὸν φόνο. Αὐτὸ λοιπὸν ἔκαμε ὁ μακάριος ἐκεῖνος καὶ ἐπέβαλε σ' αὐτὸν τὴν τιμωρία ποὺ ἔπρεπε καὶ ποὺ ἦταν ἱκανὴ καὶ ἐκεῖνον νὰ συνετίσῃ, ἂν δὲν τύχαινε νὰ εἶναι τόσο ἀναίσθητος, ἀξιώνοντας ὄχι ἁπλῶς νὰ μὴ τοῦ ἀφαιρῇ ὁ βασιλεὺς μὲ τὴ σκιά του τὴ θερμότητα τοῦ ἥλιου, ἀλλ' ἐπειδὴ τόλμησε μὲ ἀναίδεια νὰ εἰσέλθῃ στὸν ἱερὸ χῶρο τοῦ ναοῦ, συγχαίοντας ἔτσι τὰ πάντα, σὰν κάποιο σκύλο καὶ δοῦλο ἀγνώμονα τὸν ἀπομάκρυνε ἀπὸ τὶς δεσποτικὲς αὐλές.

Βλέπεις ὅτι δὲν ἦταν κομπασμὸς ὅταν ἔλεγα, ὅτι ἀπέδειξε τὰ θαύματα τῶν φιλοσόφων σας ἔργα παιδικῆς νοημοσύνης; Ἀλλὰ καὶ ἄσκησε σωφροσύνη ὁ Συνωπεὺς ἐκεῖνος καὶ ἔζησε μὲ ἐγκράτεια καὶ δὲν ἀνέχθηκε νὰ συνάψῃ οὔτε καὶ νόμιμο γάμο. Πρόσθεσε ὅμως καὶ τὸ πῶς καὶ μὲ ποιόν τρόπο. Ἀλλ' ὅμως δὲν θὰ τὸ προσθέσῃς αὐτό, καὶ εἶναι προτιμώτερο νὰ τοῦ στερήσῃς τοὺς ἐπαίνους τῆς σωφροσύνης του, παρὰ ν' ἀποκαλύψῃς τὸν τρόπο τῆς σωφροσύνης του, ποὺ ἦταν τόσον αἰσχρὸς καὶ γεμᾶτος ἀπὸ τόση ἀδιαντροπιά. Καὶ θὰ ἤθελα ν' ἀναφέρω καὶ τὶς φλυαρίες τῶν ἄλλων καθὼς καὶ τὴν ματαιοπονία καὶ τὴν αἰσχρότητα. Γιατὶ πές μου, σὲ τί εἶναι χρήσιμο τὸ νὰ γεύεται κανεὶς σπέρμα ἀνθρώπινο, πρᾶγμα ποὺ ἔκαμνε ὁ Σταγειρίτης; Ποιό τὸ ὄφελος ἀπὸ τὴ σαρκικὴ μίξη μὲ μητέρες καὶ ἀδελφές, πρᾶγμα ποὺ νομοθετοῦσε ὁ ἀρχηγὸς τῆς Στοᾶς φιλόσοφος[19]; Καὶ θὰ μποροῦσα πιὸ αἰσχροὺς κι ἀπὸ αὐτοὺς ν' ἀποδείξω καὶ τῆς Ἀκαδημίας τὸν ἀρχηγὸ καὶ τὸν διδάσκαλο ἐκείνου[20] καὶ ὅλους ἐκείνους ποὺ θαυμάζονται ἀκόμη περισσότερο ἀπὸ αὐτούς, καὶ τὴν παιδεραστία ἐπίσης, ποὺ τὴν θεωροῦν σεμνὸ πρᾶγμα καὶ μέρος τῆς φιλοσοφίας, θὰ σᾶς τὴν ἀποκάλυπτα καὶ αὐτὴν ἀπογυμνώνοντάς την ἀπὸ κάθε ἀλληγορία, ἂν δὲν ἔφθανε σὲ τόσο μάκρος ὁ λόγος μου καὶ δὲν ἐπείγονταν ν' ἀσχοληθῇ μὲ ἄλλο θέμα, καὶ δὲν εἶχε ἐλέγξει ἱκανοποιητικὰ μὲ τὸν ἕνα τὴν γελοιποίηση ὅλων. Γιατί, ὅταν ἐκεῖνος ποὺ βρίσκεται πάνω ἀπὸ ὅλους, ὡς πρὸς τὸ μέρος τῆς φιλοσοφίας ποὺ θεωρεῖται αὐστηρότερο, λόγω τοῦ ὅτι ἀπαιτεῖ παρρησία ἡ ἐγκράτεια, παρουσιάζεται τόσο αἰσχρὸς καὶ ἀνόητος καὶ ἀσυνήθιστος (πραγματικὰ ἔλεγε ὅτι καὶ ἡ ἀνθρω-

λόγους ἔσται λοιπόν, τοῦ κατὰ τὴν κορυφὴν τοῦ ἐπιτηδεύματος ὑπὲρ τοὺς ἄλλους λάμψαντος οὕτω καταγελάστου καὶ μειρακιώδους καὶ ἀνοήτου δειχθέντος ἅπασι; Δι' ὅπερ ἐπανίωμεν ὅθεν ταῦτα εἰπεῖν ἐξέβημεν.

Τοὺς μὲν οὖν ἀπίστους οὕτω συνέστειλεν ὁ μακάριος, τοὺς δὲ πιστοὺς εὐλαβεστέρους κατέστησεν, οὐκ ἰδιώτας μόνον, ἀλλὰ καὶ στρατιώτας καὶ στρατηγοὺς καὶ ὑπάρχους, δείξας ὅτι ὁ βασιλεὺς καὶ ὁ πάντων ἔσχατος παρὰ Χριστιανοῖς, ὀνόματα μόνον ἐστὶ καὶ τῶν ἐλαχίστων ὁ τὸ διάδημα ἔχων οὐδὲν ἔσται σεμνότερος, ὅταν κολάζεσθαι καὶ ἐπιτιμᾶσθαι δέῃ. Πρὸς δὲ τούτοις τοὺς βουλομένους ἀναισχυντεῖν καὶ κόμπον τινὰ πεπλασμένον τὰ παρ' ἡμῖν εἶναι λέγοντας ἐπεστόμισε, τὴν τῶν ἀποστόλων παρρησίαν διὰ τῶν ἔργων ἐπιδείξας καὶ διδάξας, ὅτι καὶ πάλαι τοιούτους ἄνδρας γενέσθαι εἰκὸς ἦν, ὅτε καὶ πλείονα ἡ τῶν σημείων ἐπίδειξις παρεῖχε τὴν ἐξουσίαν αὐτοῖς.

Ἔστι τι καὶ τρίτον κατόρθωμα οὐ τὸ τυχόν· τῶν γὰρ μετὰ ταῦτα ἱερᾶσθαι καὶ βασιλεύειν μελλόντων τὰ φρονήματα, τῶν μὲν κατέστειλε, τῶν δὲ ἐπῆρεν ἀποφήνας, ὅτι τῆς γῆς καὶ τῶν ἐν τῇ γῇ πραττομένων κυρίωτερος ἐπίτροπος ὁ τὴν ἱερωσύνην λαχὼν τοῦ τὴν ἁλουργίδα ἔχοντός ἐστι καὶ χρὴ τῆς ἐξουσίας ταύτης τὸ μέγεθος μὴ ἐλαττοῦν, ἀλλὰ τῆς ψυχῆς ἐξίστασθαι πρότερον, ἢ τῆς αὐθεντίας, ἣν ὁ Θεὸς ἄνωθεν ταύτῃ συνεκλήρωσε τῇ ἀρχῇ. Ὁ μὲν γὰρ οὕτως ἀποθανὼν καὶ μετὰ τὴν τελευτὴν δύναιτ' ἂν ἅπαντας ὠφελεῖν· ὁ δὲ ταύτην τὴν τάξιν λιπών, οὐ μόνον μετὰ τὸν θάνατον οὐδένα ὤνησεν, ἀλλὰ καὶ ζῶν τῶν τε ὑπ' αὐτῷ ταττομένων τοὺς πλείονας μαλακωτέρους εἰργάσατο καὶ παρὰ τοῖς ἔξωθεν ἐπονείδιστος καὶ καταγέλαστος γίνεται. Καὶ ἀπελθὼν δὲ ἐντεῦθεν, μετὰ πολλῆς αἰσχύνης καὶ κατηφείας παραστήσεται τῷ βήματι τοῦ Χρι-

21. Πρέπει νὰ εἶναι αὐτὸς ὁ Πλάτων.

ποφαγία εἶναι κάτι τὸ ἀδιάφορο), τί χρειάζεται πλέον νὰ μιλᾶμε γιὰ τοὺς ἄλλους, τὴ στιγμὴ ποὺ αὐτός, ἐνῶ ὑπερέβαλε ὅλους καὶ ἡ λαμπρότητά του ἔφθασε στὴν κορυφὴ τῆς φιλοσοφίας, ἀποδείχθηκε σ' ὅλους τόσο καταγέλαστος καὶ παιδαριώδης καὶ ἀνόητος[21]; Γι' αὐτὸ ἂς ἐπανέλθουμε ἐκεῖ ἀπ' ὅπου ἀπομακρυνθήκαμε γιὰ νὰ ποῦμε αὐτά.

Τοὺς ἀπίστους λοιπὸν τοὺς κατετρόπωσε ὁ μακάριος Βαβύλας μὲ τὴν ἐνέργειά του αὐτή, ἐνῶ τοὺς πιστοὺς τοὺς κατέστησε εὐλαβέστερους, καὶ ὄχι μόνο τοὺς ἰδιῶτες, ἀλλὰ καὶ τοὺς στρατιῶτες καὶ τοὺς στρατηγοὺς καὶ τοὺς ὑπάρχους, δείχνοντας ὅτι ὁ βασιλεὺς καὶ ἐκεῖνος ποὺ εἶναι ὁ πιὸ τελευταῖος ἀπὸ ὅλους τοὺς Χριστιανοὺς εἶναι ἁπλῶς καὶ μόνον ὀνόματα, καὶ ἐκεῖνος ποὺ φορεῖ τὸ βασιλικὸ στέμμα δὲν εἶναι καθόλου πιὸ σεβαστὸς ἀπὸ τοὺς πιὸ ἀσήμαντους, ὅταν χρειάζεται νὰ τιμωρηθῆ καὶ νὰ ἐλεγχθῆ. Ἐκτὸς ἀπὸ αὐτὰ ἔκλεισε τὸ στόμα ἐκείνων ποὺ θέλουν νὰ συμπεριφέρωνται μὲ ἀδιαντροπιὰ καὶ λένε ὅτι τὰ τῆς πίστεώς μας εἶναι κάποιος πλαστὸς κομπασμός, δείχνοντας μὲ τὰ ἔργα του τὴν παρρησία τῶν Ἀποστόλων καὶ διδάσκοντας, ὅτι φυσικὸ ἦταν νὰ ὑπῆρχαν καὶ τὴν παλιὰ ἐποχὴ τέτοιοι ἄνδρες, τότε ποὺ ἡ δυνατότητα νὰ ἐπιτελοῦν θαύματα ἔδινε σ' αὐτοὺς μεγαλύτερο κῦρος.

Ὑπάρχει καὶ κάποιο τρίτο κατόρθωμα ποὺ δὲν εἶναι τυχαῖο. Καὶ συγκράτησε δηλαδὴ τὸν ἐγωϊσμὸ ἐκείνων ποὺ ἐπρόκειτο στὴ συνέχεια νὰ βασιλεύσουν, καὶ ἐξύψωσε τὸ φρόνημα ἐκείνων ποὺ ἐπρόκειτο νὰ ἱερωθοῦν, δείχνοντας ὅτι ἐκεῖνος ποὺ κλήθηκε στὸ ἀξίωμα τοῦ ἱερέως εἶναι ἀνώτερος ἐκπρόσωπος τοῦ Θεοῦ ἐπὶ τῆς γῆς καὶ τῶν ὅσων συμβαίνουν σ' αὐτὴν ἀπὸ ἐκεῖνον ποὺ φορεῖ τὴν βασιλικὴ πορφύρα, καὶ πρέπει νὰ μὴ μειώνη τὸ μέγεθος τῆς ἐξουσίας αὐτῆς, ἀλλὰ νὰ προτιμᾶ νὰ χάση τὴ ζωή του, παρὰ τὴν αὐθεντία αὐτή, τὴν ὁποία ὁ Θεὸς ἀπὸ τὴν ἀρχὴ ἕνωσε στενὰ μὲ τὴν ἐξουσία αὐτή. Γιατὶ ἐκεῖνος ποὺ πεθαίνει κατ' αὐτὸν τὸν τρόπο εἶναι δυνατὸ καὶ μετὰ τὸν θάνατό του νὰ ὠφελῆ ὅλους, ἐνῶ ἐκεῖνος ποὺ δὲν φύλαξε αὐτὸ τὸ ἀξίωμα ὄχι μόνο δὲν ὠφελεῖ κανένα μετὰ τὸν θάνατό του, ἀλλὰ καὶ ὅσο ζῆ καὶ καθιστᾶ μαλθακώτερους ἐκείνους ποὺ εἶναι ὑπὸ τὴν ἐξουσία του, καὶ ὁ ἴδιος διασύρεται ἀπὸ τοὺς μὴ χριστιανοὺς καὶ γίνεται καταγέλαστος. Κι ὅταν φύγη ἀπὸ τὴ ζωὴ αὐτὴ μὲ πολλὴ ντροπὴ καὶ λύπη θὰ παρουσιασθῆ μπροστὰ στὸ

στοῦ, ἐκεῖθέν τε αὐτὸν πάλιν εἰς τὴν κάμινον ἀπάξουσιν ἕλκουσαι αἱ πρὸς τοῦτο ταχθεῖσαι δυνάμεις. Διά τοι τοῦτο σοφός τις παραινεῖ λόγος, «μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου». Εἰ δὲ ἀνδρὸς ἀδικουμένου οὐκ ἀσφαλὲς ὑποκρίνεσθαι, τῶν θείων νόμων ὑβριζομένων, ὁ σιγήσας καὶ παριδὼν τίνος οὐκ ἔσται κολάσεως ἄξιος;

Μετὰ δὲ τούτων καὶ ἕτερόν τι τούτων οὐχ ἧττον ἐδίδαξε καλόν, ὅτι τὰ αὐτοῦ ποιεῖν ἕκαστον χρή, κἂν μηδεὶς ὁ δεχόμενος ᾖ τῶν γινομένων τὸ κέρδος. Οὐδὲ γὰρ αὐτός τι τότε τῆς παρρησίας εἰς τὴν ὠφέλειαν ἀπώνατο τοῦ βασιλέως, ἀλλ' ὅμως τὸ αὐτοῦ πᾶν ἐπλήρωσεν καὶ ἐνέλιπεν οὐδέν· ὁ δὲ κάμνων διὰ τῆς οἰκείας ἀπονοίας ἐλυμήνατο τοῦ τεχνίτου τὴν ἐπιστήμην, μετὰ πολλοῦ τοῦ θυμοῦ τὸ φάρμακον ἀπὸ τοῦ τραύματος ἀφελών. Ὥσπερ γὰρ οὐκ ἀρκοῦν εἰς ἀσέβειαν τὸ φονεῦσαι καὶ ἀναισχύντως ἐπιπηδῆσαι τῷ ναῷ τοῦ Θεοῦ, προσετίθει φόνῳ φόνον ἕτερον, καὶ καθάπερ φιλονεικῶν ὁμοῦ καὶ νικῆσαι τοῖς δευτέροις τὰ πρότερα καὶ τὰ τῶν φθασάντων πάθη ἀμαυρῶσαι τῇ τῶν ὑστέρων ὑπερβολῇ (τοιαύτη γὰρ ἡ τοῦ διαβόλου μανία, τὰ ἐναντία κατασκευάζειν ἅμα), οὕτως ἀμφοτέραις ταῖς σφαγαῖς ἔχειν τι κατάλληλον, ἐξαίρετον ἔδωκεν. Καὶ ἦν ἡ μὲν προτέρα ἐλεεινοτέρα τῆς δευτέρας, ἡ τοῦ μακαρίου Βαβύλα. Ψυχὴ γὰρ ἅπαξ ἁμαρτίας γευσαμένη, καὶ ἀναλγήτως διατεθεῖσα, πολλὴν παρέχει τῷ νοσήματι τὴν προσθήκην. Καὶ οἷον εἰς ὕλην ἄφατον σπινθὴρ ἐμπεσών, καίει μὲν εὐθέως τὸ προστυγχάνον, οὐχ ἵσταται δὲ μέχρις ἐκείνου μόνον, ἀλλὰ πᾶν ἐπινέμεται τὸ λοιπὸν καὶ ὅσῳ περ ἂν πλείονα λάβῃ τῇ φλογί, τοσούτῳ πλείονα προσλαμβάνει τὴν ἰσχὺν πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν καὶ γίνεται τῶν ἁλόντων ξύλων τὸ πλῆθος τοῖς ἁλίσκεσθαι μέλλουσιν ἐπιβουλή, τοῖς ληφθεῖσι κατὰ τῶν μελλόντων ὁπλιζομένης ἀεὶ τῆς φλογός· οὕτω καὶ ἡ τῆς ἁμαρτίας φύσις, ἐπειδὰν τινος λάβηται τῶν τῆς ψυχῆς λογισμῶν καὶ μηδεὶς ὁ σβεννύων ᾖ τὸ κακόν, προϊοῦσα περαιτέρω χαλεπωτέρα γίνεται καὶ δυσχείρωτος· καὶ δια τοῦτο τὰ

22. Σοφ. Σειρ. 4,22.

βῆμα τοῦ Χριστοῦ καὶ ἀπὸ ἐκεῖ πάλι μὲ τὴ βία θὰ τὸν ὁδηγήσουν σύροντάς τον στὸ καμίνι τῆς κολάσεως οἱ δυνάμεις ποὺ ἔχουν ὁρισθῆ γιὰ τὸ σκοπὸ αὐτό. Γι' αὐτὸ καὶ κάποιος σοφὸς λόγος συμβουλεύει· «μὴ ἐξ αἰτίας κάποιου προσώπου ἁμαρτήσης σὲ βάρος τῆς ψυχῆς σου»[22]. Κι ἂν ἡ ἀδιαφορία ὅταν κάποιος ἀδικῆται δὲν παρέχη ἀσφάλεια στὸν ἀδιάφορο, ποιᾶς τιμωρίας δὲν θὰ εἶναι ἄξιος ἐκεῖνος ποὺ σιώπησε καὶ ἀδιαφόρησε ὅταν ἔβλεπε νὰ καθυβρίζωνται ὁ θεῖοι νόμοι;

Καὶ μαζὶ μ' αὐτὰ δίδαξε καὶ κάτι ἄλλο ὄχι κατώτερο ἀπὸ αὐτά, ὅτι δηλαδὴ ὁ κάθε ἄνθρωπος πρέπει νὰ κάμνη αὐτὸ ποὺ πρέπει νὰ κάμνη, κι ἂν ἀκόμη δὲν ὑπάρχει κανεὶς ποὺ νὰ δέχεται τὸ κέρδος ἀπὸ τὶς πράξεις του. Γιατὶ οὔτε καὶ αὐτὸς τότε εἶδε νὰ ὠφελῆται κατά τι ὁ βασιλεύς, ἀλλ' ὅμως ἔκαμε ὅ,τι ἐξαρτῶταν ἀπὸ αὐτὸν καὶ δὲν παρέλειψε τίποτε, ἐνῶ ὁ ἀσθενὴς ἐξ αἰτίας τῆς ἀνοησίας του ἀχρίστευσε τὴν ἐπιστήμη τοῦ ἰατροῦ, ἀφαιρώντας μὲ πολὺ θυμὸ τὸ φάρμακο ἀπὸ τὸ τραῦμα. Σὰν νὰ μὴ ἦταν δηλαδὴ ἀρκετὴ ἀσέβεια ὁ φόνος καὶ τὸ ὅτι μὲ ἀδιαντροπιὰ εἰσῆλθε στὸν ναὸ τοῦ Θεοῦ, πρόσθετε στὸν φόνο καὶ δεύτερο φόνο, καὶ σὰν νὰ φιλονεικοῦσε νὰ ξεπεράση συγχρόνως τὰ πρῶτα μὲ τὰ δεύτερα καὶ νὰ συγκαλύψη τὸ προηγούμενο ἁμάρτημα μὲ τὸ μέγεθος τοῦ ἑπομένου (γιατὶ τέτοια εἶναι ἡ μανία τοῦ διαβόλου, ὥστε νὰ ἐπινοῆ συγχρόνως τὰ ἀντίθετα), παρουσίασε τὴ κάθε μιὰ ἀπὸ τὶς σφαγὲς μὲ κάποιο κατάλληλο καὶ ἐντελῶς ἰδιαίτερο γνώρισμα. Ἡ πρώτη δηλαδή, ἡ σφαγὴ τοῦ παιδιοῦ, ἦταν πιὸ ἐλεεινὴ ἀπὸ τὴ δεύτερη, ἐνῶ ἡ δεύτερη, ἡ σφαγὴ τοῦ μακαρίου Βαβύλα, ἦταν πιὸ μιαρὴ ἀπὸ τὴν πρώτη. Γιατὶ ἡ ψυχὴ ποὺ γεύθηκε μιὰ φορὰ τὴν ἁμαρτία καὶ μένει ἀναίσθητη, προσθέτει μεγαλύτερη ἐπιδείνωση στὴν ἀσθένεια. Καὶ ὅπως μιὰ σπίθα πέφτοντας σὲ σωρὸ ξύλων κατακαίει ἀμέσως ὅ,τι τύχη μπροστά της καὶ δὲν σταματᾶ μόνο σ' αὐτό, ἀλλὰ κατατρώγει καὶ ὅλα τὰ ὑπόλοιπα, καὶ ὅσο περισσότερα ἀγκαλιάζει μὲ τὶς φλόγες, τόσο μεγαλύτερη δύναμη ἀποκτᾶ πρὸς καταστροφὴ καὶ τῶν ὑπολοίπων καὶ ὁ σωρὸς τῶν φλεγομένων ξύλων γίνεται κίνδυνος γιὰ τὰ ἄλλα ποὺ πρόκειται σὲ λίγο νὰ καοῦν, γιατὶ ἡ φλόγα αὐτῶν ποὺ καίονται γίνεται περισσότερο ἐπικίνδυνη γιὰ ἐκεῖνα ποὺ πρόκειται νὰ καοῦν· ἔτσι καὶ ἡ φύση τῆς ἁμαρτίας, ὅταν θέση κάτω ἀπὸ τὴν ἐξουσία της κάποιον λογισμὸ τῆς ψυχῆς καὶ δὲν ὑπάρχη κανεὶς νὰ σβήση τὸ κακό, προ-

μετὰ ταῦτα πολλάκις τῶν προτέρων ἰσχυρότερα γέγονεν ἁμαρτήματα, τῆς ψυχῆς ἀεὶ τῇ τῶν δευτέρων προσθήκῃ πρὸς μείζονα ἀπόνοιαν καὶ καταφρόνησιν αἱρομένης καὶ διὰ τούτων τὴν μὲν οἰκείαν διαλυούσης δύναμιν, τὴν δὲ τῆς ἁμαρτίας τρεφούσης· οὕτω γοῦν πολλοὶ εἰς πᾶν εἶδος ἁμαρτημάτων ἐλθόντες ἔλαθον, ἐπειδὴ τὴν φλόγα ἀρχομένην οὐκ ἔσβεσαν· οὕτω καὶ ὁ δείλαιος ἐκεῖνος χαλεπώτερα τοῖς προτέροις προσετίθει τὰ δεύτερα. Ἐπειδὴ γὰρ τὸν νέον ἐκεῖνον ἀπώλεσεν, ἀπὸ τοῦ φόνου πρὸς τὴν ὕβριν τὴν εἰς τὸν νεὼν ὥρμησε, καὶ πάλιν ἐκ ταύτης ὁδῷ προβαίνων, εἰς τὴν κατὰ τῆς ἱερωσύνης ἀπόνοιαν ἐπαπεδύσατο καὶ τὸν ἅγιον σιδήρῳ δήσας καὶ εἰς δεσμωτήριον ἐμβαλών, οὕτω τέως ἐκόλαζε, δίκην αὐτὸν τῆς εὐεργεσίας ἀπαιτῶν, καὶ ὑπὲρ ὧν θαυμάζειν ἔδει καὶ στεφανοῦν καὶ τῶν γεγεννηκότων μᾶλλον τιμᾶν, ὑπὲρ τούτων τὰ τῶν κακούργων ὑπομένειν ἠνάγκαζε δεσμὰ καὶ τὴν ἀπὸ τῶν δεσμῶν ταλαιπωρίαν περιθείς.

10. Οὕτως, ὅπερ ἔφην, ἀρχὴν ἁμαρτία λαβοῦσα καὶ μηδένα τὸν εἰς τὸ πρόσω προβῆναι κωλύοντα ἔχουσα, δυσανάσχετος καὶ ἀκάθεκτος γίνεται, κατὰ τοὺς μεμηνότας τῶν ἵππων, οἵ, ἐπειδὰν τὸν χαλινὸν ἀπὸ τοῦ στόματος ἐκβαλόντες καὶ τὸν ἐπιβάτην ῥίψαντες ἀπὸ τῶν νώτων ὕπτιον, τοῖς ἀπαντῶσιν ἀφόρητοι γένωνται, μηδενὸς αὐτοὺς κωλύοντος ὑπὸ τῆς ἀτάκτου ῥύμης φέροντες ἑαυτοὺς κατεκρήμνισαν. Διά τοι τοῦτο εἰς μανίαν τὰς τοιαύτας ἐκφέρει ψυχὰς ὁ τῆς σωτηρίας ἡμῶν ἐχθρός, ἵνα αὐτὰς ἐν ἐρημίᾳ τῶν θεραπευσόντων ἀπολαβὼν κατακόψῃ καὶ μυρίοις περιβάλῃ κακοῖς. Καὶ γὰρ οἱ τὰ σώματα ἀρρωστοῦντες, ἕως μὲν ἂν προσιόντας τοὺς θεραπεύοντας ἀνέχωνται, πολλὴν τὴν ἐλπίδα τῆς ὑγίειας ἔχουσιν· ἐπειδὰν δὲ εἰς φρενῖτιν ἐκπεσόντες λακτίζωσι καὶ δάκνωσι τοὺς βουλομένους ἀπαλλάξαι τῆς ἀρρωστίας αὐτούς, τότε νοσοῦσιν ἀνίατα, οὐ διὰ τὴν τῆς νόσου φύσιν, ἀλλὰ διὰ τὴν ἐρημίαν τῶν

χωρώντας παραπέρα γίνεται φοβερώτερη καὶ δυσκολοκαταμάχητη, καὶ γι' αὐτὸ τὰ ἁμαρτήματα ποὺ ἀκολουθοῦν μετὰ εἶναι πολλὲς φορὲς ἰσχυρότερα ἀπὸ τὰ πρῶτα, γιατὶ ἡ ψυχὴ μὲ τὴν προσθήκη πάντοτε τῶν δευτέρων ὁδηγεῖται σὲ μεγαλύτερη ἀλαζονεία καὶ καταφρόνηση, παραλύοντας μὲ αὐτὰ τὴ δύναμή της καὶ τρέφοντας τὴ δύναμη τῆς ἁμαρτίας. Ἔτσι λοιπὸν πολλοὶ χωρὶς ν' ἀντιληφθοῦν ἔφθασαν σὲ κάθε εἶδος ἁμαρτίας, ἐπειδὴ δὲν ἔσβησαν ἀπὸ τὴν ἀρχὴ τὴ φλόγα. Ἔτσι καὶ ὁ ἄθλιος ἐκεῖνος πρόσθεσε στὸ πρῶτό του ἁμάρτημα τὸ δεύτερο ποὺ ἦταν πολὺ πιὸ φοβερό. Ἀφοῦ δηλαδὴ φόνευσε τὸ παιδὶ ἐκεῖνο, ἀμέσως μετὰ τὸν φόνο προχώρησε μὲ ὁρμὴ στὴ διάπραξη τῆς ἀσέβειας νὰ εἰσέλθη στὸν ναό, καὶ ἀπὸ ἐκείνην προχωρώντας καὶ πάλι ἔφθασε στὸ νὰ ὑψώση τὴν ἀλαζονεία του κατὰ τῆς ἱερωσύνης, καὶ ἀφοῦ ἔδεσε μὲ σιδηρᾶ δεσμὰ τὸν ἅγιο καὶ τὸν ἔρριψε στὴ φυλακή, ἔτσι τὸν βασάνιζε στὴν ἀρχή, ἀπαιτώντας τὴν τιμωρία του γιὰ τὴν εὐεργεσία. Καὶ ἐκεῖνα γιὰ τὰ ὁποῖα ἔπρεπε νὰ τὸν θαυμάζη καὶ νὰ τὸν στεφανώνη καὶ νὰ τὸν τιμᾶ περισσότερο καὶ ἀπὸ τοὺς γονεῖς του, γι' αὐτὰ τὸν ἀνάγκαζε νὰ ὑπομένη τὰ δεσμὰ ποὺ εἶναι γιὰ τοὺς κακούργους, προσθέτοντας σ' αὐτὰ καὶ τὴν ταλαιπωρία ἀπὸ τὰ δεσμά.

10. Ἔτσι, ὅπως εἶπα, ἀφοῦ ἡ ἁμαρτία ἔλαβε ἀρχὴ καὶ δὲν εἶχε κανένα νὰ τὴν ἐμποδίση στὴν πορεία της πρὸς τὰ ἐμπρός, ἔγινε δυσκολοσυκράτητη καὶ ὁρμητική, ὅπως ἀκριβῶς τὰ ἀφηνιασμένα ἄλογα, τὰ ὁποῖα, ἀφοῦ βγάλουν τὸ χαλινάρι ἀπὸ τὸ στόμα καὶ ρίξουν τὸν ἀναβάτη ἀπὸ τὰ νῶτα τους στὴ γῆ, δὲν συγκρατοῦνται ἀπὸ ἐκείνους ποὺ συναντοῦν καὶ μὴ ὑπάρχοντας κανεὶς νὰ τὰ ἐμποδίση, ὁδηγούμενα ἀπὸ τὴν ἄτακτη ὁρμή τους ρίχνουν τὸν ἑαυτό τους στὸ γκρεμό. Γι' αὐτὸ δηλαδὴ ὁ ἐχθρὸς τῆς σωτηρίας μας ὁδηγεῖ τὶς τέτοιες ψυχὲς στὴ μανία, ὥστε, ἀφοῦ τὶς βρῆ ἐκεῖ ποὺ δὲν ὑπάρχει κανεὶς νὰ τὶς θεραπεύση, νὰ τὶς κατακόψη καὶ νὰ τὶς περιβάλη μὲ ἄπειρα κακά. Καθ' ὅσον καὶ ἐκεῖνοι ποὺ εἶναι ἄρρωστοι σωματικά, ὅσο ἀνέχονται τὶς ἐπισκέψεις τῶν ἰατρῶν, ἔχουν μεγάλη ἐλπίδα νὰ ξαναβροῦν τὴν ὑγεία τους, ὅταν ὅμως τοὺς κυριεύση ἡ μανία καὶ ἀρχίζουν νὰ κλωτσοῦν καὶ νὰ δαγκώνουν ἐκείνους ποὺ θέλουν νὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὴν ἀρρώστια τους, τότε ἡ ἀρρώστια τους γίνεται ἀθεράπευτη, ὄχι ἐξ αἰτίας τῆς φύσεως τῆς ἀρρώστιας, ἀλλ' ἐπειδὴ δὲν ὑπάρχουν ἐκεῖνοι ποὺ μποροῦν νὰ τοὺς ἀπαλ-

ἀπαλλάξαι δυναμένων τῆς μανίας αὐτούς· εἰς ἣν καὶ οὗτος ἑαυτὸν κατέστησε· λαβὼν γὰρ τὸν ἰατρόν, τέμνοντα ἔτι τὸ τραῦμα, ἀπήλασεν εὐθέως καὶ ὡς πορρωτάτω τῆς οἰκίας ἀπήγαγε. Καὶ ἦν τὸ Ἡρώδου δρᾶμα μηκέτι μόνον ἀκοῇ μανθάνειν, ἀλλὰ καὶ ὄψεσι μετὰ πλείονος τῆς περιπετείας θεωρεῖν· ἐπειδὴ καὶ μετὰ πλείονος αὐτὸ τῆς ἐπιδείξεως καὶ παρασκευῆς ὁ διάβολος πάλιν εἰς τὸ τοῦ βίου θέατρον εἰσήγαγε, ἀντὶ τετράρχου βασιλέα καταστήσας καὶ ἀντὶ μιᾶς αἰτίας διπλῆν ὑπόθεσιν τῷ πράγματι δοὺς καὶ πολὺ τῆς προτέρας μιαρωτέραν, ὡς μὴ τῷ ἀριθμῷ μόνον, ἀλλὰ καὶ αὐτῇ τῶν πραγμάτων τῇ φύσει λαμπροτέραν ταύτην γενέσθαι τὴν τραγῳδίαν. Οὐ γὰρ γάμος ἐνταῦθα ὑβρίζετο καθάπερ ἐκεῖ, οὐδὲ ἀπὸ παρανόμου μίξεως, ἀλλ' ἀπὸ μολυσμοῦ παιδοκτονίας ἐναγεστέρου καὶ τυραννίδος ἀπηνεστάτης καὶ παρανομίας οὐκ εἰς γυναῖκα γενομένης, ἀλλ' εἰς αὐτὴν τὴν ἁγιστείαν, ταύτην τὴν ἱστορίαν ἔπλεξεν ὁ πονηρός.

Ἐμβληθεὶς τοίνυν εἰς τὸ δεσμωτήριον ὁ μακάριος, ἔχαιρε μὲν ἐπὶ τοῖς δεσμοῖς, ἤλγει δὲ ἐπὶ τῇ τοῦ δήσαντος ἀπωλείᾳ. Οὔτε γὰρ πατὴρ οὐδὲ παιδοτρίβης, ὅταν ὁ μὲν ἐκ τῆς τοῦ παιδός, ὁ δὲ ἐκ τῆς τοῦ μαθητοῦ μοχθηρίας καὶ δυσπραγίας λαμπρότεροι γίνωνται, καθαρὰν ἀθυμίας τὴν ἐκ τῆς εὐδοκιμήσεως ἔχουσιν ἡδονήν. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος Κορινθίοις ἔλεγεν· «εὐχόμεθα δὲ μηδὲν κακὸν ποιῆσαι ὑμᾶς, οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν». Οὕτω γοῦν καὶ ἐκείνῳ τῷ θαυμαστῷ τότε ποθεινότερον ἦν τῶν ἀπὸ τοῦ δεσμωτηρίου μισθῶν ἡ τοῦ μαθητοῦ σωτηρία καὶ τὸ σωφρονήσαντα ἀποστερῆσαι τούτων τῶν ἐπαίνων αὐτόν, μᾶλλον δὲ τὸ μηδὲ τὴν ἀρχὴν εἰς ταύτην αὐτὸν τὴν διαστροφὴν ἐμπεσεῖν. Οἱ γὰρ ἅγιοι τοὺς στεφάνους αὐτοῖς οὐκ ἀπὸ τῶν ἀλλοτρίων βούλονται πλέκεσθαι συμφορῶν· εἰ δὲ ἀπὸ τῶν ἀλλοτρίων οὐ βούλονται, πολλῷ μᾶλλον ἀπὸ τῶν τοῖς οἰκείοις συμβαινόντων κακῶν. Τούτου χάριν καὶ ὁ μακάριος Δαυὶδ μετὰ τὰ τρόπαια καὶ τὴν νίκην ἐπένθει καὶ ἐδάκρυεν, ἐπειδὴ μετὰ τῆς τοῦ παιδὸς συμφορᾶς αὕτη γέγονε· καὶ τοῖς τε

23. Βλ. Ματθ. 14,1ἑ. Μάρκ. 6,17 ἑ.
24. Β' Κορ. 13,7.

λάξουν ἀπὸ τὴ μανία, στὴν ὁποία ἄφησε καὶ αὐτὸς τὸν ἑαυτό του νὰ πέση. Γιατί, πιάνοντας τὸν ἰατρό, ἐνῶ ἀκόμη ἐγχείριζε τὸ τραῦμα, τὸν ἔδιωξε ἀμέσως καὶ τὸν ὡδήγησε πολὺ μακριὰ ἀπὸ τὸ σπίτι του. Καὶ ἔτσι μποροῦσε κανεὶς νὰ γνωρίση τὸ δρᾶμα τοῦ Ἡρώδη ὄχι μόνον ἐξ ἀκοῆς, ἀλλὰ καὶ νὰ τὸ βλέπη μὲ τὰ μάτια του νὰ ἐκτυλίσσεται μὲ περισσότερες περιπέτειες. Γιατὶ ὁ διάβολος ἀνέβασε πάλι στὸ θέατρο τῆς ζωῆς μὲ μεγαλύτερη προετοιμασία καὶ ἐπίδειξη τὴ δεύτερη αὐτὴ τραγωδία, καὶ ἀντὶ γιὰ τετράρχη κατέστησε πρωταγωνιστὴ βασιλέα, καὶ ἀντὶ μιᾶς αἰτίας προσέδωσε στὸ ἔργο διπλῆ ὑπόθεση καὶ πολὺ πιὸ μιαρὴ ἀπὸ τὴν πρώτη, ὥστε, ὄχι μόνο στὸν ἀριθμό, ἀλλὰ καὶ ὡς πρὸς τὴ φύση τῶν πραγμάτων νὰ γίνη ἡ τραγωδία αὐτὴ πιὸ λαμπρή. Γιατὶ ἐδῶ δὲν προσβαλλόταν γάμος, ὅπως ἐκεῖ[23], οὔτε συνέβαινε παράνομη μίξη, ἀλλ' ὑπῆρχε πολὺ πιὸ βδελυρὸς μολυσμός, παιδοκτονία, καὶ πάρα πολὺ σκληρὴ τραγωδία καὶ παρανομία, ποὺ δὲν συνέβηκε σὲ γυναῖκα, ἀλλὰ πρὸς τὴν ἱερότητα τοῦ ναοῦ. Αὐτὴν τὴν ἱστορία ἔπλεξε ὁ πονηρός.

Ἀφοῦ λοιπὸν ὁ μακάριος ρίχθηκε στὴ φυλακή, χαιρόταν βέβαια γιὰ τὰ δεσμά, πονοῦσε ὅμως φοβερὰ γιὰ τὴν ἀπώλεια ἐκείνου ποὺ τὸν φυλάκισε. Γιατὶ οὔτε ὁ πατέρας οὔτε καὶ ὁ διδάσκαλος αἰσθάνονται τὴ χαρὰ ἀπὸ τὴν πρόοδο ἀπηλλαγμένη ἀπὸ λύπη, ὅταν ἐξ αἰτίας τῆς μοχθηρίας καὶ τῶν κακῶν ἐνεργειῶν του διαλαλῆται τὸ ὄνομα τοῦ πατέρα ἐκ τοῦ υἱοῦ καὶ τοῦ διδασκάλου ἐκ τοῦ μαθητοῦ. Γι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος ἔλεγε στοὺς Κορινθίους· «εὐχόμαστε νὰ μὴ κάμετε κανένα κακό, ὄχι γιὰ νὰ μὴ φανοῦμε ἐμεῖς ἀποτυχημένοι, ἀλλὰ γιὰ κάμνετε σεῖς τὸ καλὸ καὶ ἐμεῖς ἂς φαινώμαστε ἀποτυχημένοι»[24]. Ἔτσι λοιπὸν τότε καὶ στὸν θαυμαστὸ ἐκεῖνο Βαβύλα ἦταν ἡ σωτηρία τοῦ μαθητοῦ πιὸ ποθητὴ ἀπὸ τὶς ἀμοιβὲς τοῦ δεσμωτηρίου, καὶ προτιμοῦσε νὰ τὸν σωφρονίση χάνοντας αὐτὸς τοὺς ἐπαίνους, ἢ καλύτερα οὔτε κἂν νὰ ἔπεφτε αὐτὸς ἀπὸ τὴν ἀρχὴ σ' αὐτὴ τὴ διαστροφή. Γιατὶ οἱ ἅγιοι δὲν θέλουν νὰ τοὺς πλέκωνται στεφάνια ἀπὸ τὶς συμφορὲς τῶν ξένων, καὶ ἂν δὲν θέλουν αὐτὸ νὰ γίνεται ἀπὸ τὶς συμφορὲς τῶν ξένων, πολὺ περισσότερο δὲν θέλουν νὰ πλέκωνται ἀπὸ τὰ κακὰ ποὺ συμβαίνουν στοὺς δικούς τους. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ μακάριος Δαυΐδ πενθοῦσε καὶ ἔκλαιγε μετὰ τὰ τρόπαια καὶ τὴν νίκη, γιατὶ ἡ νίκη αὐτὴ συνωδεύθηκε ἀπὸ τὴν ἧττα τοῦ υἱοῦ του. Καὶ στοὺς στρατηγοὺς ποὺ ἐξεστράτευσαν κατὰ τοῦ

ἐξιοῦσι στρατηγοῖς ἐπέσκηπτεν ὑπὲρ τοῦ τυράννου πολλὰ καὶ ἀνελεῖν αὐτὸν ἐπειγομένους ἐπεῖχε λέγων, «φείσασθε τοῦ παιδαρίου Ἀβεσσαλώμ», καὶ πεσόντα ἐπένθει καὶ ἀνεκαλεῖτο τὸν ἐχθρὸν μετὰ οἰμωγῶν καὶ δακρύων πικρῶν. Εἰ δὲ ὁ φυσικὸς πατὴρ οὕτω φιλόστοργος, πολλῷ μᾶλλον ὁ πνευματικός. Ὅτι γὰρ τῶν κατὰ σάρκα οἱ κατὰ πνεῦμα γονεῖς κηδεμονικώτεροι, τοῦ Παύλου λέγοντος ἄκουε, «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;».

Ἀλλὰ τοῦτο μὲν τὴν ἰσότητα παρίστησιν ἡμῖν, καίτοι γε μόλις ἂν πατέρες ταύτην ἀφήσαιεν τὴν φωνήν, ἀλλ' ὅμως συγχωρείσθω καὶ μέχρι τοσούτου φθάσαι αὐτούς· δεῖ δὲ τὸ πλέον ἐπιδεῖξαι λοιπόν. Πόθεν οὖν τοῦτο ἐπιδείξομεν; Ἀπὸ τῶν αὐτῶν σπλάγχνων πάλιν καὶ ἀπὸ τῶν τοῦ νομοθέτου ρημάτων. Τί δὲ ἐκεῖνός φησιν; «Εἰ μὲν ἀφίῃς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες, εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας». Οὐδεὶς δὲ ἂν ἕλοιτο πατήρ, παρὸν μυρίων ἀπολαύειν ἀγαθῶν, μετὰ τῶν τέκνων κολάζεσθαι· ὁ δὲ ἀπόστολος, ἅτε ἐν τῇ χάριτι πολιτευσάμενος, καὶ ταύτης ἐπίτασιν πεποίηται τῆς φιλοστοργίας διὰ τὸν Χριστόν. Οὐ γὰρ μετ' ἐκείνων κολάζεσθαι εἵλετο καθάπερ ἐκεῖνος, ἀλλ' ἵνα ἑτέροις σωθῆναι ἐκγένηται, αὐτὸς ἀπολέσθαι ηὔχετο λέγων, «ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα». Τοσαύτη εὐσπλαχνία καὶ φειδὼ παρὰ ταῖς τῶν ἁγίων ψυχαῖς. Ὅθεν καὶ οὗτος μειζόνως διεκόπτετο τὰ σπλάχνα τὴν ἀπώλειαν τοῦ βασιλέως περαιτέρω προϊοῦσαν ὁρῶν. Οὐδὲ γὰρ μόνον ὑπὲρ τοῦ νεὼ δακνόμενος ἔπραττεν ἅπερ ἔπραττεν, ἀλλὰ καὶ ὑπὸ τῆς πρὸς ἐκεῖνον εὐνοίας ἐπικαμπτόμενος. Ὁ μὲν γὰρ εἰς τὴν τοῦ Θεοῦ λειτουργίαν ὑβρίζων, ἐκείνην μὲν ἔβλαψεν οὐδέν, ἑαυτὸν δὲ μοιρίοις περιέπειρε κακοῖς.

11. Διόπερ ὁ φιλόπαις πατήρ, θεωρῶν κατὰ κρημνῶν ὠθούμενον τῷ θυμῷ τὸν ὑβριστήν, ἀνέχειν τὴν ἄλογον φορὰν ἐσπούδαζεν, ὥσπερ τινὰ δυσήνιον ἵππον, εἰς τοὐπίσω διὰ τῆς ἐπιπλήξεως ἀνα-

25. Β' Βασιλ. 18,5.
26. Β' Κορ. 11,29.
27. Ἔξοδ. 32,32.
28. Ρωμ. 9,3.

υἱοῦ του τοὺς συνιστοῦσε αὐστηρὰ νὰ εἶναι προσεκτικοὶ πρὸς τὸν ἐπαναστάτη, καὶ ἐνῶ αὐτοὶ βιάζονταν νὰ τὸν φονεύσουν, αὐτὸς τοὺς συγκρατοῦσε λέγοντας, «λυπηθῆτε τοῦ παιδί μου τὸν Ἀβεσσαλώμ»[25], καὶ ὅταν αὐτὸς φονεύθηκε ἐκεῖνος τὸν πενθοῦσε καὶ μὲ θρήνους πολλοὺς καὶ δάκρυα πικρὰ ἀναφωνοῦσε τὸ ὄνομα τοῦ ἐχθροῦ του. Ἂν λοιπὸν ὁ φυσικὸς πατέρας εἶναι τόσο φιλόστροργος, πολὺ περισσότερο εἶναι ὁ πνευματικός. Τὸ ὅτι οἱ πνευματικοὶ γονεῖς εἶναι πιὸ φιλόστοργοι ἀπὸ τοὺς σαρκικούς, ἄκουε τὸν Παῦλο ποὺ λέγει· «ποιός ἀσθενεῖ καὶ δὲν εἶμαι ἀσθενὴς καὶ ἐγώ; ποιός σκανδαλίζεται καὶ δὲν κατακαίομαι ἐγώ;»[26].

Ἀλλ' αὐτὸ βέβαια μᾶς δείχνει τὴν ἰσότητα τῆς φροντίδας, ἂν καὶ δύσκολα οἱ σαρκικοὶ πατέρες θὰ μιλοῦσαν ἔτσι, ἀλλ' ὅμως ἂς δεχθοῦμε ὅτι φθάνουν αὐτοὶ μέχρι ἐδῶ· πρέπει ὅμως νὰ δείξω τώρα τὴν ἐπὶ πλέον φροντίδα. Ἀπὸ ποῦ λοιπὸν θὰ τὴν δείξω; Ἀπὸ τὰ ἴδια σπλάγχνα καὶ πάλι καὶ ἀπὸ τὰ λόγια τοῦ νομοθέτη. Καὶ τί λέγει ἐκεῖνος; «ἂν συγχωρήσης τὴν ἁμαρτία τους, συγχώρησέ την, ἀλλιῶς σβῆσε καὶ μένα ἀπὸ τὸ βιβλίο σου στὸ ὁποῖο μὲ ἔγραψες»[27]. Κανένας πατέρας, ποὺ ἔχει καὶ ἀπολαμβάνει ἄπειρα ἀγαθά, δὲν θὰ προτιμοῦσε νὰ τιμωρηθῆ μαζὶ μὲ τὰ παιδιά του, ἐνῶ ὁ ἀπόστολος, ποὺ ἔζησε στὴν ἐποχὴ τῆς χάριτος, καὶ αὐτὴν τὴν φιλοστοργία τὴν δείχνει γιὰ χάρη τοῦ Χριστοῦ σὲ πολὺ πιὸ μεγαλύτερο βαθμό. Γιατὶ δὲν προτιμοῦσε νὰ τιμωρηθῆ μαζὶ μὲ ἐκείνους ὅπως ἀκριβῶς ὁ Μωϋσῆς, ἀλλὰ γιὰ νὰ μπορέση νὰ σώση ἄλλους, εὐχόταν ὁ ἴδιος νὰ χαθῆ, λέγοντας· «θὰ εὐχόμουν ἐγὼ νὰ γίνω ἀνάθεμα καὶ νὰ βρεθῶ μακριὰ ἀπὸ τὸν Χριστὸ γιὰ χάρη τῶν ἀδελφῶν μου, τῶν κατὰ σάρκα συγγενῶν μου»[28]. Τόση εὐσπλαγχνία καὶ φροντίδα ὑπάρχει στὶς ψυχὲς τῶν ἁγίων. Γι' αὐτὸ καὶ αὐτὸς ἔνιωθε νὰ κατακαίωνται τὰ σπλάχνα του ἀπὸ τὴ λύπη, βλέποντας τὴν ἀπώλεια τοῦ βασιλέως νὰ προχωρῆ παρὰ πέρα. Καθ' ὅσον ἐκεῖνα ποὺ ἔκαμνε δὲν τὰ ἔκαμνε ἀπὸ ἀγανάκτηση μόνο ὑπὲρ τοῦ ναοῦ, ἀλλὰ ὠθούμενος καὶ ἀπὸ τὴ συμπάθεια πρὸς τὸν βασιλέα. Γιατὶ ἐκεῖνος δείχνοντας μὲ τὴν πράξη του περιφρόνηση πρὸς τὴ λατρεία τοῦ Θεοῦ σὲ τίποτε αὐτὴν δὲν τὴν ἔβλαψε, ἐνῶ τὸν ἑαυτό του τὸ περιέβαλε μὲ ἄπειρα κακά.

11. Γι' αὐτὸ καὶ ὁ φιλότεκνος πατέρας, βλέποντας τὸν ὑβριστὴ βασιλέα νὰ ὁδηγῆται ἀπὸ τὸ θυμό του πρὸς τὸν γκρεμό, φρόντιζε νὰ σταματήση τὴν παράλογη ὁρμή, σὰν νὰ εἶχε κάποιο δυσκολοχα-

κρούσασθαι σπεύδων αὐτόν. Ἀλλ' οὐκ εἴασεν ἐκεῖνος ὁ δείλαιος, ἀλλὰ τὸν χαλινὸν ἐνδακὼν καὶ ἀντιτείνας καὶ θυμῷ καὶ μανίᾳ ἀντὶ τῶν ὀρθῶν λογισμῶν ἑαυτὸν ἐκδούς, εἰς τὰ βάραθρα τῆς ἐσχάτης ἀπωλείας ἐνέβαλε· καὶ τὸν ἅγιον τοῦ δεσμωτηρίου ἐξαγαγὼν τὴν ἐπὶ θανάτῳ ἀπαχθῆναι δεδεμένον ἐκέλευσε. Καὶ ἦν ἐναντία τῶν δρωμένων τὰ δρώμενα. Ὁ μὲν δεδεμένος πάντων ὁμοῦ τῶν δεσμῶν ἐλύετο καὶ τῶν ἀπὸ τοῦ σιδήρου καὶ τῶν ἔτι σφοδροτέρων, φροντίδων λέγω καὶ πόνων καὶ τῶν ἄλλων ἁπάντων τῶν διὰ τὸν ἐπίκηρον βίον περιισταμένων ἡμᾶς. Ὁ δὲ λελύσθαι δοκῶν καὶ σιδήρου καὶ ἀδάμαντος, ἑτέροις περιεβάλλετο δεσμοῖς, ταῖς σειραῖς τῶν ἁμαρτιῶν ἐπισφιγγόμενος.

Μέλλων τοίνυν ὁ μακάριος ἀποσφάττεσθαι ἐκεῖνος, μετὰ τοῦ σιδήρου τὸ σῶμα ταφῆναι ἐπέσκηψε, δεικνὺς ὅτι τὰ δοκοῦντα ἐπονείδιστα εἶναι, ταῦτα ὅταν διὰ τὸν Χριστὸν γένηται, σεμνά τέ ἐστι καὶ λαμπρὰ καὶ οὐ μόνον οὐκ ἐγκαλύπτεσθαι, ἀλλὰ καὶ σεμνύνεσθαι ἐπ' αὐτοῖς χρὴ τὸν πάσχοντα· κἀν τούτῳ τὸν μακάριον Παῦλον μιμούμενος, ὃς ἄνω καὶ κάτω τὰ στίγματα, τὰ δεσμά, τὴν ἅλυσιν ἔστρεφε, καυχώμενος καὶ μέγα φρονῶν, ἐφ' οἷς ᾐσχύνοντο ἕτεροι. Ὅτι γὰρ ᾐσχύνοντο, δῆλον ἡμῖν αὐτὸς ἐποίησε διὰ τῆς πρὸς τὸν Ἀγρίππαν γενομένης ἀπολογίας αὐτῷ. Λέγοντος γὰρ ἐκείνου, «ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι», ὁ Παῦλος εἶπεν, «ηὐξάμην ἂν τῷ Θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σέ, ἀλλὰ καὶ τοὺς περιεστῶτας γενέσθαι Χριστιανούς, χωρὶς τῶν δεσμῶν τούτων»· οὐκ ἂν τοῦτο προσθείς, εἰ μὴ τὸ πρᾶγμα ἐπονείδιστον εἶναι ἐδόκει τοῖς πολλοῖς. Φιλοδέσποτοι γὰρ ὄντες οἱ ἅγιοι, τὰ ὑπὲρ τοῦ Δεσπότου πάθη μετὰ πολλῆς ἐδέχοντο τῆς προθυμίας καὶ φαιδρότεροι τούτοις ἐγίνοντο. Καὶ ὁ μέν φησι, «χαίρω ἐν τοῖς παθήμασί μου», ὁ δὲ Λουκᾶς περὶ τοῦ λοιποῦ τῶν ἀποστόλων χοροῦ τὰ αὐτὰ δὴ ταῦτα φθέγγεται· μετὰ γὰρ τὰς πολλὰς μάστιγας ἀνεχώ-

29. Γαλ. 6,17.
30. Β' Τιμ. 2,9. Φιλιπ. 1,7. 13. 16. Κολ. 4,18 κ.ἅ.
31. Ἐφεσ. 6,20. Β' Τιμ. 1,16.
32. Πράξ. 26,28–29.

λίνωτο ἄλογο, προσπαθώντας μὲ τὴν ἐπίπληξη νὰ τὸν γυρίση πρὸς τὰ πίσω. Ὅμως ὁ ἄθλιος ἐκεῖνος δὲν ἄφησε νὰ γίνη αὐτό, ἀλλὰ ἀφοῦ δάγκωσε τὸ χαλινάρι, αὔξησε τὴν ἀντίσταση καὶ παρέδωσε τὸν ἑαυτό του στὸ θυμὸ καὶ στὴ μανία καὶ ὄχι στοὺς ὀρθοὺς λογισμούς, τὸν ἔρριξε στὰ βάραθρα τῆς χειρότερης μορφῆς ἀπωλείας. Ἀφοῦ ἔβγαλε δηλαδὴ τὸν ἅγιο ἀπὸ τὴ φυλακή, διέταξε δεμένος νὰ ὁδηγηθῆ στὸν τόπο τοῦ θανάτου. Καὶ ἦταν ἀντίθετα ἀπὸ τὰ βλεπόμενα ἐκεῖνα ποὺ συνέβαιναν. Ὁ δεμένος δηλαδὴ ἅγιος μονομιᾶς λυόταν ἀπ' ὅλα τὰ δεσμά, καὶ ἀπὸ τὰ σιδερένια καὶ ἀπὸ τὰ πολὺ χειρότερα ἀπὸ αὐτά, ἐννοῶ τὶς φροντίδες καὶ τοὺς πόνους καὶ ὅλα τὰ ἄλλα ποὺ μᾶς περιβάλλουν στὴν ἐδῶ φθαρτὴ ζωή μας, ἐνῶ ὁ βασιλεύς, ποὺ νόμιζε ὅτι εἶναι ἐλεύθερος ἀπὸ δεσμὰ σιδερένια καὶ ἀδαμάντινα, περιβαλλόταν ἀπὸ ἄλλα δεσμά, περισφιγγόμενος ἀπὸ τὴν ἁλυσίδα τῶν ἁμαρτιῶν.

Ἐπειδὴ λοιπὸν ὁ μακάριος ἐπρόκειτο νὰ πεθάνη διὰ σφαγῆς, παρεκάλεσε νὰ ταφῆ τὸ σῶμα του μὲ τὰ δεσμά, γιὰ νὰ δείξη, ὅτι ἐκεῖνα ποὺ θεωροῦνται ἐπονείδιστα, αὐτά, ὅταν γίνωνται γιὰ τὸν Χριστό, εἶναι καὶ σεμνὰ καὶ λαμπρά, καὶ ἐκεῖνος ποὺ τὰ παθαίνει ὄχι μόνο πρέπει νὰ μὴ ντρέπεται, ἀλλὰ καὶ νὰ νιώθη ὑπερηφάνεια γι' αὐτά, μιμούμενος καὶ ὡς πρὸς αὐτὸ τὸν μακάριο Παῦλο, ὁ ὁποῖος παντοῦ καὶ σὲ κάθε στιγμὴ διεκήρυττε τὰ στίγματα[29], τὰ δεσμά[30] καὶ τὴν ἁλυσίδα[31], καυχώμενος καὶ ὑπερηφανευόμενος γι' αὐτά, γιὰ τὰ ὁποῖα ἄλλοι ἔνιωθαν ντροπή. Γιατὶ τὸ ὅτι αἰσθάνονταν ντροπὴ μᾶς τὸ φανέρωσε ὁ ἴδιος μὲ τὴν ἀπολογία του ἐνώπιον τοῦ Ἀγρίππα. Ὅταν δηλαδὴ ἐκεῖνος τοῦ εἶπε, «λίγο ἀκόμη καὶ μὲ πείθεις νὰ γίνω Χριστιανός», ὁ Παῦλος ἀπάντησε· «θὰ εὐχόμουν στὸ Θεὸ εἴτε σὲ λίγο εἴτε σὲ πολὺ χρόνο, ὄχι μόνο σύ, ἀλλὰ καὶ ὅλοι ὅσοι εἶναι ἐδῶ παρόντες νὰ γίνετε Χριστιανοί, χωρὶς νὰ φορέσετε αὐτὲς τὶς ἁλυσίδες»[32]. Καὶ δὲν θὰ πρόσθετε τὰ δεσμά, ἂν δὲν θεωροῦνταν ἀπὸ τοὺς πολλοὺς τὸ πρᾶγμα ἐπονείδιστο. Γιατὶ οἱ ἅγιοι, τρέφοντας ἀγάπη πρὸς τὸ Δεσπότη, μὲ πολλὴ προθυμία δέχονταν νὰ ὑποστοῦν τὰ παθήματα γιὰ χάρη αὐτοῦ, καὶ ἔνιωθαν χαρὰ γι' αὐτά. Καὶ ὁ Παῦλος λέγει, «χαίρομαι γιὰ τὰ παθήματά μου»[33], ἐνῶ ὁ Λουκᾶς τὰ ἴδια περίπου λέγει γιὰ τὸ χορὸ τῶν ἄλλων Ἀποστόλων· μετὰ τὰ πολλὰ μα-

33. Κολ. 1,24.

ρουν, φησί, χαίροντες, «ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι».

Ἵν' οὖν μή τις τῶν ἀπίστων ἀνάγκης εἶναι νομίσῃ τοὺς ἄθλους καὶ κατηφείας, αὐτὰ τῶν ἄθλων τὰ σύμβολα συνταφῆναι κελεύει τῷ σώματι, δεικνὺς ὅτι λίαν αὐτὰ ἠσπάζετο καὶ ἐφίλει, διὰ τὸ λίαν ἐκκρεμᾶσθαι τῆς ἀγάπης τοῦ Χριστοῦ. Καὶ κεῖνται νῦν μετὰ τῆς τέφρας αἱ πέδαι πᾶσι παραινοῦσαι τοῖς τῶν Ἐκκλησιῶν προεστῶσι, κἂν δεθῆναι δέῃ, κἂν σφαγῆναι, κἂν ὁτιοῦν παθεῖν, πάντα προθύμως καὶ μετὰ πολλῆς ὑπομένειν τῆς ἡδονῆς, ὥστε τῆς ἐμπιστευθείσης ἡμῖν ἐλευθερίας μηδὲ τὸ τυχὸν προδοῦναι καὶ καταισχῦναι μέρος. Καὶ ὁ μὲν μακάριος ἐκεῖνος οὕτω λαμπρῶς τὸν βίον κατέλυσε· τάχα δέ τις καὶ ἡμᾶς οἴεται ἐνταῦθα καταλύσειν τὸν λόγον· μετὰ γὰρ τὴν τοῦ βίου τελευτὴν οὐκ εἶναι λοιπὸν κατορθωμάτων οὐδὲ ἀνδραγαθίας ἀφορμάς, ὥσπερ οὐδὲ τοῖς ἀθληταῖς μετὰ τὸ παρελθεῖν τοὺς ἀγῶνας στεφάνους πλέκεσθαι δυνατόν. Ἀλλ' Ἕλληνες μὲν εἰκότως ταῦτα νομίζουσιν, ἐπειδὴ καὶ μέχρι τοῦ παρόντος βίου τὴν ἐλπίδα συνέκλεισαν αὐτῶν· ἡμεῖς δέ, οἷς ἑτέρας ζωῆς φαιδροτέρας ἀρχὴ ἡ ἐνθάδε γίνεται τελευτή, ταύτης ἀφεστήκαμεν τῆς ὑπονοίας καὶ δόξης. Καὶ ὅτι δικαίως, σαφέστερον μὲν καὶ ἐν ἑτέρῳ δείξομεν λόγῳ· τέως δὲ καὶ τὰ μετὰ τὴν τελευτὴν τῷ γενναίῳ κατορθωθέντα Βαβύλᾳ ἱκανὰ πίστιν μεγάλην τῷ λόγῳ παρασχεῖν.

Ἐπειδὴ γὰρ ἕως θανάτου περὶ τῆς ἀληθείας ἠγωνίσατο καὶ μέχρις αἵματος ἀντικατέστη πρὸς τὴν ἁμαρτίαν μαχόμενος καὶ ὥστε μὴ ἀφεῖναι τὴν τάξιν, ἣν ἔταξεν αὐτὸν ὁ μέγας Βασιλεύς, ἀφῆκε τὴν ψυχὴν καὶ παντὸς ἀριστέως λαμπρότερον ἐτελεύτησεν, αὐτὸν μὲν εἶχε λοιπὸν ὁ οὐρανός, τὸ δὲ σῶμα τὸ πρὸς τὴν ἀριστείαν διακονησάμενον ἡ γῆ καὶ διενείματο ἡ κτίσις τὸν ἀθλητήν. Καίτοι γε ἐνῆν καὶ μετατεθῆναι αὐτὸν κατὰ τὸν Ἐνὼχ καὶ ἁρπαγῆναι κατὰ τὸν Ἠλίαν, οὓς ἐζήλωσεν· ἀλλ' ὁ Θεὸς φιλάνθρωπος ὢν καὶ μυρίας ἡμῖν τοῦ σώζεσθαι προφάσεις διδοὺς καὶ ταύτην μετὰ

34. Πράξ. 5,41.

στιγώματά τους, λέγει, ἔφευγαν γεμᾶτοι χαρά, «γιατὶ ἀξιώθηκαν ν' ἀτιμασθοῦν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ»[34].

Γιὰ νὰ μὴ νομίση λοιπὸν κάποιος ἀπὸ τοὺς ἀπίστους, ὅτι τὰ κατορθώματα αὐτὰ ἔγιναν κατ' ἀνάγκη καὶ μὲ λύπη, παρακαλεῖ τὰ σύμβολα αὐτὰ τῶν κατορθωμάτων νὰ ταφοῦν μαζὶ μὲ τὸ σῶμα του, γιὰ νὰ δείξη ὅτι τὰ ἀποδεχόταν καὶ τ' ἀγαποῦσε πάρα πολύ, ἐπειδὴ πήγαζαν ἀπὸ τὴν ἀγάπη του πρὸς τὸν Χριστό. Καὶ σώζονται σήμερα μαζὶ μὲ τὴν τέφρα καὶ οἱ χειροπέδες, προτρέποντας ὅλους τοὺς προϊσταμένους τῶν Ἐκκλησιῶν, ἂν χρειασθῆ νὰ δεθοῦν ἢ νὰ σφαγοῦν ἢ νὰ πάθουν ὁ,τιδήποτε ἄλλο, ὅλα νὰ τὰ ὑπομένουν μὲ προθυμία καὶ μεγάλη εὐχαρίστηση, ὥστε οὔτε κατὰ τὸ ἐλάχιστο μέρος νὰ προδώσουν καὶ νὰ ντροπιάσουν τὴν ἐλευθερία ποὺ μᾶς ἐμπιστεύθηκε ὁ Χριστός. Ὢ μακάριος λοιπὸν ἐκεῖνος μὲ τέτοιο λαμπρὸ τρόπο τερμάτισε τὴ ζωή του καὶ ἴσως νομίση κάποιος ὅτι καὶ ἐγὼ θὰ τελειώσω ἐδῶ τὸν λόγο, γιατὶ μετὰ θάνατο δὲν ὑπάρχουν πλέον ἀφορμὲς γιὰ κατορθώματα καὶ ἀνδραγαθίες, ὅπως ἀκριβῶς δὲν εἶναι δυνατὸ στοὺς ἀθλητὲς νὰ δημιουργήσουν ἀφορμὲς γιὰ στεφάνια μετὰ τὸ τέλος τῶν ἀγώνων. Οἱ Ἐθνικοὶ βέβαια φυσικὸ εἶναι νὰ ἔχουν αὐτὴ τὴ γνώμη, ἐπειδὴ περιορίζουν τὴν ἐλπίδα τους στὰ ὅρια αὐτῆς ἐδῶ τῆς ζωῆς, ἐμεῖς ὅμως, γιὰ τοὺς ὁποίους ὁ ἐδῶ θάνατος γίνεται ἀρχὴ μιᾶς ἄλλης λαμπρότερης ζωῆς, ἀπορρίπτομε τὴν ὑπόνοια αὐτὴ καὶ γνώμη. Καὶ ὅτι σωστὰ τὸ κάμνομε αὐτὸ θὰ τὸ ἀποδείξω σαφέστερα σὲ μιὰ ἄλλη ὁμιλία μου, τώρα ὅμως καὶ τὰ κατορθώματα μετὰ τὸν θάνατο τοῦ ἁγίου Βαβύλα εἶναι ἀρκετὰ νὰ κάνουν πιστευτὸ τὸν λόγο μου.

Ἐπειδὴ λοιπὸν ἀγωνίσθηκε μέχρι θανάτου γιὰ τὴν ἀλήθεια καὶ ἔχυσε τὸ αἷμα του ἀγωνιζόμενος κατὰ τῆς ἁμαρτίας, καὶ γιὰ νὰ μὴ ἐγκαταλείψη τὴ θέση στὴν ὁποία τὸν τοποθέτησε ὁ μέγας Βασιλεὺς θυσίασε τὴ ζωή του καὶ πέθανε λαμπρότερα ἀπὸ ὁποιονδήποτε ἄριστο ἀγωνιστή, γι' αὐτὸ αὐτὸν βέβαια τὸν κράτησε ὁ οὐρανός, ἐνῶ τὸ σῶμα του, ποὺ ὑπηρέτησε στὸν ἄριστο αὐτὸ ἀγῶνα, τὸ κράτησε ἡ γῆ, καὶ ἔτσι ἡ κτίση διαμοιράσθηκε τὸν ἀθλητή. Ἂν καὶ βέβαια ἦταν δυνατὸ νὰ μετατεθῆ, ὅπως ὁ Ἐνώχ, μὲ τὸ σῶμα του στοὺς οὐρανοὺς καὶ ν' ἁρπαγῆ ἀπὸ αὐτούς, ὅπως ὁ Ἠλίας, τοὺς ὁποίους μιμήθηκε μὲ ζῆλο. Ἀλλ' ὁ Θεός, ὄντας φιλάνθρωπος καὶ παρέχοντάς μας μύριες ἀφορμὲς σωτηρίας, μᾶς ἄνοιξε μαζὶ μὲ τοὺς

τῶν ἄλλων διέτεμεν ἡμῖν τὴν ὁδόν, ἱκανὴν παρακαλέσαι πρὸς ἀρετήν, τὰ τῶν ἁγίων λείψανα παρ' ἡμῖν τέως ἀφείς. Μετὰ γὰρ τὴν διὰ τοῦ λόγου δύναμιν, δευτέραν ἔχουσι τάξιν οἱ τῶν ἁγίων τάφοι, πρὸς τὸ διεγείρειν εἰς τὸν ἴσον ζῆλον τὰς τῶν θεωμένων αὐτοὺς ψυχάς· καὶ εἴπου τις ἐπιστῇ θήκῃ τοιαύτῃ καὶ τῆς ἐνεργείας εὐθέως ταύτης σαφῆ λαμβάνει τὴν αἴσθησιν. Ἡ γὰρ ὄψις τῆς λάρνακος εἰς τὴν ψυχὴν ἐμπίπτουσα καταπλήττει τε αὐτὴν καὶ διανίστησι καὶ ὡς αὐτοῦ τοῦ κειμένου συνευχομένου καὶ παρεστῶτος καὶ ὁρωμένου, οὕτως αὐτὴν διακεῖσθαι ποιεῖ. Εἶτα προθυμίας πολλῆς ὁ τοῦτο παθὼν πληρωθεὶς καὶ ἕτερος ἀνθ' ἑτέρου γενόμενος, οὕτως ἐκεῖθεν ἀπέρχεται.

Μάθοι δ' ἄν τις καλῶς, ὡς ἡ φαντασία τῶν ἀπελθόντων ἀπὸ τῶν τόπων ἐγγίνεται ταῖς τῶν ζώντων ψυχαῖς, εἰς νοῦν τοὺς πενθοῦντας λαβών, οἳ ἅμα τε τοῖς τῶν τεθνηκότων τάφοις ἐφίστανται καὶ ὥσπερ ἀντὶ τῆς θήκης τοὺς ἐν τῇ θήκῃ κειμένους ἑστῶτας ἰδόντες, οὕτως αὐτοὺς ἀπὸ τῶν προθύρων εὐθέως ἀνακαλοῦσι. Πολλοὶ δὲ τῶν ἀφορήτως πρὸς τὰ πάθη διατεθέντων, παρὰ τοῖς μνήμασι τῶν ἀπελθόντων τὸν ἅπαντα κατῴκισαν ἑαυτοὺς χρόνον, οὐκ ἂν τοῦτο ποιήσαντες, εἰ μή τινα παραμυθίαν ἀπὸ τῆς τῶν τόπων ἐλάμβανον ὄψεως. Καὶ τί λέγω τόπον καὶ τάφον; καὶ γὰρ ἱμάτιον μόνον πολλάκις τῶν ἀπελθόντων ὀφθὲν καὶ ῥῆμα εἰς διάνοιαν ἐλθόν, διήγειρε τὴν ψυχὴν καὶ τὴν μνήμην ἀνέστησε διαπίπτουσαν. Διὰ ταῦτα ἡμῖν τὰ λείψανα τῶν ἁγίων ἀφῆκεν ὁ Θεός.

12. Καὶ ὅτι οὐχ ἁπλῶς κομπάζων ταῦτα λέγω νῦν, ἀλλὰ πρὸς ὠφέλειαν τὴν ἡμετέραν τοῦτο γεγένηται, ἱκανὰ μὲν τὸν λόγον πιστώσασθαι καὶ τὰ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν μαρτύρων γινόμενα θαύματα καὶ τὸ πλῆθος τῶν οὕτως ἐπιτρεχόντων ἀνδρῶν· οὐχ ἧττον δὲ ἐκείνων καὶ τὰ τοῦ μακαρίου τούτου κατορθώματα τὰ μετὰ τὴν τελευτήν. Ἐπειδὴ γὰρ ἐτάφη καθὼς ἐπέσκηψε καὶ χρόνος παρῆλθε μακρὸς μετὰ τὴν ταφήν, ὡς ὀστᾶ λιπέσθαι μόνον καὶ κόνιν ἐν τῇ σορῷ, ἔδοξέ τινι τῶν μετὰ ταῦτα βασιλευσάντων, εἰς τὸ προάστειον τοῦτο τὴν Δάφνην ἀπενεχθῆναι τὴν λάρνακα, ἔδοξε δὲ

ἄλλους καὶ αὐτὸν τὸν δρόμο, ποὺ εἶναι ἱκανὸς νὰ μᾶς ὁδηγήση στὴν ἀρετή, ἀφήνοντάς μας μέχρι καὶ τώρα τὰ λείψανα τῶν ἁγίων. Γιατὶ μετὰ τὴ δύναμη τοῦ κηρύγματος τὴ δεύτερη θέση ἔχουν οἱ τάφοι τῶν ἁγίων, στὸ νὰ διεγείρουν σὲ ἴσο ζῆλο πρὸς αὐτοὺς τὶς ψυχὲς ἐκείνων ποὺ πηγαίνουν καὶ τοὺς βλέπουν, καὶ ἂν κάπου παρουσιασθῆ μιὰ τέτοια λειψανοθήκη, ἀμέσως οἱ ψυχὲς αἰσθάνονται ὁλοφάνερα τὶς θαυμαστὲς ἐνέργειες αὐτῆς. Γιατὶ ἡ θέα τῆς λειψανοθήκης, ἀσκώντας τὴν ἐπίδρασή της στὴν ψυχή, τὴν καταπλήσσει καὶ τὴν διεγείρει, δημιουργώντας τὴ συναίσθηση ὅτι ὁ μάρτυρας ποὺ βρίσκεται μέσα σ' αὐτὴν προσεύχεται μαζί του, εἶναι παρὼν καὶ βλέπει τὰ ὅσα γίνονται. Ἔτσι αὐτὸς ποὺ δέχθηκε τὴν ἐπίδραση αὐτὴ φεύγει ἀπὸ ἐκεῖ γεμᾶτος ἀπὸ πολλὴ προθυμία καὶ γίνεται ἐντελῶς ἄλλος ἄνθρωπος.

Καὶ θὰ μποροῦσε κανεὶς ν' ἀντιληφθῆ καλά, ὅτι οἱ τάφοι βοηθοῦν τοὺς ζῶντες νὰ δοῦν ἐκείνους ποὺ ἔχουν πεθάνει, ἂν φέρη στὸ νοῦ του ἐκείνους ποὺ πενθοῦν, οἱ ὁποῖοι, ὅταν πηγαίνουν στοὺς τάφους τῶν νεκρῶν τοὺς φωνάζουν ἀπὸ τὰ πρόθυρα ἀκόμη μὲ τὰ ὀνόματά τους, σὰν νὰ βλέπουν ἀντὶ τῆς λειψανοθήκης τοὺς νεκροὺς νὰ στέκουν ὄρθιοι. Πολλοὶ πάλι ποὺ καταλήφθηκαν ἀπὸ πάθος ἀφόρητο πῆγαν καὶ ἐγκαταστάθηκαν μόνιμα στὰ μνήματα τῶν νεκρῶν, καὶ δὲν θὰ τὸ ἔκαμναν αὐτό, ἂν δὲν ἔνιωθαν κάποια παρηγοριὰ ἀπὸ τὴ θέα τῶν τάφων. Καὶ γιατί λέγω ἀπὸ τὸν τόπο καὶ τὸν τάφο; Καθ' ὅσον πολλὲς φορὲς ἡ θέα μόνο ἑνὸς ἐνδύματος τῶν ἀποθανόντων καὶ ἡ ἀνάμνηση ἑνὸς λόγου τους, διήγειρε τὴν ψυχὴ καὶ ἐνδυνάμωσε τὴν ἐξασθενημένη μνήμη. Γι' αὐτὸ ὁ Θεὸς μᾶς ἄφησε τὰ λείψανα τῶν ἁγίων.

12. Καὶ ὅτι δὲν σᾶς τὰ λέγω τώρα αὐτὰ ἁπλῶς ἀπὸ κομπασμό, ἀλλὰ λέγονται γιὰ δική σας ὠφέλεια, εἶναι βέβαια ἱκανὰ νὰ ἐπιβεβαιώσουν τὰ λεγόμενά μου καὶ τὰ θαύματα ποὺ γίνονται καθημερινὰ ἀπὸ τοὺς μάρτυρες καὶ τὸ πλῆθος τῶν ἀνθρώπων ποὺ προστρέχουν σ' αὐτούς, ὄχι λιγότερο ὅμως καὶ τὰ κατορθώματα τοῦ μακαρίου αὐτοῦ ἀνδρὸς μετὰ τὸν θάνατό του. Ἀφοῦ δηλαδὴ τάφηκε, ὅπως εἶχε ζητήσει, καὶ πέρασε ἀρκετὸς χρόνος μετὰ τὴν ταφή του, ὥστε ν' ἀπομείνουν στὴ σωρὸ ὀστᾶ μόνο καὶ σκόνη, ἀποφάσισε κάποιος ἀπὸ τοὺς μετέπειτα βασιλεῖς νὰ μεταφερθῆ ἡ λειψανοθήκη στὸ προάστειο αὐτὸ τῆς Δάφνης, καὶ πῆρε ὁ βασιλεὺς τὴν ἀπόφαση

τοῦ Θεοῦ πρὸς τοῦτο κινήσαντος τὴν τοῦ βασιλέως ψυχήν. Ὡς γὰρ εἶδε τὸ χωρίον ὑπὸ τῆς τῶν νέων ἀσελγείας τυραννούμενον καὶ κινδυνεῦον ἄβατον εἶναι τοῖς σεμνοτέροις καὶ ἐπιεικῶς βουλομένοις βιοῦν, ἐλεήσας αὐτὸ τῆς ἐπηρείας, ἔπεμψε τὸν ἀμυνοῦντα τὴν ὕβριν. Ὁ μὲν γὰρ Θεὸς αὐτὸ καλόν τε καὶ ἐπέραστον εἰργάσατο καὶ τῇ τῶν ὑδάτων ἀφθονίᾳ καὶ ὥρᾳ καὶ τῇ φύσει τῆς γῆς καὶ τῇ τῶν ὡρῶν εὐμοιρίᾳ οὐχ ἵνα ἁπλῶς ἀναπαυώμεθα, ἀλλ' ἵνα καὶ ὑπὲρ τούτου τὸν ἀριστοτέχνην δοξάζωμεν· ὁ δὲ τῆς σωτηρίας ἡμῶν ἐχθρὸς καὶ εἰς τοὐναντίον ἀεὶ καταχρώμενος ταῖς τοῦ Θεοῦ δωρεαῖς, τῷ πλήθει τῶν διεφθαρμένων νέων καὶ ταῖς τῶν δαιμόνων οἰκήσεσι τὸ χωρίον προκαταλαβών, ἐπεφήμισεν αὐτῷ τινα καὶ μῦθον αἰσχρόν, ὥστε ἀναθεῖναι διὰ τούτου τῷ δαίμονι τοῦ προαστείου τὴν χάριν· ὁ δε μῦθος τοιοῦτος ἦν.

Τὴν Δάφνην κόρην οὖσάν φησι, καὶ θυγατέρα τοῦ Λάδωνος ποταμοῦ· καὶ γὰρ ποταμοὺς γεννῶντας εἰσάγειν καὶ τὰ γεννώμενα εἰς ἀναίσθητα μεταβάλλειν καὶ πολλὰ τοιαῦτα αὐτῷ τερατεύεσθαι ἔθος ἀεὶ τοῖς πλανωμένοις. Ταύτην οὖν τὴν κόρὴν εὔμορφον οὖσαν ἰδεῖν ποτε τὸν Ἀπόλλω φασὶ καὶ ἰδόντα παθεῖν τι πρὸς αὐτὴν καὶ παθόντα διώκειν ὥστε ἑλεῖν· τὴν δὲ φεύγειν καὶ φεύγουσαν ἐπιστῆναί τε τῷ προαστείῳ· καὶ τὴν μητέρα τὴν ὕβριν ἀμῦναι ταύτην αὐτῇ, διαστῆναί τε γὰρ εὐθέως καὶ δέξασθαι τὴν παρθένον καὶ ἀντὶ τῆς παιδὸς ἀναδοῦναι φυτὸν ἐπώνυμον τῇ παιδί· τὸν δὲ ἀκόλαστον ἐραστὴν ἀποτυχόντα τῶν παιδικῶν, περιπλακῆναί τε τῷ δένδρῳ καὶ οἰκειώσασθαι καὶ τὸ φυτὸν καὶ τὸν τόπον καὶ προσεδρεύειν τῷ χωρίῳ λοιπὸν καὶ τοῦτο πάσης τῆς γῆς μάλιστα ἀσπάζεσθαι καὶ φιλεῖν· κελεῦσαί τε τὸ βασιλεύοντα τότε, νεὼν αὐτῷ δείμασθαι καὶ βωμόν, ἵν' ἔχῃ παραμυθεῖσθαι διὰ τοῦ τόπου τὴν μανίαν ὁ δαίμων. Καὶ ὁ μὲν μῦθος οὗτος, ἡ δὲ ἀπὸ τοῦ μύθου γενομένη βλάβη οὐκέτι μῦθος ἦν.

Ἐπειδὴ γὰρ οἱ τῶν νέων ἀκόλαστοι φθάσαντες, ὅπερ ἔφην,

αὐτὴ ἐπειδὴ τὸν παρακίνησε γι' αὐτὸ ὁ Θεός. Μόλις δηλαδὴ ἀντιλήφθηκε, ὅτι τὸ χωριὸ ταλαιπωροῦνταν ἀπὸ τὶς ἀσέλγειες τῶν νέων καὶ κινδύνευε νὰ καταστῇ ἀπλησίαστο ἀπὸ τοὺς σοβαρώτερους ἀνθρώπους καὶ ἀπὸ ἐκείνους ποὺ ἤθελαν νὰ ζοῦν μιὰ σωστὴ ζωή, θέλοντας νὰ τὸ σώσῃ ἀπὸ τὴν κακὴ αὐτὴ ἐπίδραση, ἔστειλε ἐκεῖνον ποὺ θὰ τὸ προστάτευε ἀπὸ τὴν προσβολή. Γιατὶ ὁ Θεὸς ἔκαμε τὸ χωριὸ αὐτὸ ὡραῖο καὶ ἑλκυστικὸ καὶ ἐξ αἰτίας τῆς ἀφθονίας τῶν ὑδάτων καὶ ἐξ αἰτίας τοῦ κλίματος καὶ ἐξ αἰτίας τῆς φυσικῆς διαμορφώσεώς του καὶ ἐξ αἰτίας τῆς ἠπιότητας τῶν ἐποχῶν, ὄχι ἁπλῶς γιὰ ν' ἀναπαυώμαστε, ἀλλὰ καὶ γιὰ νὰ δοξάζουμε γι' αὐτὸ τὸν ἀριστοτέχνη Θεό. Ὅμως ὁ ἐχθρὸς τῆς σωτηρίας μας ποὺ χρησιμοποιεῖ πάντοτε στὸ ἀντίθετο τὶς δωρεὲς τοῦ Θεοῦ, ἀφοῦ κυρίευσε τὸ χωριὸ μὲ τὸ πλῆθος τῶν διαφθαρμένων καὶ μὲ τὴν κατοίκηση ἐκεῖ τῶν δαιμόνων, ἔπλασε καὶ διέδωσε γι' αὐτὸ καὶ ἕνα μῦθο αἰσχρό, ὥστε μὲ αὐτὸν νὰ ἀποδώσῃ στὸν διάβολο τὰ πλεονεκτήματα τοῦ προαστείου. Καὶ ὁ μῦθος αὐτὸς εἶναι ὁ ἑξῆς.

Ἡ Δάφνη, λέγει, ἦταν κόρη καὶ θυγατέρα τοῦ ποταμοῦ Λάδωνα. Γιατὶ συνηθίζουν οἱ πλανώμενοι πάντοτε νὰ παρουσιάζουν ποταμοὺς νὰ γεννοῦν καὶ νὰ μεταμορφώνουν μετὰ τὰ τέκνα τους σὲ ἀναίσθητα πράγματα, καὶ νὰ πλάθουν πολλὰ ἄλλα τέτοια τερατουργήματα. Αὐτὴν λοιπὸν τὴν κόρη, λέγει, ποὺ ἦταν πολὺ ὄμορφη τὴν εἶδε κάποτε ὁ Ἀπόλλωνας, καὶ βλέποντάς την καταλήφθηκε ἀπὸ τέτοιο πάθος, ὥστε ἀπὸ τότε τὴν καταδίωκε γιὰ νὰ τὴν συλλάβῃ. Αὐτὴ ὅμως ἔφευγε καὶ φεύγοντας ἔφθασε στὸ προάστειο. Ἡ μητέρα της τότε ἡ γῆ γιὰ νὰ τὴν προστατέψῃ ἀπὸ τὴν προσβολὴ αὐτὴ ἄνοιξε ἀμέσως καὶ δέχθηκε μέσα της τὴν παρθένο καὶ ἀντὶ τοῦ παιδιοῦ της ἄφησε νὰ φυτρώσῃ φυτό, ποὺ ἔφερε τὸ ὄνομα τῆς κόρης. Ὁ ἀκόλαστος ὅμως ἐραστής, ἐπειδὴ ἀπέτυχε στὰ ἐρωτικὰ σχέδιά του, ἐναγκαλίσθηκε τὸ φυτὸ καὶ ἔτσι ἔκαμε δικά του καὶ τὸ φυτὸ καὶ τὸν τόπο, καὶ ἀπὸ τότε παραμένει στὸ χωριό, τὸ ὁποῖο προτιμᾶ καὶ ἀγαπᾶ περισσότερο ἀπ' ὅλη τὴ γῆ, πρόσταξε μάλιστα τὸν τότε βασιλέα νὰ οἰκοδομήσῃ πρὸς τιμή του ναὸ καὶ βωμό, γιὰ νὰ μπορῇ ὁ δαίμονας νὰ παρηγορῇ τὴ μανία του μὲ τὸν τόπο. Καὶ αὐτὸς βέβαια εἶναι ὁ μῦθος, ἡ βλάβη ὅμως ποὺ προκλήθηκε ἀπὸ τὸν μῦθο δὲν ἦταν πιὰ μῦθος.

Ἐπειδὴ δηλαδή, ὅπως εἶπα, οἱ ἀκόλαστοι νέοι ἦρθαν ἀπὸ πρὶν

ἐξύβρισαν εἰς τὸ τοῦ προαστείου κάλλος, ἐπὶ κώμοις καὶ μέθαις τὰς ἐκεῖ ποιούμενοι διατριβάς, βουλόμενος τοῦτο ἐπιδοθῆναι τὸ κακὸν ὁ διάβολος, τόν τε μῦθον ἔπλασε καὶ τὸν δαίμονα κατῴκισεν, ὡς καὶ ἀσελγείας καὶ ἀσεβείας ὑπέκκαυμα γενέσθαι μεῖζον τὴν ἱστορίαν ταύτην αὐτοῖς. Πρὸς δὴ τὴν λύσιν τῶν τοσούτων κακῶν εὗρε ταύτην τὴν σοφωτάτην μηχανὴν ὁ βασιλεύς, τὸ μετοικίσαι τε τὸν ἅγιον καὶ πέμψαι τὸν ἰατρὸν πρὸς τοὺς κάμνοντας. Διατάξει μὲν οὖν καὶ αὐθεντίᾳ βασιλικῇ τὴν εἰς τὸ προάστειον ἐγκόπτειν ὁδὸν τοῖς τὴν πόλιν οἰκοῦσιν, ἐδόκει τυραννίδος ἔργον εἶναι μᾶλλον καὶ ὠμότητος καὶ ἀγροικίας πολλῆς· εἰ δὲ προσέθηκεν ὅτι οἱ μὲν ἐπιεικέστεροι καὶ μετριώτεροι ἀναβαινέτωσαν, οἱ δὲ ἀσελγεῖς καὶ ἀκόλαστοι κωλυέσθωσαν, ἄπορον ἦν τὸ ἐπίταγμα καὶ δίκας ἐχρῆν καθ' ἑκάστην γίνεσθαι τὴν ἡμέραν, τῆς ἑκάστου κρινομένης ζωῆς· μόνην δὲ τῶν τοσούτων δεινῶν διέξοδον ἀρίστην, τὴν τοῦ μακαρίου γενέσθαι παρουσίαν· τήν τε γὰρ τοῦ δαίμονος διαλῦσαι δύναμιν καὶ τὴν τῶν νέων ἐπιστρέψαι διάχυσιν, ἱκανὸν εἶναι τὸν μάρτυρα· καὶ οὐκ ἐσφάλη τῆς ἐλπίδος.

Ἅμα τε γὰρ ἐφίσταταί τις τῇ Δάφνῃ καὶ τὸ μαρτύριον εὐθέως ἀπὸ τῶν τοῦ προαστείου προθύρων ἰδών, συστέλλεται, καθάπερ τις νέος ἐν συμποσίῳ παιδαγωγὸν θεασάμενος ἐφεστῶτα καὶ παρακελευόμενον διὰ τῆς ὄψεως ἐν τάξει τῇ προσηκούσῃ πίνειν τε καὶ ἐσθίειν καὶ φθέγγεσθαι καὶ γελᾶν, φυλαττόμενον μή που τὸ μέτρον ὑπερβὰς τὴν δόξαν αἰσχύνῃ τὴν ἑαυτοῦ· γενόμενος δὲ ὑπὸ τῆς ὄψεως εὐλαβέστερος καὶ τὸν μακάριον φαντασθείς, πρὸς τὴν λάρνακα εὐθέως ἐπείγεται καὶ ἐλθὼν ἐκεῖ, μείζονά τε προσλαμβάνει φόβον καὶ πᾶσαν ὀλιγωρίαν ἐκβαλὼν καὶ γενόμενος πτηνός, οὕτως ἄπεισι. Καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας δεχόμενος ἀπὸ τῆς ὁδοῦ, μετὰ τοιαύτης σωφροσύνης παραπέμπει πρὸς τὴν τῆς Δάφνης ἀνάπαυσιν, μόνον οὐκ ἐκείνην αὐτοῖς ἐπιβοῶν τὴν φωνήν, «ἀγαλλιᾶσθε τῷ Κυρίῳ ἐν τρόμῳ» καὶ τὸ ἀποστολικὸν προστιθείς, «εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε»· τοὺς δὲ εἰς τὴν πόλιν κατιόντας μετὰ τὴν τροφήν, εἰ συμβαίη ῥᾳθυ-

35. Ψαλμ. 2,11.
36. Α' Κορ. 10,31.

καὶ μόλυναν τὸ κάλλος τοῦ πραστείου, συχνάζοντας ἐκεῖ γιὰ διασκεδάσεις καὶ μέθες, θέλοντας ὁ διάβολος ν' αὐξηθῆ τὸ κακὸ αὐτό, καὶ τὸν μῦθο ἔπλασε καὶ τὸν δαίμονα Ἀπόλλωνα ἐγκατέστησε ἐκεῖ, ὥστε ἡ ἱστορία αὐτὴ νὰ γίνεται σ' αὐτοὺς κίνητρο γιὰ μεγαλύτερη ἀσέλγεια καὶ ἀσέβεια. Πρὸς ἀπαλλαγὴ λοιπὸν ἀπὸ τὰ τόσα κακὰ ὁ βασιλεὺς ἐπενόησε αὐτὸ τὸ σοφώτατο τέχνασμα, τὸ νὰ μεταφέρη δηλαδὴ ἐκεῖ τὸν ἅγιο καὶ νὰ στείλη τὸν ἰατρὸ πρὸς τοὺς πάσχοντες. Γιατί, ἂν μὲ αὐστηρὴ βασιλικὴ διαταγὴ ἀπαγόρευε στοὺς κατοίκους τῆς πόλεως νὰ ἐπισκέπτωνται τὸ προάστειο, θὰ θεωροῦνταν αὐτὸ σὰν ἐνέργεια τυραννικῆς ἐξουσίας, σκληρότητας καὶ ἀπαιδευσιᾶς μεγάλης. Ἂν πάλι πρόσθετε στὸ διάταγμα καὶ ἔλεγε, οἱ πιὸ σοβαροὶ καὶ μετρημένοι νὰ μεταβαίνουν, ν' ἀπαγορεύεται ὅμως ἡ μετάβαση στοὺς ἀσελγεῖς καὶ ἀκόλαστους, τότε θὰ ἦταν ἀδύνατο νὰ ἐφαρμοσθῆ τὸ διάταγμα καὶ καθημερινὰ θὰ ἔπρεπε νὰ γίνωνται πρὸς ἔρευνα τῆς ζωῆς τοῦ καθενός. Μόνη λοιπὸν ἄριστη διέξοδος ἀπὸ τὰ τόσα κακὰ κρίθηκε ἡ παρουσία τοῦ ἁγίου, γιατὶ ὁ μάρτυρας ἦταν ἱκανὸς καὶ τὴ δύναμη τοῦ δαίμονα νὰ διαλύση καὶ τὴ διαφθορὰ τῶν νέων νὰ σταματίση· καὶ δὲν διαψεύθηκε ἡ ἐλπίδα του.

Πραγματικά, μόλις φθάση κάποιος στὴ Δάφνη καὶ ἀντικρύση ἀπὸ τὰ πρόθυρα ἤδη τοῦ προαστείου τὸν ναὸ τοῦ μάρτυρος, συστέλλεται, ὅπως ἀκριβῶς ὁ νέος ποὺ βλέπει νὰ εἶναι παρὼν σὲ κάποιο συμπόσιο ὁ παιδαγωγός του, προτρέποντάς τον μὲ τὴν παρουσία του νὰ πίνη καὶ νὰ τρώγη, καθὼς καὶ νὰ ὁμιλῆ καὶ νὰ γελᾶ μὲ τὸν πρέποντα τρόπο, προσέχοντας μὴ τυχὸν ὑπερβῆ τὸ μέτρο καὶ ντροπιάση τὴ φήμη του, καὶ ἀφοῦ μὲ τὴ θέα τοῦ ναοῦ γίνη πιὸ εὐλαβὴς καὶ φέρη στὸ νοῦ του τὸν ἅγιο, πηγαίνει ἀμέσως στὴ λειψανοθήκη καὶ φθάνοντας ἐκεῖ κυριεύεται ἀπὸ μεγαλύτερο φόβο, καὶ ἀφοῦ δίωξη ἀπὸ πάνω του κάθε ὀλιγωρία καὶ ἀναπτερωθῆ τὸ φρόνημά του, φεύγει ἔτσι ἀπὸ ἐκεῖ. Καὶ ἐκείνους λοιπὸν ποὺ ἀνεβαίνουν ἐδῶ ἀπὸ τὴν πόλη τοὺς ὑποδέχεται ἤδη στὸ δρόμο καὶ τοὺς στέλνει ν' ἀπολαύσουν μὲ σωφροσύνη τὴ Δάφνη, λέγοντάς τους κατὰ κάποιο τρόπο τὸν ψαλμικὸ ἐκεῖνο λόγο, «ἀπολαῦστε τὴν ἀγαλλίαση μὲ φόβο πρὸς τὸν Κύριο»[35], προσθέτοντας καὶ τὸ ἀποστολικό, «εἴτε τρῶτε εἴτε πίνετε εἴτε κάμνετε κάτι ἄλλο, ὅλα νὰ τὰ κάμνετε γιὰ τὴ δόξα τοῦ Θεοῦ»[36], ἐνῶ ἐκείνους ποὺ ἐπιστρέφουν μετὰ τὴ διασκέδαση στὴν πόλη, ἂν συνέβηκε ἐξ αἰτίας τῆς ἀδιαφορία τους ν' ἀπορ-

μότερον διατεθέντας ἀπορρῖψαι τὸν χαλινὸν καὶ εἰς κραιπάλην καὶ εἰς ἄτοπον ἐξενεχθῆναι τρυφήν, δεξάμενος πάλιν μεθύοντας εἰς τὸ αὐτοῦ καταγώγιον, οὐκ ἀφίησι τὴν ἀπὸ τῆς μέθης βλάβην ἔχοντας οἴκαδε ἀπελθεῖν, ἀλλὰ σωφρονίσας τῷ φόβῳ, πρὸς τὴν αὐτὴν ἐπανάγει νῆψιν, ἣν καὶ πρὸ τοῦ τῇ μέθῃ βαπτισθῆναι ἐφύλαττον. Καὶ γὰρ ὥσπερ τις αὔρα λεπτὴ τοὺς ἐν τῷ μαρτυρίῳ γενομένους περιπνεῖ πάντοθεν, αὔρα οὐκ αἰσθητή τις, οὐδὲ σωμάτων αὐξητική, ἀλλ' εἰς αὐτὴν ἱκανὴ διαδῦναι τὴν ψυχὴν καὶ καταστέλλουσα πάντοθεν αὐτὴν εὐσχημόνὡς καὶ πᾶν γήϊνον περικόπτουσα βάρος, ἀναπαύει τε καὶ κουφοτέραν ἐργάζεται τὴν βεβαρημένην καὶ καταπίπτουσαν.

13. Και τὸ μὲν τῆς Δάφνης κάλλος καὶ τοὺς ῥᾳθυμοτέρους ἐκκαλεῖται πρὸς ἑαυτήν· ὁ δὲ μάρτυς καθάπρ ἐν ἀλείᾳ τινὶ καθήμενος καὶ λοχῶν τοὺς εἰσιόντας, κατέχει τέως αὐτοὺς καὶ ῥυθμίσας πρότερον, οὕτως ἀφίησιν, οὐδὲ ὑβριστικῶς, ἀλλὰ σεμνῶς τῇ ἐρωμένῃ χρησομένους λοιπόν. Ἐπειδὴ γὰρ τῶν ἀνθρώπων οἱ μὲν διὰ ῥᾳθυμίαν, οἱ δὲ διὰ φροντίδας βιωτικάς, οὐκ ἐθέλουσιν εἰς τὰς τῶ μαρτύρων θήκας ἀπαντᾶν, ᾠκονόμησεν ὁ Θεὸς τούτῳ σαγηνεύεσθαι τῷ τρόπῳ καὶ τῆς θεραπείας αὐτοὺς ἀπολαύειν τῆς ἐν τῇ ψυχῇ· καὶ γίνεται παρόμοιον, ὥσπερ ἂν εἴ τις τὸν κάμνοντα ὠφέλιμα φάρμακα προσίεσθαι μὴ καταδεχόμενον μεθοδεύσειεν ἡδύσματι τὸ φάρμακον ἐγκατακρύψας τινί. Τῷ γοῦν χρόνῳ θεραπευόμενοι εἰς τοῦτο κατέστησαν, ὡς μηκέτι τὴν τρυφὴν μόνον, ἀλλὰ καὶ τοῦ ἁγίου τὴν ἐπιθυμίαν τῆς ἐπὶ τὸ προάστειον ἀνόδου πρόφασιν γίνεσθαι τοῖς πολλοῖς· μᾶλλον δὲ οἱ μὲν ἐπιεικέστεροι διὰ τοῦτο μόνον ἐκεῖσε ἔρχονται, οἱ δὲ ἐκείνων ἐλάττους δι' ἀμφότερα, οἱ δὲ ἔτι τούτων ἀτελέστερον διακείμενοι διὰ μόνην μὲν ἀναβαίνουσι τὴν τρυφήν· ἐπειδὰν δὲ παραγένωνται, καλέσας αὐτοὺς ὁ μάρτυς καὶ ἑστιάσας τοῖς αὐτοῦ καὶ καθοπλίσας καλῶς, οὐδὲν ἀφίησι δεινὸν παθεῖν· Καὶ ἔστιν ὁμοίως θαυμαστὸν τὸ ἐκεῖ γενόμενον, σωφρονῆσαί τινα τῶν ἁβρῶν καὶ ῥᾳθύμων καὶ οἷον ἐκ μέσης μανίας ἀνενεγκεῖν, ἢ

ρίψουν τὸ χαλινάρι καὶ νὰ ριχτοῦν στὴν κραιπάλη καὶ σὲ ἄκοσμες διασκεδάσεις, ἀφοῦ τοὺς δεχθῇ πάλι μεθυσμένους στὸ καταφύγιό του, δὲν τοὺς ἀφήνει νὰ ἐπιστρέψουν στὸ σπίτι τους ἔχοντας μαζί τους τὴ βλάβη ἀπὸ τὴ μέθη, ἀλλά, ἀφοῦ τοὺς σωφρονίση μὲ τὸν φόβο, τοὺς ἐπαναφέρει στὴν ἴδια ἤρεμη κατάσταση, τὴν ὁποία εἶχαν καὶ πρὶν ἀπὸ τὴ μέθη. Γιατὶ σὰν κάποια αὔρα πνέει ἀπὸ παντοῦ σ' ἐκείνους ποὺ ἐπισκέπτονται τὸν ναὸ τοῦ μάρτυρος, μιὰ αὔρα ποὺ δὲν εἶναι αἰσθητὴ οὔτε καὶ αὐξητικὴ τῶν σωμάτων, ἀλλ' εἶναι ἱκανὴ νὰ διεισδύη στὴν ψυχὴ καὶ νὰ τὴν συγκρατῇ ἀπὸ παντοῦ σὲ μία εὐσχήμη κατάσταση, καὶ ἀφαιρῶντας κάθε γήϊνο βάρος, ἀναπαύει καὶ κάμνει πιὸ ἀνάλαφρη αὐτὴν ποὺ ἦταν προηγουμένως βαρειὰ καὶ μὲ πεσμένο ἠθικό.

13. Τὸ κάλλος λοιπὸν τῆς Δάφνης προσελκύει πρὸς αὐτὴν καὶ τοὺς πιὸ ἀδιάφορους, ἐνῷ ὁ μάρτυρας, σὰν νὰ κάθεται ἐκεῖ γιὰ ἁλιεία καὶ νὰ παραμονεύη, συλλαμβάνει τοὺς ἐπισκέπτες καὶ ἀφοῦ ρυθμίση πρῶτα τὴ διάθεσή τους, τοὺς ἀφήνει μετὰ ν' ἀπολαύσουν τὴ ὀμορφιὰ τοῦ τόπου μὲ σεμνότητα καὶ ὄχι μὲ τρόπο αἰσχρό. Γιατί, ἐπειδὴ οἱ ἄνθρωποι, ἄλλοι ἀπὸ ἀδιαφορία καὶ ἄλλοι ἐξ αἰτίας τῶν κοσμικῶν φροντίδων δὲν θέλουν νὰ ἐπισκέπτωνται τὶς λειψανοθῆκες τῶν μαρτύρων, ὁ Θεὸς ρύθμισε τὰ πράγματα νὰ προσελκύωνται οἱ ἄνθρωποι μ' αὐτὸν τὸν τρόπο καὶ νὰ βρίσκουν τὴν ψυχικὴ θεραπεία τους. Καὶ γίνεται κάτι παρόμοιο μὲ ἐκεῖνο, ποὺ κάποιος κρύβει ἔντεχνα τὸ φάρμακο μέσα σ' ἕνα γλύκισμα, ἐπειδὴ ὁ ἀσθενὴς δὲν δέχεται νὰ λάβη ὠφέλημα φάρμακα. Ἀφοῦ λοιπὸν μὲ τὸ πέρασμα τοῦ χρόνου θεραπεύθηκαν, ἔφθασαν σὲ τέτοια κατάσταση, ὥστε νὰ ἐπισκέπτωνται τὸ προάστειο ὄχι μόνο γιὰ σωματικὴ ἀπόλαυση, ἀλλὰ καὶ νὰ γίνεται στοὺς πολλοὺς αἰτία τῆς μεταβάσεώς τους ἐκεῖ ἡ ἐπιθυμία νὰ ἐπισκεφθοῦν τὸν ἅγιο. Ἢ καλύτερα οἱ πιὸ συνετοὶ πηγαίνουν ἐκεῖ μόνο γιὰ τὸν ἅγιο, οἱ κάπως κατώτεροι πνευματικὰ ἀπὸ ἐκείνους καὶ γιὰ τὰ δύο, ἐνῷ οἱ πιὸ ἀτελεῖς πνευματικὰ ἀνεβαίνουν μόνο γιὰ διασκέδαση. Ὅταν φθάσουν ἐκεῖ, ἀφοῦ τοὺς καλέση ὁ μάρτυρας καὶ τοὺς προσφέρη τροφὴ ἀπὸ τὴν τράπεζά του καὶ τοὺς ὁπλίση κατάλληλα, δὲν τοὺς ἀφήνει νὰ πάθουν κανένα κακό. Καὶ ἐκεῖνο ποὺ συμβαίνει ἐκεῖ, τὸ νὰ σωφρονίζεται δηλαδὴ κάποιος μαλθακὸς καὶ ράθυμος καὶ ν' ἁρπάζεται κατὰ κάποιο τρόπο μέσα ἀπὸ τὴ μανία τῶν παθῶν, εἶναι ἐξ ἴσου θαυμαστὸ μὲ τὸ νὰ πέση κα-

εἰς κάμινον ἐμπεσόντα μηδὲν ὑπὸ τοῦ πυρὸς παθεῖν. Τῆς τε γὰρ νεότητος καὶ τῆς τόλμης τῆς ἀλόγου καὶ τοῦ οἴνου καὶ τῆς πλησμονῆς φλογὸς χαλεπώτερον περιισταμένων τοὺς λογισμούς, ἡ παρὰ τοῦ μακαρίου δρόσος διὰ τῶν ὄψεων, εἰς τὴν τῶν ὁρώντων καταβαίνουσα ψυχήν, τήν τε φλόγα ἐκοίμισε καὶ τὸν ἐμπρησμὸν ἔστησε καὶ πολλὴν τῆς διανοίας κατέσταξε τὴν εὐλάβειαν.

Καὶ τῆς μὲν ἀσελγείας τὴν τυραννίδα οὕτως ὁ μακάριος κατέλυσε· πῶς δὲ καὶ τοῦ δαίμονος τὴν δύναμιν ἔσβεσε; Πρῶτον μὲν τούτοις αὐτοῖς ἄπρακτον αὐτοῦ καὶ τὴν προσεδρείαν καὶ τὴν ἀπὸ τοῦ μύθου βλάβην ἐργασάμενος, ὕστερον δὲ καὶ αὐτὸν ἀπελάσας τὸν δαίμονα. Πρὶν ἢ δὲ τὸν τρόπον τῆς διώξεως εἰπεῖν, ἐκεῖνο ὑμᾶς ἐπισημήνασθαι ἀξιῶ, ὅτι οὐκ εὐθέως αὐτὸν ἀνελθὼν ἐξέβαλεν, ἀλλὰ μένοντα εἰργάσατο ἄπρακτον καὶ ἐπεστόμισε καὶ τῶν λίθων ἀπέφηνεν ἀφωνότερον· τοῦ δὲ ἀπελάσαι τὸ μένοντος περιγενέσθαι οὐκ ἔλαττον ἦν. Καὶ ὁ πάντας πανταχοῦ πρότερον ἀπατῶν οὐδὲ πρὸς τὴν κόνιν ἀντιβλέψαι ἐτόλμησε τοῦ μακαρίου Βαβύλα· τοσαύτη τῶν ἁγίων ἡ δύναμις, ὧν ζώντων μὲν οὐδὲ τὰς σκιὰς φέρουσιν οὐδὲ τὰ ἱμάτια, τελευτησάντων δὲ καὶ τὰς λάρνακας τρέμουσιν. Ὥστε, εἴ τις ἀπιστεῖ τοῖς ὑπὸ τῶν ἀποστόλων γεγενημένοις, τὰ παρόντα θεωρῶν παυέσθω τῆς ἀναισχυντίας ποτέ. Ὁ γὰρ πάντα τὰ τῶν Ἑλλήνων πάλαι νικῶν, καθάπερ ὑπὸ δεσπότου τοῦ μάρτυρος ἐπιτιμηθείς, ἐπαύσατο τῆς ὑλακῆς καὶ οὐδὲν ἐφθέγγετο. Καὶ τὸ μὲν πρῶτον ἐδόκει, διὰ τὸ μὴ μετέχειν θυσιῶν καὶ τῆς ἄλλης θεραπείας, τοῦτο ποιεῖν. Τοιοῦτος γὰρ ὁ τῶν δαιμόνων τρόπος, ὅταν μὲν τῇ κνίσσῃ καὶ τῷ καπνῷ καὶ τοῖς αἵμασιν αὐτοὺς θεραπεύωσι, καθάπερ κύνες αἱμοβόροι καὶ λίχνοι παραγίνονται λάψοντες· ὅταν δὲ μηδεὶς ταῦτα παρέχων ᾖ, καθάπερ τινὶ λιμῷ διαφθείρονται.

Καὶ τῶν μὲν θυσιῶν καὶ τῶν αἰσχρῶν ἐπιτελουμένων τελετῶν (οὐδὲν γὰρ αὐτῶν ἕτερον τὰ μυστήρια, ἀλλ' ἢ ἔρωτες ἄτοποι καὶ παίδων ὕβρεις καὶ γάμων διαφθοραὶ καὶ οἰκιῶν ἀνατροπαί· τῶν γὰρ φόνων τοὺς σκαιοὺς τρόπους καὶ τὰ τῶν φόνων ἀνομώτε-

νεὶς μέσα σὲ καμίνι καὶ νὰ μὴ πάθη τίποτε ἀπὸ τὴ φωτιά. Γιατί, ἂν καὶ ἡ νεότητα καὶ ἡ παράλογη τόλμη καὶ τὸ κρασὶ καὶ ἡ πλησμονὴ περικυκλώνουν τοὺς λογισμοὺς χειρότερα καὶ ἀπὸ τὴ φωτιά, ἡ δροσιὰ ποὺ ἐνσταλάζει ἀπὸ τὴ θέα τοῦ μακαρίου μέσα στὴν ψυχὴ τῶν θεατῶν, καὶ τὴν φλόγα ἀποκοιμίζει καὶ τὴν πυρκαϊὰ σταματᾶ καὶ πολλὴ εὐλάβεια ἐμβάλλει στὸν νοῦ.

Τὴν τυραννικὴ λοιπὸν ἐξουσία τῆς ἀσέλγειας ἔτσι τὴν κατέλυσε ὁ μακάριος, πῶς ὅμως ἔσβησε καὶ τὴ δύναμη τοῦ δαίμονα; Πρῶτα– πρῶτα μὲ τὸ ὅτι κατέστησε ἀνενέργητη τὴν παρουσία τοῦ δαίμονα καὶ τὴ βλάβη ποὺ δημιουργοῦνταν ἀπὸ τὸν μῦθο, καὶ δεύτερο μὲ τὸ ὅτι ἐξεδίωξε καὶ τὸν ἴδιο τὸν δαίμονα. Προτοῦ ὅμως σᾶς διηγηθῶ τὸν τρόπο τῆς ἐκδιώξεως, θέλω νὰ σημειώσετε τὸ ἑξῆς, ὅτι δηλαδὴ δὲν τὸν ἔδιωξε ἀμέσως μὲ τὸν ἐρχομό του στὸ προάστειο, ἀλλ' ἀφήνοντάς τον ἐκεῖ, τὸν ἔκαμε ἄχρηστο, ἔκλεισε τὸ στόμα του καὶ τὸν κατέστησε πιὸ ἄφωνο καὶ ἀπὸ τοὺς λίθους· τὸ νὰ τὸν ἀφήση ἐκεῖ καὶ νὰ τὸν νικήση, δὲν εἶναι μικρότερο ἀπὸ τὸ νὰ τὸν ἐξεδίωκε. Καὶ ἐκεῖνος ποὺ προηγουμένως ἐξαπατοῦσε παντοῦ ὅλους, δὲν τόλμησε οὔτε τὴ σκόνη τοῦ μακαρίου Βαβύλα ν' ἀντικρύση. Τέτοια εἶναι ἡ δύναμη τῶν ἁγίων· ὅσο ζοῦν δὲν ὑποφέρουν οὔτε τὶς σκιὲς οὔτε καὶ τὰ ἐνδύματα αὐτῶν, ἐνῶ ὅταν πεθάνουν τρέμουν καὶ τὶς λειψανοθῆκες τους. Ὥστε, ἂν κάποιος ἀπιστῆ γιὰ τὰ θαυμαστὰ κατορθώματα τῶν Ἀποστόλων, βλέποντας τὰ σημερινά, ἂς σταματήση κάποτε τὴν ἀδιαντροπιά του. Γιατὶ ἐκεῖνος ποὺ ἦταν τὸ καύχημα τῶν Ἐθνικῶν, σταμάτησε ἀμέσως νὰ γαυγίζη καὶ δὲν ἔλεγε τίποτε, σὰν νὰ ἐπιτιμήθηκε ἀπὸ τὸν κύριό του μὲ τὴν ἐπιτίμηση τοῦ μάρτυρος. Καὶ στὴν ἀρχὴ φάνηκε ὅτι ἔγινε αὐτό, ἐπειδὴ δὲν τοῦ προσφέρονταν θυσίες καὶ ἡ ὑπόλοιπη λατρεία. Γιατὶ τέτοια εἶναι ἡ συμπεριφορὰ τῶν δαιμόνων· ὅταν τοὺς λατρεύουν μὲ τὶς ὀσμὲς τῶν κρεάτων καὶ τὸν καπνὸ καὶ τὰ αἵματα, τρέχουν τότε σὰν αἱμοβόροι καὶ λαίμαργοι σκύλοι νὰ παραστοῦν ἐκεῖ καὶ νὰ γευθοῦν, ὅταν ὅμως δὲν ὑπάρχη κανεὶς ποὺ νὰ τοὺς τὰ προσφέρη, τότε εἶναι σὰν νὰ πεθαίνουν ἀπὸ πεῖνα.

Κι ὅταν τελοῦνται οἱ θυσίες καὶ οἱ αἰσχρὲς τελετές τους (γιατὶ τὰ μυστήριά τους δὲν εἶναι τίποτε ἄλλο, παρὰ ἔρωτες παράνομοι καὶ προσβολὲς τῶν παιδιῶν καὶ διαφθορὲς γάμων καὶ διαλύσεις οἰκογενειῶν· παραλείπω τώρα τοὺς ἄγριους φόνους καὶ τὰ πιὸ παράνομα

ρα δεῖπνα ἀφίημι νῦν), ἀλλ' ὅμως τούτων μὲν τελουμένων πάρεισι καὶ εὐφραίνονται, κἂν κακοῦργοι, κἂν γόητες, κἂν λοιμοὶ οἱ ταῦτα τελοῦντες ὦσι· μᾶλλον δὲ οὐδέ εἰσιν ἕτεροί τινες οἱ ταῦτα διακονούμενοι. Σώφρων γὰρ ἀνὴρ καὶ ἐπιεικὴς καὶ σεμνὸς οὐκ ἂν ἀνάσχοιτο κώμου καὶ μέθης, οὐδὲ ῥῆμα αἰσχρὸν οὔτε αὐτὸς ἐκβαλεῖν, οὔτε ἑτέρου τινὸς τοιαῦτα ἀσχημονοῦντος ἀκοῦσαι. Καίτοι γε ἐχρῆν εἰ τῆς ἀρετῆς ἐπεμελεῖτο τῆς ἀνθρωπίνης καὶ τῆς εὐζωΐας τῶν προσκειμένων αὐτῷ λόγον εἶχε βραχύν, μηδὲν πλέον βίου ζητεῖν ἀρίστου καὶ τρόπων ὀρθότητος καὶ τὴν ἀσχήμονα πᾶσαν ἐκείνην ἀφεῖναι θοίνην. Ἀλλ' ἐπειδὴ τῆς τῶν ἀνθρώπων ἀπωλείας αὐτοῖς οὐδὲν προτιμότερον, τούτοις καὶ τέρπονται καὶ τιμᾶσθαι λέγουσιν, ἃ τὸν βίον ἀνατρέπειν εἴωθε τὸν ἡμέτερον καὶ πάντα ἐκ βάθρων ἀνασπᾶν τὰ καλά.

14. Τὸ μὲν οὖν πρῶτον ἐδόκει καὶ οὗτος διὰ τοῦτο σιγᾶν, ἠλέγχετο δὲ ὕστερον ἰσχυρᾷ πεπεδημένος ἀνάγκῃ. Ὁ γὰρ ἀναγκάζων φόβος αὐτὸν ἀντὶ χαλινοῦ τινος ἐπικείμενος ἐκώλυε τῇ συνήθει χρῆσθαι κατὰ τῶν ἀνθρώπων ἀπάτῃ. Πόθεν τοῦτο δῆλον; Ἀλλὰ μὴ θορυβηθῆτε· πρὸς γὰρ αὐτὴν βαδιοῦμαι τὴν ἀπόδειξιν, μεθ' ἣν οὐδὲ τοῖς μεμελετηκόσιν ἀναισχυντεῖν ἐξέσται τοῦτο ποιεῖν, οὐ περὶ τῶν παλαιῶν ἐκείνων, οὐ περὶ τῆς τοῦ μάρτυρος δυνάμεως, οὐ περὶ τῆς τοῦ δαίμονος ἀσθενείας. Οὐδὲ γὰρ δέομαι στοχασμοῖς τισι καὶ δι' εἰκότων τοῦτο ποιῆσαι φανερόν, ἀλλ' αὐτὴν τοῦ δαίμονος τὴν ὑπὲρ τούτων παρέξομαι μαρτυρίαν. Αὐτὸς γὰρ ὑμῖν καιρίαν ἔδωκε τὴν πληγὴν καὶ τὴν παρρησίαν ὑμῶν πᾶσαν ἐξέκοψεν. Ἀλλὰ μὴ ὀργίζεσθε αὐτῷ· οὐ γὰρ ἑκὼν τὰ αὐτοῦ κατέβαλεν, ἀλλὰ ἀναγκαζόμενος ὑπὸ μείζονος δυνάμεως τοῦτο ἔπραττε. Πῶς δὲ τοῦτο γέγονε καὶ τίς ὁ τρόπος; Τοῦ βασιλέως τελευτήσαντος τοῦ τὸν μάρτυρα μεταθέντος, ἀδελφὸν τὸν ἐκείνου παρήγαγεν εἰς μέσον διαδεξόμενον τὴν ἀρχὴν ὁ καὶ ἐκείνῳ πρότερον δοὺς τὴν τιμήν· καὶ δέχεται χωρὶς τοῦ διαδήματος τὴν βασιλείαν οὗτος· τοσοῦτον γὰρ καὶ τῆς τοῦ ἀδελφοῦ τοῦ τετελευτηκότος ἐξουσίας τὸ μέτρον ἦν.

ἀπὸ τοὺς φόνους δεῖπνα), ἀλλ' ὅμως ὅταν τελοῦνται αὐτὰ εἶναι παρόντες καὶ εὐφραίνονται, κι ἂν ἀκόμη ἐκεῖνοι ποὺ τὰ τελοῦν εἶναι κακοῦργοὶ ἢ ἀπατεῶνες ἢ διαφθορεῖς. Ἢ καλύτερα δὲν εἶναι ἄλλου εἴδους ἄνθρωποι ἐκεῖνοι ποὺ τελοῦν αὐτά. Γιατὶ ἄνθρωπος σώφρονας καὶ συνετὸς καὶ σεμνὸς δὲν θὰ ἀνεχόταν διασκεδάσεις καὶ μέθες, καὶ οὔτε θὰ ἐξεστόμιζε λόγια αἰσχρὰ ὁ ἴδιος οὔτε καὶ θὰ ἤθελε νὰ ἀκούση τέτοια λόγια ἀσχημοσύνης νὰ λέγωνται ἀπὸ ἄλλους. Ἂν καὶ βέβαια ἔπρεπε, ἂν ἐνδιαφερόταν ὁ δαίμονας γιὰ τὴν ἀρετὴ τῶν ἀνθρώπων καὶ εἶχε κάποια εὐθύνη γιὰ τὴν εὐτυχία ἐκείνων ποὺ τὸν περιβάλλουν, νὰ μὴ ζητᾶ τίποτε περισσότερο ἀπὸ τὸν ἄριστο βίο καὶ τὴ σωστὴ συμπεριφορὰ καὶ νὰ ἐγκαταλείψη ὅλες ἐκεῖνες τὶς αἰσχρὲς εὐωχίες. Ἐπειδὴ ὅμως δὲν ὑπάρχει γι' αὐτοὺς τίποτε προτιμότερο ἀπὸ τὴν ἀπώλεια τῶν ἀνθρώπων, λένε ὅτι τιμῶνται καὶ εὐχαριστοῦνται μὲ ἐκεῖνα ποὺ ἀνατρέπουν συνήθως τὴ ζωή μας καὶ ἀποσποῦν ἀπὸ τὴ ρίζα ὅλα τὰ καλά.

14. Στὴν ἀρχὴ λοιπὸν φαινόταν καὶ αὐτὸς ὅτι σιωποῦσε γι' αὐτό, ἀργότερα ὅμως διαπιστώθηκε ὅτι ἦταν δεμένος μὲ ἰσχυρὴ ἀνάγκη. Γιατὶ ὁ φόβος τὸν ἐξανάγκαζε καὶ τὸν συγκρατοῦσε σὰν μὲ κάποιο χαλινάρι, ἐμποδίζοντάς τον νὰ διαπράττη τὶς συνηθισμένες ἀπάτες του σὲ βάρος τῶν ἀνθρώπων. Ἀπὸ ποῦ γίνεται αὐτὸ φανερό; Μὴ ἀνησυχῆτε· γιατὶ θὰ προχωρήσω στὴν ἀπόδειξη αὐτή, μετὰ ἀπὸ τὴν ὁποία οὔτε καὶ ἐκεῖνοι ποὺ προβαίνουν σὲ προμελετημένες ἀδιαντροπιὲς θὰ μποροῦν νὰ τὸ κάμνουν αὐτό, οὔτε γιὰ τὰ παλιὰ θαύματα οὔτε γιὰ τὴ δύναμη τοῦ μάρτυρα οὔτε γιὰ τὴν ἀδυναμία τοῦ δαίμονα. Καὶ δὲν ἔχω ἀνάγκη ἀπὸ κάποιους στοχασμοὺς καὶ εὐλογοφανεῖς ἀποδείξεις γιὰ νὰ τὸ κάνω αὐτὸ φανερό, ἀλλὰ θὰ παρουσιάσω τὴν ἴδια τὴ μαρτυρία τοῦ δαίμονα γι' αὐτά. Γιατὶ αὐτὸς σᾶς ἔδωσε τὸ θανάσιμο χτύπημα καὶ σᾶς στέρησε ὅλη τὴν παρρησία. Ἀλλὰ μὴν ὀργίζεσθε ἐναντίον του, γιατὶ δὲν κατέλυσε μὲ τὴ θέλησή του τὴ λατρεία του, ἀλλὰ τὸ ἔκαμε αὐτὸ ἐξαναγκαζόμενος ἀπὸ μεγαλύτερη δύναμη. Καὶ πῶς ἔγινε αὐτὸ καὶ μὲ ποιόν τρόπο; Ὅταν πέθανε ὁ βασιλεὺς ποὺ μετέφερε τὸν μάρτυρα, ἀνέδειξε διάδοχο, αὐτὸς ποὺ εἶχε δώσει προηγουμένως σ' ἐκεῖνον τὴν ἐξουσία, τὸν ἀδελφὸ τοῦ βασιλέως· αὐτὸς ὅμως ἀνέλαβε τὴν ἐξουσία χωρὶς νὰ λάβη τὸ βασιλικὸ στέμμα, γιατὶ τόση ἦταν καὶ ἡ ἐξουσία ποὺ εἶχε ὁ ἀδεφλός του ποὺ πέθανε.

Γόης δὲ ὢν καὶ μιαρός, τὸ μὲν πρῶτον τὰ τοῦ Χριστοῦ φρονεῖν ὑπεκρίνατο, διὰ τὸν τὴν ἀρχὴν αὐτῷ δεδωκότα· ὡς δὲ καὶ οὗτος τὸν βίον μετήλλαξε, ῥίψας τὸ προσωπεῖον λοιπόν, γυμνῇ τῇ κεφαλῇ, ἣν πάλαι ἔχων δεισιδαιμονίαν ἔκρυπτε, ταύτην εἰς μέσον ἐξήγαγε καὶ πᾶσιν ἐποίησε φανερὰν καὶ προστάγματα πανταχοῦ τῆς οἰκουμένης κατεπέμπετο τοὺς ναοὺς ἐπισκευάζεσθαι τῶν εἰδώλων, τοὺς βωμοὺς ἀνίστασθαι, τὰς παλαιὰς τοῖς δαίμοσιν ἀποδίδοσθαι τιμάς, προσόδους αὐτοῖς γίνεσθαι πολλὰς πολλαχόθεν. Ἐντεῦθεν μάγοι καὶ γόητες καὶ μάντεις καὶ οἰωνοσκόποι καὶ μηναγύρται καὶ πάσης ἐργαστήρια μαγγανείας πάντοθεν ἀπὸ τῆς οἰκουμένης συνέτρεχον, καὶ ἦν ἰδεῖν τὰ βασίλεια ἀνδρῶν ἀτίμων καὶ φυγάδων πληρούμενα. Οἱ μὲν γὰρ ὑπὸ τοῦ λιμοῦ πάλαι διαφθειρόμενοι, οἱ δὲ ἐπὶ ταῖς φαρμακείαις καὶ ταῖς κακουργίαις ἑάλωσαν, δεσμωτήριά τε οἰκοῦντες καὶ μέταλλα ἐργαζόμενοι, ἄλλοι δὲ ἐξ ἐπιτηδευμάτων αἰσχρῶν μόλις δυνάμενοι διαζῆν, ἱερεῖς καὶ ἱεροφάνται ἀναφανέντες ἐξαίφνης, ἐν πολλῇ ἦσαν τῇ τιμῇ. Καὶ ὁ βασιλεὺς στρατηγοὺς μὲν καὶ ἄρχοντας παρεπέμπετο καὶ οὐδενὸς ἠξίου λόγου, ἄνδρας δὲ ἡταιρηκότας καὶ τὰς ἀπὸ τοῦ τέγους γυναῖκας ἀναστήσας ἀπὸ τῶν οἰκημάτων, ἐν οἷς προεστήκεσαν, μεθ' ἑαυτοῦ τὴν πόλιν ἅπασαν περιῆγε καὶ τοὺς στενωπούς. Καὶ ὁ μὲν ἵππος ὁ βασιλικὸς καὶ οἱ δορυφόροι πάντες, ὄπισθεν ἐκ πολλοῦ τοῦ διαστήματος εἵποντο· πορνοβόσκοι δὲ ἄνδρες καὶ γυναῖκες προαγωγοὶ καὶ πᾶς ὁ τῶν ἡταιρηκότων χορὸς τὸν βασιλέα κυκλώσαντες εἶχον ἐν μέσῳ διὰ τῆς ἀγορᾶς βαδίζοντες καὶ τοιαῦτα φθεγγόμενοι καὶ οὕτως ἀνακαγχάζοντες, ὡς τοὺς ἐκ τῆς ἐργασίας ἐκείνης εἰκὸς ἦν.

Ταῦτα δὲ οἴδαμεν, ὅτι τοῖς μεθ' ἡμᾶς γενησομένοις ἄπιστα εἶναι δόξει, διὰ τὴν τῆς ἀτοπίας ὑπερβολήν· οὐδὲ γὰρ ἂν ἰδιώτην τῶν εὐτελῶς καὶ αἰσχρῶς βεβιωκότων ἑλέσθαι τοιαῦτα δημοσίᾳ ἀσχημονεῖν. Ἀλλὰ πρὸς μὲν τοὺς ἔτι ζῶντας οὐδενὸς δέομαι λόγου· οἱ γὰρ παρόντες καὶ θεασάμενοι ταῦτα γινόμενα, οὗτοι καὶ λεγόμε-

37. Ὁ υἱὸς τοῦ Μ. Κωνσταντίνου Κωνστάντιος, ἀφοῦ θανάτωσε τὸν Καίσαρα Γάλλο, ἀδελφὸ τοῦ Ἰουλιανοῦ τοῦ Παραβάτη, ἔκαμε αὐτὸν συναυτοκράτορα. Γι' αὐτὸ στὴν ἀρχὴ ὁ Ἰουλιανός, ἀπὸ εὐγνωμοσύνη πρὸς τὸν Κωνστάντιο, δὲν ἐκδηλώθηκε ἐναντίον τῶν Χριστιανῶν, ἀλλὰ μετὰ τὸν θάνατο τοῦ Κωνσταντίου.

Ἐπειδὴ λοιπὸν ἦταν ἀπατεώνας καὶ μιαρός, ὑπεκρινόταν στὴν ἀρχὴ ὅτι πίστευε στὸν Χριστό, γιὰ χάρη ἐκείνου ποὺ τοῦ εἶχε δώσει τὴν ἐξουσία[37]. Ὅταν ὅμως πέθανε καὶ ἐκεῖνος, βγάζοντας τότε τὸ προσωπεῖο ὁ Ἰουλιανὸς πρόβαλε στὴ μέση μὲ γυμνὸ πλέον κεφάλι τὴ δεισιδαιμονία ποὺ τὴν εἶχε ἀπὸ πολὺ παλιὰ ἀλλὰ τὴν ἔκρυβε καὶ τὴν φανέρωσε σ' ὅλους· ἔτσι ἔστειλε σ' ὅλη τὴν αὐτοκρατορία διατάγματα νὰ ἐπισκευασθοῦν οἱ ναοὶ τῶν εἰδώλων, ν' ἀνοικοδομηθοῦν οἱ βωμοί, ν' ἀποδίδωνται στοὺς θεοὺς οἱ παλιὲς τιμὲς καὶ νὰ συγκεντρώνωνται γι' αὐτοὺς πολλὲς προσφορὲς ἀπὸ παντοῦ. Ἄρχισαν ἐξ αἰτίας αὐτοῦ νὰ καταφθάνουν ἀπὸ ὅλα τὰ μέρη τοῦ κόσμου μάγοι καὶ ἀπατεῶνες καὶ μάντεις καὶ οἰωνοσκόποι καὶ μηναγύρτες[38] καὶ μηχανορράφτες τῆς κάθε εἴδους ἀπάτης καὶ ἦταν δυνατὸ νὰ δῆ κανεὶς τὰ βασιλικὰ ἀνάκτορα νὰ εἶναι γεμᾶτα ἀπὸ ἀνθρώπους ἄτιμους καὶ φυγάδες. Ἐκεῖνοι δηλαδὴ ποὺ προηγουμένως πέθαιναν ἀπὸ τὴν πεῖνα, ἄλλοι ἐπειδὴ εἶχαν συλληφθῆ γιὰ ἀπάτες καὶ κακουργίες καὶ ρίχθηκαν ἐξ αἰτίας αὐτοῦ στὶς φυλακὲς καὶ δούλευαν στὰ μεταλλεῖα, ἄλλοι πάλι ποὺ μόλις καὶ μετὰ βίας ἐξασφάλιζαν τὰ ἀναγκαῖα γιὰ τὴ ζωή τους ἀπὸ αἰσχρὰ ἐπαγγέλματα, ξαφνικὰ παρουσιάσθηκαν σὰν ἱερεῖς καὶ μυσταγωγοὶ τῶν εἰδώλων, ἀπολαμβάνοντας πολλὴ τιμή. Ὁ βασιλεὺς τότε διώχνοντας στρατηγοὺς καὶ ἄρχοντες καὶ μὴ δίνοντας λόγο σὲ κάνένα, περιφερόταν σ' ὁλόκληρη τὴν πόλη καὶ στὰ στενά, ἔχοντας μαζί του ἄνδρες αἰσχροὺς καὶ πόρνες γυναῖκες ποὺ τὶς πῆρε ἀπὸ τὰ οἰκήματα ποὺ διηύθηναν. Ὁ βασιλικὸς ἵππος καὶ ὅλη ἡ ἀκολουθία τοῦ βασιλέως ἀκολουθοῦσαν ἀπὸ πίσω καὶ σὲ μεγάλη ἀπόσταση, ἐνῶ σωματέμποροι ἄνδρες καὶ γυναῖκες μαστρωποὶ καθὼς καὶ ὅλο τὸ πλῆθος τῶν πορνῶν ἀφοῦ περικύκλωσαν τὸν βασιλέα περιφέρονταν στὴν ἀγορὰ ἔχοντας αὐτὸν στὸ μέσο, λέγοντας τέτοια λόγια καὶ καγχάζοντας μὲ τέτοιο τρόπο, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ κάνουν τὶς δουλειὲς αὐτές.

Γνωρίζω βέβαια ὅτι αὐτὰ ἐξ αἰτίας τοῦ ὑπερβολικοῦ παραλογισμοῦ τους θὰ φανοῦν ἀπίστευτα στοὺς μεταγενεστέρους, γιατὶ οὔτε ὁ ἰδιώτης ποὺ ἔζησε μέσα στὴν εὐτέλεια καὶ τὴν αἰσχρότητα θὰ καταδεχόταν νὰ κάνη δημόσια τέτοιου εἴδους ἀσχήμιες. Καὶ πρὸς ἐκείνους ποὺ ἀκόμη ζοῦν δὲν χρειάζεται νὰ πῶ τίποτε, γιατὶ

38. Ἔτσι ὠνομαζόταν ὁ ἱερεὺς τῆς θεᾶς Μήνης, δηλαδὴ τῆς Κυβέλης.

να ἀκούουσι νῦν. Διὰ γάρ τοι τοῦτο τῶν μαρτύρων ἔτι περιόντων γράφω, ἵνα μή τίς με τὰ παλαιὰ διηγούμενον ἐν οὐκ εἰδόσι μετὰ πολλῆς ψεύδεσθαι τῆς ἐξουσίας νομίζῃ. Τῶν γὰρ ταῦτα θεασαμένων ἔτι καὶ γέροντες καὶ νέοι περίεισιν, οὓς ἀξιῶ πάντας, εἴ τι παρ' ἐμοῦ προστέθειται, προϊσιέναι καὶ διελέγχειν. Ἀλλὰ προστεθέντα μὲν οὐκ ἂν ἐλέγξαιεν, ἐλλείποντα δὲ μόνον· οὐδὲ γὰρ οἷόν τε πᾶσαν αὐτοῦ τῷ λόγῳ παραστῆσαι τῆς ἀσχημοσύνης τὴν ὑπερβολήν. Πρὸς δὲ τοὺς μετὰ ταῦτα ἀπιστήσοντας ἐκεῖνο ἂν εἴποιμι, ὅτι ὁ δαίμων ὁ παρ' ἡμῖν, ὃν Ἀφροδίτην καλεῖτε, οὐκ αἰσχύνεται τοιούτους ἔχων θεραπευτάς. Οὐδὲν οὖν θαυμαστὸν καὶ τὸν δείλαιον ἐκεῖνον, τὸν ἅπαξ ἑαυτὸν ἐκδεδωκότα τῷ τῶν δαιμόνων γέλωτι, μὴ ἐγκαλύπτεσθαι ἐφ' οἷς οἱ παρ' αὐτῷ θεραπευόμενοι σεμνύνονται θεοί. Τί ἂν τις λέγοι τὰς νεκυομαντείας, τὰς τῶν παίδων σφαγάς; Αἱ γὰρ θυσίαι ἐκεῖναι, αἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας τολμώμεναι, μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ κατασταλεῖσαι, ἐτολμῶντο πάλιν, φανερῶς μὲν οὐκέτι· εἰ γὰρ καὶ βασιλεὺς ἦν καὶ μετ' ἐξουσίας ἅπαντα ἔπραττεν, ἀλλ' ὅμως ἡ τῆς τῶν δρωμένων ἀνοσιότητος ὑπερβολὴ τῆς ἐξουσίας τὸ μέγεθος ἤλεγχεν· ἐτολμῶντο δὲ οὖν ὅμως.

15. Οὗτος δὴ οὖν ὁ βασιλεὺς εἰς τὴν Δάφνην συνεχῶς ἀνιὼν μετὰ πολλῶν μὲν ἀναθημάτων, μετὰ πολλῶν δὲ θυσιῶν καὶ χειμάρρους αἱμάτων ἐργαζόμενος ἀπὸ τῆς τῶν θρεμμάτων σφαγῆς, ἐπέκειτο σφοδρὸς τὸν δαίμονα χρησμὸν ἀπαιτῶν καὶ ἀξιῶν ἀναιρεῖν ὑπὲρ τῶν κατὰ γνώμην αὐτῷ. Ὁ δὲ γενναῖος ἐκεῖνος,

καὶ ψάμμου τε ἀριθμὸν εἰδὼς καὶ μέτρα θαλάσσης, καὶ
κωφοῦ συνιείς, καὶ λαλέοντος ἀκούων,

ὥς φησι, τὸ μὲν εἰπεῖν διαρρήδην καὶ σαφῶς, ὅτι διὰ τὸν ἅγιον Βαβύλαν καὶ τὴν ἐκ γειτόνων δύναμιν ἐπιστομισθεὶς οὐ δύναται φθέγγεσθαι, παρῃτήσατο, δεδοικὼς μὴ γέλωτα παρὰ τοῖς θεραπευ-

αὐτοὶ ποὺ ἦταν παρόντες τότε καὶ εἶδαν ὅλα ἐκεῖνα ποὺ ἔγιναν, αὐτοὶ εἶναι καὶ ποὺ ἀκοῦν τώρα τὰ λεγόμενα. Γι' αὐτὸ βέβαια καὶ τὰ γράφω τώρα ποὺ ζοῦν ἀκόμη οἱ μάρτυρες, γιὰ νὰ μὴ νομίζη κανεὶς ὅτι ψεύδομαι μὲ πολλὴ εὐκολία διηγούμενος τὰ παλιὰ σὲ ἀνθρώπους ποὺ δὲν τὰ γνωρίζουν. Γιατὶ ἀπὸ ἐκείνους ποὺ εἶδαν αὐτὰ ζοῦν ἀκόμη καὶ γέροντες καὶ νέοι, καὶ ζητῶ ἀπ' ὅλους αὐτοὺς νὰ ἔλθουν καὶ νὰ μὲ ἐλέγξουν, ἂν κάτι ἔχη προστεθῆ ἀπὸ μένα. Ἀλλὰ δὲν θὰ μπορέσουν νὰ μὲ ἐλέγξουν γιὰ προσθῆκες, παρὰ μόνο γιὰ ἐλλειπῆ διήγηση αὐτῶν, γιατὶ δὲν εἶναι δυνατὸ νὰ παρουσιάση κανεὶς μὲ λόγια τὸ ὑπερβολικὸ μέγεθος τῆς ἀσχημοσύνης. Πρὸς τοὺς μεταγενεστέρους πάλι ποὺ δὲν θὰ πιστέψουν, θὰ μποροῦσα νὰ πῶ αὐτό, ὅτι ὁ δαίμονάς σας, τὸν ὁποῖο σεῖς οἱ Ἐθνικοὶ ὀνομάζετε Ἀφροδίτη, δὲν ντρέπεται νὰ ἔχη τέτοιους λάτρεις. Δὲν εἶναι λοιπὸν καθόλου παράδοξο καὶ ἐκεῖνος ὁ ἄθλιος, ποὺ παρέδωσε μιὰ γιὰ πάντα τὸν ἑαυτό του στὴν ἀπάτη τῶν δαιμόνων, νὰ μὴ ντρέπεται γιὰ ὅλα αὐτὰ μὲ τὰ ὁποῖα οἱ θεοί του εὐχαριστοῦνται λατρευόμενοι. Τί θὰ μποροῦσε νὰ πῆ κανεὶς γιὰ τὶς νεκρομαντεῖες, γιὰ τὶς σφαγὲς τῶν παιδιῶν; Γιατὶ οἱ θυσίες ἐκεῖνες, ποὺ τολμοῦσαν νὰ κάμνουν πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Χριστοῦ καὶ καταργήθηκαν μετὰ τὴ γέννησή του, τολμοῦσαν νὰ τὶς κάνουν πάλι, ὄχι ὅμως πιὰ φανερά. Γιατί, ἂν καὶ ἦταν βασιλεὺς καὶ εἶχε τὴ δύναμη νὰ τὰ κάμνη ὅλα, ὅμως τὸ ὑπερβολικὸ μέγεθος τῆς ἀνοσιότητας ἐκείνων ποὺ γίνονταν ἔλεγχε τὸ μέγεθος τῆς ἐξουσίας· πλὴν ὅμως τολμοῦσαν καὶ τὶς ἔκαμναν.

15. Αὐτὸς λοιπὸν ὁ βασιλεύς, ἀναβαίνοντας συνεχῶς στὴ Δάφνη μὲ πολλὰ ἀφιερώματα καὶ μὲ πολλὲς θυσίες καὶ σφάζοντας τόσα ζῶα, ὥστε νὰ σχηματίζεται χείμαρρος ἀπὸ τὸ αἷμα αὐτῶν, καταπίεζε μὲ ὅλη τὴ δύναμή του τὸν δαίμονα, ζητώντας ἀπὸ αὐτὸν χρησμὸ καὶ ἀξιώνοντας ἡ προφητεία του νὰ εἶναι σύμφωνη μὲ τὴν ἐπιθυμία του. Ὁ γενναῖος ὅμως ἐκεῖνος δαίμονας,

Ποὺ γνωρίζει τοὺς κόκκους τῆς ἄμμου καὶ τὰ μέτρα τῆς θάλασσας
καὶ συνεννοεῖται μὲ τὸν κωφὸ καὶ ἀκούει τὸν ἄλαλο,

ὅπως λέγει, ἀπέφυγε νὰ πῆ ἀπερίφραστα καὶ μὲ σαφήνεια, ὅτι ἐξ αἰτίας τοῦ ἁγίου Βαβύλα καὶ τῆς δυνάμεως ποὺ βρισκόταν ἐκεῖ κοντά του ἔκλεισε τὸ στόμα του καὶ δὲν μπορεῖ νὰ μιλήση, φοβούμενος μήπως γελοιποιηθῆ στοὺς πιστούς του. Θέλοντας ὅμως νὰ καλύψη

ταῖς ὄφλῃ τοῖς ἑαυτοῦ· βουλόμενος δὲ συσκιάσαι τὴν ἧτταν, εἶπε πρόφασιν τῆς σιγῆς, ἣ μᾶλλον αὐτὸν καταγελαστότερον ἀπέφηνε τῆς σιγῆς. Ἐκείνῳ μὲν γὰρ ἂν τὴν ἀσθένειαν καὶ τὴν ἀχημοσύνην καὶ τὴν ἀναισχυντίαν ἔδειξε, τὰ ἀσυσκίαστα συσκιάζειν ἐπιχειρῶν.

Τίς γὰρ ἡ πρόφασις; Νεκρῶν ἐστι, φησί, τὸ χωρίον ἡ Δάφνη μεστὸν καὶ τοῦτο κωλύει τὸν χρησμόν. Καὶ πόσῳ βέλτιον ἦν, ὦ δείλαιε, τοῦ μάρτυρος ὁμολογῆσαι τὴν δύναμιν, ἢ οὕτως ἀναίσχυντα προφασίζεσθαι; Καὶ ὁ μὲν δαίμων ταῦτα, ὁ δὲ ἀνόητος βασιλεύς, καθάπερ ἐν σκηνῇ παίζων καὶ δρᾶμα ὑποκρινόμενος, ἐπὶ τὸν μακάριον εὐθέως ἦλθε Βαβύλαν. Καίτοι, ὦ μιαροὶ καὶ παμμίαροι, εἰ μὴ ἀλλήλους ἐξηπατᾶτε ἑκόντες καὶ συνεπεκρίνασθε πρὸς τὴν τῶν λοιπῶν ἀπώλειαν, τί δή ποτε σὺ μὲν λέγεις ἀνωνύμως καὶ ἀδιορίστως τοὺς νεκρούς, σὺ δέ, ὡς ὀνομαστὶ καὶ μετὰ διορισμοῦ τινος ἀκούσας, τῶν ἄλλων ἀφέμενος τὸν ἅγιον μόνον κινεῖς; Ἐχρῆν γὰρ κατὰ τὴν τοῦ δαίμονος ἀπόφασιν πάσας ἀνορύττειν τὰς ἐν τῇ Δάφνῃ θήκας καὶ τὸ μορμολυκεῖον τῆς τῶν θεῶν ὄψεως ἀπάγειν ὡς πορρωτάτω.

Ἀλλ' οὐ περὶ πάντων εἶπε τῶν νεκρῶν. Τί οὖν τοῦτο οὐ διαρρήδην ὡμολόγησεν; Ἢ σοὶ τὸ δρᾶμα ὑποκρινομένῳ τῆς πλάνης τοῦτο ἀφῆκε τὸ αἴνιγμα. Ἐγὼ μὲν γὰρ λέγω τοὺς νεκρούς, φησίν, ὥστε μὴ δήλην γενέσθαι τὴν ἧτταν· καὶ ἄλλως γὰρ δέδοικα ὀνομαστὶ τὸν ἅγιον εἰπεῖν, σὺ δὲ νόει τὸ λεχθὲν καὶ ἀντὶ πάντων κίνει τὸν μάρτυρα· ἐκεῖνος γὰρ ἡμᾶς ἐπεστόμισε. Τοσαύτην κατέγνω παραπληξίαν τῶν θεραπευόντων αὐτόν, ὡς οὕτω φανερὰν ἀπάτην μὴ δυνηθῆναι συνιδεῖν. Εἰ γὰρ ἐξεστήκεσαν ἅπαντες, εἰ γὰρ ἐμεμήνεσαν, οὐδ' ἂν οὕτω διέφυγον τὴν τῆς ἥττης κατάγνωσιν, οὕτω φανερὰ πᾶσίν ἐστι καὶ σαφής. Εἰ γὰρ μίασμά τι καὶ μύσος ἐστίν, ὡς φῄς, τὰ νεκρὰ τῶν ἀνθρώπων σώματα, πολλῷ μᾶλλον τὰ τῶν ἀλόγων, ὅσῳ καὶ τὸ γένος ἀτιμότερον τοῦ γένους· πολλῶν δὲ καὶ

τὴν ἧττα του, βρῆκε μιὰ δικαιολογία γιὰ τὴ σιωπή του, ποὺ τὸν κατέστησε πιὸ γελοῖο αὐτή, παρὰ ἡ σιωπή του. Γιατὶ μὲ τὴ σιωπή του θὰ φανέρωνε μόνο τὴν ἀδυναμία του, ἐνῶ τώρα, ἐπιχειρώντας νὰ κρύψη ἐκεῖνα ποὺ δὲν κρύβονται, φανέρωσε καὶ τὴν ἀδυναμία του καὶ τὴν ἀσχημοσύνη του καὶ τὴν ἀδιαντροπιά του.

Ποιά λοιπὸν ἦταν ἡ δικαιολογία; Τὸ χωριὸ τῆς Δάφνης, λέγει, εἶναι γεμᾶτο ἀπὸ νεκροὺς καὶ αὐτὸ ἐμποδίζει τὸν χρησμό. Πόσο προτιμότερο ἦταν, ἄθλιε, νὰ ὁμολογήσης τὴ δύναμη τοῦ μάρτυρα, παρὰ νὰ προβάλλης τόσες ἀδιάντροπες δικαιολογίες; Καὶ αὐτὰ βέβαια εἶπε ὁ δαίμονας· ὁ ἀνόητος ὅμως βασιλεύς, σὰν νὰ ἔπαιζε ἐπάνω σὲ θεατρικὴ σκηνὴ δραματικὸ ἔργο, ἀμέσως ἦλθε ἐκεῖ στὸν μακάριο Βαβύλα. Καὶ ὅμως, μιαροὶ καὶ παμμίαροι, ἂν δὲν ἐξαπατούσατε συνειδητὰ ὁ ἕνας τὸν ἄλλο καὶ δὲν ὑποκρινόσαστε μαζὶ γιὰ τὴν ἀπώλεια τῶν ἄλλων, γιατί ἄραγε σὺ ὁ δαίμονας μιλᾶς ἀνώνυμα καὶ ἀπροσδιόριστα γιὰ τοὺς νεκρούς, ἐνῶ σὺ ὁ βασιλεύς, σὰν νὰ ἄκουσες ὀνομαστικὰ καὶ μὲ προσδιορισμό, ἀφήνεις τοὺς ἄλλους νεκροὺς καὶ ἐνοχλεῖς μόνο τὸν ἅγιο; Γιατὶ ἔπρεπε, σύμφωνα μὲ τὴν ἀπόφαση τοῦ δαίμονα, νὰ καταστρέψης ὅλες τὶς λειψανοθῆκες ποὺ ὑπῆρχαν στὴ Δάφνη καὶ ν' ἀπομακρύνης ὅσο τὸ δυνατὸ πιὸ μακριὰ τὸ φόβητρο αὐτὸ τῶν θεῶν.

Ἀλλὰ δὲν μίλησε γιὰ ὅλους τοὺς νεκρούς. Τί λοιπὸν δὲν τὸ ὡμολόγησε αὐτὸ ἀπερίφραστα; Ἀλλ' ἴσως φανέρωσε τὸ αἴνιγμα σὲ σένα μόνο ποὺ παίζεις μὲ ὑποκρισία τὸ δρᾶμα αὐτὸ τῆς ἀπάτης. Γιατί, λέγει, ἐγὼ μίλησα γιὰ τοὺς νεκρούς, γιὰ νὰ μὴ γίνη φανερὴ ἡ ἧττα μου, ἀλλὰ καὶ φοβᾶμαι νὰ ἀναφέρω ὀνομαστικὰ τὸν ἅγιο, σὺ ὅμως σκέψου καλὰ τὸ νόημα τοῦ χρησμοῦ καὶ μετάφερε ἀντὶ γιὰ ὅλες μόνο τὴ λειψανοθήκη τοῦ μάρτυρα, γιατὶ αὐτὸς ἔκλεισε τὸ στόμα μας. Τόση ἀνοησία γνώριζε ὅτι ἔχουν ἐκεῖνοι ποὺ τὸν λατρεύουν, ὥστε νὰ μὴ μποροῦν ν' ἀντιληφθοῦν μιὰ τέτοια φανερὴ ἀπάτη. Γιατί, καὶ ἂν ἀκόμη ἔχαναν ὅλοι τὰ μυαλά τους, κι ἂν ἀκόμη κυριεύονταν ἀπὸ τρέλλα, οὔτε καὶ τότε θὰ ἦταν δυνατὸ νὰ μὴ ἀναγνωρίσουν τὴν ἧττα τους· τόσο φανερὴ καὶ σαφὴς εἶναι σὲ ὅλους. Γιατί, ἄν, ὅπως λές, τὰ σώματα τῶν νεκρῶν ἀνθρώπων εἶναι κάποιο μίασμα καὶ βδέλυγμα, πολὺ περισσότερο εἶναι τὰ τῶν ἀλόγων ζώων, τόσο, ὅσο πιὸ ἄτιμο εἶναι τὸ γένος τῶν ζώων ἀπὸ τὸ γένος τῶν ἀνθρώπων. Κοντὰ λοιπὸν στὸ ναὸ εἶναι παραχωμένα ὀστᾶ πολ-

κυνῶν καὶ πιθήκων καὶ ὄνων ὀστᾶ πλησίον τοῦ ναοῦ κατορώρυκται καὶ ταῦτα μᾶλλον ἐχρῆν μετακινεῖν, εἰ μὴ πιθήκων ἀνθρώπους ἀτιμοτέρους ἡγῇ.

Ποῦ νῦν εἰσιν οἱ τὸ καλὸν τοῦ Θεοῦ δημιούργημα καὶ πρὸς ὑπηρεσίαν ἡμετέραν γεγονὸς τὸν ἥλιον ἐνυβρίζοντες καὶ τῷ δαίμονι τὸ ἄστρον ἐπιφημίζοντες, καὶ τοῦτο ἐκεῖνον εἶναι λέγοντες; Ὁ μὲν γὰρ ἥλιος, μυρίων ἐν τῇ γῇ κειμένων νεκρῶν, ἐκχεῖται κατὰ τῆς οἰκουμένης καὶ οὐδαμοῦ συστέλλει τὰς ἀκτῖνας οὐδὲ τὴν ἐκ τούτων ἐνέργειαν διὰ τοὺς μολυσμούς· ὁ δὲ Θεὸς ὁ ὑμέτερος βίους μὲν αἰσχροὺς καὶ μαγγανείας καὶ φόνους οὐκ ἀποστρέφεται, οὐδὲ μισεῖ, ἀλλὰ καὶ ἀγαπᾷ καὶ ἀσπάζεται καὶ φιλεῖ· σώματα δὲ ἐκτρέπεται τὰ ἡμέτερα· καίτοι τὸ μὲν τῆς κακίας εἶδος καὶ παρ' αὐτοῖς τοῖς δρῶσιν αὐτὸ μυρίας καταγνώσεως ἄξιον εἶναι δοκεῖ, τὸ δὲ σῶμα τὸ νεκρὸν καὶ ἀκίνητον οὐδὲ μιᾶς μετέχει μέμψεως καὶ αἰτίας. Ἀλλ' αὕτη τῶν δαιμόνων ὑμῶν ἡ προαίρεσιος, βδελύττεσθαι τὰ παντὸς ἄξια μίσους καὶ ἀποστροφῆς. Καὶ ἀνὴρ μὲν ἀγαθὸς οὐδὲ βουλεύσασθαί τι χρήσιμον, οὔτε πρᾶξαί τι τῶν δεόντων ὑπὸ σώματος κωλυθήσεται νεκροῦ· ἀλλὰ ἂν ὑγιαίνῃ τὴν ψυχήν, καὶ παρ' αὐτοῖς οἰκῶν τοῖς τάφοις, καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ πᾶσαν ἐπιδείξεται τὴν ἀρετήν. Καὶ χειροτέχνης δὲ ἕκαστος ἀνεμποδίστως τὰ τῆς οἰκείας ἐπιστήμης πάντα ἐργάσεται καὶ παρέξει τοῖς δεομένοις αὐτοῦ, οὐ πλησίον νεκρῶν καθήμενος μόνον, ἀλλὰ κἂν αὐτὰ τὰ μνήματα τῶν κατοιχομένων οἰκοδομῆσαι δέῃ, καὶ ὁ ζωγράφος καὶ ὁ λιθοξόος καὶ ὁ τέκτων καὶ ὁ χαλκοτύπος καὶ πάντες τὰ αὐτῶν συνεισφέρουσι· μόνος δὲ πάντων ὁ Ἀπόλλων ὑπὸ τῶν νεκρῶν κωλύεσθαί φησι τὰ μέλλοντα προορᾶν.

Καὶ μὴν καὶ παρ' ἡμῖν ἄνδρες γεγόνασι μεγάλοι καὶ θαυμαστοὶ καὶ τὰ πρὸ τετρακοσίων καὶ χιλίων προεῖπον ἐτῶν καὶ προλέγοντες οὐδὲν τούτων οὔτε ἐζήτησαν, οὔτε ἐμέμψαντο, οὔτε τοὺς τάφους τῶν ἀπελθόντων ἀναρρήγνυσθαι ἐκέλευσαν, καὶ τοὺς κειμένους ῥίπτεσθαι καὶ τυμβωρυχίας ξένον καὶ ἀναίσχυντον ἐπινοεῖν τρόπον· ἀλλ' οἱ μὲν αὐτῶν ἔθνεσι παροικοῦντες ἀθέοις καὶ μιαροῖς,

λῶν καὶ σκύλλων καὶ πιθήκων καὶ ὄνων καὶ ἔπρεπε νὰ μετακινήσῃς αὐτὰ μᾶλλον, ἂν βέβαια δὲν θεωρῇς τοὺς ἀνθρώπους πιὸ ἄτιμους ἀπὸ τοὺς πιθήκους.

Ποῦ εἶναι λοιπὸν τώρα ἐκεῖνοι ποὺ ὑβρίζουν τὸ καλὸ δημιούργημα τοῦ Θεοῦ, τὸν ἥλιο, ποὺ δημιουργήθηκε γιὰ νὰ μᾶς ὑπηρετῇ, ταυτίζοντας τὸν δαίμονα μὲ τὸ ἀστέρι καὶ λέγοντας ὅτι ὁ ἥλιος εἶναι ὁ δαίμονας Ἀπόλλων; Γιατὶ ὁ ἥλιος, ἐνῶ ἡ γῆ εἶναι γεμάτη ἀπὸ νεκρούς, στέλνει τὸ φῶς του σ' ὅλη τὴν οἰκουμένη καὶ πουθενὰ δὲν περιορίζει τὶς ἀκτῖνες του, οὔτε καὶ τὴν ἐνέργειά του ἐξ αἰτίας τῶν μολυσμῶν, ὁ δικός σας ὅμως θεὸς δὲν ἀποστρέφεται βέβαια τοὺς αἰσχροὺς βίους, τὶς μαγεῖες καὶ τοὺς φόνους οὔτε καὶ τὰ μισεῖ, ἀλλὰ τὰ ἀγαπᾶ καὶ τὰ ἀσπάζεται καὶ τὰ ἐπιθυμεῖ, ἐνῶ ἀποστρέφεται τὰ δικά μας σώματα. Ἂν καὶ βέβαια τὸ κάθε εἶδος τῆς κακίας καταδικάζεται καὶ ἀπὸ ἐκείνους ποὺ τὴν διαπράττουν, ἐνῶ τὸ νεκρὸ καὶ ἀκίνητο σῶμα δὲν δέχεται καμμιὰ κατηγορία καὶ μέμψη. Ἀλλ' αὐτὴ εἶναι ἡ θέληση τῶν θεῶν σας, νὰ θεωρῆτε μιαρὰ ἐκεῖνα ποὺ δὲν εἶναι μιαρὰ καὶ νὰ τιμᾶτε καὶ νὰ ἀποδέχεσθε τὰ ἄξια γιὰ κάθε μῖσος καὶ ἀποστροφή. Ὁ ἀγαθὸς ἄνθρωπος δὲν ἐμποδίζεται ἀπὸ τὸ νεκρὸ σῶμα νὰ σκεφθῇ κάτι χρήσιμο ἢ νὰ κάνῃ κάτι πρέπον, ἀλλ' ἂν ἔχῃ ὑγιῆ τὴν ψυχή του, κι ἂν ἀκόμη κατοικῇ κοντὰ στὰ μνήματα, μπορεῖ νὰ ἀσκήσῃ καὶ τὴ σωφροσύνη καὶ τὴ δικαιοσύνη καὶ κάθε ἄλλη ἀρετή. Καὶ κάθε τεχνίτης ἐπίσης μπορεῖ ἀνεμπόδιστα ν' ἀσκήσῃ τὴν τέχνη του καὶ νὰ προσφέρῃ τὴν ὑπηρεσία του σ' ἐκείνους ποὺ τὴν ἔχουν ἀνάγκη, ὄχι μόνο διαμένοντας κοντὰ στοὺς νεκρούς, ἀλλὰ κι ὅταν χρειάζεται νὰ οἰκοδομηθοῦν τὰ μνήματα τῶν πεθαμένων, προσφέρουν τὴν ἀνάλογη ὑπηρεσία τους καὶ ὁ ζωγράφος καὶ ὁ γλύπτης καὶ ὁ κτίστης καὶ ὁ χαλκουργός· μόνο ὁ Ἀπόλλωνας ἀπὸ ὅλους λέγει, ὅτι ἐμποδίζεται ἀπὸ τοὺς νεκροὺς νὰ μαντεύῃ τὸ μέλλον.

Καὶ βέβαια ὑπῆρξαν ἄνδρες σὲ μᾶς μεγάλοι καὶ θαυμαστοί, ποὺ προφήτευσαν ὅσα ἔγιναν μετὰ ἀπὸ τετρακόσια καὶ χίλια ἔτη, καὶ προφητεύοντας αὐτὰ δὲν ζήτησαν τίποτε ἀπὸ αὐτὰ οὔτε κατηγόρησαν κανένα οὔτε καὶ διέταξαν νὰ καταστραφοῦν οἱ τάφοι καὶ νὰ ριφθοῦν μακριὰ οἱ νεκροί, ἐπινοώντας κάποιον παράξενο καὶ ἀδιάντροπο τρόπο τυμβωρυχίας. Ἀπὸ αὐτοὺς ἄλλοι ζοῦσαν κοντὰ σὲ ἔθνη ἄθεα καὶ ἀκάθαρτα, καὶ ἄλλοι ἀνάμεσα σὲ βαρβάρους, ὅπου

οἱ δὲ ἐν μέσοις τοῖς βαρβάροις ὄντες, ἔνθα τὰ ἀληθῶς μολυσμοῦ ἄξια καὶ μιασμοῦ πάντα ἐδρᾶτο, μετὰ ἀληθείας ἅπαντα προύλεγον καὶ οὐδὲν αὐτοὺς ὁ τῶν ἄλλων μιασμὸς ἐκώλυεν εἰς τὴν πρόρρησιν. Τί δή ποτε; Ὅτι ἐκεῖνοι μὲν ἀληθῶς ὑπὸ θείας ἐνεργούμενοι δυνάμεως ἔλεγον ἅπερ ἔλεγον, ὁ δὲ δαίμων, κενὸς τῆς ἐνεργείας ἐκείνης καὶ ἔρημος ὤν, εἶχε μὲν οὐδὲν προειπεῖν, ὑπὲρ δὲ τοῦ μὴ δόξαι ἀπορεῖν, πιθανὰ ἁπλῶς καὶ καταγέλαστα προφασίζεσθαι ἀναγκάζεται. Διὰ τί γάρ, εἰπέ μοι, κατὰ τὸν ἔμπροσθεν χρόνον οὐδέποτέ τι τοιοῦτον εἶπεν, οὐδὲ ἐφθέγξατο; Ὅτι τότε μὲν εἶχε τὸ μὴ θεραπεύεσθαι πρόφασιν, ταύτης δὲ αὐτῷ τῆς ἀπολογίας περιαιρεθείσης, κατέφυγεν ἐπὶ τοὺς νεκρούς, στενοχωρηθεὶς μή τι πάθοι. Οὐ γὰρ ἐβούλετο ἀσχημονεῖν, ἀλλ' ὑμεῖς αὐτὸν ἠναγκάσατε, διὰ τῆς πολλῆς θεραπείας τὴν ἀπολογίαν ἐκκόψαντες καὶ οὐκ ἀφέντες εἰς τὴν τῶν θυσιῶν σπάνιν καταφυγεῖν.

16. Ἀκούσας δὴ ταῦτα ὁ ὑποκριτὴς ἐκέλευσε κατενεχθῆναι τὴν λάρνακα, ἵνα πᾶσιν ἡ ἧττα δήλη γένηται καὶ καταφανής. Εἰ μὲν γὰρ εἶπεν ὅτι διὰ τὸν ἅγιον οὐ δύναμαι φθέγγεσθαι, ἀλλὰ μηδὲν κινεῖτε, μηδ' ἐνοχλεῖτε περαιτέρω, τοῖς αὐτοῦ μόνοις ἂν ἐγένετο φανερόν· οὐ γὰρ ἂν εἰς ἑτέρους τοῦτο ἐξήνεγκαν αἰσχυνόμενοι· νῦν δὲ ὥσπερ ἐκπομπεῦσαι σπουδάζων τὴν ἀσθένειαν αὐτοῦ, οὕτως ἅπαντα πράττειν ἠνάγκαζε, δι' ὧν οὐδὲ βουλομένῳ ἐνῆν συσκιάσαι τὸ γεγονός. Οὐδε γὰρ ἔτι δυνατὸν διασωθῆναι τὴν ὑπόκρισιν, διὰ τὸ μηδένα τῶν ἄλλων νεκρῶν, ἀλλὰ μόνον τὸν μάρτυρα μετακινηθῆναι ἐκεῖθεν. Καὶ οὐχ οἱ τὴν πόλιν οἰκοῦντες μόνον καὶ τὸ προάστειον καὶ τοὺς ἀγρούς, ἀλλὰ καὶ οἱ πόρρωθεν ἀφιστάμενοι τῶν χωρίων καὶ τὴν λάρνακα οὐχ ὁρῶντες κειμένην, εἶτα τὴν αἰτίαν ἐξετάζοντες εὐθέως ἐμάνθανον, ὡς ὁ δαίμων παρὰ τοῦ βασιλέως ἀξιούμενος μαντεύεσθαι, εἶπε τοῦτο μὴ δύνασθαι ποιεῖν, ἕως ἂν αὐτοῦ τὸν μακάριον ἀποστήσῃ τις Βαβύλαν. Καίτοι γε, ὦ καταγέλαστε, ἐνῆν σοι καὶ εἰς ἑτέρας προφάσεις καταφυγεῖν, οἷα πολλάκις ποιεῖς, μυρία τεχνάζων ἐν ταῖς ἀπορίαις ἀεί· πρὸς μὲν τὸν Λυδὸν εἰπών, ὅτι Ἅλυν τὸν ποταμὸν διαβὰς μεγάλην ἀρχὴν καταλύσει,

διαπράττονταν ὅλες οἱ πραγματικὰ μιαρὲς καὶ βδελυκτὲς πράξεις, κι ὅμως προφήτευαν πράγματι ὅλα καὶ καθόλου δὲν τοὺς ἐμπόδιζε ὁ μολυσμὸς τῶν ἄλλων στὴν προφητεία. Γιατί ἄραγε; Ἐπειδὴ ἐκεῖνοι ἔλεγαν, ἐκεῖνα ποὺ ἔλεγαν, κινούμενοι πράγματι ἀπὸ θεία δύναμη, ἐνῶ ὁ δαίμονας, ἄδειος καὶ γυμνὸς ἀπὸ τὴ δύναμη ἐκείνη, δὲν μποροῦσε τίποτε νὰ προφητέψη, ἀλλὰ γιὰ νὰ μὴ φανῆ ὅτι δὲν μποροῦσε νὰ τὸ κάμη, ἀναγκάσθηκε νὰ προβάλη ἁπλῶς γελοῖες δικαιολογίες. Πές μου, γιατί παλαιότερα δὲν προφήτεψε ποτὲ κάτι τέτοιο, ἀλλ' οὔτε καὶ μίλησε; Γιατὶ τότε εἶχε σὰν δικαιολογία τὸ ὅτι δὲν λατρευόταν, ὅταν ὅμως τοῦ ἀφαιρέθηκε ἡ δικαιολογία αὐτή, κατέφυγε στοὺς νεκρούς, φοβούμενος μὴ πάθη κάτι. Δὲν ἤθελε δηλαδὴ ὁ Ἀπόλλωνας νὰ ἀσχημονῆ, ἀλλὰ σεῖς τὸν ἀναγκάσατε, ἀφαιρώντας του μὲ τὴν πολλὴ λατρεία σας τὴ δικαιολογία καὶ μὴ ἀφήνοντάς τον νὰ καταφύγη στὴ δικαιολογία ὅτι οἱ θυσίες εἶναι λίγες.

16. Ὅταν λοιπὸν ὁ ὑποκριτὴς βασιλεὺς ἄκουσε αὐτά, διέταξε νὰ κατεβάσουν τὴ λειψανοθήκη, γιὰ νὰ γίνη φανερὴ καὶ γνωστὴ σ' ὅλους ἡ ἧττα. Ἂν ἔλεγε δηλαδὴ ὁ δαίμονας, ὅτι ἐξ αἰτίας τοῦ ἁγίου δὲν μπορῶ νὰ μιλήσω, ἀλλ' ὅμως μὴ τὸν μετακινήσετε, οὔτε καὶ νὰ τὸν ἐνοχλήσετε ἄλλο, θὰ γινόταν φανερὴ ἡ ἧττα του μόνο στοὺς πιστούς του, γιατὶ ἀπὸ ντροπὴ δὲν θὰ τὸ γνωστοποιοῦσαν σὲ ἄλλους. Τώρα ὅμως, θέλοντας νὰ διαπομπεύση κατὰ κάποιο τρόπο τὴν ἀδυναμία του, τὸν ἐξανάγκαζε νὰ γίνουν ἔτσι ὅλα, ὥστε νὰ μὴ εἶναι δυνατό, κι ἂν ἀκόμη ἤθελε, νὰ συγκαλύψη τὸ γεγονός. Γιατὶ δὲν ἦταν πιὰ δυνατὸ νὰ καλυφθῆ ἡ ὑποκρισία, ἀφοῦ κανεὶς ἄλλος ἀπὸ τοὺς νεκροὺς δὲν μετακινήθηκε ἀπὸ ἐκεῖ, παρὰ μόνο ὁ μάρτυρας. Κι ὄχι μόνο ἐκεῖνοι ποὺ κατοικοῦν στὴν πόλη καὶ στὸ προάστειο καὶ στοὺς ἀγρούς, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ ἔρχονταν ἀπὸ μέρη μακρυνά, βλέποντας τὴ λειψανοθήκη νὰ μὴ εἶναι ἐκεῖ καὶ ζητώντας νὰ μάθουν τὴν αἰτία, μάθαιναν ὅτι ὁ δαίμονας, ἐπειδὴ τοῦ ζητήθηκε ἀπὸ τὸν βασιλέα νὰ μαντεύση, εἶπε ὅτι δὲν μπορεῖ νὰ τὸ κάμη αὐτό, μέχρι ποὺ ν' ἀπομακρύνη κάποιος ἀπὸ κοντά του τὸν ἅγιο Βαβύλα. Ἂν καὶ βέβαια, καταγέλαστε δαίμονα, μποροῦσες νὰ καταφύγης καὶ σὲ ἄλλες δικαιολογίες, ὅπως κάμνεις πολλὲς φορές, μηχανευόμενος ἄπειρα τεχνάσματα γιὰ τὶς ἀπορίες ἄλλων. Στὸν βασιλέα τῆς Λυδίας ποὺ τοῦ εἶπες, ὅτι, ἂν διαβῆ τὸν ποταμὸ Ἅλυν, θὰ καταστρέψη μεγάλο βασίλειο, τὸν παρουσίασες νὰ θανατώνεται πάνω

καὶ δείξας αὐτὸν ἐπὶ τῆς πυρᾶς· ἐπὶ δὲ τῆς Σαλαμῖνος αὐτῷ τε τῷ σοφῷ τούτῳ χρησάμενος καὶ τὸν καταγέλαστον σύνδεσμον προσθείς. Τὸ μὲν γὰρ εἰπεῖν,

Ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,

ὅμοιον ἦν τῷ τοῦ Λυδοῦ, τὸ δὲ προσθεῖναι,

Ἤ τοι σκιδναμένης Δημήτερος, ἢ συνιούσης,

πλείονος γέλωτος καὶ τοῖς ἐν ταῖς τριόδοις ὑπὸ τῶ ἀγυρτῶν λεγομένοις προσεοικός· ἀλλ' οὐδὲ τοῦτο ἤθελες.

Καὶ ἐξῆν ἀσαφείᾳ κρύψαι τὸν λόγον· καὶ γὰρ τοῦτο τῆς τέχνης ἀεὶ τῆς σῆς· ἀλλ' ἐπέκειντο πάντες πάλιν ἀγνοοῦντες καὶ λύσιν ἐπιζητοῦντες. Καὶ ἐνῆν σοι καταφυγεῖν ἐπὶ τοὺς ἀστέρας· καὶ γὰρ καὶ τοῦτο ποιεῖς πολλάκις καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς. Οὐ γὰρ πρὸς ἄνδρας νοῦν ἔχοντες ὁ λόγος ἐστί σοι, ἀλλὰ πρὸς θρέμματα καὶ θρεμμάτων ἀλογωτέρους. Οὐκ ἦσαν τῶν Ἑλλήνων σοφώτεροι τῶν ταῦτα ἀκουόντων, καὶ οὐκ ἀφισταμένων τῆς ἀπάτης. Ἀλλὰ συνεώρων τὸ ψεῦδος; Οὐκοῦν ἐχρῆν τἀληθῆ πρὸς τὸν ἱερέα μόνον εἰπεῖν καὶ αὐτὸς ἂν ηὗρέ σου μᾶλλον συσκιάσαι τὴν ἧτταν. Νῦν δὲ τίς σε ἔπεισεν, ἄθλιε, εἰς οὕτω φανερὰν σαυτὸν ἀναισχυντίαν ἐμβαλεῖν; Ἀλλὰ τάχα σὺ μὲν οὐδὲν ἥμαρτες, ὁ δὲ βασιλεὺς κακῶς ὑπεκρίνατο, ἀδιορίστως μὲν περὶ τῶν νεκρῶν ἀκούσας, ἐπὶ δὲ τὸν ἅγιον μόνον ἐλθών· ἐκεῖνός σε διήλεγξε καὶ τὴν ἀπάτην ἐγύμνωσεν, ἀλλ' οὐδὲ ἐκεῖνος ἑκών· οὐ γὰρ ἦν τοῦ αὐτοῦ, τοσούτοις τε ἀναθήμασι τιμᾶν καὶ πάλιν ὑβρίζειν τὸν αὐτόν· ἀλλὰ πάντας ὁμοῦ τοῦ μάρτυρος ἐσκότωσεν ἡ δύναμις καὶ οὐκ ἀφῆκε συνιδεῖν τὰ γινόμενα, ἀλλ' ἐπράττετο μὲν ἅπαντα ὡς κατὰ Χριστιανῶν, περιετρέπετο δὲ οὐκ εἰς τοὺς πάσχοντας, ἀλλ' εἰς τοὺς δρῶντας ὁ γέλως.

39. Πρόκειται γιὰ τὸν βασιλέα τῆς Λυδίας Κροῖσο, ὁ ὁποῖος ἀφοῦ ἔλαβε ἀπὸ τὸ Μαντεῖο τῶν Δελφῶν τὸν χρησμὸ «Κροῖσος Ἅλυν διαβάς, μεγάλην ἀρχὴν καταλύσει», ἐξεστράτευσε ἐναντίον τοῦ βασιλέως τῶν Περσῶν Κύρου, ἀπὸ τὸν ὁποῖο ἡττήθηκε. Συνελήφθηκε τότε καὶ καταδικάσθηκε στὸν διὰ πυρᾶς θάνατο, σώθηκε ὅμως ἐξ αἰτίας τῆς περιέργειας τοῦ Κύρου, ποὺ θέλησε νὰ μάθη τὸν λόγο γιὰ τὸν ὁποῖο ἐπικαλοῦνταν τὸ ὄνομα τοῦ Ἀθηναίου νομοθέτη Σόλωνα.

στὴ πυρά[39]. Σχετικὰ πάλι μὲ τὸν χρησμό σου γιὰ τὴ Σαλαμῖνα χρησιμοποίησες τὸ ἴδιο σοφὸ τέχνασμα, προσθέτοντας τὴν καταγέλαστη ἐκείνη προσθήκη. Γιατὶ ὁ χρησμός σου,

Θὰ χάσης τὰ τέκνα τῶν γυναικῶν,

ἦταν ὅμοιος μὲ τὸν χρησμὸ τοῦ Λυδοῦ, ἀλλ' ἡ προσθήκη,

Ἢ ὅταν σκορπίζεται ἡ Δήμητρα ἢ ὅταν συλλέγεται»[40]

ἦταν περισσότερο γελοία καὶ μοιάζει μ' αὐτὸ ποὺ λένε οἱ ἀγύρτες στοὺς δρόμους. Ὅμως οὔτε καὶ αὐτὸ τὸ ἤθελες.

Καὶ μποροῦσες μὲ ἀσάφεια ν' ἀποκρύψης τὴν αἰτία, γιατὶ αὐτὸ εἶναι πάντοτε τὸ γνώρισμα τῆς τέχνης σου, ἀλλὰ θὰ ἔρχονταν πάλι ὅλοι ἐκεῖνοι ποὺ δὲν θὰ τὸ κατανοοῦσαν καὶ θὰ ζητοῦσαν ἐπίμονα τὴ λύση. Μποροῦσες ἐπίσης νὰ καταφύγης στὰ ἄστρα, ἀφοῦ καὶ αὐτὸ πολλὲς φορὲς τὸ κάμνεις καὶ δὲν ντρέπεσαι οὔτε κοκκινίζεις. Γιατὶ ὁ λόγος σου δὲν ἀπευθύνεται σὲ μυαλωμένους ἀνθρώπους, ἀλλὰ σὲ ζῶα ἢ καὶ σὲ πιὸ ἀνόητους ἀπὸ τὰ ζῶα. Δὲν ἦταν πιὸ σοφοὶ ἀπὸ τὰ ζῶα ὅσοι ἀπὸ τοὺς Ἐθνικοὺς ἄκουαν αὐτὰ καὶ δὲν ἀπομακρύνονταν ἀπὸ τὴν ἀπάτη. Ἀλλὰ μήπως γνώριζαν τὸ ψεῦδος; Ἔπρεπε λοιπὸν νὰ πῆς στὸν ἱερέα μόνο τὴν ἀλήθεια καὶ αὐτὸς θὰ μποροῦσε καλύτερα ἀπὸ σένα νὰ συγκαλύψη τὴν ἧττα. Τώρα ὅμως, ἄθλιε, ποιός σὲ ἔπεισε νὰ φορτώσης τὸν ἑαυτό σου μὲ μιὰ τόσο φανερὴ ἀδιαντροπιά; Ἀλλ' ἴσως σὺ νὰ μὴ ἔσφαλες σὲ τίποτε καὶ ὁ βασιλεὺς ἐνήργησε κακῶς μὲ τὸν ὑποκριτικὸ αὐτὸ τρόπο, γιατί, ἐνῶ ἄκουσε ἀπροσδιόριστα γιὰ τοὺς νεκρούς, ἦλθε καὶ ἐφάρμοσε τὰ λόγια σου ἐναντίον μόνο τοῦ ἁγίου. Ἐκεῖνος σὲ ἔλεγξε καὶ ξεσκέπασε τὴν ἀπάτη, ἀλλ' οὔτε ἐκεῖνος μὲ τὴ θέλησή του· γιατὶ δὲν ἦταν δυνατὸ νὰ σὲ τιμᾶ αὐτὸς μὲ τόσα ἀφιερώματα καὶ ὁ ἴδιος πάλι νὰ σὲ ἐξυβρίζη· ἀλλ' ἡ δύναμη τοῦ μάρτυρα θόλωσε τὸν νοῦ ὅλων καὶ δὲν ἄφησε ν' ἀντιληφθοῦν ἐκεῖνα ποὺ γίνονταν. Φαινόταν ὅτι ὅλα γίνονταν ἐναντίον τῶν Χριστιανῶν, ὁ ἐξευτελισμὸς ὅμως στρεφόταν ὄχι ἐναντίον αὐτῶν ποὺ πάθαιναν αὐτά, ἀλλ' ἐναντίον ἐκείνων ποὺ

40. Ὁ χρησμὸς αὐτὸς δόθηκε στοὺς Ἀθηναίους ἀπὸ τὸ μαντεῖο τῶν Δελφῶν πρὶν ἀπὸ τὴν ναυμαχία τῆς Σαλαμίνας. Βλ. Ἡροδότου *Ἱστορία* 7,141

Οὕτω που καὶ οἱ μαινόμενοι δοκοῦσι μὲν ἀεὶ τοὺς πλησίον ἀμύνεσθαι τοὺς τοίχους λακτίζοντες καὶ ρητὰ καὶ ἄρρητα τοὺς παρόντας λέγοντες κακά· αἰσχύνουσι δὲ δι' ὧν ποιοῦσιν οὐκ ἐκείνους, ἀλλ' ἑαυτούς· ὃ δὴ καὶ τότε ἐγένετο.

Εἵλκετο μὲν γὰρ ἡ λάρναξ διὰ τῆς ὁδοῦ πάσης, ἐπανῄει δὲ ὁ μάρτυς καθάπερ τις ἀθλητὴς εἰς τὴν ἑαυτοῦ πόλιν δεύτερον φέρων στέφανον, ἐν ᾗ καὶ τὸν πρότερον ἀνεδήσατο. Ὥστε, εἴ τις μὴ καταδέχοιτο τὴν ἀνάστασιν, λεμπρότερα τοῦ μάρτυρος μετὰ τὴν τελευτὴν ἔργα θεώμενος αἰσχυνέσθω λοιπόν. Οἷον γάρ τις ἀριστεύς, τροπαίοις συνῆπτε τρόπαια, μεγάλοις μείζονα καὶ θαυμαστοῖς θαυμαστότερα. Τότε μὲν γὰρ πρὸς βασιλέα μόνον ἠγωνίσατο, νῦν δὲ καὶ πρὸς βασιλέα καὶ δαίμονα· καὶ τότε μὲν τῶν ἱερῶν περιβόλων τὸν κρατοῦντα ἀπήλασε, νῦν δὲ τοῦ χωρίου παντὸς τῆς Δάφνης τὸν λυμεῶνα ἀπήγαγεν, οὐ χειρὶ χρώμενος καθάπερ καὶ πρότερον, ἀλλ' ἀοράτῳ δυνάμει τὴν ἀόρατον καταγωνιζόμενος. Καὶ ζῶντος μὲν οὐκ ἤνεγκε τὴν παρρησίαν ὁ ἀνδροφόνος, τελευτήσαντος δὲ οὐχ ὑπέμεινε τὴν κόνιν οὔτε ὁ βασιλεύς, οὔτε ὁ δαίμων ὁ ταῦτα κινῶν τὸν βασιλέα ποιεῖν. Ὅτι γὰρ μείζονα τοῦ προτέρου φόβον τούτοις τοῖς δευτέροις εἰργάσατο, δῆλον ἐκεῖθεν. Ἐκεῖνος μὲν γὰρ αὐτὸν λαβὼν καὶ ἔδησε καὶ ἀνεῖλεν, οὗτοι δὲ μόνον μετέθηκαν. Διὰ τί γὰρ μὴ καταποντίσαι τὴν λάρνακα μήτε ἐκεῖνος ἐκέλευσε, μήτε οὗτος ἐθέλησε; διὰ τί μὴ συνέτριψε καὶ κατέκαυσε; διὰ τί μὴ εἰς ἔρημον καὶ ἀοίκητον αὐτὴν ἀπενεχθῆναι προσέταξεν; Εἰ γὰρ ἄγος ἦν καὶ μίασμα καὶ βδελυττόμενος, ἀλλὰ μὴ δεδοικώς, ἐκεῖθεν αὐτὴν ἐκίνησεν, οὐκ εἰς τὴν πόλιν ἐχρῆν τὸ ἄγος εἰσάγειν, ἀλλ' ἀποικίζειν εἰς ὄρη καὶ νάπας.

17. Ἀλλ' ᾔδει καὶ αὐτοῦ τοῦ Ἀπόλλωνος οὐχ ἧττον ὁ δείλαιος τοῦ μακαρίου τὴν ἰσχὺν καὶ τὴν παρρησίαν τὴν πρὸς τὸν Θεὸν καὶ ἔδεισε, μὴ τοῦτο ἐργασάμενος σκηπτὸν ἤ τινα νόσον ἑτέραν ἐφ' ἑαυτὸν προκαλέσηται. Καὶ γὰρ εἶχε πολλὰ τῆς τοῦ Χριστοῦ δυνά-

τὰ ἔκαμναν. Κάτι τέτοιο συμβαίνει καὶ μὲ τοὺς μανιακούς· νομίζουν πάντοτε ὅτι προστατεύουν τὸν ἑαυτό τους ἀπὸ τοὺς πλησίον μὲ τὸ νὰ κλωτσοῦν τοὺς τοίχους καὶ νὰ ἐκστομίζουν ὕβρεις ἐναντίον τῶν παρόντων, μὲ ὅσα ὅμως κάμνουν ντροπιάζουν ὄχι ἐκείνους, ἀλλὰ τὸν ἑαυτό τους, πρᾶγμα ποὺ συνέβηκε καὶ τότε.

Πραγματικὰ συρόταν ἡ λειψανοθήκη κατὰ μῆκος ὅλου τοῦ δρόμου, ἀλλ' ὁ μάρτυρας, σὰν ἀθλητὴς στεφανωμένος, ἐπανερχόταν γιὰ δεύτερη φορὰ στὴν πόλη του, στὴν ὁποία ἔλαβε τὸ στεφάνι καὶ τὴν πρώτη φορά. Ὥστε, ἂν κάποιος δὲν παραδέχεται τὴν ἀνάσταση, ἂς ντραπῆ τώρα, βλέποντας τὸν μάρτυρα νὰ κάμνη μετὰ τὸν θάνατό του ἔργα λαμπρότερα. Καθ' ὅσον σὰν πρωταθλητὴς πρόσθετε τρόπαια ἐπάνω σὲ τρόπαια, ἐπάνω στὰ μεγάλα μεγαλύτερα καὶ στὰ θαυμαστὰ θαυμαστότερα. Γιατὶ τότε ἀγωνίσθηκε ἐναντίον μόνο τοῦ βασιλέως, ἐνῶ τώρα ἐναντίον καὶ τοῦ βασιλέως καὶ τοῦ δαίμονα· καὶ τότε βέβαια ἔδιωξε ἀπὸ τὶς ἱερὲς αὐλὲς τοῦ ναοῦ τὸν βασιλέα, ἐνῶ τώρα ἀπομάκρυνε ἀπὸ ὅλον τὸν χῶρο τῆς Δάφνης τὸν καταστροφέα, χρησιμοποιώντας ὄχι, ὅπως προηγουμένως, τὰ χέρια του, ἀλλὰ ἀγωνιζόμενος μὲ ἀόρατη δύναμη ἐναντίον τοῦ ἀόρατου δαίμονα. Καὶ ὅταν ζοῦσε ὁ μάρτυρας ὁ φονιὰς βασιλεὺς δὲν ἀνέχθηκε τὴν παρρησία του, ὅταν ὅμως πέθανε δὲν μπόρεσε νὰ ὑποφέρη τὴ σκόνη τῶν ὀστῶν του οὔτε ὁ βασιλεὺς οὔτε ὁ δαίμονας, ποὺ παρακινοῦσε τὸν βασιλέα νὰ τὰ κάμνη αὐτά. Τὸ ὅτι βέβαια μὲ αὐτὰ τὰ δεύτερα γεγονότα προξένησε μεγαλύτερο φόβο ἀπὸ τὸν πρῶτο γίνεται φανερὸ ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Γιατὶ ὁ βασιλεὺς ἐκεῖνος ἀφοῦ τὸν συνέλαβε τὸν φυλάκισε καὶ μετὰ τὸν φόνευσε, ἐνῶ αὐτοὶ μόνο τὸν μετέφεραν. Γιατί λοιπὸν οὔτε ὁ δαίμονας διέταξε νὰ καταποντισθῆ ἡ λειψανοθήκη οὔτε ὁ βασιλεὺς τὸ θέλησε; γιατί δὲν τὴν συνέτριψε καὶ δὲν τὴν κατέκαυσε; γιατί δὲν διέταξε νὰ μεταφερθῆ σὲ ἔρημο καὶ ἀκατοίκητο μέρος; Γιατί, ἂν ἦταν βδέλυγμα καὶ μίασμα καὶ τὴν μετέφερε ἀπὸ ἐκεῖ ἐπειδὴ τὴν θεωροῦσε βδέλυγμα καὶ ὄχι ἀπὸ φόβο, ἔπρεπε τότε νὰ μὴ εἰσαγάγη στὴν πόλη τὸ βδέλυγμα, ἀλλὰ νὰ τὸ μεταφέρη μακριὰ στὰ ὄρη καὶ στὰ φαράγγια.

17. Ἀλλ' ὁ ἄθλιος βασιλεὺς γνώριζε καλύτερα καὶ ἀπὸ τὸν ἴδιο τὸν Ἀπόλλωνα τὴ δύναμη καὶ τὴν παρρησία τοῦ μακαρίου πρὸς τὸν Θεὸ καὶ φοβήθηκε μήπως, κάμνοντας αὐτό, προκαλέση ἐναντίον του κεραυνὸ ἢ κάποια ἀσθένεια. Γιατὶ εἶχε πολλὲς ἀποδείξεις γιὰ

μεως τὰ τεκμήρια, ἔν τε τοῖς πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐπιδειχθείσης καὶ ἐν τοῖς σὺν αὐτῷ τότε τὴν ἐπ' αὐτοῦ διέπουσιν ἀρχήν. Τῶν μὲν γὰρ πάλαι βασιλευσάντων οἱ τὰ τοιαῦτα τολμήσαντες, μετὰ πολλὰς καὶ ἀφορήτους συμφοράς, αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσαν· ὡς τοῦ μὲν τὰς κόρας ἔτι ζῶντος αὐτομάτως ἐκπηδῆσαι τῶν ὀφθαλμῶν (Μαξιμῖνος οὗτος ἦν), τὸν δὲ μανέντα, τὸν δὲ ἄλλῃ τοιαύτῃ χρησάμενον συμφορᾷ, οὕτως ἐνθένδε ἀπελθεῖν. Τῶν δὲ σὺν αὐτῷ τότε ὄντων ὁ μὲν θεῖος, ὁ πρὸς πατρὸς νεανικώτερον τῇ καθ' ἡμῶν μανίᾳ χρησάμενος καὶ τῶν ἱερῶν σκευῶν ταῖς μιαραῖς τολμήσας ἅψασθαι χερσὶ καὶ οὐδὲ τούτοις ἀρκεσθείς, ἀλλὰ περαιτέρω τῇ ὕβρει προελθὼν (περιστρέψας γὰρ αὐτὰ καὶ θεὶς ἐπὶ τοῦ ἐδάφους καὶ ἁπλώσας οὕτως ἐκάθισεν ἐπ' αὐτῶν), παράχρημα ταύτης τῆς παρανόμου καθέδρας τὴν δίκην ἔδωκε. Διαφθαρὲν γὰρ αὐτοῦ τὸ αἰδοῖον σκώληκας ἔτεκε· καί, ὥστε δειχθῆναι ὅτι ἡ νόσος θεήλατος ἦν, πίονας ὄρνεις καὶ ξενικὰς καταθύοντες οἱ ἰατροὶ καὶ πλησίον τῶν διεφθορότων μελῶν τιθέντες, ἐξεκαλοῦντο τοὺς σκώληκας· οἱ δὲ οὐκ ἀφίσταντο, ἀλλὰ ἀπρὶξ τῶν σεσηπότων εἴχοντο μερῶν, καὶ οὕτως αὐτὸν ἐπὶ πολλαῖς δαπανήσαντες ἡμέραις κακῶς ἀπώλεσαν. Ἕτερος δέ τις ἐπὶ τῇ φυλακῇ τῶν ταμείων τεταγμένος τῶν βασιλικῶν, πρὶν ἢ τὸν οὐδὸν ὑπερβῆναι τῶν βασιλείων, ἐλάκησεν ἄφνω μέσος, καὶ αὐτὸς ἑτέρας τινὸς τοιαύτης παρανομίας δίκην δούς.

Ταῦτα δὴ καὶ τούτων πλείονα (οὐ γὰρ ἅπαντα καταλέγειν καιρὸς νῦν) εἰς νοῦν λαβὼν ὁ μιαρός, ἐδεδοίκει τὴν τόλμαν περαιτέρω προαγαγεῖν. Καὶ ὅτι οὐκ ἀπ' ἐμαυτοῦ ταῦτα λέγω νῦν, ἐκ τῶν μετὰ ταῦτα ὑπ' αὐτοῦ γενομένων ἔσται δῆλον ἡμῖν· τέως δὲ τῆς ἀκολουθίας τῶν γεγενημένων ἐχώμεθα, τί δὴ τὸ ἐντεῦθεν ἦν. Τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν ἄφατον φιλανθρωπίαν ἐπιδεικνῦον τοῦ Θεοῦ. Ὁ μὲν γὰρ ἅγιος μάρτυς

41. Πρόκειται γιὰ τὸν θεῖο τοῦ Ἰουλιανοῦ τοῦ Παραβάτη ὕπαρχο Ἰουλιανό, ὁ ὁποῖος μπαίνοντας στὸν ναὸ οὔρησε ἐπὶ τῆς ἁγίας Τραπέζης. Βλ. Θεοδωρήτου, *Ἐκκλησιαστικὴ Ἱστορία* 3,8 PG82,1100 AC.

τὴ δύναμη τοῦ Χριστοῦ, ποὺ φανερώθηκε καὶ στοὺς πρὶν ἀπὸ αὐτὸν βασιλεῖς καὶ σ' αὐτοὺς ποὺ κατὰ τὴ διάρκεια τῆς βασιλείας του ἀσκοῦσαν μαζί του τὴν ἐξουσία. Ἐκεῖνοι δηλαδὴ ποὺ βασίλευσαν πρὶν ἀπ' αὐτὸν καὶ τόλμησαν νὰ κάμουν τέτοια, τερμάτισαν τὴ ζωή τους κατὰ τρόπο αἰσχρὸ καὶ ἐλεεινὸ καὶ ὕστερα ἀπὸ πολλὲς καὶ ἀφόρητες συμφορές. Γιατὶ ὁ ἕνας, ἐνῶ ἀκόμη ζοῦσε, πετάχθηκαν πρὸς τὰ ἔξω οἱ κόρες τῶν ὀφθαλμῶν του (καὶ αὐτὸς ἦταν ὁ Μαξιμῖνος), ὁ ἄλλος ἔγινε μανιακὸς καὶ ὁ ἄλλος ὑπέπεσε σὲ παρόμοια συμφορά, καὶ ἔτσι ἔφυγαν ἀπὸ τὴ ζωὴ αὐτή. Ἀπὸ ἐκείνους πάλι ποὺ ἀσκοῦσαν τότε μαζί του τὴν ἐξουσία, ὁ θεῖος του ἀπὸ τὸν πατέρα, ποὺ μὲ σφοδρὸ ζῆλο ἄσκησε τὴ βία ἐναντίον μας καὶ τόλμησε νὰ ἀγγίξη μὲ τὰ μολυσμένα χέρια του τὰ ἱερὰ σκεύη καὶ ποὺ δὲν ἀρκέσθηκε σ' αὐτά, ἀλλὰ προχώρησε σὲ ἀκόμη μεγαλύτερη βεβύλωση (ἀφοῦ τὰ ξεδίπλωσε δηλαδὴ καὶ τὰ τοποθέτησε πάνω στὸ ἔδαφος ἁπλωμένα κάθισε πάνω σ' αὐτά), δέχθηκε ἀμέσως τὴν τιμωρία γιὰ τὸ παράνομο αὐτὸ κάθισμα. Γιατὶ σάπισαν τὰ γεννητικά του ὄργανα καὶ γέννησαν σκουλήκια, καὶ γιὰ νὰ ἀποδειχθῆ, ὅτι ἡ νόσος ἦταν θεόσταλτη, σφάζοντας οἱ ἰατροὶ ὄρνιθες παχειὲς καὶ προερχόμενες ἀπὸ ξένες χῶρες, τὶς τοποθετοῦσαν κοντὰ στὰ σάπια μέλη, προσπαθώντας ἔτσι ν' ἀποσπάσουν τὰ σκουλήκια. Τὰ σκουλήκια ὅμως δὲν ἀποχωροῦσαν ἀλλ' ἔμεναν γερὰ κολλημένα πάνω στὰ σάπια μέλη καὶ ἔτσι, ἀφοῦ τὸν κατέφαγαν γιὰ πολλὲς ἡμέρες, τὸν ὠδήγησαν σὲ κακὸ θάνατο[41]. Κάποιος ἄλλος πάλι, ποὺ εἶχε τοποθετηθῆ φύλακας στὰ βασιλικὰ θησαυροφυλάκια, προτοῦ περάση τὸ κατώφλι τῶν ἀνακτόρων, ξαφνικὰ ἔπεσε κάτω σπαράσσοντας ἀπὸ πόνο, δεχόμενος καὶ αὐτὸς τιμωρία γιὰ κάποια ἄλλη παρόμοια παρανομία[42].

Αὐτὰ λοιπὸν καὶ περισσότερα ἀπὸ αὐτὰ (γιατὶ δὲν εἶναι καιρὸς νὰ τὰ διηγοῦμαι τώρα ὅλα) φέρνοντας στὴ σκέψη του ὁ μιαρός, φοβήθηκε νὰ ἐπεκτείνη περισσότερο τὸ τόλμημά του. Καὶ ὅτι αὐτὰ δὲν τὰ λέγω τώρα πλάθοντάς τα μὲ τὴ φαντασία μου, θὰ μᾶς γίνη φανερὸ ἀπὸ ἐκεῖνα ποὺ ἔγιναν στὴ συνέχεια ἀπὸ τὸν ἴδιο· τώρα ὅμως ἂς συνεχίσωμε τὴ διήγησή μας, γιὰ νὰ δοῦμε τί συνέβηκε μετά. Γιατὶ αὐτὸ εἶναι τὸ ἄξιο θαυμασμοῦ, ποὺ δείχνει ὄχι μόνο τὴ δύναμη, ἀλλὰ καὶ τὴν ἀπερίγραπτη φιλανθρωπία τοῦ Θεοῦ. Ὁ ἅγιος

42. Αὐτὸς εἶναι ὁ ταμίας Φῆλιξ, ὁ ὁποῖος ἦταν Χριστιανὸς καὶ ἀπεσκίρτησε ἀπὸ τὴν εὐσέβεια χάριν τοῦ βασιλέως. Αὐτόθι.

τῶν ἱερῶν εἴσω περιβόλων ἦν, ἐν οἷς καὶ πρότερον ἐτύγχανεν ὤν, πρὶν εἰς τὴν Δάφνην ἐλθεῖν, ὁ δὲ πονηρὸς δαίμων ἐμάνθανεν εὐθέως ὅτι μάτην αὐτῷ τὰ τῆς ἀπάτης μεμηχάνηται καὶ ὅτι οὐ πρὸς νεκρὸν τὸν ἀγῶνα εἶχεν, ἀλλὰ πρὸς ζῶντα καὶ ἐνεργοῦντα, καὶ οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ πάντων δαιμόνων ἰσχυρότερον. Παρακαλέσας γὰρ τὸν Θεὸν ἀφεῖναι πῦρ εἰς τὸν νεών, τήν τε ὀροφὴν κατέφλεξε πᾶσαν καὶ τὸ εἴδωλον μέχρις ἐσχάτων ἀφανίσας ποδῶν, τέφραν τε ἀποφήνας καὶ κόνιν, ἀφῆκεν ἑστάναι τοὺς τοίχους ἅπαντας. Καὶ εἴ τις ἐπισταίη τῷ τόπῳ νῦν, οὐκ ἂν εἴποι πυρὸς ἔργον εἶναι τὸ γεγονός· οὐδὲ γὰρ ἄτακτος, οὐδὲ ὡς ἐξ ὕλης ἀψύχου γέγονεν ἡ πυρπόλυσις, ἀλλ' ὥσπερ τινὸς χειρὸς περιαγούσης τὸ πῦρ καὶ δεικνυούσης τίνων μὲν φείσασθαι, τίνα δὲ ἀναλῶσαι ἐχρῆν, οὕτως εὐρύθμως καὶ τεχνικῶς ὁ ναὸς ἐκκεκάλυπται καὶ οὐ τοῖς ἐμπεπρησμένοις ἁπλῶς, ἀλλὰ τοῖς ἀρτίους μὲν ἔχουσι τοὺς περιβόλους, στέγης δὲ δεομένοις μόνης προσέοικεν. Τά τε γὰρ ἄλλα καὶ οἱ κίονες οἵ τε τὸν ὄροφον ἀνέχοντες, οἵ τε τὰ προπύλαια ἅπαντες ἑστήκασι, πλὴν τοῦ περὶ τὸν ὄπισθεν δόμον ἑνός· καὶ οὗτος δὲ οὐχ ἁπλῶς ἀφέθη διακλασθῆναι τότε, ἀλλὰ δι' αἰτίαν, ἣν μετὰ ταῦτα ἐροῦμεν.

Τούτου δὴ συμβάντος, ἄγεται μὲν εἰς δικαστήριον εὐθέως ὁ τοῦ δαίμονος ἱερεὺς καὶ τὸν αἴτιον ἠναγκάζετο λέγειν, ὡς δὲ οὐκ εἶχεν, ἐξαγκωνίσαντες αὐτὸν καὶ πολλὰς ἐπιθέντες πληγάς, εἶτα μετεωρίσαντες καὶ τὰς πλευρὰς διαξαίνοντες ἐμάνθανον πλέον οὐδέν, ἀλλ' ἐγίνετο παρόμοιον τῷ ἐπὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Καὶ γὰρ τότε ἐτάγησαν μὲν οἱ στρατιῶται τὸ σῶμα φυλάττειν τοῦ Ἰησοῦ, ἵνα μὴ ἐκγένηται, φησί, κακουργῆσαι περὶ τὴν κλοπὴν τοῖς μαθηταῖς· τὸ δὲ πρᾶγμα εἰς τοῦτο ἐξέβαινεν, ὥστε μηδὲ ἀναίσχυντον πρόφασιν ὑπολειφθῆναι τοῖς βουλομένοις περὶ τὴν πίστιν τῆς ἀναστάσεως κακουργεῖν. Καὶ ἐνταῦθα εἵλκετο μὲν ὁ ἱερεύς, ἵνα μὴ θείας ὀργῆς, ἀλλ' ἀνθρωπίνης κακουργίας ἔργον εἶναι μαρτυρήση

μάρτυρας δηλαδὴ βρέθηκε μέσα στὸν ἱερὸ χῶρο στὸν ὁποῖο ἦταν καὶ προηγουμένως, προτοῦ μεταφερθῆ στὴ Δάφνη, ἐνῶ ὁ πονηρὸς δαίμονας μάθαινε ἀμέσως, ὅτι μάταια μηχανεύθηκε τὴν ὅλη ἀπάτη καὶ ὅτι ὁ ἀγώνας του δὲν ἦταν πρὸς νεκρόν, ἀλλὰ πρὸς ἐκεῖνον ποὺ εἶναι ζωντανὸς καὶ ἐνεργεῖ, καὶ ὁ ὁποῖος εἶναι ἰσχυρότερος ὄχι μόνο ἀπ' αὐτόν, ἀλλὰ καὶ ἀπὸ ὅλους τοὺς δαίμονες. Γιατί, ἀφοῦ παρακάλεσε τὸν Θεὸ νὰ ρίξη φωτιὰ στὸν ναό, κατέκαυσε καὶ τὴν ὀροφὴ ὁλόκληρη καὶ τὸ ἄγαλμα τὸ συνέτριψε ἀπὸ τὸ κεφάλι μέχρι τὰ πόδια, μεταβάλλοντας αὐτὸ σὲ στάχτη καὶ σκόνη καὶ ἀφήνοντας ὄρθιους μόνο τοὺς τοίχους. Κι ἂν κάποιος ἐπισκεφθῆ τώρα τὸν τόπο, δὲν θὰ πῆ ὅτι ἡ καταστροφὴ εἶναι ἔργο τοῦ πυρός· γιατὶ ἡ πυρπόληση δὲν ἔγινε ἄτακτα οὔτε προκλήθηκε ἀπὸ ἄψυχα ὑλικά, ἀλλὰ σὰν νὰ ὡδηγοῦσε κάποιο ἀόρατο χέρι τὸ πῦρ καὶ ἔδειχνε τί ἔπρεπε νὰ καῆ καὶ τί ὄχι, ἔτσι κάηκε μὲ κάθε τάξη καὶ τρόπο τεχνικὸ ἡ στέγη τοῦ ναοῦ, ὥστε νὰ φαίνεται ὅτι δὲν ὑπέστη ἐμπρησμό, ἀλλὰ μοιάζει μὲ οἴκημα ποὺ ἔχει ἄρτιους τοὺς περιβόλους καὶ τοῦ λείπει μόνο ἡ στέγη. Γιατὶ μαζὶ μὲ τὰ ἄλλα παραμένουν ὄρθιοι καὶ οἱ κίονες ποὺ συγκρατοῦν τὴν ὀροφὴ καὶ τὰ προπύλαια, ἐκτὸς ἀπὸ ἕνα, ποὺ βρισκόταν στὸ πίσω μέρος τοῦ οἰκοδομήματος· καὶ ὁ κίονας αὐτὸς δὲν ἐπιτράπηκε νὰ θραυσθῆ τότε χωρὶς αἰτία, ἀλλὰ γιὰ τὴν αἰτία ποὺ θὰ σᾶς τὴν πῶ στὴ συνέχεια..

Μετὰ τὸν ἐμπρησμὸ δηλαδὴ ὡδηγήθηκε ἀμέσως ὁ ἱερεὺς τοῦ Ἀπόλλωνα στὸ δικαστήριο καὶ ἐξαναγκαζόταν νὰ φανερώση τὸν αἴτιο τοῦ ἐμπρησμοῦ. Ἐπειδὴ ὅμως δὲν ἤξερε τίποτε, τὸν ἔδεσαν ὀπισθάγκωνα καὶ τοῦ προξένησαν πολλὲς πληγὲς ἀπὸ τὰ κτυπήματα. Στὴ συνέχεια τὸν κρέμασαν καὶ τοῦ ἔγδερναν τὰ πλευρά, μὴ μπορώντας ὅμως νὰ μάθουν τίποτε περισσότερο, ἀλλὰ συνέβαινε κάτι παρόμοιο μὲ ἐκεῖνο ποὺ συνέβηκε κατὰ τὴν ἀνάσταση τοῦ Χριστοῦ. Γιατὶ καὶ τότε διατάχθηκαν οἱ στρατιῶτες νὰ φυλάσσουν τὸ σῶμα τοῦ Ἰησοῦ, ὥστε νὰ μὴ συμβῆ, λέγει, νὰ διαπράξουν οἱ μαθητὲς τὸ κακούργημα τῆς κλοπῆς. Τὸ πρᾶγμα αὐτὸ εἶχε σὰν ἀποτέλεσμα, νὰ μὴ ἀπομείνη καμμιὰ ἀδιάντροπη δικαιολογία σ' ἐκείνους ποὺ ἤθελαν νὰ κακουργήσουν στὴν πίστη τῆς Ἀναστάσεως. Καὶ ἐδῶ πάλι ὁ ἱερεὺς συρόταν στὰ βασανιστήρια γιὰ νὰ μαρτυρήση ὅτι τὸ γεγονὸς ἦταν ἔργο ἀνθρώπινης κακουργίας καὶ ὄχι θείας ὀργῆς, ἀλλὰ καταβασανιζόμενος καὶ κακοποιούμενος καὶ μὴ μπορώντας ν'

τὸ γεγονός· στρεβλούμενος δὲ καὶ αἰκιζόμενος καὶ οὐδένα ἔχων ἐκδοῦναι, ἐμαρτύρει θεόπεμπτον εἶναι τὸ πῦρ, ὡς μηδὲ τοῖς ἀναισχυντεῖν βουλομένοις εἶναί τινα λόγον λοιπόν.

Ἀλλ' ὅπερ πρὸ μικροῦ θέλων εἰπεῖν ἀνεβαλόμην, τοῦτο νῦν εὐκαίρως ἐρῶ· τί δὲ τοῦτό ἐστιν; Ὅτι τῷ φόβῳ διέσεισεν αὐτοῦ τὴν ψυχὴν ὁ μάρτυς, ὡς μὴ περαιτέρω τῇ τόλμῃ προελθεῖν. Οὐ γὰρ δή που τὸν μὲν ἱερέα, καὶ ὃν ἐν τοσαύτῃ πρότερον ἦγε τιμῇ, τοσούτοις ὑπὲρ τῆς ὀροφῆς περιέβαλλε κακοῖς καὶ θηρίου μᾶλλον αἱμοβόρου διεσπάραττεν, τάχα δ' ἂν καὶ ἀπεγεύσατο τῶν σαρκῶν, εἰ μὴ πᾶσι τὸ πρᾶγμα ἐδόκει εἶναι μυσαρόν· τὸν δὲ ἅγιον αὐτὸ τοῦ δαίμονος τὸ στόμα ἐμφράξαντα πάλιν εἰς τὴν πόλιν ἦγεν, ὥστε ἐν πλείονι εἶναι τιμῇ. Εἰ γὰρ καὶ μὴ πρότερον, ὅτε τὴν ἧτταν ὁ δαίμων ὡμολόγησεν, ἀλλὰ μετὰ τὸν ἐμπρησμὸν πάντα ἀνέτρεψεν ἂν καὶ ἀπώλεσε καὶ κατέφλεξε τὴν λάρνακα, τὸ μαρτύριον ἑκάτερον, τό τε ἐν τῇ Δάφνῃ, τό τε ἐν τῇ πόλει, εἰ μὴ θυμοῦ ὁ φόβος ἦν μείζων καὶ τῆς ἀθυμίας ἐκράτει τὸ δέος. Ἔθος γὰρ τοῖς πολλοῖς τῶν ἀνθρώπων, ὅταν ὑπὸ ὀργῆς κατεσχηθῶσι καὶ λύπης, κἂν μὴ τοὺς αἰτίους λάβωσι τῶν παθῶν, εἰς τοὺς ἐμπίπτοντας ἁπλῶς καὶ ὑπόπτους ἀφιέναι τὴν ὀργήν. Οὐ πόρρω δὲ τῆς ὑποψίας ταύτης ὁ μάρτυς ἦν· ἅμα τε γὰρ αὐτὸς εἰς τὴν πόλιν ἀφίκετο καὶ τὸ πῦρ ἦλθεν εἰς τὸν ναόν. Ἀλλ' ὅπερ ἔφην, πάθος ἐμάχετο πάθει καὶ ὀργῆς ἐκράτει δειλία.

Ἐννόησον γάρ μοι τίς ἦν ὁ χρηστὸς ἐκεῖνος εἰς τὸ προάστειον ἀνιών, καὶ τὸ μὲν μαρτύριον ὁρῶν ἑστηκός, τὸν δὲ νεὼν ἐμπεπρησμένον καὶ τὸ εἴδωλον ἠφανισμένον καὶ τὰ ἀναθήματα ἀνηλωμένα καὶ τῆς τε ἑαυτοῦ φιλοτιμίας καὶ τῆς σατανικῆς πομπῆς πᾶσαν ἐξῃρημένην ὑπόμνησιν. Εἰ γὰρ μήτε θυμὸς αὐτὸν μήτε ἀθυμία ταῦτα ὁρῶντα εἰσῄει, τὴν γοῦν αἰσχύνην οὐκ ἂν ἤνεγκε καὶ τὸν πολὺν γέλωτα, ἀλλ' ἐξέτεινεν ἂν τὰς ἀνόμους χεῖρας καὶ ἐπὶ τὸ τοῦ μακαρίου μαρτύριον, εἰ μὴ τοῦτο ὅπερ εἶπον κατεῖχεν αὐτόν. Οὐδὲ γὰρ μικρὸν ἦν τὸ γεγονός, ἀλλὰ πᾶσαν μὲν τῶν Ἑλλήνων τὴν παρρη-

ἀποδώση σὲ κανένα τὴν εὐθύνη, μαρτυροῦσε ὅτι τὸ πῦρ ἦταν θεόσταλτο, ὥστε νὰ μὴ ὑπάρχη πλέον καμμιὰ δικαιολογία καὶ σ' ἐκείνους ποὺ ἤθελαν νὰ συμπεριφέρωνται μὲ ἀδιαντροπιά.

Ἀλλ' ἐκεῖνο ποὺ ἤθελα νὰ πῶ προηγουμένως καὶ τὸ ἀνέβαλα, αὐτὸ θὰ τὸ πῶ τώρα ποὺ εἶναι εὐκαιρία. Καὶ ποιό εἶναι αὐτό; Ὅτι ὁ μάρτυρας τάραξε μὲ τὸν φόβο τὴν ψυχὴ τοῦ βασιλέως, ὥστε νὰ μὴ προχωρήση παρὰ πέρα τὸ τόλμημά του. Ὅμως τὸν ἱερέα, τὸν ὁποῖο προηγουμένως περιέβαλλε μὲ τόση τιμή, μὲ τόσα κακὰ τὸν περιέβαλε ἐξ αἰτίας τοῦ ἐμπρησμοῦ τῆς ὀροφῆς καὶ τὸν κατασπάραττε περισσότερο καὶ ἀπὸ αἱμοβόρο θηρίο, καὶ ἴσως νὰ ἔτρωγε καὶ τὶς σάρκες του, ἂν τὸ πρᾶγμα δὲν φαινόταν σὲ ὅλους βδελυρό. Τὸν ἅγιο ὅμως, ποὺ ἔφραξε τὸ στόμα τοῦ δαίμονα, τὸν μετέφερε πάλι στὴν πόλη, ὥστε νὰ ἀπολαμβάνη μεγαλύτερες τιμές. Πραγματικά, ἂν ὁ φόβος δὲν ἦταν μεγαλύτερος ἀπὸ τὸν θυμὸ καὶ τὸ δέος δὲν ὑπερίσχυε τῆς λύπης, ἔπρεπε ὁ βασιλεύς, ἂν ὄχι πρωτύτερα, ὅταν ὁ δαίμονας ὡμολόγησε τὴν ἧττα, ἀλλὰ μετὰ τὸν ἐμπρησμὸ νὰ καταστρέψη καὶ νὰ ἐξαφανίση τὰ πάντα καὶ νὰ κατακαύση τὴ λειψανοθήκη καὶ τὰ δυὸ μαρτύρια, καὶ αὐτὸ ποὺ βρίσκεται στὴ Δάφνη καὶ ἐκεῖνο ποὺ εἶναι στὴν πόλη. Γιατὶ συνήθως πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους, ὅταν κυριευθοῦν ἀπὸ ὀργὴ καὶ λύπη, κι ἂν ἀκόμη δὲν βροῦν τοὺς αἰτίους αὐτῶν τῶν παθῶν, ἀφήνουν τὴν ὀργή τους νὰ ξεσπάση σ' ἐκείνους ποὺ θὰ βρεθοῦν τυχαῖα μπραστά τους καὶ σ' ἐκείνους ποὺ ὑποπτεύονται. Καὶ ὁ μάρτυρας λοιπὸν δὲν ἦταν ἔξω ἀπὸ τὴν ὑποψία αὐτή· γιατὶ μόλις αὐτὸς ἔφθασε στὴν πόλη, συνέβηκε καὶ ἡ πυρκαϊὰ στὸν ναό. Ἀλλά, ὅπως εἶπα, τὸ ἕνα πάθος πολεμοῦσε τὸ ἄλλο καὶ ἡ δειλία ἦταν ἰσχυρότερη ἀπὸ τὴν ὀργή.

Πραγματικὰ σκέψου, σὲ παρακαλῶ, σὲ ποιά κατάσταση βρισκόταν ὁ ἀνόητος βασιλεὺς ἀνεβαίνοντας στὸ προάστειο καὶ βλέποντας τὸ μαρτύριο τοῦ ἁγίου νὰ παραμένη σῶο, ἐνῶ ὁ ναὸς τῶν εἰδώλων νὰ εἶναι καμμένος, τὸ εἴδωλο κατεστραμμένο, τὰ ἀφιερώματα ἐξαφανισμένα ἀπὸ τὸ πῦρ καὶ νὰ μὴ ὑπάρχη τίποτε ποὺ νὰ θυμίζη τὸ καύχημά του καὶ ὅλη ἐκείνη τὴ σατανικὴ διαπόμπευση. Γιατί, κι ἂν ἀκόμη δὲν τὸν κυρίευε οὔτε θυμὸς οὔτε λύπη βλέποντας ὅλα αὐτά, δὲν θὰ μποροῦσε νὰ ὑποφέρη τὴ ντροπὴ καὶ τὴ μεγάλη γελοιποίηση, ἀλλὰ θ' ἅπλωνε ὁπωσδήποτε τὰ παράνομα χέρια του ἐναντίον τοῦ μαρτυρίου τοῦ ἁγίου, ἂν δὲν τὸν συγκρατοῦσε αὐτὸ ποὺ

σίαν ἐξέκοψεν, ἅπασαν δὲ τὴν εὐφροσύνην ἔσβεσε, τοσαύτην δὲ τῆς ἀθυμίας τὴν ἀχλὺν αὐτοῖς κατεσκέδασεν, ὅσην ἂν εἰ πάντες ἀπολώλεσαν οἱ ναοί.

18. Καὶ ὅτι οὐ κομπάζων λέγω ταῦτα, αὐτὰ παραθήσομαι τὰ ῥήματα τῶν ὀδυρμῶν καὶ τῆς μονῳδίας, ἣν εἰς τὸν δαίμονα τοῦτον ὁ τῆς πόλεως τότε εἰργάσατο σοφιστής. Ἔχει δὲ οὕτως ἡ τῶν θρήνων ἀρχή. «Ἄνδρες, ὧν τοῖς ὀφθαλμοῖς ἀχλὺς κατακέχυται, ὥσπερ οὖν καὶ τοῖς ἐμοῖς, μήτε καλὴν ἔτι, μήτε μεγάλην καλῶμεν τήνδε τὴν πόλιν». Εἶτα εἰπών τινα περὶ τοῦ μύθου τῆς Δάφνης καὶ διαλεχθεὶς (οὐ γὰρ ἅπαντα ἐνθεῖναι τὸν λόγον ἐνταῦθα καιρός, ὑπὲρ τοῦ μὴ μῆκος ἐπεισαγαγεῖν περιττόν), λέγει, ὅτι ὁ Περσῶν βασιλεύς ποτε ὁ τὴν πόλιν ἑλών, ἐφείσατο τοῦ νεώ· τὰ δὲ ῥήματά ἐστι ταῦτα· «ὁ μὲν στρατὸν ἐφ' ἡμᾶς ἀγαγών, ᾤετο αὐτῷ βέλτιον εἶναι σεσῶσθαι τὸν νεὼν καὶ τὸ κάλλος τοῦ ἀγάλματος ἐκράτει θυμοῦ βαρβαρικοῦ· νῦν δέ, ἥλιε καὶ γῆ, τίς ἢ πόθεν ὁ πολέμιος οὗτος, ὃς οὐδὲ ὁπλιτῶν, οὐδὲ ἱππέων, οὔτε ψιλῶν τινων δεηθεὶς μικρῷ σπινθῆρι πάντα ἀνάλωσεν;».

Εἶτα δεικνύς, ὅτι αὐτοῦ τότε ἐκράτησεν ὁ μακάριος, ὅτε μάλιστα ἤνθει τὰ τῶν Ἑλλήνων θυσίαις καὶ τελεταῖς, φησί· «καὶ δὴ καὶ ἡμῖν τὸν νεὼν ὁ μὲν πολὺς ἐκεῖνος κατακλυσμὸς οὐ παρέσυρεν, ἐν αἰθρίᾳ δὲ καὶ τῆς νεφέλης παρελθούσης κατενήνεκται»· νεφέλην καὶ κατακλυσμὸν τὸν τοῦ προτέρου βασιλέως καιρὸν καλῶν. Καὶ πάλιν μικρὸν προελθών, αὐτὸ δὴ τοῦτο πικροτέρως ἀποδύρεται λέγων· «εἶτα διψώντων μέν σοι τῶν βωμῶν αἵματος, ἔμενες, Ἄπολλον, φρουρὸς ἀκριβὴς τῆς Δάφνης καὶ ῥᾳθυμούμενος· ἔστι δὲ ὅπη καὶ προπηλακιζόμενος περικοπτόμενός τε τὸν ἔξω κόσμον ἠνέσχου· νῦν δὲ μετὰ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς, στόμα βασιλέως ὅσιον τῷ παιδὶ δεξάμενος, ἰδὼν ὃν προύλεγες, ὀφθεὶς ὑπὸ τοῦ μεμηνυμένου, πονηροῦ γειτονήματος ἀπαλλαγεὶς νεκροῦ τινος ἐνχολοῦντος ἐγγύθεν, ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας. Πόθεν ἔτι φιλοτιμησόμεθα πρὸς ἄνδρας ἱερῶν μεμνημένους καὶ ἀγαλμάτων;».

43. Δηλαδὴ ὁ ἐθνικὸς ρήτορας καὶ διδάσκαλος τοῦ Χρυσοστόμου Λιβάνιος.

44. Δηλαδὴ ὁ βασιλεὺς τῶν Περσῶν Σαπὼρ ὁ Α', ὁ ὁποῖος τὸ 255 μ.Χ. κυρίευσε καὶ κατέστρεψε τὴν Ἀντιόχεια.

εἶπα. Γιατὶ δὲν ἦταν μικρὸ τὸ γεγονός, ἀλλ' ἀφαίρησε ὅλη τὴ παρρησία τῶν Ἐθνικῶν, ἔσβησε ὅλη τὴν εὐφροσύνη, σκόρπισε μὲ τὴ λύπη τόση καταχνιά, ὅση ἂν εἶχαν καταστραφῆ ὅλοι οἱ ναοί τους.

18. Καὶ ὅτι αὐτὰ δὲν τὰ λέγω κομπάζοντας, θὰ σᾶς ἀναφέρω τὰ ἴδια τὰ λόγια τῶν ὀδυρμῶν καὶ τῆς μονῳδίας, τὴν ὁποία ἀφιέρωσε τότε ὁ ἐπίτιμος σοφιστὴς τῆς πόλεως[43] στὸν Ἀπόλλωνα. Ἔτσι ἀρχίζουν οἱ θρῆνοι. «Ἄνδρες, ποὺ ἁπλώθηκε στὰ μάτια σας, ὅπως βέβαια καὶ στὰ δικά μου, καταχνιά, ἂς μὴ ἀποκαλοῦμε πιὰ τὴν πόλη αὐτὴ οὔτε καλὴ οὔτε μεγάλη». Ἔπειτα, ἀφοῦ εἶπε λίγα γιὰ τὸν μῦθο τῆς Δάφνης (γιατὶ δὲν εἶναι καιρὸς νὰ παραθέσω τώρα ὁλόκληρο τὸν λόγο, γιὰ νὰ μὴ προσθέσω στὸ λόγο μῆκος περιττό), λέγει, ὅτι κάποτε ὁ βασιλεὺς τῶν Περσῶν[44] ποὺ κυρίευσε τὴν πόλη, δὲν ἐπέτρεψε νὰ καταστραφῆ ὁ ναός· τὰ λόγια του εἶναι αὐτά. «Αὐτὸς ποὺ ὡδήγησε στρατὸ ἐναντίον μας, ἔκρινε ὅτι εἶναι καλύτερα γι' αὐτὸν νὰ διασωθῆ ὁ ναός, καὶ τὸ κάλλος τοῦ ἀγάλματος συγκράτησε τὸν βαρβαρικὸ θυμό. Τώρα ὅμως, ἥλιε καὶ γῆ, ποιός εἶναι καὶ ἀπὸ ποῦ ἦλθε ὁ ἐχθρὸς αὐτός, ὁ ὁποῖος χωρὶς νὰ χρειασθῆ οὔτε ὁπλῖτες οὔτε ἱππεῖς οὔτε κάποιους τοξότες, κατέστρεψε τὰ πάντα μὲ ἕνα μικρὸ σπινθῆρα ;».

Ἔπειτα, γιὰ νὰ δείξη, ὅτι ὁ ἅγιος τότε ἀποδείχθηκε ἰσχυρότερος ἀπὸ τὸν Ἀπόλλωνα, ὅταν μάλιστα ἀνθοῦσαν τὰ τῶν Ἐθνικῶν μὲ τὶς πολλὲς θυσίες καὶ τὶς τελετές, λέγει· «καὶ ἐνῶ ὁ μεγάλος ἐκεῖνος κατακλυσμὸς δὲν παρέσυρε τὸν ναό μας, μεταβλήθηκε σὲ ἐρείπιο σὲ καιρὸ αἴθριο καὶ ἐνῶ πέρασαν τὰ σύννεφα», ὀνομάζοντας «νεφέλη» καὶ «κατακλυσμὸ» τὴν ἐποχὴ τοῦ προηγουμένου βασιλέως. Καὶ πάλι λίγο πιὸ κάτω μὲ μεγαλύτερη πικρία ὀδύρεται γιὰ τὸ ἴδιο αὐτὸ γεγονός, λέγοντας· «ἔπειτα, ἐνῶ οἱ βωμοί σου δηψοῦσαν ἀπὸ αἷμα, σύ, Ἀπόλλων, παρέμενες πιστὸς φρουρὸς τῆς Δάφνης, ἂν καὶ εἶχες παραμεληθῆ. Πολλὲς φορὲς μάλιστα ἀνεχόσουν νὰ σὲ ἐξευτελίζουν καὶ νὰ σοῦ ἀφαιροῦν τὸν ἐξωτερικό σου διάκοσμο. Τώρα ὅμως, ὕστερα ἀπὸ θυσίες πολλῶν προβάτων καὶ πολλῶν βοδιῶν, ἀφοῦ ἀσπάσθηκε στόμα εὐσεβοῦς βασιλέως τὰ πόδια σου, καὶ ἀφοῦ εἶδες αὐτὸν ποὺ προφήτευες καὶ σὲ εἶδε αὐτὸς ποὺ προφήτευες καὶ ἀπαλλάχθηκες ἀπὸ τὸν πονηρὸ νεκρὸ γείτονα, ποὺ βρισκόταν δίπλα σου καὶ σ' ἐνοχλοῦσε, ἐξαφανίσθηκες μέσα ἀπὸ τὴ λαμπρὴ αὐτὴ λατρεία. Ἀπὸ ποῦ λοιπὸν θὰ δείχνωμε τὴν ἀξιοπρέπειά μας πρὸς ἀνθρώπους, ποὺ ἐνθυμοῦνται τοὺς ναοὺς καὶ τὰ ἀγάλματα;».

Τί λέγεις, ὦ θρηνῳδέ; Ἀτιμαζόμενος μὲν καὶ προπηλακιζόμενος τῆς Δάφνης ἔμενε φρουρὸς ἀσφαλής, τιμώμενος δὲ καὶ θεραπευόμενος οὐδὲ τὸν ναὸν ἴσχυσε φυλάξαι τὸν αὐτοῦ, καὶ ταῦτα εἰδώς, ὅτι ἐκείνου πεσόντος εἰς μείζονα ἀτιμίαν καταστήσεται τῆς προτέρας; Τίς δὲ καὶ ὁ νεκρός, ὦ σοφιστά, ὁ τὸν σὸν Θεὸν ἐνοχλῶν; ποῖον τὸ πονηρὸν γειτόνημα; Ἐνταῦθα γὰρ εἰς τὰς τοῦ μακαρίου Βαβύλα ἀνδραγαθίας ἐμπεσὼν καὶ διανήξασθαι τὴν αἰσχύνην οὐκ ἔχων, ἐγκαλυψάμενος ἁπλῶς παρέδραμεν, ὅτι μὲν ὑπὸ τοῦ μάρτυρος ἠνωχλεῖτο καὶ ἐθλίβετο ὁ δαίμων, εἰπών, οὐκέτι δὲ προσθεὶς πῶς τὴν ἧτταν συσκιάσαι σπουδάσας ὁ δαίμων, μᾶλλον αὐτὴν ἐξεκάλυψεν· ἁπλῶς γάρ φησι, «πονηροῦ γειτονήματος ἀπαλλαγείς». Διατί γὰρ οὐ λέγεις, ὦ ληρόσοφε, τὸν νεκρὸν τίς ἦν καὶ διά τί μόνος ἠνώχλει σου τὸν Θεὸν καὶ διὰ τί μετεκινεῖτο μόνος; Διὰ τί δὲ καὶ πονηρὸν αὐτὸν γειτόνημα καλεῖς, εἰπέ μοι; Ὅτι τοῦ δαίμονος τὴν ἀπάτην ἤλεγξε; Καὶ μὴν τοῦτο οὐ πονηροῦ τινος γειτονήματος ἔργον ἦν, ὥσπερ οὖν οὐδὲ νεκροῦ, ἀλλὰ καὶ ζῶντος καὶ ἐνεργοῦντος καὶ χρηστοῦ καὶ προστάτου καὶ κηδεμόνος καὶ πάντα ὑπὲρ τῆς ὑμετέρας πραγματευομένου σωτηρίας, εἴ γε ἐβούλεσθε.

Ἵνα γὰρ ὑμῖν μὴ ἐξῇ ἐπὶ πλέον ἀπατᾶν ἑαυτοὺς καὶ λέγειν, ὅτι ὀργιζόμενος καὶ ὑπὲρ θυσιῶν ἐγκαλῶν καὶ ὑπὲρ τῆς ἄλλης θεραπείας μεμφόμενος ἀνεχώρησεν ἑκών, διὰ τοῦτο αὐτὸν καὶ ἐκ τοῦ χωρίου τούτου παντὸς ἀπήλασεν, ὃ μάλιστα πάντων φίλον ἦν αὐτῷ καὶ ὃ τῶν ἄλλων οὕτω προετίμησεν, ὡς καὶ ἀτιμαζόμενος προσεδρεύειν αὐτῷ. Σὺ γὰρ τοῦτο προλαβὼν εἶπες· «καὶ ἐν τούτῳ δὲ τῷ καιρῷ ἐν ᾧ πολλὰ μὲν πρόβατα, πολλοὺς δὲ βοῦς αὐτῷ κατέσφαττεν ὁ βασιλεύς· ὥστε πανταχόθεν ἐλέγχεσθαι, ὅτι ἀναγκαζόμενος καὶ ὑπὸ μείζονος ὠθούμενος δυνάμεως τὴν Δάφνην ἀπέλιπεν. Ἐνῆν μὲν γὰρ καὶ τοῦ ξοάνου μένοντος διώκειν αὐτόν, ἀλλ' ὑμεῖς οὐκ ἂν ἐπιστεύσατε, ὥσπερ οὖν οὐδὲ πάλαι ὅτε ὑπ' αὐτοῦ πεπέδητο, ἀλλ' ἐνέκεισθε θεραπεύοντες. Δι' ὃ πρότερον ἀφεὶς ἑστάναι τὸ ξόανον, ὅτε μάλιστα ἤρθη τῆς ἀσεβείας ἡ φλόξ, τότε αὐτὸ κατήνεγκε, δεικνὺς ὅτι τὸν νικῶντα οὕτω χρὴ νικᾶν, οὐ τεταπεινωμένων, ἀλλ' αἰρομενων καὶ λαμπρῶν ὄντων περιγινόμενον τῶν

Τί λέγεις, θρηνωδέ; Ὅταν ἀτιμαζόταν καὶ ἐξευτελιζόταν παρέμενε πιστὸς φρουρὸς τῆς Δάφνης, καὶ ὅταν τιμῶνταν καὶ λατρευόταν δὲν μπόρεσε οὔτε τὸν ναό του νὰ προφυλάξη, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ γνώριζε πολὺ καλά, ὅτι ἂν πέση ὁ ναὸς θὰ κατέληγε σὲ μεγαλύτερη ἀτιμία ἀπὸ τὴν προηγούμενη; Καὶ ποιός εἶναι ὁ νεκρός, σοφιστή, ποὺ ἐνοχλεῖ τὸν Θεό σου; ποιός ὁ πονηρὸς γείτονας; Ὑπαινισσόμενος ἐδῶ τὸ ἀνδραγάθημα τοῦ μακαρίου Βαβύλα καὶ μὴ μπορώντας νὰ φανερώση τὴ ντροπή, τὸ προσπέρασε ἔτσι συγκαλυμμένο, λέγοντας, ὅτι ὁ δαίμονας ἐνωχλοῦνταν καὶ καταστενοχωροῦνταν ἀπὸ τὸν μάρτυρα, χωρὶς ὅμως νὰ προσθέση καὶ νὰ πῆ, ὅτι, φροντίζοντας ὁ δαίμονας νὰ κρύψη τὴν ἧττα, τὴν φανέρωσε περισσότερο. Γιατὶ λέγει ἁπλῶς, ὅτι «ἀπαλλάχθηκε ἀπὸ κακὸ γείτονα». Γιατί, φλύαρε φιλόσοφε, δὲν λέγεις ποιός ἦταν ὁ νεκρὸς καὶ γιατί ἐνωχλοῦσε μόνο αὐτὸς τὸν θεό σου καὶ γιατί μόνο αὐτὸς μετεφερόταν; Πές μου, γιατί τὸν ἀποκαλεῖς καὶ κακὸ γείτονα; Ἐπειδὴ φανέρωσε τὴν ἀπάτη τοῦ δαίμονα; Κι ὅμως αὐτὸ δὲν ἦταν ἔργο κάποιου κακοῦ γείτονα, ὅπως βέβαια οὔτε νεκροῦ, ἀλλὰ κάποιου ποὺ καὶ ζῆ καὶ ἐνεργεῖ καὶ εἶναι ἀγαθὸς καὶ προστάτης καὶ κηδεμόνας καὶ κάμνει τὸ κάθε τι γιὰ τὴ σωτηρία σας, ἂν βέβαια τὸ θέλατε.

Γιὰ νὰ μὴ μπορῆτε πιὰ νὰ ἀπατᾶτε τὸν ἑαυτό σας καὶ νὰ λέτε, ὅτι ὁ θεός σας ἀνεχώρησε μὲ τὴ θέλησή του ὠργισμένος καὶ κατηγορώντας σας γιὰ τὶς θυσίες καὶ μεμφόμενός σας γιὰ ὅλη τὴν ἄλλη λατρεία, γι' αὐτὸ ἀκριβῶς τὸν ἔδιωξε μακριὰ ἀπ' ὅλο αὐτὸ τὸ μέρος, ποὺ ἦταν περισσότερο ἀπὸ ὅλα ἀγαπητὸ σ' αὐτὸν καὶ τὸ ὁποῖο τόσο πολὺ τὸ προτίμησε ἀπὸ τὰ ἄλλα, ὥστε παρέμεινε σ' αὐτὸ κι ὅταν ἀκόμη ἀτιμαζόταν. Πραγματικὰ σὺ εἶπες πρὶν ἀπὸ λίγο· «Αὐτὸ συνέβηκε σὲ ἐποχή, κατὰ τὴν ὁποία ὁ βασιλεὺς κατέσφαζε γιὰ αὐτὸν πολλὰ πρόβατα καὶ πολλὰ βόδια», ὥστε νὰ γίνεται ἀπὸ παντοῦ φανερό, ὅτι ἐγκατέλειψε τὴν Δάφνη ἐξαναγκαζόμενος καὶ πιεζόμενος ἀπὸ μεγαλύτερη δύναμη. Γιατὶ ἦταν δυνατὸ νὰ διώξη τὸν δαίμονα χωρὶς νὰ καταστρέψη τὸ ἄγαλμα, ἀλλὰ σεῖς δὲν θὰ τὸ πιστεύατε, ὅπως βέβαια δὲν πιστέψατε καὶ παλαιότερα, ὅταν δέθηκε ἡ γλῶσσα του ἀπὸ τὸν μάρτυρα, ἀλλὰ συνεχίζατε νὰ τὸν λατρεύετε. Γι' αὐτὸ ἄφησε νὰ ὑπάρχη προηγουμένως τὸ ἄγαλμα καὶ ὅταν φούντουσε πάρα πολὺ ἡ φλόγα τῆς ἀσέβειας, τότε τὸ κατέστρεψε, γιὰ νὰ δείξη, ὅτι πρέπει ὁ νικητὴς ἔτσι νὰ νικᾶ, καταβάλλοντας τοὺς ἐχθροὺς ὄχι

ἐχθρῶν.

Διὰ τί γὰρ αὐτὸς τότε οὐκ ἐκέλευσε τῷ εἰς τὴν Δάφνην αὐτὸν ἀναγαγόντι βασιλεῖ, κατασκάψαι τὸν νεών, μεταθεῖναι τὸ ξόανον, ὥσπερ οὖν καὶ τὴν λάρνακα; Ὅτι οὔτε ἐβλάπτετο παρ' αὐτοῦ, οὔτε σαρκικῆς ἔχρῃζε συμμαχίας, ἀλλὰ καὶ τότε καὶ νῦν χωρὶς ἀνθρωπίνης αὐτὸν κατέβαλε χειρός. Καὶ τὴν μὲν προτέραν ἡμῖν οὐκ ἐδήλωσε νίκην, ἀλλ' ἐπιστομίσας αὐτὸν μόνον ἡσύχαζε. Τοιοῦτοι γὰρ οἱ ἅγιοι· κατορθοῦσθαι βούλονται τὰ πρὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν μόνον, οὐκ ἔτι δὲ καὶ ἐπιδείκνυσθαι τοῖς πολλοῖς, ὅτι αὐτῶν τὰ κατορθώματα, πλὴν εἴ πού τις χρεία ἀναγκάσειε· χρείαν δὲ τὴν τῶν σωζομένων κηδεμονίαν λέγω πάλιν, ὅπερ τότε ἐγένετο. Ἐπειδὴ γὰρ τὰ τῆς ἀπάτης ηὔξατο κακά, ἐκκαλύπτεται μὲν ἡμῖν ἡ νίκη λοιπόν, ἐκκαλύπτεται δὲ οὐχ ὑπὸ τοῦ νικήσαντος, ἀλλ' ὑπὸ τοῦ νικηθέντος αὐτοῦ. Οὕτω γὰρ ἥ τε μαρτυρία καὶ παρὰ τοῖς ἐχθροῖς ἀνύποπτος ἦν, ὅ τε ἅγιος τὰ περὶ ἑαυτοῦ λέγειν καὶ ἀνάγκης οὔσης ἐξέφυγεν· ἐπειδὴ δὲ οὐδὲ οὕτω τὰ τῆς πλάνης ἔληγεν, ἀλλ' ἐνέκειντο πάλιν οἱ τῶν λίθων ἀναισθητότεροι τὸν ἡττημένον παρακαλοῦντες καὶ πρὸς οὕτω φανερὰν ἀλήθειαν τυφλώττοντες, τηνικαῦτα ἐπαφεῖναι ἠναγκάσθη τῷ ξοάνῳ τὸ πῦρ, ὥστε διὰ τούτου τοῦ ἐμπρησμοῦ ἕτερον τὸν τῆς εἰδωλολατρίας σβέσαι ἐμπρησμόν.

19. Τί οὖν μέμφῃ τῷ δαίμονι λέγων, ὅτι «ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας»; Οὐκ ἀπεπήδησεν ἑκών, ἀλλ' ἀπηλάθη καὶ ἐξεβλήθη ἄκων καὶ ἀναγκαζόμενος τότε, ὅτε μάλιστα μένειν ἤθελε καὶ διὰ τὴν κνίσσαν καὶ διὰ τὰ θύματα. Ὥσπερ γὰρ εἰς τοῦτο βασιλεύσας ὁ τότε κρατῶν, ἵνα τὰ θρέμματα τῆς οἰκουμένης ἀναλώσῃ πάσης, οὕτως ἀφειδῶς κατέκοπτεν ἐπὶ τῶν βωμῶν πρόβατα καὶ βοῦς καὶ εἰς τοῦτο μανίας ἤλασεν, ὡς καὶ τῶν παρ' αὐτοῖς δοκούντων ἔτι φιλοσοφεῖν πολλοὺς μάγειρον αὐτὸν καὶ κρεῶν κάπηλον καὶ πάντα τὰ τοιαῦτα ἀποκαλεῖν. Οὐκ ἂν οὖν οὕτω δαψιλοῦς τραπέζης καὶ κνίσσης καὶ καπνοῦ καὶ χειμάρρων αἱμάτων ἀνεχώρησεν ὁ δαίμων ἑκών, ὁ καὶ χωρὶς τούτων μένων, ὡς ἔφης,

ὅταν εἶναι ἀνίσχυροι, ἀλλ' ὅταν εἶναι ἰσχυροὶ καὶ λαμπροί.

Γιατί δηλαδὴ αὐτὸς δὲν διέταξε τὸν βασιλέα τότε ποὺ τὸν μετάφερε στὴ Δάφνη, νὰ καταστρέψη τὸν ναὸ τοῦ Ἀπόλλωνα καὶ νὰ μεταφέρη τὸ ἄγαλμα, ὅπως μετέφερε καὶ τὴ λειψανοθήκη; Ἐπειδὴ οὔτε βλαπτόταν ἀπὸ αὐτὸν οὔτε εἶχε ἀνάγκη ἀπὸ ἀνθρώπινη συμμαχία, ἀλλὰ καὶ τότε καὶ τώρα τὸν κατέβαλε χωρὶς ἀνθρώπινη βοήθεια. Καὶ τὴν πρηγούμενη βέβαια νίκη του δὲν μᾶς τὴν φανέρωσε, ἀλλὰ τοῦ ἔκλισε ἁπλῶς τὸ στόμα καὶ ἡσύχαζε. Γιατὶ τέτοιοι εἶναι οἱ ἅγιοι. Θέλουν νὰ κάμνουν θαυμαστὰ πράγματα ἀποβλέποντας στὴ σωτηρία μόνο τῶν ἀνθρώπων, χωρὶς νὰ ἐπιδεικνύωνται στοὺς πολλοὺς καὶ νὰ λένε ὅτι εἶναι δικά τους τὰ κατορθώματα, ἐκτὸς ἂν κάπου τὸ ἀπαιτήση κάποια ἀνάγκη· καὶ ὡς ἀνάγκη ἐννοῶ πάλι τὴν προστασία τῶν πιστῶν, πρᾶγμα ποὺ ἔγινε τότε. Ἐπειδὴ δηλαδὴ τὰ κακὰ τῆς ἀπάτης αὐξάνονταν, φανερώνεται τότε καὶ σὲ μᾶς ἡ νίκη, φανερώνεται ὅμως ὄχι ἀπὸ τὸν νικητή, ἀλλὰ ἀπὸ ἐκεῖνον ποὺ νικήθηκε ἀπὸ αὐτόν. Γιατὶ ἔτσι καὶ ἡ μαρτυρία δὲν ἦταν ἀναμφισβήτητη ἀπὸ τοὺς ἐχθρούς, καὶ ὁ ἅγιος, ἂν καὶ ὑπῆρχε ἀνάγκη, ἀπέφυγε νὰ περιαυτολογῇ. Ἐπειδὴ ὅμως οὔτε ἔτσι σταματοῦσε ἡ πλάνη, ἀλλὰ προσέτρεχαν πάλι αὐτοὶ ποὺ εἶναι καὶ ἀπὸ τοὺς λίθους πιὸ ἀναίσθητοι καὶ παρακαλοῦσαν τὸν ἡττημένο, ἔχοντας κλειστὰ τὰ μάτια τους σὲ μιὰ τόσο φανερὴ ἀλήθεια, γιὰ τὸν λόγο αὐτὸ ἀναγκάσθηκε νὰ παραδώση τὸ ἄγαλμα στὴ φωτιά, ὥστε μὲ τὸν ἐμπρησμὸ αὐτὸν νὰ σβήση ἄλλον ἐμπρησμό, τὸν ἐμπρησμὸ τῆς εἰδωλολατρίας.

19. Γιατί λοιπὸν κατηγορεῖς τὸν δαίμονα λέγοντας, «ἔφυγες ἀπὸ μιὰ τέτοια λατρεία»; Δὲν ἔφυγε μὲ τὴ θέλησή του, ἀλλ' ἀπελάθηκε καὶ διώχθηκε χωρὶς νὰ τὸ θέλη καὶ ἐξαναγκαζόμενος τότε, ὅταν μάλιστα ἤθελε νὰ παραμείνη καὶ γιὰ τὴν κνίσσα καὶ γιὰ τὰ σφάγια. Γιατὶ ὁ βασιλεὺς τότε, σὰν νὰ ἔγινε γι' αὐτὸ βασιλεύς, γιὰ νὰ ξοδεύση τὰ ζῶα ὅλου τοῦ κόσμου, ἔσφαζε ἐπάνω στοὺς βωμοὺς μὲ τόση ἀφθονία πρόβατα καὶ βόδια, καὶ ἔφθασε σὲ τέτοιο σημεῖο μανίας, ὥστε πολλοὶ καὶ ἀπὸ τοὺς δικούς τους ἀκόμη ποὺ θεωροῦνταν φιλόσοφοι νὰ τὸν ἀποκαλοῦν μάγειρα καὶ κρεοπώλη καὶ ὅλα τὰ παρόμοια. Δὲν θὰ ἀναχωροῦσε λοιπὸν μὲ τὴ θέλησή του ὁ δαίμονας ἀπὸ μιὰ τόσο πλούσια τράπεζα καὶ ἀπὸ τὴν κνίσσα καὶ τοὺς καπνοὺς καὶ τοὺς ποταμοὺς τῶν αἱμάτων, αὐτὸς πού, ὅπως εἶπες, παρέμενε καὶ χωρὶς αὐτά, ἐξ αἰτίας τοῦ τρελλοῦ ἔρωτά του πρὸς τὴν ἐρωμένη του.

διὰ τὴν πρὸς τὴν ἐρωμένην μανίαν. Ἀλλὰ γὰρ τὸν παρ' ἡμῶν λόγον στήσαντες τέως, πάλιν ἐπακούσωμεν τῶν ὀδυρμῶν τοῦ σοφιστοῦ.

Ἀφεὶς γὰρ τὸν Ἀπόλλω πρὸς τὸν Δία πάλιν ὀλοφύρεται λέγων· «οἵαν, ὦ Ζεῦ, γνώμης καμνούσης ἀφῃρέθημεν ἀνάπαυλαν· ὡς καθαρὸν μὲν θορύβων ἡ Δάφνη χωρίον, καθαρώτερος δὲ ὁ νεώς, οἷον λιμένος ἐπὶ λιμένι παρ' αὐτῆς πεποιημένου τῆς φύσεως· ἀκυμάντοιν μὲν ἀμφοῖν, πλείω δὲ τὴν ἡσυχίαν παρεχομένου τοῦ δευτέρου. Τίς μὲν οὐκ ἂν αὐτόθι νόσον ἀπέδυ; τίς δὲ οὐκ ἂν φόβον; τίς δὲ οὐκ ἂν πένθος· τίς δὲ ἂν ἐπόθησε τὰς μακάρων νήσους;». Ποίαν ἀνάπαυλιν ἀφῃρέθημεν, ὦ μιαρέ; πῶς δὲ καθαρώτερος θορύβων ὁ νεὼς καὶ λιμὴν ἀκύμαντος, ἔνθα αὐλοὶ καὶ τύμπανα καὶ κραιπάλαι καὶ κῶμοι καὶ μέθαι; «Τίς οὐκ ἂν αὐτόθι, φησί, νόσον ἀπέδυ;» Τίς μὲν οὖν τῶν προσκειμένων σοι οὐκ ἂν ἐδέξατο νόσον αὐτόθι, εἰ καὶ πρότερον ὑγιαίνων ἐτύγχανε καὶ νόσον τὴν πασῶν χαλεπωτάτην; Ὁ γὰρ τὸν δαίμονα προσκυνῶν καὶ τῆς Δάφνης τὴν ὑπόθεσιν ἀκούων καὶ τοῦ θεοῦ τὴν μανίαν τοσαύτην ὁρῶν, ὡς καὶ καταποθείσης τῆς ἐρωμένης ἔτι προσεδρεύειν τῷ τόπῳ καὶ τῷ φυτῷ, πόσην ἐκεῖθεν οὐκ ἂν ἐδέξατο φλόγα μανίας; πόσον χειμῶνα; πόσον θόρυβον; πόσην νόσον; πόσον πάθος; Τοῦτο οὖν ἀνάπαυλαν καλεῖς ψυχῆς καὶ λιμένα ἀκύμαντον; τοῦτο νόσων ἀπαλλαγήν; Καὶ τί θαυμαστὸν εἰ τὰ ἐναντία τοῖς ἐναντίοις τίθεσαι; Καὶ γὰρ οἱ μαινόμενοι τῶν πραγμάτων οὐδενὸς ὡς ἔχει φύσεως αἰσθάνονται, ἀλλὰ ἐναντίας τοῖς οὖσι τὰς ψήφους ἐκφέρουσιν.

«Ὀλύμπια μὲν οὐ μάλα πόρρω»· πάλιν γὰρ ἐπὶ τὸν θρῆνον ἐλεύσομαι, δεικνὺς ὅσην ἅπαντες οἱ τότε τὴν πόλιν οἰκοῦντες Ἕλληνες ἐδέξαντο τὴν πληγὴν καὶ ὡς οὐκ ἂν τοῦτο πρᾴως ἤνεγκεν ὁ βασιλεύς, ἀλλὰ πάντα θυμὸν εἰς τὴν τοῦ μάρτυρος λάρνακα ἀφῆκεν ἄν, εἰ μὴ φόβῳ κατείχετο μείζονι. Τί οὖν φησιν; «Ὀλύμπια μὲν οὐ μάλα πόρρω· συγκαλέσει δὲ ἡ πανήγυρις τὰς πόλεις, αἱ δὲ ἥξουσι βοῦς ἄγουσαι τῷ Ἀπόλλωνι θυσίαν. Τί δράσομεν; ποῖ καταδυσό-

Ἀλλ' ὅμως ἂς σταματήσω τώρα τὸν λόγο μου καὶ ἂς ἀκούσωμε πάλι τοὺς θρήνους τοῦ σοφιστῆ.

Ἀφοῦ ἄφησε λοιπὸν τὸν Ἀπόλλωνα, στρέφει τοὺς θρήνους του πρὸς τὸν Δία, λέγοντας· «πῶς μᾶς ἀφαιρέθηκε, Ζεῦ, μιὰ τέτοια ἀνάπαυση τοῦ κουρασμένου μυαλοῦ μας! Γιατὶ ἡ Δάφνη ἦταν τόσο καθαρὸ ἀπὸ θορύβους μέρος καὶ ἀκόμη πιὸ καθαρὸς ὁ ναός, σὰν νὰ δημιούργησε ἡ φύση ἕνα λιμάνι μέσα σὲ ἕνα ἄλλο λιμάνι, ποὺ καὶ τὰ δυὸ ἦταν ἀκύμαντα, ἀλλὰ τὸ δεύτερο παρεῖχε μεγαλύτερη ἡσυχία. Ποιός δὲν θεραπεύθηκε ἐκεῖ ἀπὸ τὴν ἀσθένειά του; ποιός δὲν ἀπαλλάχθηκε ἀπὸ τὸν φόβο του; ποιός δὲν ξέχασε ἐκεῖ τὸ πένθος του; ποιός βρισκόμενος ἐκεῖ δὲν πόθησε τὰ μακάρια νησιά; Ποιά ἀνάπαυση μᾶς ἀφαιρέθηκε, μιαρέ; πῶς ὁ ναὸς ἦταν ὁ πιὸ καθαρὸς ἀπὸ θορύβους καὶ λιμάνι ἀκύμαντο, τὴ στιγμὴ ποὺ ἐκεῖ παίζονταν αὐλοὶ καὶ τύμπανα καὶ συνέβαιναν κραιπάλες καὶ τρελλὲς διασκεδάσεις καὶ μέθες; Ποιός, λέγει, δὲν ἀπαλλάχθηκε ἐκεῖ ἀπὸ τὴν ἀσθένειά του; Ἀντίθετα, ποιός ἀπὸ τοὺς δικούς σου, κι ἂν ἀκόμη προηγουμένως ἦταν ὑγιής, πηγαίνοντας ἐκεῖ δὲν ἀσθένησε, καὶ μάλιστα ἀπὸ ἀσθένεια χειρότερη ἀπ' ὅλες; Γιατὶ ἐκεῖνος ποὺ προσκυνεῖ τὸν δαίμονα καὶ ἀκούει τὴν ἱστορία τῆς Δάφνης καὶ βλέπει τὴν τόσο μεγάλη μανία τοῦ θεοῦ, ὥστε, καὶ ἐνῶ κατάπιε ἡ γῆ τὴν ἐρωμένη του, αὐτὸς ἐξακολουθεῖ νὰ παραμένη ἀκόμη στὸν τόπο καὶ δίπλα στὸ φυτό, πόση φλόγα ἐρωτικῆς μανίας δὲν θὰ δεχόταν ἀπὸ ἐκεῖ; πόση τρικυμία; πόσο θόρυβο; πόση ἀσθένεια; πόσο πάθος; Αὐτὸ λοιπὸν ὀνομάζεις ἀνάπαυση ψυχῆς καὶ λιμάνι ἀκύμαντο; αὐτὸ εἶναι ἀπαλλαγὴ ἀσθενειῶν; Καὶ τί τὸ ἀξιοθαύμαστο ποὺ σὺ παρουσιάζεις τὰ ἀντίθετα μὲ τὰ ἀντίθετα; Γιατὶ καὶ οἱ μανιακοὶ δὲν ἀντιλαμβάνονται κανενὸς πράγματος τὴν πραγματικὴ φύση, ἀλλ' ἐκφράζουν γνῶμες ἀντίθετες πρὸς τὴν πραγματικότητα.

«Τὰ Ὀλύμπια δὲν εἶναι πολὺ μακριά». Θὰ ἐπανέλθω πάλι στὸν θρῆνο, γιὰ νὰ δείξω πόσο μεγάλο πλῆγμα δέχθηκαν οἱ Ἐθνικοὶ ἐκεῖνοι ποὺ κατοικοῦσαν τότε στὴν πόλη καὶ ὅτι ὁ βασιλεὺς δὲν θὰ τὸ ἀνεχόταν αὐτὸ μὲ ἠρεμία, ἀλλὰ θ' ἄφηνε νὰ ξεσπάση ὅλος ὁ θυμός του ἐπάνω στὴ λειψανοθήκη τοῦ μάρτυρα, ἂν δὲν ἦταν κυριευμένος ἀπὸ φόβο μεγαλύτερο ἀπὸ τὸν θυμό του. Τί λέγει λοιπόν; «Τὰ Ὀλύμπια δὲν εἶναι πολὺ μακριά. Τὸ πανηγύρι θὰ συγκεντρώση ἐδῶ τὶς πόλεις ποὺ θὰ ἔλθουν καὶ θὰ προσφέρουν βόδια θυσία στὸν

μεθα; τίς ἡμῖν θεῶν διαστήσει τὴν γῆν; ποῖος κήρυξ, ποία σάλπιγξ οὐχ ὑποκινήσει δάκρυον; τίς ἑορτὴν ἐρεῖ τὰ Ὀλύμπια, τοῦ πτώματος ἐγγύθεν ἐπεμβάλλοντος ὀδυρμόν; Δὸς τόξα μοι κερουλκά, φησὶν ἡ τραγῳδία· ἐγὼ δὲ λέγω καὶ μαντικῆς τι μικρόν, ὅπως τῇ μὲν ἕλω, τῇ δὲ τοξεύσω τὸν δράσαντα. Ὦ τόλμης ἀσεβοῦς! ὦ ψυχῆς μιαρᾶς! ὦ θρασείας χειρός! Τίτυός τις οὗτος ἕτερος, ἢ Ἴδας, ὁ ἀδελφὸς Λυγκέως, οὐ μέγας μὲν ὥσπερ ἐκεῖνος, οὐδὲ τοξότης ὥσπερ οὗτος, ἀλλ' ἓν τοῦτο εἰδὼς τὸ κατὰ θεῶν μαίνεσθαι. Τούς μὲν Ἀλωέως ἔτι διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσας, Ἄπολλον, τούτῳ δὲ πόρρωθεν φέροντι τὸ πῦρ οὐκ ἀπήντησεν ὀϊστὸς ἐπ' αὐτὴν πετόμενος τὴν καρδίαν. Ὦ δεξιᾶς τελχῖνος. ὦ πυρὸς ἀδίκου. Ποῦ ποτε ἄρα τὸ πρῶτον ἔπεσε; τί τοῦ κακοῦ τὸ προοίμιον; Ἆρα ἐξ ὀροφῆς ἀρξάμενον ἐπὶ τὰ ἄλλα προὔβη, τὴν κεφαλὴν ἐκείνην, τὸ πρόσωπον, τὴν φιάλην, τὴν κίδαριν, τὸν ποδήρη χιτῶνα; Ἥφαιστος δέ, πυρὸς ταμίας, οὐκ ἠπείλησε τῷ πυρὶ λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίου· ἀλλ' οὐδὲ ὁ Ζεύς, ὄμβρων ἡνίας ἔχων, ὕδωρ ἀφῆκεν ἐπὶ τὴν φλόγα καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν. Τί πρῶτον ἄρα πρὸς αὐτὸν εἶπεν ὁ τὸν πόλεμον ἀράμενος; πόθεν ποτὲ τὸ θάρσος; πῶς δὲ ἐφύλαξε τὴν ὁρμήν; πῶς δὲ οὐκ ἔλυσε τὸ δόγμα, τοῦ θεοῦ τὸ κάλλος αἰδεσθείς;». Μέχρι τίνος οὐ διαβλέψεις, ἄθλιε καὶ ταλαίπωρε, ταῦτα ἀνθρωπίνης εἶναι λέγων χειρός, καὶ ὥσπερ οἱ παραπαίοντες ἐναντιολογῶν καὶ σαυτῷ μαχόμενος; Εἰ γὰρ τὸν Περσῶν βασιλέα καὶ τοσαύτην ἄγοντα στρατιὰν καὶ τὴν πόλιν ἑλόντα καὶ τὰ λοιπὰ τῶν ἱερῶν ἐμπρήσαντα καὶ τὴν δᾷδα μετὰ χεῖρας ἔχοντα, καὶ προσάγειν αὐτὴν ἤδη τούτῳ μέλλοντα τῷ ναῷ, μετέβαλεν ὁ δαίμων (καὶ γὰρ καὶ ταῦτα ἐν ἀρχῇ τῆς μονῳδίας ἔλεγες θρηνῶν, οὕτως εἰπών· «τόν τοι βασιλέα Περσῶν, τοῦ νῦν τούτου πολεμοῦντος πρόγονον,

45. Σοφοκλέους, *Τρῶες*, ἀπόσπ. 738.

46. Ἦταν υἱὸς τοῦ Δία καὶ τῆς Γῆς.

47. Ὁ Ἴδας, κατὰ τὴν παράδοση τῶν Αἰτωλῶν, ἀπήγαγε μὲ τὴ θέλησή της ἀπὸ τὸν ναὸ τοῦ Ἀπόλλωνα τὴν Μάρπησσα· τὸ γεγονὸς αὐτὸ τὸν ὡδήγησε σὲ μονομαχία μὲ τὸν Ἀπόλλωνα· ἐπενέβη ὅμως ὁ Δίας καὶ τοὺς ἐχώρισε, ἐπετρέποντας στὴν Μάρπησσα νὰ ἐκλέξῃ τὸν ἕνα ἀπὸ τοὺς δύο. Αὐτὴ προτίμησε τὸν Ἴδα.

48. Ὁ Ἀλωεὺς ἦταν πατέρας τοῦ Ἐφιάλτη καὶ τοῦ Ὤτου.

Ἀπόλλωνα». Τί θὰ κάνωμε; ποῦ θὰ ἐξαφανισθοῦμε; ποιός ἀπὸ τοὺς θεοὺς θὰ μᾶς ἀνοίξη τὴ γῆ; ποιός κήρυκας, ποιά σάλπιγγα δὲν θὰ προκαλέση δάκρυα; ποιός θὰ ὀνομάση ἑορτὴ τὰ Ὀλύμπια, τὴ στιγμὴ ποὺ τὰ ἐρείπια ἐκεῖ πλησίον τοῦ ναοῦ προκαλοῦν ὀδυρμούς; «Δός μου», λέγει ἡ τραγωδία[45], «τόξα κατασκευασμένα ἀπὸ κέρατα». Ἐγὼ ὅμως λέγω, νὰ μοῦ δώσης καὶ κάποια μαντικὴ ἱκανότητα, γιὰ νὰ βρῶ μ' αὐτὴν τὸν δράστη καὶ μὲ τὸ τόξο νὰ τὸν τοξεύσω. Πὼ πὼ τόλμη ἀσεβής! Πὼ πὼ ψυχὴ μιαρή! Πὼ πὼ χέρι θρασύ! Ὁ δράστης αὐτὸς εἶναι ἕνας ἄλλος Τίτυος[46] ἢ Ἴδας[47], ὁ ἀδελφὸς τοῦ Λυγκέως, ὄχι βέβαια μεγάλος, ὅπως ἐκεῖνος, οὔτε τοξότης, ὅπως αὐτός, ἀλλὰ γνωρίζει ἕνα καὶ μόνο πρᾶγμα, νὰ φέρεται μὲ μανία πρὸς τοὺς θεούς. «Καὶ τὰ παιδιὰ τοῦ Ἀλυέως[48], ποὺ οἱ ἐπιβουλές τους ἐναντίον τῶν θεῶν βρίσκονταν στὴ σκέψη τους, τὰ σταμάτησες, Ἀπόλλωνα, μὲ τὸν θάνατο, ἐνῶ αὐτὸν ποὺ ἔφερε ἀπὸ μακριὰ τὸ πῦρ δὲν τὸν συνάντησε κανένα ἱπτάμενο βέλος γιὰ νὰ καρφωθῆ στὴν καρδιά του. Πὼ πὼ ἄφοβο χέρι! πὼ πὼ ἄδικο πῦρ! Ποῦ ἄραγε ἔπεσε πρῶτα ὁ σπινθήρας; Ποιά εἶναι ἡ ἀρχὴ τοῦ κακοῦ; Ἄραγε ἄρχισε ἀπὸ τὴν ὀροφὴ καὶ προχώρησε στὰ ἄλλα, στὴν κεφαλὴ δηλαδὴ τοῦ εἰδώλου, στὸ πρόσωπο, στὸ χρυσὸ κύπελλο, στὴν περικεφαλαία, στὸν ποδήρη χιτῶνα; Καὶ ὁ Ἥφαιστος, ὁ θεὸς τῆς φωτιᾶς, δὲν σταμάτησε τὴν καταστροφικὴ φωτιά, ἂν καὶ χρεωστοῦσε χάρη στὸν θεὸ γιὰ κάποιο μήνυμα ποὺ τοῦ ἔφερε παλαιά. Ἀλλ' οὔτε καὶ ὁ Ζεύς, ποὺ κρατεῖ τὰ χαλινάρια τῶν βροχῶν, ἄφησε νὰ πέση νερὸ στὴ φωτιά, ἂν καὶ κάποτε ἔσβησε τὴ φωτιὰ ποὺ ἀπειλοῦσε τὸν δυστυχῆ βασιλέα τῶν Λυδῶν. Τί εἶπε ἄραγε πρῶτα στὸν θεὸ ἐκεῖνος ποὺ ἄρχισε τὸν πόλεμο; ἀπὸ ποῦ πῆρε τὸ θάρρος; πῶς κράτησε τὴν ὁρμή του; πῶς δὲν ἄλλαξε γνώμη, σεβόμενος τὴν ὀμορφιὰ τοῦ θεοῦ;». Μέχρι πότε, ἄθλιε καὶ ταλαίπωρε, δὲν θὰ θελήσης νὰ δῆς τὴν πραγματικότητα καὶ νὰ σταματήσης νὰ λές, ὅτι αὐτὸ εἶναι ἔργο ἀνθρώπινου χεριοῦ, ἀντιφάσκοντας ὅπως ἀκριβῶς οἱ μεθυσμένοι καὶ πολεμῶντας τὸν ἑαυτό σου; Γιατί, ἂν τὸν βασιλέα τῶν Περσῶν, ποὺ ὡδηγοῦσε τόση μεγάλη στρατιὰ καὶ κυρίευσε τὴν πόλη καὶ κατέκαυσε τοὺς ὑπόλοιπους ναούς, καὶ κρατῶντας στὸ χέρι του τὴν δάδα ἦταν ἕτοιμος νὰ πυρπολήση καὶ αὐτὸν τὸν ναό, τοῦ ἄλλαξε τὴν γνώμη ὁ θεὸς (γιατὶ αὐτὰ ἔλεγες στὴν ἀρχὴ τῆς μονωδίας καὶ θρηνοῦσες ὡς ἑξῆς· «τὸν βασιλέα λοιπὸν τῶν Περσῶν, τὸν πρόγο-

προδοσίᾳ τὸ ἄστυ λαβόντα καὶ ἐμπρήσαντα, χωρήσαντα ἐπὶ Δαφνην ὡς τὸ αὐτὸ δράσοντα, μετέβαλεν ὁ Θεὸς καὶ τὴν δᾷδα ρίψας προσεκύνησε τῷ Ἀπόλλωνι· οὕτως αὐτὸν κατεπράϋνέ τε καὶ διήλλαξε φανείς»), ὁ δὴ θυμοῦ βαρβαρικοῦ καὶ τοσαύτης περιγενόμενος στρατιᾶς, ὡς ἔφης, καὶ δυνηθεὶς τότε τὸν κίνδυνον διαφυγεῖν (λέγεις δὲ ὅτι καὶ τοὺς Ἀλωέως παῖδας διανοουμένους τὰς τῶν θεῶν ἐπιβουλὰς θανάτῳ κατέπαυσε), πῶς οὖν ὁ τοσαῦτα δυνηθείς, οὐδὲν τοιοῦτον εἰργάσατο νῦν; Καίτοι εἰ μηδὲν ἕτερον, τὸν γοῦν ἱερέα σπαραττόμενον ἀδίκως ἐλεῆσαι ἐχρῆν, φανερὸν καταστήσαντα τὸν ἐπίβουλον. Καὶ εἰ τότε παρὰ τὸν ἐμπρησμὸν διέφυγεν, ὅτε γοῦν ὁ δείλαιος ἐκεῖνος κρεμάμενος διωρύττετο τὰς πλευρὰς καὶ τὸν ἐργασάμενον ἀπαιτούμενος εἰπεῖν οὐκ εἶχε, τότε παραστῆναι ἐχρῆν καὶ ἐκδοῦναι τὸν δράσαντα, ἢ καὶ καταμηνῦσαι μόνον, εἴγε ἐκδοῦναι οὐκ ἴσχυεν· νῦν δὲ περιορᾷ μὲν ὁ ἀχάριστος καὶ ἀγνώμων τὸν αὐτοῦ θεραπευτὴν καταξαινόμενον ἀλόγως, περιορᾷ δὲ τὸν βασιλέα μετὰ τοσαύτας θυσίας καταγελώμενον.

Καὶ γὰρ ὡς μαινόμενον καὶ παραπαίοντα πάντες ἐγέλων αὐτόν, ὅτε εἰς τὸν ἄθλιον ἐκεῖνον ἠφίει τὴν ὀργήν. Πῶς δὲ ὁ τοῦ βασιλέως τὴν παρουσίαν ἔτι μακρὰν ὄντος προλέγων (καὶ γὰρ καὶ τοῦτο ἀνωτέρω τούτων ἐθρήνεις), τὸν πλησίον ἑστῶτα καὶ κατακαίοντα αὐτὸν οὐκ εἶδε; Καίτοι γε μαντικὸν αὐτὸν εἶναί φατε καὶ ἄλλοις ἄλλας διανέμοντες τέχνας καθάπερ ἀνθρώποις τοῖς ὑμετέροις θεοῖς· τούτῳ τὴν μαντικὴν ἀνεθήκατε καὶ οὐδὲ μεταδοῦναι αὐτόν σοι τῆς τέχνης ἀξιοῖς. Πῶς οὖν τὰς οἰκείας οὐκ ἔγνω συμφοράς; καίτοι τοῦτο οὐδ' ἂν ἄνδρα διέλαθεν. Ἀλλ' ἆρα μὴ ἐκάθευδεν ἁπτομένου τοῦ πυρός; Ἀλλ' οὐδὲ οὕτως ἀναίσθητός τίς ἐστιν, ὡς αὐτῷ τῆς φλογὸς προσφερομένης μὴ διαναστῆναι εὐθέως καὶ τὸν προσάγοντα κατασχεῖν. Ἀληθῶς «Ἕλληνες ἀεὶ παῖδες, γέρων δὲ

49. Πλάτωνος, *Τίμαιος*, 22β.

νο αὐτοῦ ποὺ μᾶς πολεμᾶ τώρα, ὁ ὁποῖος κυρίευσε μὲ προδοσία τὴν πόλη καὶ τὴν πυρπόλησε, ὅταν προχώρησε νὰ κάνη τὸ ἴδιο καὶ στὴ Δάφνη, ὁ θεὸς τοῦ ἄλλαξε τὴ γνώμη, καὶ ἀφοῦ ἔρριψε κάτω τὴ δάδα προσκύνησε τὸν 'Απόλλωνα». Τόσο πολὺ τὸν καταπράϋνε καὶ τοῦ ἄλλαξε τὶς διαθέσεις του ἐμφανιζόμενος μπροστά του»). Αὐτὸς λοιπὸν ποὺ νίκησε τὸν θυμὸ τῶν βαρβάρων καθὼς καὶ τόσο μεγαλο στρατό, ὅπως εἶπες, καὶ μπόρεσε τότε ν' ἀποφύγη τὸν κίνδυνο (γιατὶ λὲς ὅτι καὶ τὰ παιδιὰ τοῦ 'Αλωέως, ποὺ εἶχαν στὴ σκέψη τους τὶς ἐπιβουλὲς ἐναντίον τῶν θεῶν, τὰ σταμάτησε μὲ τὸν θάνατο), πῶς λοιπὸν αὐτὸς ποὺ μπόρεσε καὶ ἔκαμε τόσα, δὲν μπόρεσε νὰ κάμη τώρα κάτι τέτοιο; Ἂν καὶ βέβαια, ἂν τίποτε ἄλλο, ἔπρεπε τοὐλάχιστο νὰ λυπηθῆ τὸν ἱερέα ποὺ βασανιζόταν ἄδικα καὶ νὰ φανερώση τὸν δράστη. Κι ἂν τότε προκάλεσε τὸν ἐμπρησμὸ καὶ διέφυγε, ὅταν εἶχαν κρεμάσει τὸν ταλαίπωρο ἱερέα καὶ τοῦ ξέσχιζαν τὰ πλευρά του ἐπειδὴ τὸν ἐρωτοῦσαν καὶ δὲν μποροῦσε νὰ πῆ ποιός ἦταν ὁ δράστης, ἔπρεπε τότε νὰ παρουσιασθῆ ὁ 'Απόλλωνας καὶ νὰ παραδώση τὸν δράστη, ἤ, ἂν δὲν μποροῦσε νὰ τὸν παραδώση, νὰ τὸν φανερώση μόνο. Ὁ ἀχάριστος ὅμως καὶ ἀγνώμονας 'Απόλλωνας παραβλέπει τώρα καὶ τὸν ἱερέα ποὺ ἄδικα καταξεσχίζεται, παραβλέπει καὶ τὸν βασιλέα ποὺ μετὰ ἀπὸ τόσες θυσίες γίνεται καταγέλαστος.

Πραγματικὰ ὅλοι γελοῦσαν σὰν νὰ ἦταν τρελλὸς καὶ ἀνισόρροπος, βλέποντάς τον ν' ἀφήνη τὸν θυμό του νὰ ξεσπάση πάνω στὸν ἄθλιο ἱερέα. Καὶ πῶς ἐκεῖνος ποὺ προφήτευσε τοῦ βασιλέως τὸν ἐρχομό, ἂν καὶ βρισκόταν ἀκόμη πολὺ μακριὰ (γιατὶ καὶ αὐτὸ τὸ θρηνοῦσες πιὸ πάνω), αὐτὸν ποὺ ἦταν δίπλα του καὶ ἔβαλε τὴ φωτιὰ δὲν τὸν εἶδε; Ἂν καὶ βέβαια λέτε ὅτι αὐτὸς ἔχει μαντικὲς ἱκανότητες, καὶ ὅπως στοὺς ἄλλους θεούς σας ἀπονέμετε διάφορες τέχνες, σὰν νὰ εἶναι ἄνθρωποι, ἔτσι σ' αὐτὸν ἀποδώσατε τὴ μαντικὴ τέχνη, ἀλλ' ὅμως δὲν τοῦ ζητᾶς νὰ μεταδώση καὶ σὲ σένα τὴν τέχνη του. Πῶς λοιπὸν δὲν ἀντιλήφθηκε τὶς συμφορές του; Ἂν καὶ αὐτὸ δὲν θὰ ἦταν δυνατὸ νὰ διαφύγη τὴν προσοχὴ ἀνθρώπου. Μήπως ὅμως κοιμῶταν τὴν στιγμὴ ποὺ ἄναβε ἡ φωτιά; 'Αλλὰ κανεὶς δὲν εἶναι τόσο ἀναίσθητος, ὥστε νὰ μὴ σηκωθῆ ἀμέσως τὴν ὥρα ποὺ τοῦ βάζουν φωτιὰ καὶ νὰ συλλάβη τὸν ἐμπρηστή. Πραγματικὰ «οἱ Ἕλληνες εἶναι πάντοτε παιδιὰ καὶ κανεὶς Ἕλληνας δὲν εἶναι γέροντας»[49].

Ἕλλην οὐδείς». Δέον γὰρ τὴν οἰκείαν ἄνοιαν θρηνεῖν, ὅτι τῶν πραγμάτων βοώντων τὴν τῶν δαιμόνων ἀπάτην, οὐδὲ οὕτως ἀφίστασθε, ἀλλ' ἐκδόντες ἑαυτοὺς εἰς ἀπώλειαν καὶ τὴν ὑμετέραν ἀποδόμενοι σωτηρίαν, ἄγεσθε δίκην θρεμμάτων, ᾗπερ ἂν κελεύωσιν ἕπεσθαι, οἳ κάθησθε ξοάνων πενθοῦντες ἀπώλειαν.

Σὺ δὲ καὶ τόξα ἀπαιτεῖς οὐδὲν ἐκείνου τοῦ ταῦτα ἐν τῇ τραγῳδίᾳ λέγοντος διεστηκώς. Πῶς γὰρ οὐ μανία πρόδηλος καὶ σαφὴς προσδοκᾶν τι τοῖς ὅπλοις τούτοις ἀνύειν, ἃ τὸν κεκτημένον οὐδὲν ὤνησεν; Εἰ μὲν γὰρ αὐτὸς μείζονα καὶ τὴν τέχνην καὶ τὴν ἐμπειρίαν τοῦ δαίμονος ἔχειν φῄς, οὐκ ἐχρῆν αὐτὸν τιμᾶν ἀμαθέστερόν τε ὄντα καὶ ἀσθενέστερον, ἐν οἷς αὐτόν φατε πάντων κρατεῖν. Εἰ δὲ τῶν πρωτείων ἐκείνῳ παραχωρεῖς, ἄν τε τοξεύειν, ἄν τε μαντεύεσθαι δέῃ, πῶς ἐν τῷ μέρει τῆς τέχνης ταῦτα προσεδόκησας δράσειν, ἅπερ ὁ τὴν ὅλην ἔχων οὐκ ἴσχυσε;

20. Γέλως ταῦτα καὶ λῆρος. Οὔτε γὰρ εἶχέ τι μαντικῆς, οὔτε κἂν εἶχεν ἤνυεν ἄν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁ ταῦτα ἐργασάμενος ἀνήρ, ἀλλὰ θεία τις δύναμις. Καὶ τὴν αἰτίαν δὲ μετὰ ταῦτα ἐρῶ· τέως δὲ ἄξιον μαθεῖν ὑπὲρ ὧν ἀγνωμοσύνην ἐγκαλεῖ τῳ Ἡφαίστῳ οὑτωσί πως λέγων· «Ἥφαιστος δέ, πυρὸς ταμίας, οὐκ ἠπείλησε τῷ πυρί λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῳ θεῳ μηνύματος ἀρχαίου». Ποίαν χάριν; ποίου μηνύματος ἀρχαίου εἰπέ; Διὰ τί κρύπτεις σου τὰ σεμνὰ τῶν θεῶν κατορθώματα; Εἰ γὰρ καὶ τὴν χάριν εἶπες αὐτήν, μᾶλλον ἂν ἀγνώμονα τὸν Ἥφαιστον ἔδειξας. Ἀλλ' αἰσχύνῃ καὶ ἐρυθριᾷς· οὐκοῦν ἡμεῖς μετὰ παρρησίας ἐροῦμεν τὰ σά. Τίς οὖν ἡ χάρις;

Ἐρασθέντα ποτὲ τὸν Ἄρην τῆς Ἀφροδίτης καὶ τὸν Ἥφαιστον (ἄνδρα γὰρ αὐτῆς εἶναι) δεδοικότα, τὴν ἀπουσίαν ἐπιτηρήσαντα τὴν ἐκείνου, πρὸς αὐτὴν εἰσελθεῖν φασί. Τὸν δὲ Ἀπόλλω θεασάμενον μιγνυμένους αὐτούς, ἀπελθόντα πρὸς τὸν Ἥφαιστον τὴν μοιχείαν κατειπεῖν· ἐλθόντα δὲ ἐκεῖνον καὶ ἀμφοτέρους ἐπὶ τῆς κλίνης εὑρόντα, δεσμὰ αὐτοῖς οὕτως ὡς εἶχον περιβαλόντα, καλέσαι

50. Ἐννοεῖ τὸν Ἀπόλλωνα, ποὺ ἦταν θεὸς τοξότης.

Γιατί, ἐνῶ ἔπρεπε νὰ θρηνῆτε γιὰ τὴν παραφροσύνη σας, ἀφοῦ τὰ ἴδια τὰ πράγματα διακηρύττουν τὴν ἀπάτη τῶν δαιμόνων, σεῖς οὔτε ἔτσι ἀπομακρύνεσθε ἀπ' αὐτούς, ἀλλά, ἀφοῦ παραδώσατε τὸν ἑαυτό σας στὴν καταστροφὴ καὶ πωλήσατε τὴ σωτηρία σας, ὁδηγεῖσθε σὰν ζῶα καὶ πηγαίνετε ὅπου σᾶς διατάξουν, καὶ κάθεσθε καὶ θρηνεῖτε τὴν καταστροφὴ τῶν εἰδώλων.

Σὺ πάλι ζητᾶς καὶ τόξα, μὴ διαφέροντας σὲ τίποτε ἀπὸ ἐκεῖνον ποὺ τὰ λέγει αὐτὰ στὴν τραγωδία. Πῶς λοιπὸν δὲν εἶναι ὁλοφάνερη καὶ πασίγνωστη μανία τὸ νὰ περιμένη κανεὶς νὰ κατορθώση κάτι μὲ τὰ ὅπλα αὐτά, τὰ ὁποῖα δὲν ὠφέλησαν σὲ τίποτε ἐκεῖνον ποὺ τὰ εἶχε; Γιατί, ἂν λὲς ἐσύ, ὅτι ἔχεις μεγαλύτερη καὶ τὴν τέχνη καὶ τὴν ἐμπειρία ἀπὸ τὸν δαίμονα Ἀπόλλωνα, δὲν ἔπρεπε νὰ τὸν τιμᾶτε, ἀφοῦ εἶναι πιὸ ἀμαθὴς καὶ πιὸ ἀνίσχυρος σ' αὐτὰ ποὺ λέτε ὅτι ὑπερέχει ὅλων. Ἂν ὅμως παραχωρῆς τὰ πρωτεῖα σ' ἐκεῖνον, ὅταν χρειάζεται νὰ τοξεύσης ἢ νὰ ἀσκήσης τὴ μαντικὴ πῶς ἐλπίζεις νὰ καταφέρης αὐτὰ ἐσὺ ποὺ κατέχεις ἕνα μόνο μέρος τῆς τέχνης, τὴ στιγμὴ ποὺ δὲν μπόρεσε ἐκεῖνος ποὺ κατέχει ὅλη τὴν τέχνη;[50].

20. Αὐτὰ εἶναι γελοῖα πράγματα καὶ φλυαρίες. Καθ' ὅσον οὔτε εἶχε καμμιὰ μαντικὴ ἱκανότητα, οὔτε ἂν εἶχε θὰ μπροῦσε νὰ κάμη κάτι. Γιατὶ δὲν εἶναι, δὲν εἶναι ἄνθρωπος αὐτὸς ποὺ ἔκαμε ὅλα αὐτά, ἀλλὰ κάποια θεϊκὴ δύναμη. Καὶ θὰ σᾶς πῶ τὴν αἰτία ἀργότερα· προηγουμένως ὅμως ἀξίζει νὰ μάθετε τὸν λόγο γιὰ τὸν ὁποῖο κατηγορεῖ ὡς ἀγνώμονα τὸν Ἥφαιστο, λέγοντας τὰ ἑξῆς· «καὶ ὁ Ἥφαιστος, ὁ θεὸς τῆς φωτιᾶς, δὲν σταμάτησε τὴ φωτιὰ ποὺ κατέστρεφε τὰ πάντα, ἂν καὶ χρεωστοῦσε χάρη στὸν Ἀπόλλωνα γιὰ κάποιο μήνυμα παλαιό». Πές, ποιά χάρη; ποιό μήνυμα παλαιό; Γιατί κρύβεις τὰ λαμπρὰ κατορθώματα τῶν θεῶν; Γιατί, ἂν ἔλεγες καὶ τὴ χάρη αὐτή, θὰ παρουσίαζες περισσότερο ἀγνώμονα τὸν Ἥφαιστο. Ἀλλὰ ντρέπεσαι καὶ κοκκινίζεις. Γι' αὐτὸ λοιπὸν θὰ φανερώσω ἐγὼ τὰ δικά σας. Ποιά ἦταν λοιπὸν ἡ χάρη;

Κάποτε ὁ Ἄρης ἐρωτεύθηκε τὴν Ἀφροδίτη καὶ ἐπειδὴ φοβήθηκε τὸν Ἥφαιστο (ποὺ ἦταν ὁ ἄνδρας της), παρακολούθησε πότε θὰ ἀπουσίαζε καὶ εἰσῆλθε, λέγουν, στὸν κοιτῶνα της. Ὁ Ἀπόλλωνας ὅμως τοὺς εἶδε νὰ κάνουν ἔρωτα καὶ πῆγε στὸν Ἥφαιστο γιὰ νὰ τοῦ ἀναφέρη τὴ μοιχεία. Πῆγε τότε ὁ Ἥφαιστος καὶ τοὺς συνέλεβε καὶ τοὺς δύο ἐπάνω στὸ κρεββάτι, τοὺς ἔδεσε μὲ δεσμὰ στὴν κατά-

τε τοὺς θεοὺς ἐπὶ τὴν ἀσχήμονα θεωρίαν καὶ ταύτην τῆς μοιχείας εἰσπράξασθαι δίκην αὐτούς. Ταύτης οὖν τῆς χάριτος ὀφειλέτην ὄντα τὸν Ἥφαιστον, καιροῦ καλοῦντος, ἀγνωμονῆσαι περὶ τὴν ἀντίδοσίν φησι. Τί οὖν καὶ ὁ Ζεύς, ὦ βέλτιστε; καὶ γὰρ καὶ τούτῳ πάλιν ἀπήνειαν ἐγκαλεῖς. «Ἀλλ' οὐδὲ ὁ Ζεύς», λέγων, «ὄμβρων ἡνίας ἔχων, ὕδωρ ἀφῆκεν ἐπὶ τὴν φλόγα, καὶ ταῦτα Λυδῶν ποτε βασιλεῖ δυστυχήσαντι σβέσας πυράν». Ἀλλὰ γὰρ καλῶς ποιῶν ἀνέμνησας ἡμᾶς καὶ τοῦ Λυδοῦ· καὶ γὰρ κἀκεῖνον ὁ μιαρὸς οὗτος δαίμων ἠπάτησεν ἐλπίσι φυσήσας κεναῖς, καὶ εἰς προὖπτον κακὸν ἐμβαλών. Καὶ εἰ μὴ φιλάνθρωπος ἦν ὁ Κῦρος, οὐδὲ ἂν αὐτὸν ὤνυσεν ὁ Ζεύς. Ὥστε μάτην ἐγκαλεῖς τῷ Διὶ ὡς προτιμήσαντι τοῦ παιδὸς τὸν Λυδόν· οὐδὲ γὰρ ἑαυτῷ ἔνθα μάλιστα πασῶν ἐτιμᾶτο πόλεων, τὴν Ρωμύλου λέγω, κεραυνωθεὶς ἤμυνεν. Ἐπακούσωμεν δὲ καὶ τῶν λοιπῶν τοῦ θρήνου ρημάτων· οὕτω γὰρ τὸ πένθος εἰσόμεθα καλῶς, ὃ κατέσχεν αὐτῶν τὰς ψυχάς.

«Ἄνδρες, ἕλκομαι τὴν ψυχὴν πρὸς τὸ εἶδος τοῦ θεοῦ, καί μοι πρὸ τῶν ὀμμάτων ἵστησιν ὁ λογισμὸς τὸν τύπον, ἡμερότητα μορφῆς, ἁπαλότητα δέρρης, ἐν λίθῳ καὶ ταῦτα, ζωστῆρα περὶ τῷ στήθει συνάγοντα χιτῶνα χρυσοῦν, ὡς αὐτοῦ τὰ μὲν ἐνιζάνειν, τὰ δὲ ὑπανίστασθαι. Τὸ δὲ ὅλον σχῆμα τίνος οὐκ ἂν ζέοντα ἐκοίμισε θυμόν; Ἐῴκει γὰρ ᾄδοντι μέλος, καί πού τις καὶ ἤκουσεν, ὥς φασιν, ἐν μεσημβρίᾳ κιθαρίζοντος. Ὦτα εὐδαίμονα. Τὸ δὲ ᾆσμα ἄρα ἦν ἔπαινος τῆς γῆς, ᾗ μοι φαίνεται καὶ σπένδειν ἀπὸ τῆς χρυσῆς κυάθου, ὅτι τὴν κόρην ἔκρυψε ραγεῖσά τε καὶ συνελθοῦσα». Εἶτα μικρὰ πρὸς τὸν ἐμπρησμὸν ὀλοφυρόμενος, «ἐβόα μέν», φησίν, «ὁδοιπόρος ἀνιούσης τῆς αὐγῆς, ἐκυκᾶτο δ' ἐφ' ὕλῃ Δάφνης ἔνοικος ἱέρεια τοῦ θεοῦ· πληγαὶ δὲ στέρνων καὶ οἰμωγή τις ὀξεῖα διὰ χωρίου πολυδένδρους δραμοῦσα πίπτει μὲν εἰς τὸ ἄστυ δεινή τε καὶ

51. Προτίμησε δηλαδὴ ὁ Ζεὺς νὰ βοηθήση τὸν Κροῖσο παρὰ τὸν Ἀπόλλωνα.

52. Βλ. σημείωση ὑπ' ἀριθ. 8.

σταση ἐκείνη ποὺ βρίσκονταν καὶ κάλεσε τοὺς θεοὺς νὰ δοῦν τὴν αἰσχρὴ πράξη καὶ νὰ τιμωρηθοῦν μὲ τὸν ἐξευτελισμὸ αὐτὸ γιὰ τὴ μοιχεία. Αὐτὴ τὴ χάρη χρεωστοῦσε λοιπὸν ὁ Ἥφαιστος στὸν Ἀπόλλωνα, ἀλλὰ ὅταν τὸν κάλεσε ἡ περίσταση, φάνηκε, λέγει, ἀγνώμονας καὶ δὲν τὴν ἀνταπέδωσε. Ἐπίσης ποιό εἶναι, ἀγαπητέ, καὶ τὸ πταῖσμα τοῦ Δία; Γιατὶ καὶ αὐτὸν τὸν κατηγορεῖς γιὰ σκληρότητα, λέγοντας· «ἀλλ' οὔτε καὶ ὁ Ζεύς, ποὺ κρατᾶ τὰ χαλινάρια τῶν βροχῶν, ἔρριψε νερὸ στὴ φωτιά, ἂν καὶ ἔσβησε κάποτε τὴ φωτιὰ τοῦ δυστυχισμένου βασιλέως τῶν Λυδῶν». Καλὰ ἔκαμες βέβαια καὶ μᾶς θύμισες καὶ τὸν βασιλέα τῶν Λυδῶν. Γιατὶ καὶ αὐτὸν τὸν ἐξαπάτησε ὁ ἄθλιος ἐκεῖνος δαίμονας, βάζοντάς του ἐλπίδες κενὲς καὶ ρίχνοντάς τον ἔτσι σὲ πολὺ μεγάλο κακό. Καὶ ἂν ὁ Κῦρος δὲν ἦταν φιλάνθρωπος; οὔτε καὶ αὐτὸν θὰ μποροῦσε νὰ τὸν ὠφελήση ὁ Ζεύς. Ἐπομένως ἄδικα κατηγορεῖς τὸν Δία, ὅτι τάχα προτίμησε ἀντὶ τοῦ παιδιοῦ του τὸν βασιλέα τῶν Λυδῶν[51]. Γιατὶ αὐτὸς οὔτε τὸν ἑαυτό του μπόρεσε νὰ ὑπερασπίση, ὅταν χτυπήθηκε ἀπὸ κεραυνὸ στὴν πόλη τοῦ Ρωμύλου, στὴν ὁποία τιμῶταν περισσότερο ἀπὸ ὅλες τὶς πόλεις. Ἂς ἀκούσουμε ὅμως καὶ τὰ ὑπόλοιπα λόγια τοῦ θρήνου, γιατὶ ἔτσι θὰ γνωρίσωμε καλὰ τὸ πένθος ποὺ κυρίευσε τὶς ψυχές τους.

«Ἄνδρες, ἡ ψυχή μου ποθεῖ νὰ δῆ τὴ μορφὴ τοῦ θεοῦ καὶ ἡ σκέψη μου φέρνει μπροστὰ στὰ μάτια μου τὸν τύπο του, τὴν ἡμερότητα τῆς μορφῆς του, τὴν ἀπαλότητα τοῦ δέρματός του, ποὺ εἶναι φανερὰ καὶ πάνω στὸν λίθο ἀκόμη, τὴ ζώνη γύρω στὸ στῆθος του νὰ συγκρατῆ τὸν χρυσὸ χιτῶνα, ὥστε ἀλλοῦ νὰ κολλᾶ ἐπάνω του καὶ ἀλλοῦ νὰ σχηματίζη πτυχές. Καὶ τὸ ὅλο γενικὰ σχῆμα του τίνος τὸν θυμὸ ποὺ βράζει δὲν θὰ ἀποκοίμιζε; Γιατὶ ἔμοιαζε νὰ τραγουδοῦσε κάποια μελωδία, καὶ κάποιος, ὅπως λένε, τὸν ἄκουσε νὰ παίζη κιθάρα σὲ ὥρα μεσημβρίας. Εὐτυχισμένα αὐτιά! Καὶ τὸ ᾆσμα αὐτὸ ἦταν ἐγκώμιο πρὸς τὴ γῆ, στὴν ὁποία μοῦ φαίνεται προσφέρει σπονδὴ ἀπὸ τὸ χρυσὸ κύπελλο, γιατὶ ἀπέκρυψε τὴν κόρη ἀνοίγοντας καὶ κλείνοντας ξανά»[52]. Μετὰ ἀπὸ λίγο, κλαίγοντας πάλι γιὰ τὸν ἐμπρησμό, λέγει· «κραύγαζε ὁ ὁδοιπόρος τὴν ὥρα ποὺ χάραζε ἡ αὐγὴ καὶ ἡ ἱέρεια τοῦ θεοῦ θρηνοῦσε ἀπαρηγόρητα στὸ δάσος τῆς Δάφνης. Χτυπήματα στὸ στῆθος καὶ ἕνας διαπεραστικὸς φοβερὸς

φρικώδης· ὄμμα δὲ ἄρχοντος ἄρτι γευόμενον ὕπνου, πικρῷ ῥήματι τῆς εὐνῆς ἐξανέστησεν. Ὁ δὲ ἐμμανὴς ἤλαυνε, πτερὰ παρ' Ἑρμοῦ ζητῶν, αὐτὸς μὲν ἐπὶ ζήτησιν ᾔει τῆς τοῦ κακοῦ ῥίζης, φλεγόμενος ἔνδον οὐχ ἧττον ἢ ὁ νεώς· δοκοὶ δὲ ἐφέροντο κάτω φέρουσαι πῦρ ὅτῳ πελάσειαν φθείρουσαι, τὸν Ἀπόλλω μὲν εὐθύς, ἅτε καὶ μικρὸν διέχοντα τοῦ στέγους, ἔπειτα δὲ τὰ ἄλλα κάλλη, Μουσῶν οἰκιστῶν εἰκόνας, λίθων ἀστραπάς, κιόνων ὥρας. Ὁ δὲ ὅμιλος ὁμοῦ περιεστήκεσαν ὀλοφυρόμενοι, βοηθεῖν δὲ ἀποροῦντες, ὃ καταλαμβάνει τοὺς ἀπὸ τῆς γῆς ναυαγίαν ὁρῶντας, ὧν ἡ βοήθεια δακρῦσαι τὸ γινόμενον. Ἦ που μέγαν μὲν ἤγειραν γόον ἐκπηδήσασαι τῶν πηγῶν αἱ νύμφαι, μέγαν δὲ ὁ Ζεὺς ὁ ἐγγύς που καθήμενος, ὁποῖον εἰκὸς ἐπὶ τιμαῖς υἱέος συγκεχυμέναις, μέγαν δὲ δαιμόνων μυρίων ὅμιλος ἐν τῷ ἄλσει διαιτωμένων, οὐδὲν ἐλάττω θρῆνον ἐκ μέσης τῆς πόλεως ἡ Καλλιόπη, τοῦ χοροποιοῦ τῶν Μουσῶν ἠδικημένου τῷ πυρί». Εἶτα πρὸς τῷ τέλει φησί· «γενοῦ μοι καὶ νῦν Ἄπολλον, οἷόν σε ἐποίησεν ὁ Χρύσης καταρώμενος τοῖς Ἀχαιοῖς, θυμοῦ τε πλήρη καὶ νυκτὶ ἐοικότα, ὅτι δή σοι τὰς στολὰς ἡμῶν ἀποδιδόντων, καὶ ὅσον ἦν ἀπενεχθὲν ἀντικαθιστάντων, προανηρπάσθη τὸ τιμώμενον, οἷον νυμφίου τινὸς πλεκομένων ἤδη στεφάνων ἀπελθόντος».

21. Ὁ μὲν θρῆνος οὗτος, μᾶλλον δὲ ὀλίγα τοῦ θρήνου μέρη. Ἐμοὶ δὲ θαυμάζειν ἔπεισι, πῶς ἐφ' οἷς ἐγκαλύπτεσθαι ἐχρῆν, ἐπὶ τούτοις αὐτὸν σεμνύνειν οἴεται, οὐδὲν ἄμεινον ἀκολάστου νέου καὶ αἰσχροῦ κατὰ μεσημβρίαν ποιῶν αὐτὸν κιθαρίζοντα καὶ τοῦ ᾄσματος ὑπόθεσιν εἶναι λέγων τὴν ἐρωμένην καὶ ὦτα εὐδαίμονα καλῶν τὰ τῆς ᾠδῆς ἐπακούσαντα τῆς αἰσχρᾶς. Καὶ τὸ μέν τινας τῶν τὴν Δάφνην οἰκούντων δακρύειν καὶ τοὺς μὲν προσκειμένους αὐτοῖς καὶ τὸν τῆς πόλεως ἄρχοντα φλέγεσθαι καὶ πλέον τῶν θρήνων μηδὲν ἐμποιεῖν οὐδὲν θαυμαστόν, τὸ δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἐπὶ τῆς αὐτῆς ἀμη-

53. Θεὰ τῆς ἐπικῆς ποιήσεως καὶ πρεσβυτέρα ἀπὸ τὶς ἐννέα Μοῦσες.
54. Ὁμήρου, *Ἰλιάς*, Α' ε.

θρῆνος ποὺ προκαλεῖ φρίκη φθάνουν στὴν πόλη μέσω τοῦ κατάφυτου χωρίου. Μόλις ὁ βασιλεὺς εἶχε κλείσει τὰ μάτια γιὰ νὰ κοιμηθῆ, ἡ θλιβερὴ εἴδηση τὸν σήκωσε ἀπὸ τὸ κρεββάτι. Αὐτὸς τότε ἔτρεχε σὰν τρελλός, ζητώντας ἀπὸ τὸν Ἑρμῆ νὰ τοῦ δώση φτερά, γιὰ νὰ βρῆ τὸν αἴτιο τοῦ κακοῦ, ἐνῶ μέσα του φλεγόταν ὄχι λιγώτερο ἀπ' ὅ,τι ὁ ναός. Τὰ δοκάρια ἔπεφταν κάτω φλεγόμενα, καταστρέφοντας ὅ,τι ἄγγιζαν, καὶ πρῶτα τὸν Ἀπόλλωνα, ἐπειδὴ ἀπεῖχε λίγο ἀπὸ τὴ στέγη, ἔπειτα τὰ ἄλλα ὡραῖα πράγματα, τὶς εἰκόνες τῶν Μουσῶν ποὺ κατοικοῦσαν ἐκεῖ, τοὺς ἀστραφτεροὺς λίθους, τοὺς ὡραίους κίονες. Τὸ πλῆθος πάλι ποὺ εἶχε συγκεντρωθῆ γύρω ἔκλαιγε χωρὶς νὰ μπορῆ νὰ βοηθήση, ὅπως ἀκριβῶς συμβαίνει μ' ἐκείνους ποὺ παρακολουθοῦν ἀπὸ τὴ στεριὰ ναυάγιο καὶ ἡ βοήθειά τους εἶναι τὰ δάκρυα μόνο ποὺ χύνουν γι' αὐτὸ ποὺ συμβαίνει. Ἦταν σὰν νὰ θρηνοῦσαν γοερὰ οἱ Νύμφες ποὺ ξεπήδησαν ἀπὸ τὶς πηγές, ὁ Ζεὺς ποὺ καθόταν κάπου ἐκεῖ κοντὰ καὶ ἦταν φυσικό, ἀφοῦ ἔβλεπε νὰ χάνωνται οἱ τιμὲς ποὺ ἀποδίδονταν στὸν υἱό του, καὶ ὅλο τὸ πλῆθος τῶν θεῶν ποὺ κατοικοῦσαν στὸ δάσος, καὶ καθόλου λιγώτερο θρηνοῦσε καὶ ἡ Καλλιόπη[53] μέσα ἀπὸ τὴν πόλη, βλέποντας τὴ φωτιὰ νὰ καταστρέφη ἐκεῖνον ποὺ συνέστησε τὸν χορὸ τῶν Μουσῶν». Ἔπειτα πρὸς τὸ τέλος λέγει· «γίνε καὶ τώρα, σὲ παρακαλῶ, Ἀπόλλωνα, ἔτσι ὅπως σὲ ἔκαμε καὶ τότε μὲ τὶς κατάρες του ἐναντίον τῶν Ἀχαιῶν ὁ Χρύσης, γεμᾶτος ὀργὴ καὶ ὅμοιος μὲ τὴ νύχτα[54], γιατί, ἐνῶ ἐμεῖς σοῦ ἑτοιμάζαμε τὰ ἐνδύματα γιὰ νὰ τὰ ἀντικαταστήσουμε μὲ τὰ φθαρμένα, ἐξαφανίσθηκε ἐκεῖνο ποὺ τιμούσαμε, ἔτσι ὅπως φεύγει κάποιος νυμφίος τὴ στιγμὴ ποὺ ἑτοιμάζονται τὰ στεφάνια».

21. Ὁ θρῆνος λοιπὸν ἦταν αὐτός, ἢ καλύτερα μερικὰ μέρη τοῦ θρήνου. Μὲ κάμνει ὅμως ν' ἀπορῶ, πῶς αὐτὸς θεωρεῖ καύχημά του ἐκεῖνα ἀκριβῶς γιὰ τὰ ὁποῖα ἔπρεπε νὰ ντρέπεται, παρουσιάζοντας τὸν θεὸ σὰν νέο αἰσχρὸ καὶ ἀκόλαστο νὰ παίζη κιθάρα μέσα στὸ καταμεσήμερο καὶ λέγοντας ὅτι αἰτία τοῦ ᾄσματός του εἶναι ἡ ἐρωμένη του, ὀνομάζοντας συγχρόνως 'εὐτυχισμένα αὐτιὰ' ἐκεῖνα ποὺ ἄκουσαν τὴν αἰσχρὴ μελῳδία. Καὶ τὸ νὰ χύνουν δάκρυα μερικοὶ ἀπὸ τοὺς κατοίκους τῆς Δάφνης καθὼς καὶ οἱ γείτονές τους καὶ νὰ φλέγεται ὁ ἄρχοντας τῆς πόλεως καὶ νὰ μὴ μποροῦν νὰ κάνουν τίποτε πέρα ἀπὸ τοὺς θρήνους, δὲν εἶναι καθόλου παράξενο, τὸ νὰ

χανίας εἶναι καὶ δακρύειν μόνον κατ' αὐτοὺς καὶ μήτε τὸν Δία, μήτε τὴν Καλλιόπην, μήτε τὸν πολὺν τῶν δαιμόνων ὅμιλον, ἀλλὰ μηδὲ τὰς νύμφας αὐτὰς ἀρκέσαι πρὸς τὴν πυράν, ἀλλὰ πάντας κωκυτοὺς καὶ οἰμωγὰς ἐγείρειν μόνον, τοῦτό ἐστι τὸ πολλοῦ γέλωτος γέμον. Ὅτι μὲν οὖν μεγάλην εἶχον πληγήν, ἱκανῶς ἐκ τῶν εἰρημένων ἀποδέδεικται· καὶ γὰρ καὶ ἐν μέσῳ που τῆς μονῳδίας ῥητῶς οὕτω περὶ τὰ καίρια πεπλῆχθαι αὐτοὺς ὡμολόγησεν. Οὐκ ἂν οὖν τοῦτο πρᾴως ἤνεγκεν ὁ βασιλεύς, μὴ δέει καὶ τρόμῳ μείζονι κατεχόμενος.

Ὥρα δὴ λοιπὸν ἐπιδεῖξαι καὶ τὴν αἰτίαν, δι' ἣν ὁ Θεὸς οὐκ εἰς τὸν βασιλεύοντα τὴν ὀργὴν ἀφῆκεν, ἀλλ' εἰς τὸν δαίμονα, καὶ διὰ τί μὴ πάντα ἀπώλεσε τὸ πῦρ τὸν ναόν, ἀλλὰ τὴν στέγην ἀφανίσαν ἅμα καὶ τὸ εἴδωλον ἤλεγξεν. Οὐ γὰρ ἁπλῶς οὐδὲ ἄνευ αἰτίας τινὸς ταῦτα ἐγένετο, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τῆς ὑπὲρ τῶν πλανωμένων πάντα ἐδρᾶτο. Ὁ γὰρ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, μετὰ τῶν ἄλλων ᾔδει καὶ τοῦτο, ὅτι κατὰ μὲν τοῦ βασιλέως ἐνεχθέντος τοῦ κεραυνοῦ, οἱ μὲν παρόντες καὶ θεασάμενοι τὴν πληγὴν ἐφοβήθησαν ἂν πρὸς καιρόν, δευτέρου δὲ καὶ τρίτου παρελθόντος ἔτους, ἥτε μνήμη τοῦ γεγονότος ἀπώλλυτο καὶ πολλοὶ οἱ διαπιστήσοντες ἦσαν τῷ θαύματι. Εἰ δὲ ὁ ναὸς δέξοιτο τὴν φλόγα, παντὸς κήρυκος σαφέστερον οὐ τοῖς τότε μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσιν ἀπαγγελεῖ τοῦ Θεοῦ τὴν ὀργήν, ὡς καὶ τοῖς βουλομένοις ἀναισχυντεῖν καὶ συγκαλύπτειν τὸ γεγονὸς πᾶσαν ἀνῃρῆσθαι πρόφασιν. Ἕκαστος γὰρ ἐφιστάμενος τῷ τόπῳ, ὥσπερ ἄρτι συμβεβηκότος τοῦ ἐμπρησμοῦ, οὕτω διατίθεται τὴν ψυχήν, καὶ φρίκη τις αὐτὸν εἴσεισι καὶ πρὸς τὸν οὐρανὸν ἀπιδὼν εὐθέως δοξάζει τοῦ ταῦτα ἐργασαμένου τὴν ἰσχύν. Ὥσπερ γὰρ ἂν εἴ τις λῃστάρχου τινὸς σπήλαιον καὶ κατάδυσιν διαρρήξας ἄνωθεν ἐξαγάγοι τὸν ἐνοικοῦντα δέσμιον καὶ τὰ αὐτοῦ πάντα λαβὼν καταλίποι τὸν τόπον θηρίων καὶ κολοιῶν εἶναι καταφυγήν, εἶτα ἕκαστος τῶν

βρίσκωνται ὅμως στὴν ἴδια ἀμηχανία καὶ οἱ ἴδιοι οἱ θεοὶ καὶ νὰ δακρύζουν μόνο ὅπως καὶ ἐκεῖνοι καὶ οὔτε ὁ Ζεὺς οὔτε ἡ Καλλιόπη οὔτε τὸ μεγάλο πλῆθος τῶν θεῶν, ἀλλ' οὔτε καὶ οἱ ἴδιες οἱ Νύμφες νὰ μὴ μποροῦν ν' ἀντιμετωπίσουν τὴ φωτιά, ἀλλ' ὅλοι ν' ἀναλύωνται μόνο σὲ ἀπαρηγόρητους θρήνους καὶ κραυγές, αὐτὸ εἶναι ἐκεῖνο ποὺ προκαλεῖ τὸν μεγάλο γέλωτα. Τὸ ὅτι λοιπὸν δέχθηκαν μεγάλο πλῆγμα, ἔχει ἀποδειχθῆ ἱκανοποιητικὰ ἀπὸ τὰ ὅσα ἔχουν λεχθῆ. Ἄλλωστε κάπου ἐκεῖ στὸ μέσο τῆς μονῳδίας ὡμολόγησε ρητῶς, ὅτι αὐτοὶ δέχθηκαν φοβερὸ πλῆγμα. Δὲν θὰ μποροῦσε λοιπὸν νὰ τὸ ὑποφέρη αὐτὸ ὁ βασιλεὺς μὲ πραότητα, ἂν δὲν ἦταν κυριευμένος ἀπὸ φόβο καὶ τρόμο μεγαλύτερο.

Εἶναι καιρὸς λοιπὸν τώρα νὰ παρουσιάσω καὶ τὴν αἰτία, γιὰ τὴν ὁποία ὁ Θεὸς δὲν ἔδειξε τὴν ὀργή του ἐναντίον τοῦ βασιλέως, ἀλλ' ἐναντίον τοῦ δαίμονα, καὶ γιατί ἡ φωτιὰ δὲν κατέστρεψε ὅλον τὸν ναό, ἀλλὰ κατέστρεψε μόνο τὴν στέγη καὶ τὸ ἄγαλμα. Γιατὶ ὅλα αὐτὰ δὲν ἔγιναν τυχαῖα καὶ χωρὶς καμμιὰ αἰτία, ἀλλ' ὅλα γίνονταν ἀπὸ τὴν φιλανθρωπία τοῦ Θεοῦ πρὸς αὐτοὺς ποὺ βρίσκονται στὴν πλάνη. Αὐτὸς δηλαδὴ ποὺ γνωρίζει τὰ πάντα πρὶν ἔλθουν στὴν ὕπαρξη, γνώριζε μαζὶ μὲ τὰ ἄλλα καὶ αὐτό, ὅτι δηλαδὴ ἂν ὁ κεραυνὸς ἔπεφτε ἐναντίον τοῦ βασιλέως, θὰ φοβοῦνταν πρόσκαιρα ὅλοι ἐκεῖνοι ποὺ θὰ βρίσκονταν ἐκεῖ καὶ θὰ ἔβλεπαν τὸ πλῆγμα, ἀφοῦ περνοῦσαν ὅμως δύο ἢ τρία ἔτη καὶ ἡ ἀνάμνηση τοῦ γεγονότος θὰ ἔσβηνε, θὰ ἦταν πολλοὶ ἐκεῖνοι ποὺ δὲν θὰ πίστευαν στὸ θαῦμα. Ἂν ὅμως ὁ ναὸς δεχόταν τὴ φωτιά, τότε καλύτερα ἀπὸ ὁποιονδήποτε κήρυκα θὰ διακήρυττε τὴν ὀργὴ τοῦ Θεοῦ, ὄχι μόνο στοὺς τότε, ἀλλὰ καὶ σ' ὅλους τοὺς μεταγενεστέρους, καὶ θὰ ἀφαιροῦσε ἐπίσης κάθε πρόφαση ἀπὸ ἐκείνους ποὺ θὰ ἤθελαν νὰ συγκαλύψουν χωρὶς ντροπὴ τὸ γεγονός. Γιατὶ ὁ καθένας ποὺ ἐπισκέπτεται τὸν τόπο νιώθει σὰν νὰ ἔγινε ὁ ἐμπρησμὸς μόλις πρὶν ἀπὸ λίγο καὶ τὸν κυριεύει κάποια φρίκη, καὶ στρέφοντας ἀμέσως τὸ βλέμμα του πρὸς τὸν οὐρανὸ δοξάζει τὴ δύναμη ἐκείνου ποὺ ἔκαμε ὅλα αὐτά. Ὅπως ἀκριβῶς δηλαδὴ ἂν κάποιος διαρρήξη τὸ σπήλαιο καὶ τὸ κρησφύγετο κάποιου λήσταρχου καὶ βγάλη ἔξω τὸν δεσμώτη ποὺ διαμένει ἐκεῖ καί, ἀφοῦ πάρη ὅλα τὰ πράγματα τοῦ λήσταρχου, ἐγκαταλείψη τὸν τόπο ὥστε νὰ γίνη καταφύγιο τῶν θηρίων καὶ τῶν ἑρπετῶν· στὴ συνέχεια ὁ καθένας ποὺ ἐπισκέπτεται τὸ κρησφύγετο, βλέποντας

πρὸς τὴν κατάδυσιν ἐρχομένων ἐκείνην, ἅμα τὸν τόπον ὁρῶν, τὰς καταδρομὰς καὶ τὰς κλοπὰς καὶ τὴν ἰδέαν φαντάζεται καὶ ὑπογράφει τοῦ πρότερον κατοικοῦντος αὐτήν, οὕτω καὶ ἐνταῦθα γίνεται.

Πόρρωθεν γάρ τις τοὺς κίονας ἰδών, εἶτα ἐλθὼν καὶ τὸν οὐδὸν ὑπερβάς, ὑπογράφει ἑαυτῷ τὸ τοῦ δαίμονος ἀποτρόπαιον, τὴν ἀπάτην, τὰς ἐπιβουλάς, καὶ καταπλαγεὶς τοῦ Θεοῦ τήν τε ὀργὴν καὶ τὴν ἰσχὺν ἄπεισι, καὶ τὸ πρότερον πλάνης οἰκοδόμημα καὶ βλασφημίας, νῦν δοξολογίας ὑπόθεσις γίνεται· οὕτως εὐμήχανός ἐστιν ἡμῶν ὁ Θεός. Καὶ τὰ παράδοξα ταῦτα οὐ νῦν πρῶτον, ἀλλ' ἄνωθεν καὶ ἐκ τῶν προτέρων θαυματουργεῖ γενεῶν. Καὶ πάντα μὲν καταλέγειν οὐ τοῦ παρόντος καιροῦ, ἐπιμνησθήσομαι δὲ ὃ τούτῳ παρόμοιον εἶναι δοκεῖ. Πολέμου γὰρ συγκροτηθέντος ἐν τῇ Παλαιστίνῃ ποτὲ τοῖς Ἰουδαίοις πρὸς ἀλλοφύλους τινάς, νικήσαντες οἱ πολέμιοι καὶ τοῦ Θεοῦ τὴν κιβωτὸν λαβόντες, ὡς δὴ λάφυρόν τι καὶ ἀκροθίνιον, ἀνέθηκαν αὐτήν τινι τῶν ἐπιχωρίων εἰδώλῳ· Δάγων δὲ ἦν ὄνομα αὐτῷ· καὶ τὸ πρῶτον εἰσενεχθείσης τῆς κιβωτοῦ, κατέπεσέ τε τὸ ξόανον καὶ ἔκειτο πρηνές· ὡς δὲ οὐ συνίεσαν τῆς τοῦ Θεοῦ δυνάμεως τὴν ἰσχὺν ἀπὸ ταύτης τῆς πτώσεως, ἀλλ' ὀρθώσαντες αὐτὸ πάλιν ἐπὶ τῆς οἰκείας ἔστησαν ἕδρας, τῇ ὑστεραίᾳ ὑπὸ τὴν ἕω παραγενόμενοι, θεωροῦσιν οὐκέτι μόνον πεπτωκός, ἀλλὰ καὶ διακεκλασμένον πάντοθεν. Αἵ τε γὰρ χεῖρες ἀποσπασθεῖσαι τῶν ὤμων εἰς τὸν οὐδὸν ἐξηκοντίσθησαν τοῦ ναοῦ μετὰ τῶν ποδῶν, τό τε λοιπὸν τοῦ ξοάνου μέρος εἰς ἕτερον διέσπαρτο τόπον διασπαθέν.

Καὶ τῶν Σοδόμων δέ, ὡς ἄν τις μεγάλῳ παραβάλοι μικρόν, διὰ τοῦτο μετὰ τῶν οἰκητόρων καὶ ἡ γῆ καταφλεχθεῖσα ἀπώλετο καὶ γέγονεν ἄκαρπος, ἵνα μὴ μόνον οἱ τότε, ἀλλὰ καὶ οἱ μετ' ἐκείνους ἅπαντες ἀπὸ τῶν τόπων σωφρονίζωνται. Εἰ γὰρ ἔστη μέχρι τῶν ἀνδρῶν ἡ κόλασις, κἂν ἠπιστήθη μετὰ ταῦτα τὸ γεγονός· διὰ τοῦτο ὁ τόπος δέχεται τὴν πληγήν, ὁ τῷ χρόνῳ παρεκταθῆναι δυνάμενος, καὶ ἑκάστην τῶν ἐπιγενομένων ὑπομιμνήσκει γενεῶν, ὅτι

55. Βλ. Α' Βασ. 5,1-7.

τὸν τόπο ἐκεῖνο, φέρνει στὴ σκέψη του τὶς καταδρομὲς καὶ τὶς κλοπές, ζωγραφίζοντας μέσα στὸν νοῦ του τὴν μορφὴ ἐκείνου ποὺ κατοικοῦσε προηγουμένως μέσα σ' αὐτό· τὸ ἴδιο συμβαίνει καὶ ἐδῶ.

Πραγματικά, βλέποντας κανεὶς ἀπὸ μακριὰ τοὺς κίονες καὶ ἀφοῦ στὴ συνέχεια πλησιάση καὶ περάση τὸ κατώφλι, διαζωγραφίζε μέσα του τὴν ἀποκρουστικὴ μορφὴ τοῦ δαίμονα καὶ φέρνει στὸ νοῦ του τὴν ἀπάτη καὶ τὶς ἐπιβουλές του, καὶ ἔτσι, ἀφοῦ θαυμάση γιὰ τὴν ὀργὴ καὶ τὴν δύναμη τοῦ Θεοῦ, φεύγει ἀπὸ ἐκεῖ, καὶ τὸ ἄλλοτε οἰκοδόμημα τῆς πλάνης καὶ τῆς βλασφημίας γίνεται ἀφορμὴ γιὰ δοξολογία τοῦ Θεοῦ. Τόσο σοφὸς καὶ ἐπινοητικὸς εἶναι ὁ Θεός μας. Καὶ τὰ παράδοξα αὐτὰ δὲν τὰ κάμνει τώρα γιὰ πρώτη φορά, ἀλλὰ ἀπὸ τὴν ἀρχὴ ἀκόμη ἐνήργησε θαυματουργικὰ καὶ στὶς προηγούμενες γενεές. Καὶ δὲν εἶναι βέβαια τῆς παρούσας στιγμῆς νὰ τὰ ἀπαριθμήσω ὅλα, θὰ σᾶς ὑπενθυμίσω ὅμως ἐκεῖνο ποὺ θεωρεῖται ὅτι εἶναι παρόμοιο μ' αὐτό. Ὅταν δηλαδὴ κάποτε ἔγινε πόλεμος στὴν Παλαιστίνη μεταξὺ τῶν Ἰουδαίων καὶ κάποιων ἀλλοφύλων, κατὰ τὸν ὁποῖο νίκησαν οἱ ἐχθροὶ τῶν Ἰουδαίων καὶ πῆραν τὴν κιβωτὸ τοῦ Θεοῦ σὰν κάποιο λάφυρο καὶ προσφορά, τὴν ἀφιέρωσαν σὲ κάποιο ἀπὸ τὰ ἐγχώρια εἴδωλα, ποὺ ὠνομαζόταν Δάγων. Μὲ τὴν εἴσοδο ἐκεῖ τῆς κιβωτοῦ τὸ ἄγαλμα ἔπεσε κάτω καὶ βρισκόταν πεσμένο στὸ ἔδαφος μὲ τὸ πρόσωπο κάτω. Ἐπειδὴ ὅμως δὲν ἀντιλήφθηκαν ἀπὸ τὴν πτώση αὐτὴ τοῦ ἀγάλματος τὴ δύναμη τοῦ Θεοῦ, τὸ σήκωσαν καὶ τὸ τοποθέτησαν πάλι στὴ θέση του· ἐρχόμενοι πάλι τὸ πρωὶ τῆς ἑπομένης τὸ εἶδαν νὰ εἶναι ὄχι μόνο πεσμένο, ἀλλὰ καὶ κατακομματιασμένο. Γιατὶ καὶ τὰ χέρια ἀποχωρίσθηκαν ἀπὸ τοὺς ὤμους καὶ ἐξακοντίσθηκαν στὸ κατώφλι τοῦ ναοῦ μαζὶ μὲ τὰ πόδια, καὶ τὸ ὑπόλοιπο μέρος τοῦ ἀγάλματος διασκορπίσθηκε σὲ κομμάτια σὲ ἄλλα μέρη τοῦ ναοῦ[55].

Ἀλλὰ καὶ ἡ γῆ τῶν Σοδόμων, ἂν κάποιος ἤθελε νὰ συγκρίνη τὸ μικρὸ μὲ κάποιο μεγαλύτερο, γι' αὐτὸ παραδόθηκε καὶ αὐτὴ στὸ πῦρ καὶ καταστράφηκε μαζὶ μὲ τοὺς κατοίκους της καὶ κατέστη ἄκαρπη, ὥστε, ὄχι μόνο οἱ τότε, ἀλλὰ καὶ ὅλοι οἱ μετὰ ἀπὸ ἐκείνους νὰ σωφρονίζωνται ἀπὸ τὸν τόπο. Γιατί, ἂν ἡ τιμωρία περιοριζόταν μόνο στοὺς ἀνθρώπους, θὰ μποροῦσε ἀργότερα ν' ἀμφισβητηθῆ τὸ γεγονός. Γι' αὐτὸ δέχεται τὸ πλῆγμα ὁ τόπος ποὺ μπορεῖ μαζὶ μὲ τὸν χρόνο νὰ φθάση σὲ μεταγενέστερους αἰῶνες, καὶ ὑπενθυμίζει σὲ

τοὺς τὰ τοιαῦτα δρῶντας τοιαῦτα πάσχειν νενομοθέτηται, κἂν μὴ παραυτίκα τὴν τιμωρίαν τίσωσιν, ὅπερ καὶ ἐπὶ τοῦ ναοῦ γέγονε τούτου. Ἰδοὺ γὰρ εἰκοστὸν ἔτος ἐστὶν ἐξ ἐκείνου λοιπὸν καὶ τῆς ὑπὸ τοῦ πυρὸς καταλειφθείσης οὐδὲν παραπόλωλεν οἰκοδομῆς, ἀλλ' ἕστηκε παγίως καὶ βεβαίως τὰ διαφυγόντα μέρη τὸ πῦρ καὶ οὕτως ἐστὶν ἰσχυρά, ὡς καὶ πρὸς ἑκατὸν ἔτη καὶ πρὸς ἕτερα δὶς τοσαῦτα καὶ τούτων πάλιν πολλῷ πλείονα ἀρκέσαι χρόνον. Καὶ τί θαυμαστόν, εἰ τῶν κιόνων οὐδεὶς ἀποσχισθεὶς θατέρου κατηνέχθη πρὸς τοὔδαφος; Τῶν γὰρ κιόνων τῶν περὶ τὸν ὀπισθόδρομον εἷς τότε μόνον διακλασθείς, οὐδὲ οὗτος κατέπεσεν· ἀλλὰ διαλυθεὶς ἀπὸ τῆς οἰκείας ἕδρας καὶ πρὸς τὸν τοῖχον ἀναπεσών, οὕτως ἔμεινε. Καὶ αὐτοῦ τὸ μὲν ἀπὸ τῆς κρηπῖδος ἐπὶ τὴν τομὴν πλάγιον πρὸς τὸν τοῖχον ἐρήρεισται, τὸ δὲ ἀπὸ τῆς τομῆς ἐπὶ τὴν κεφαλίδα ἕστηκεν ὕπτιον ὑπὸ τοῦ κατωτέρου βασταζόμενον μέρους. Καίτοι καὶ ἀνέμων σφοδρῶς τῷ τόπῳ προσπεσόντων πολλάκις, καὶ σεισμῶν γενομένων, καὶ τῆς γῆς τιναχθείσης, οὐδ' ἐτινάχθη τὰ λείψανα τῆς φλογός, ἀλλ' ἕστηκε βεβαίως, μονονουχὶ βοῶντα, ὅτι διὰ τὸν τῶν ἐσομένων τετήρηνται σωφρονισμόν.

22. Καὶ τοῦ μὲν μὴ πάντα ἁλῶναι τῷ πυρὶ τὸν νεών, ταύτην ἂν εἴποι τις εἶναι πρόφασιν, τοῦ δὲ μὴ ἐλθεῖν ἐπὶ τὸν βασιλέα τὸν σκηπτὸν καὶ ἑτέραν εὕροι τις ἂν αἰτίαν ζητῶν ἀπὸ τῆς αὐτῆς ὁρμωμένην πηγῆς, τῆς χρηστότητος λέγω καὶ φιλανθρωπίας τοῦ Χριστοῦ. Διὰ γὰρ τοῦτο τῆς μὲν τοῦ βασιλέως κεφαλῆς ἀνέσχε τὸ πῦρ, ἔρριψε δὲ αὐτὸ κατὰ τῆς ὀροφῆς, ἵνα ἐν ταῖς ἑτέρων συμφοραῖς παιδευθείς, ἐκφύγῃ τὴν ἀποκειμένην αὐτῷ κόλασιν, μεταβαλὼν καὶ τῆς πλάνης ἀπαλλαγείς. Οὐδὲ γὰρ τοῦτο μόνον, οὐδὲ πρῶτον αὐτῷ τῆς οἰκείας δυνάμεως σημεῖον ἔδωκεν ὁ Χριστός, ἀλλὰ καὶ ἕτερα πρὸς τούτοις πολλὰ τούτου οὐχ ἧττονα. Ὅ τε γὰρ θεῖος αὐτοῦ, ὅ τε ταμίας, οὕτως ἄμφω καταλύσαντες τὸν βίον, καὶ λιμὸς εἰς τὴν πόλιν εὐθέως ἐμπεσὼν μετ' αὐτοῦ καὶ ἡ τῶν ὑδάτων

κάθε ἐπερχόμενη γενεά, ὅτι ἔχει νομοθετηθῆ νὰ δέχωνται τέτοια τιμωρία ἐκεῖνοι ποὺ διαπράττουν παρόμοια ἁμαρτήματα, κι ἂν ἀκόμη δὲν τιμωροῦνται ἀμέσως, πρᾶγμα ποὺ ἔγινε καὶ μὲ τὸν ναὸ αὐτόν. Γιατὶ νά, ἀπὸ τότε ἔχουν περάσει εἴκοσι χρόνια καὶ κανένα μέρος τῆς οἰκοδομῆς ποὺ κάηκε δὲν καταστράφηκε, ἀλλὰ παραμένουν στερεὰ καὶ ἀμετακίνητα τὰ μέρη ποὺ διέφυγαν τὴ φωτιά, καὶ εἶναι τόσο ἰσχυρά, ὥστε νὰ μπορέσουν ν' ἀντέξουν γιὰ ἑκατὸ καὶ διακόσια καὶ γιὰ πολὺ περισσότερα ἀκόμη χρόνια. Καὶ τί τὸ παράξενο, ἂν κανένας ἀπὸ τοὺς κίονες δὲν ἀποχωρίσθηκε ἀπὸ τὸν ἄλλο καὶ δὲν ἔπεσε στὸ ἔδαφος; Γιατὶ ἀπὸ τοὺς κίονες τοῦ ὀπισθίου τμήματος ἕνας καὶ μόνο ἔσπασε τότε, ἀλλ' ὅμως οὔτε καὶ αὐτὸς ἔπεσε κάτω· ἁπλῶς ἔφυγε ἀπὸ τὴ θέση του καὶ πέφτοντας στὸν τοῖχο παρέμενε ἐκεῖ ἔτσι. Καὶ τὸ ἕνα μέρος αὐτοῦ ἀπὸ τὴ βάση μέχρι τὸ σπάσιμο εἶναι πλαγιασμένο καὶ στηρίζεται στὸν τοῖχο, ἐνῶ τὸ ἄλλο ἀπὸ τὸ σπάσιμο μέχρι τὸ κιονόκρανο εἶναι πλαγιασμένο καὶ ὑποβαστάζεται ἀπὸ τὸ κάτω μέρος. Καὶ ἂν καὶ πολλὲς φορὲς ἔχουν ἐπιπέσει ἄνεμοι σφοδροὶ στὸν τόπο, ἔχουν γίνει σεισμοὶ καὶ ὅλη ἡ γῆ τραντάχθηκε, ὅμως δὲν κατέπεσαν τὰ ὑπολείμματα τῆς φωτιᾶς, ἀλλὰ στέκουν σταθερά, σὰν νὰ κραυγάζουν κατὰ κάποιο τρόπο, ὅτι διατηροῦνται ἔτσι πρὸς σωφρονισμὸ τῶν μεταγενεστέρων.

22. Καὶ τὸ ὅτι δὲν καταστράφηκε ὅλος ὁ ναὸς ἀπὸ τὴ φωτιὰ θὰ μποροῦσε νὰ πῆ κάποιος ὅτι εἶναι αὐτὸς ὁ λόγος, τὸ ὅτι ὅμως ὁ κεραυνὸς δὲν ἔπεσε στὸν βασιλέα, θὰ μποροῦσε κανεὶς νὰ βρῆ ἀναζητώντας καὶ ἄλλη αἰτία, ποὺ πηγάζει ἀπὸ τὴν ἴδια πηγή, ἐννοῶ ἀπὸ τὴν χρηστότητα καὶ φιλανθρωπία τοῦ Χριστοῦ. Γιατὶ γι' αὐτὸ συγκράτησε τὴ φωτιὰ καὶ δὲν τὴν ἄφησε νὰ πέση στὸ κεφάλι τοῦ βασιλέως, ἀλλὰ τὴν ἔρριξε ἐπάνω στὴν ὀροφὴ τοῦ ναοῦ, ὥστε, ἀφοῦ διδαχθῆ ἀπὸ τὶς συμφορὲς τῶν ἄλλων, ν' ἀποφύγη τὴν τιμωρία ποὺ ἐπιφυλασσόταν γι' αὐτόν, νὰ ἀλλάξη γνώμη καὶ νὰ ἀπαλλαγῆ ἀπὸ τὴν πλάνη. Καὶ δὲν εἶναι μόνο αὐτό, οὔτε καὶ ἡ πρώτη φορά κατὰ τὴν ὁποία ὁ Χριστὸς τοῦ ἔδωσε δείγματα τῆς δυνάμεώς του, ἀλλὰ μαζὶ μ' αὐτὸ τοῦ ἔδωσε καὶ πολλὰ ἄλλα ὄχι μικρότερα ἀπ' αὐτό. Γιατὶ καὶ ὁ θεῖος του καὶ ὁ ταμίας του, ποὺ πέθαναν καὶ οἱ δύο μὲ τὸν ἴδιο τρόπο, καὶ ἡ πεῖνα ποὺ ἔπεσε στὴν πόλη ἀμέσως μετὰ τὴν ἀνάληψη τῆς ἐξουσίας, καὶ ἡ ἔλλειψη νεροῦ ποὺ δὲν εἶχε συμβῆ ποτὲ προηγουμένως, ἀλλὰ συνέβηκε μετὰ τὴν τέλεση ὑπ' αὐτοῦ θυ-

σπάνις οὐδέποτε συμβᾶσα πρότερον, ἀλλ' ἡ μετὰ τὰς ἐπὶ τῶν πηγῶν γενομένας θυσίας ὑπ' αὐτοῦ, καὶ πολλὰ πρὸς τούτοις ἕτερα, τά τε ἐν τῷ στρατοπέδῳ, τά τε ἐν ταῖς πόλεσι συμβαίνοντα, καὶ λιθίνην ἱκανὰ κάμψαι ψυχήν· οὐ τῷ πλήθει μόνον, οὐδὲ τῷ πάντα ὁμοῦ γίνεσθαι καὶ ἐφεξῆς καὶ κατὰ πόδας τῶν τολμημάτων, ὡς ἐπὶ τοῦ βασιλέως τῶν Αἰγυπτίων ποτέ, ἀλλὰ τῷ καὶ καθ' ἑαυτὰ τοιαῦτα εἶναι τὰ δεικνύμανα τέρατα, ὡς μὴ δεῖσθαι ἕτερον ἑτέρου πρὸς τὴν τῶν ὁρώντων ἐπιστροφήν, ἀλλ' ἀρκεῖν ἕκαστον αὐτῶν καὶ καθ' ἑαυτὸ τοῦτο ἐργάσασθαι. Ἵνα γὰρ τὰ ἄλλα παραλίπω, τίνα οὐκ ἂν ἐξέπληξε τῶν μὴ σφόδρα ἀναισθήτων τὸ περὶ τὰ θεμέλια τοῦ παλαιοῦ τῶν Ἱεροσολύμων ναοῦ σημεῖον ἐπιδειχθέν; Τί δὲ τοῦτο ἦν;

Ὁρῶν ὁ τύραννος εἰς τὴν ἀρχὴν ἅπασαν τὴν ὑπ' αὐτῷ κειμένην τοῦ Χριστοῦ τὴν πίστιν ἐκκεχυμένην, ἤδη δὲ καὶ τῆς Περσῶν ἀψαμένην καὶ βαρβάρων ἑτέρων μετ' ἐκείνους καὶ πάλιν ἐνδοτέρω τούτων προελθοῦσαν καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν ὑφ' ἡλίῳ κατέχουσαν, ἐδάκνετο μὲν καὶ ἤλγει καὶ πρὸς τὸν τῶν Ἐκκλησιῶν παρεσκευάζετο πόλεμον· ἠγνόει δὲ πρὸς κέντρα λακτίζων ὁ δείλαιος. Καὶ πρῶτον μὲν τὸν ἐν Ἱεροσολύμοις ναόν, ὃν εἰς ἔδαφος ἡ τοῦ Χριστοῦ κατήνεγκε δύναμις, ἀνορθοῦν ἐπειρᾶτο καὶ τὰ τῶν Ἰουδαίων ὁ Ἕλλην ἐθεράπευεν, ἀπόπειραν διὰ τούτου τῆς τοῦ Χριστοῦ δυνάμεως βουλόμενος λαβεῖν· καὶ καλέσας Ἰουδαίων τινὰς καὶ θύειν κελεύσας (καὶ γὰρ τοὺς προγόνους τοὺς ἐκείνων τοῦτον τῆς θρησκείας θρησκεύειν τὸν τρόπον ἔλεγεν), ἐπειδὴ εἰς ταύτην ἐκεῖνοι κατέφυγον ἀναχώρησιν, ὡς οὐ θέμις αὐτοῖς τοῦ ναοῦ πεπτωκότος ἔξω τῆς παλαιᾶς μητροπόλεως τοῦτο ποιεῖν, κελεύει χρήματα ἀπὸ τῶν ταμείων λαβόντας τῶν βασιλικῶν καὶ τὰ ἄλλα ἅπαντα, ἃ πρὸς τὴν οἰκοδομὴν παρέχειν ἐχρῆν, ἀπιέναι καὶ ἀνορθοῦν τὸν ναὸν καὶ ἐπὶ τὴν παλαιὰν ἐπανιέναι συνήθειαν τῶν θυσιῶν. Οἱ δὲ ἀνόητοι, πλανώμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἕως γήρως, ἀπήεσαν ὡς συμπράξοντες τῷ βασιλεῖ. Καὶ ὡς αὐτόν τε ὁμοῦ τὸν χοῦν ἤρξαντο κενοῦν καὶ πῦρ τῶν θεμελίων ἐκπηδῆσαν

56. Γιὰ τὴν ἀπόπειρα τοῦ Ἰουλιανοῦ τοῦ Παραβάτη ν' ἀνοικοδομήση τὸν ναὸ βλ. Σωζομενοῦ, *Ἐκκλησιαστικὴ Ἱστορία*, 5,22 PG 1281έ.

σιῶν στὶς πηγές, καὶ μαζὶ μ' αὐτὰ καὶ πολλὰ ἄλλα ποὺ συνέβαιναν καὶ στὰ στρατόπεδα καὶ στὶς πόλεις, εἶναι ἱκανὰ νὰ λυγίσουν καὶ πέτρινη ψυχή. Καὶ ὄχι μὲ τὸ πλῆθος τους μόνο, οὔτε καὶ μὲ τὸ ὅτι γίνονταν συγχρόνως καὶ ἀμέσως μετὰ τὴ διάπραξη τῶν τολμηρῶν πράξεων, ὅπως κάποτε στὴν περίπτωση τοῦ βασιλέως τῶν Αἰγυπτίων, ἀλλὰ καὶ μὲ τὸ ὅτι αὐτὰ καθ' ἑαυτὰ τὰ παράδοξα γεγονότα ποὺ συνέβαιναν ἦταν τέτοια, ὥστε νὰ μὴ χρειάζεται τὸ ἕνα τὸ ἄλλο γιὰ τὴν ἐπιστροφὴ ἐκείνων ποὺ τὰ βλέπουν, ἀλλ' ἀρκεῖ τὸ καθένα ἀπ' αὐτὰ αὐτὸ καθ' ἑαυτὸ νὰ ὁδηγήση στὴν ἐπιστροφή. Γιὰ νὰ παραλείψω λοιπὸν ὅλα τὰ ἄλλα, ποιόν δὲν θὰ ἐξέπληττε ἀπὸ ἐκείνους ποὺ δὲν εἶναι ὑπερβολικὰ ἀναίσθητοι τὸ θαῦμα ποὺ ἔγινε στὰ θεμέλια τοῦ παλαιοῦ ναοῦ τῶν Ἱεροσολύμων; Καὶ ποιό ἦταν τὸ θαῦμα αὐτό;

Βλέποντας ὁ τύραννος νὰ εἶναι ξαπλωμένη σὲ ὅλη τὴν ἐπικράτειά του ἡ πίστη στὸν Χριστὸ καὶ ἤδη νὰ ἔχη φθάσει στὴν Περσία καὶ σὲ ἄλλους βαρβάρους μετὰ ἀπὸ ἐκείνους καὶ νὰ προχωρῆ πιὸ πέρα καὶ ἀπὸ αὐτοὺς καὶ νὰ κυριεύη, ὅπως θὰ μπορούσαμε νὰ ποῦμε, ὅλη τὴν ὑφήλιο, πληγωνόταν καὶ πονοῦσε φοβερὰ καὶ προετοιμαζόταν γιὰ τὸν πόλεμο ἐναντίον τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ, ἀλλὰ ὁ ἄθλιος δὲν γνώριζε ὅτι κλωτσοῦσε σὲ καρφιά. Καὶ πρῶτα-πρῶτα ἐπιχείρησε ν' ἀνοικοδομήση τὸν ναὸ τῶν Ἱεροσολύμων, τὸν ὁποῖο κατεδάφισε ἡ δύναμη τοῦ Χριστοῦ, καὶ ὁ ἐθνικὸς φρόντιζε γιὰ τὴ λατρεία τῶν Ἰουδαίων, σὰν νὰ ἤθελε μ' αὐτὸ νὰ γνωρίση τὴ δύναμη τοῦ Χριστοῦ. Ἀφοῦ κάλεσε μερικοὺς Ἰουδαίους τοὺς διέταξε νὰ θυσιάσουν (γιατὶ ἔλεγε, ὅτι οἱ πρόγονοι ἐκείνων θρήσκευαν μὲ αὐτὸν τὸν τρόπο λατρείας). Ἐπειδὴ ὅμως ἐκεῖνοι ἀρνοῦνταν καὶ πρόβαλλαν σὰν δικαιολογία, ὅτι δὲν τοὺς ἐπιτρέπεται, ἀφοῦ ὁ ναὸς ἔπεσε, νὰ τὸ κάμνουν αὐτὸ ἔξω ἀπὸ τὴν παλιὰ μητρόπολη, διατάσσει ἀφοῦ λάβουν χρήματα ἀπὸ τὰ βασιλικὰ ταμεῖα καὶ ὅλα τὰ ἄλλα ποὺ χρειάζονταν γιὰ τὴν ἀνοικοδόμηση τοῦ ναοῦ, νὰ ὑπάγουν καὶ νὰ ἀνοικοδομήσουν τὸν ναὸ καὶ νὰ ἐπανέλθουν στὴν παλιὰ συνήθεια τῶν θυσιῶν. Αὐτοὶ οἱ ἀνόητοι τότε, ποὺ πλανῶνται ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας τους καὶ διδάσκονται μέχρι τὰ γεράματα, ἀναχώρησαν γιὰ ἐκεῖ, συμπράττοντας μὲ τὸν βασιλέα. Μόλις τότε ἄρχισαν νὰ ἀδειάζουν τὸ χῶμα, ξεπήδησε ἀπὸ τὰ θεμέλια φωτιὰ καὶ τοὺς κατεκαῦσε ὅλους μονομιᾶς[56]. Ὅταν αὐτὰ τὰ παρά-

ἀθρόον ἅπαντας αὐτοὺς κατανάλωσεν. Ὡς δὲ ἀπηγγέλθη ταῦτα τῷ βασιλεῖ, οὔτε περαιτέρω τὴν τόλμαν προάγειν ἐπεχείρει λοιπόν· κατείχετο γὰρ τῷ δέει· οὔτε τῆς πλάνης τῶν δαιμόνων ἤθελεν ἀπαλλάττεσθαι, καθάπαξ τυραννηθεὶς ὑπ' αὐτῶν, ἀλλὰ τέως μὲν ἡσυχίαν ἦγε.

Χρόνου δὲ παρελθόντος μικροῦ, τῆς αὐτῆς εἴχετο ματαιοπονίας, τὸν μὲν νεὼν οὐκ ἔτι τολμῶν οἰκοδομεῖν, ἑτέρωθεν δὲ ἀκροβολιζόμενος πρὸς ἡμᾶς· εἰς πόλεμον γὰρ καθεῖναι φανερῶς ἀνεβάλλετο τέως, ἑνὸς μὲν καὶ μάλιστα πρώτου τοῦ πεπεῖσθαι σαφῶς ἀδυνάτοις ἐπιχειρεῖν· δευτέρου δὲ τοῦ μηδὲ μίαν ἡμῖν ἀφορμὴν παρασχεῖν μαρτυρίου στέφανον ἀναδήσασθαι. Καὶ γὰρ ἀφόρητον ἦν αὐτῷ καὶ πάσης συμφορᾶς χεῖρον, τὸ παραχθέντα τινὰ εἰς μέσον μέχρι τελευτῆς ἐγκαρτερῆσαι ταῖς ὑπὲρ τῆς ἀληθείας βασάνοις· οὕτως ἐκ ψυχῆς τὴν πρὸς ἡμᾶς ἀπέχθειαν ἐπεδείκνυτο. Ἤιδει γάρ, ᾔδει σαφῶς ὅτι τοῦτο τολμήσαντος αὐτοῦ, πάντες ἂν ὑπὲρ τοῦ Χριστοῦ τὰς ἑαυτῶν προύδωκαν ψυχάς· κακοῦργος δὲ ὢν καὶ δεινός, τοὺς ὑπὸ τῶν ἀρχόντων τῆς Ἐκκλησίας κεκολασμένους δι' ἁμαρτίας τινὰς καὶ τῆς ἀρχῆς ἐκβεβλημένους πάντας πάντοθεν ἠφίει, τούτῳ τῷ τρόπῳ τοῖς τε πονηροτάτοις ἐξουσίαν διδοὺς καὶ τοὺς τῆς Ἐκκλησίας ἀνατρέπων θεσμοὺς καὶ πρὸς ἀλλήλους συγκρούων ἅπαντας· εὐχειρώτους γὰρ λοιπὸν ἔσεσθαι πρότερον προσεδόκησεν ὑπὸ τοῦ πρὸς ἀλλήλους καταναλωθέντας πολέμου. Καί τινα καὶ τῆς τοῦ δόγματος ἕνεκεν διαστροφῆς καὶ τῆς τοῦ βίου μοχθηρίας, τῆς ἀρχῆς τῆς ἐκκλησιαστικῆς ἐκβεβλημένον (Στέφανος ὄνομα ἦν αὐτῷ) κελεύει πάλιν τὸν διδασκαλικὸν θρόνον ἀναλαβεῖν· καὶ τὸ κυριακὸν δὲ ὄνομα τέως σβεσθῆναι, τό γε εἰς αὐτὸν ἧκον, ἐσπούδαζε, Γαλιλαίους ἀντὶ Χριστιανῶν αὐτός τε ἐν τοῖς διατάγμασι καλῶν καὶ τοὺς ἄρχοντας τοῦτο προτρέπων ποιεῖν.

Μεταξὺ δὲ τῶν σημείων τούτων, ὧν εἶπον, γενομένων τῶν κατὰ τὸν λιμὸν καὶ τὸν αὐχμόν, ἔμενεν ἐπὶ τῆς αὐτῆς ἀναιδείας ἔτι καὶ σκληρότητος. Καὶ μέλλων ἐπιστρατεύειν τῷ Πέρσῃ καὶ μετὰ τοσούτου τύφου κατιὼν ὡς ἅπαν τὸ τῶν βαρβάρων ἀναρπασόμε-

57. Βλ. Θεοδωρήτου, *Ἐκκλησιαστικὴ Ἱστορία*, 3,16 PG 113 C.

δοξα ἀναγγέλθηκαν στὸν βασιλέα, οὔτε ἐπεχειροῦσε πλέον νὰ συνεχίση τὸ τολμηρὸ αὐτὸ ἔργο, γιατὶ ἦταν κυριευμένος ἀπὸ φόβο, οὔτε ἤθελε ν' ἀπαλλαγῆ ἀπὸ τὴν πλάνη τῶν δαιμόνων, γιατὶ τοῦ εἶχαν ἐπιβάλει μιὰ γιὰ πάντα τὴν τυραννικὴ ἐξουσία τους, ἀλλὰ περέμενε τὸ διάστημα ἐκεῖνο ἄπρακτος.

Ἀφοῦ πέρασε λίγος χρόνος, ἄρχισε πάλι τὴν ἴδια ματαιοπονία, μὴ τολμώντας βέβαια ν' ἀνοικοδομήση τὸν ναό, ἀλλὰ προετοίμαζε μὲ ἄλλο τρόπο τὰ βέλη του ἐναντίον μας. Ἀνέβαλλε δηλαδὴ στὴν ἀρχὴ νὰ κηρύξη φανερὸ πόλεμο ἐναντίον μας, καὶ ὁ ἕνας λόγος καὶ ὁ σπουδαιότερος ἦταν γιατὶ εἶχε πεισθῆ σαφῶς, ὅτι ἐπιχειρεῖ πράγματα ἀκατόρθωτα, καὶ ὁ δεύτερος λόγος, γιὰ νὰ μὴ μᾶς δώση καμμία ἀφορμὴ νὰ στεφανωθοῦμε μὲ τὸ στεφάνι τοῦ μαρτυρίου. Γιατὶ τοῦ ἦταν ἀνυπόφορο καὶ χειρότερο ἀπὸ κάθε συμφορά, τὸ νὰ βλέπη κάποιον νὰ ὁδηγῆται στὰ βασανιστήρια καὶ νὰ τὰ ὑπομένη ὅλα μέχρι θανάτου γιὰ χάρη τῆς ἀλήθειας. Τόσο πολὺ ἔδειχνε μέσα ἀπὸ τὰ βάθη τῆς ψυχῆς του τὸ μῖσος του γιὰ μᾶς. Γιατὶ γνώριζε, γνώριζε πολὺ καλά, ὅτι, ἂν τὸ τολμοῦσε αὐτό, θὰ θυσίαζαν ὅλοι τὴ ζωή τους γιὰ τὸν Χριστό. Ἐπειδὴ ὅμως ἦταν κακοῦργος καὶ φοβερὸς σὲ πονηριά, ἀθώωνε μὲ κάθε τρόπο ὅσους ἀπὸ τοὺς προϊσταμένους τῆς Ἐκκλησίας εἶχαν τιμωρηθῆ γιὰ κάποια σφάλματα καὶ εἶχαν ἐκδιωχθῆ ἀπὸ τὶς θέσεις τους, παραδίνοντας μὲ τὸν τρόπο αὐτὸ τὴν ἐξουσία σὲ ἀνάξιους καὶ ἀνατρέποντας ἔτσι τοὺς θεσμοὺς τῆς Ἐκκλησίας, ὡδηγοῦσε ὅλους σὲ σύγκρουση μεταξύ τους, γιατὶ ἔλπιζε ὅτι ἔτσι θὰ πολεμηθοῦν στὸ ἑξῆς εὐκολώτερα ἀπὸ πρίν, ἀφοῦ θὰ ἔχουν καταφαγωθῆ ἀπὸ τὴν μεταξύ τους διαμάχη. Διατάσσει τότε κάποιος, ὀνόματι Στέφανος, ποὺ εἶχε ἐκδιωχθῆ ἀπὸ τὴν ἐκκλησιαστική του θέση ἐξ αἰτίας τῆς διαστροφῆς τῶν δογμάτων καὶ τῆς ἀνήθικης ζωῆς του, νὰ καταλάβη καὶ πάλι τὸν διδασκαλικὸ θρόνο. Φρόντιζε ἐπίσης τότε, ὅσο φυσικὰ μποροῦσε, νὰ ἐξαλειφθῆ ἀπὸ αὐτοὺς τὸ ὄνομα τοῦ Κυρίου, ἀποκαλώντας ὁ ἴδιος στὰ διατάγματά του τοὺς Χριστιανοὺς Γαλιλαίους καὶ προτρέποντας καὶ τοὺς ἄρχοντας νὰ κάμνουν τὸ ἴδιο[57].

Ἐνῶ λοιπὸν μεταξὺ τῶν σημαδιακῶν γεγονότων, ὅπως σᾶς εἶπα, εἶχαν συμβῆ καὶ τὰ γεγονότα τῆς πείνας καὶ τῆς ξηρασίας, αὐτὸς ἐξακολουθοῦσε νὰ δείχνη ἀκόμη τὴν ἴδια ἀναίδεια καὶ σκληρότητα. Καὶ ἐνῶ ἐπρόκειτο νὰ ἐκστρατεύση ἐναντίον τῶν Περσῶν καὶ

νος ἔθνος, ἠπείλει μυρίας ἡμῖν ἀπειλάς, λέγων μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον πάντας ἄρδην ἀπολεῖν. Πόλεμον γὰρ αὐτῷ τοῦτον εἶναι ἐδόκει τοῦ περσικοῦ χαλεπώτερον, καὶ δεῖν πρότερον κατορθώσαντα ἐκεῖνον τὸν ἐλάττω, τότε ἐπὶ τὸν μείζονα τοῦτον ἐλθεῖν. Καὶ ταῦτα ἡμῖν οἱ τῆς γνώμης αὐτῷ κοινωνοῦντες ἀπήγγελλον. Ζέων δὲ τῷ καθ' ἡμῶν θυμῷ καὶ καθ' ἑκάστην ἡμέραν πρὸς μείζονα μανίαν αἱρόμενος, οὐδέποτε ἐπὶ τῆς αὐτῆς ἵστατο γνώμης, ἀλλὰ τὴν προτέραν βουλὴν ἀποθέμενος, πάλιν ἠπείλει τὸν διωγμὸν ἡμῖν. Βουλόμενος δὲ αὐτὸν ὁ Θεὸς ἀνακρούσασθαι καὶ καταστεῖλαι φλεγμαίνοντα, ἐπήγαγε πάλιν τουτὶ τὸ σημεῖον, ἐν τῇ Δάφνῃ τὸ πῦρ ἐπὶ τὸν νεὼν ἀφείς.

23. Ὁ δὲ οὐδὲ οὕτω καθυφῆκε τοῦ θυμοῦ, ἀλλὰ τῇ τῆς ἡμετέρας λεηλασίας ἐπιθυμίᾳ διαρρηγνύμενος, οὐδὲ τὸν καιρὸν ὃν ἠπείλησεν ἔμενεν, ἀλλὰ τὸν Εὐφράτην διαβαίνειν μέλλων πεῖραν ἐποιεῖτο τῶν στρατιωτῶν καί τινας εὐαριθμήτους κολακείᾳ διαφθείρας, τοὺς ἀντιστάντας οὐ παρέλυσε τῆς στρατείας, δεδοικὼς μὴ διαστήσας αὐτοὺς ἀσθενέστερον ἐργάσηται τῷ Πέρσῃ τὸν στρατόν. Τίς ἡμῖν λοιπὸν τὰ ἐντεῦθεν διηγήσεται καὶ τῶν κατὰ τὴν ἔρημον καὶ τῶν κατὰ τὴν θάλατταν καὶ τῶν κατὰ τὴν Αἴγυπτον, ὅτε ὁ ἀναίσθητος ἐκεῖνος ἐκολάζετο Φαραὼ καὶ πάντες κατεποντίζοντο, ὄντα πολλῷ φοβερώτερα; Καθάπερ γὰρ τότε, ἐπεὶ μηδενὶ τῶν τοιούτων εἶξαι συμφορῶν, καὶ γενέσθαι βελτίων ἠθέλησεν ὁ Αἰγύπτιος, τέλος αὐτὸν σὺν αὐτῷ τῷ στρατοπέδῳ κατέλυσεν· οὕτω καὶ νῦν, ἐπειδὴ πρὸς πάντα ἀναιδῶς ἔστη τοῦ Θεοῦ τὰ τεράστια καὶ οὐδὲν ἀπ' αὐτῶν κερδᾶναι ἠθέλησεν, ἀλλ' ἔμενεν ἀδιόρθωτος, τοῖς ἐσχάτοις αὐτὸν λοιπὸν περιέβαλε κακοῖς, ἵν', ἐπειδὴ τοῖς ἑτέρων αὐτὸς σωφρονισθῆναι οὐκ ἠνέσχετο, τοῖς αὐτοῦ παθήμασι γένωνται βελτίους ἕτεροι. Ὁ γὰρ τοσαύτας μυριάδας στρατιωτῶν καταγαγών, ὅσας οὐδεὶς τῶν βασιλευσάντων ποτέ, καὶ πᾶσαν τὴν Περσῶν ἐξ

προχωροῦσε στὸν πόλεμο αὐτὸ μὲ τέτοια ἀλαζονεία, σὰν νὰ ἦταν ἀπόλυτα βέβαιος, ὅτι θὰ ὑπέτασσε ὅλα τὰ βαρβαρικὰ ἔθνη, μᾶς ἀπειλοῦσε μὲ ἄπειρες ἀπειλές, λέγοντας ὅτι μετὰ τὴν ἐπιστροφή του ἀπὸ τὸν πόλεμο ἐκεῖνο θὰ μᾶς θανάτωνε ὅλους μαζὶ διαμιᾶς. Γιατὶ θεωροῦσε τὸν πόλεμο ἐναντίον μας δυσκολώτερο ἀπὸ τὸν πόλεμο κατὰ τῶν Περσῶν, καὶ ὅτι ἔπρεπε νὰ τελειώση πρῶτα ἐκεῖνον τὸν μικρότερο καὶ μετὰ νὰ προχωρήση σ' αὐτὸν τὸν μεγαλύτερο. Κι αὐτὰ μᾶς τὰ ἔκαμναν γνωστὰ οἱ ἄνθρωποι ποὺ γνώριζαν τὰ σχέδιά του. Βράζοντας λοιπὸν ἀπὸ τὸν θυμό του ἐναντίον μας καὶ κυριευόμενος καθημερινὰ ἀπὸ μεγαλύτερη μανία, ποτὲ δὲν ἔμενε σταθερὸς στὴν ἴδια γνώμη, ἀλλά, ἀφοῦ ἄλλαξε τὴν προηγούμενη γνώμη του, μᾶς ἀπειλοῦσε πάλι μὲ διωγμό. Θέλοντας ὅμως ὁ Θεὸς νὰ τὸν ἀναχαιτίση καὶ νὰ σβήση τὴ φλόγα τοῦ θυμοῦ του, ἐνήργησε πάλι αὐτὸ τὸ θαῦμα, στέλλοντας τὴ φωτιὰ στὸν ναὸ τῆς Δάφνης.

23. Αὐτὸς ὅμως οὔτε καὶ ἔτσι ἀπαλλάχθηκε ἀπὸ τὸν θυμό του, ἀλλὰ μὴ μπορώντας νὰ ὑποφέρη τὴ μεγάλη ἐπιθυμία του γιὰ τὴν καταστροφή μας, δὲν περίμενε οὔτε τὸν καιρὸ ποὺ εἶχε ὁρίσει γιὰ τὴν ἐφαρμογὴ τῆς ἀπειλῆς του, ἀλλά, ἐνῶ ἐπρόκειτο νὰ περάση τὸν Εὐφράτη, προσπάθησε νὰ παρασύρη τοὺς Χριστιανοὺς στρατιῶτες, καὶ ἀφοῦ διέφθειρε μὲ τὶς κολακεῖες ὀλιγάριθμους, δὲν ἐξεδίωξε ἀπὸ τὸ στράτευμα ἐκείνους ποὺ ἀντέδρασαν, φοβούμενος μήπως, ἀπομακρύνοντας αὐτούς, παρατάξη ἀπέντι στοὺς Πέρσες τὸν στρατὸ ἐξασθενημένο. Ποιός λοιπὸν θὰ μᾶς διηγηθῆ τὰ ὅσα συνέβηκαν ἐκεῖ καὶ ποὺ εἶναι πολὺ πιὸ φοβερὰ ἀπὸ ἐκεῖνα ποὺ συνέβηκαν καὶ στὴν ἔρημο καὶ στὴ θάλασσα καὶ στὴν Αἴγυπτο, ὅταν τιμωροῦνταν ὁ ἀναίσθητος ἐκεῖνος Φαραὼ καὶ καταποντίζονταν ὅλοι; Γιατί, ὅπως ἀκριβῶς τότε, ἐπειδὴ ὁ Αἰγύπτιος βασιλεὺς δὲν ὑποχώρησε μὲ καμμιὰ ἀπὸ τὶς συμφορὲς ἐκεῖνες καὶ δὲν θέλησε νὰ γίνη καλύτερος, στὸ τέλος τὸν καταπόντισε μὲ τὸν στρατό του, ἔτσι καὶ τώρα· ἐπειδὴ στάθηκε μὲ ἀναίδεια μπροστὰ σὲ ὅλα τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ καὶ δὲν θέλησε νὰ ὠφεληθῆ καθόλου ἀπὸ αὐτά, ἀλλ' ἔμενε ἀδιόρθωτος, τὸν περιέβαλε πλέον μὲ τὰ χειρότερα κακά, ὥστε, ἀφοῦ αὐτὸς δὲν ἤθελε νὰ σωφρονισθῆ μὲ τὶς συμφορὲς τῶν ἄλλων, νὰ γίνωνται ἄλλοι καλύτεροι μὲ τὰ δικά του παθήματα. Γιατὶ αὐτὸς ποὺ κατέβασε στὸν πόλεμο τόσες μυριάδες στρατιωτῶν, ὅσες κανένας ἀπὸ ἐκείνους ποὺ βασίλευσαν μέχρι τότε, καὶ ἔλπισε ὅτι θὰ κυ-

ἐπιδρομῆς καὶ ἀπονητὶ προσδοκήσας ἑλεῖν, οὕτως ἀθλίως ἔπραξε καὶ ἐλεεινῶς, ὡς γυναικῶν μᾶλλον καὶ παιδίων μικρῶν ἢ ἀνδρῶν στρατόπεδον ἔχων μεθ' ἑαυτοῦ.

Πρῶτον μὲν γὰρ εἰς τοσαύτην αὐτοὺς ἀνάγκην ὑπὸ τῆς οἰκείας ἀβουλίας κατέστησεν, ὥστε ἱππείων ἀπογεύσασθαι κρεῶν καὶ τοὺς μὲν τῷ λιμῷ, τοὺς δὲ τῷ δίψει διαφθαρέντας ἀποθανεῖν. Καθάπερ γὰρ τοῖς Πέρσαις στρατηγῶν καὶ οὐκ ἐκείνους ἑλεῖν, ἀλλὰ τοὺς οἰκείους αὐτοῖς προδοῦναι σπουδάζων, οὕτως αὐτοὺς εἰς χωρία συνέκλεισεν ἄπορα καὶ μόνον οὐχὶ δήσας παρέδωκεν. Ἀλλὰ πάσας μὲν τὰς ἐκεῖ γενομένας συμφοράς, οὔτε τῶν ἰδόντων τις καὶ πεῖραν εἰληφότων δυνήσεται διελθεῖν· οὕτω πᾶσαν ἀπέκρυψεν ὑπερβολήν· ὡς δὲ ἐν κεφαλαίῳ εἰπεῖν, πεσόντος αὐτοῦ αἰσχρῶς καὶ ἐλεεινῶς· οἱ μὲν γὰρ ὑπό τινος τῶν σκευοφόρων τοῖς παροῦσι δυσανασχετοῦντος βληθέντα ἀποθανεῖν αὐτόν φασιν· οἱ δὲ οὐδὲ εἰδέναι τὸν σφαγέα τὸν ἐκείνου λέγουσιν, ἀλλ' ὅτι μόνον ἐπλήγη καὶ παρεκάλεσεν εἰς τὴν Κιλίκων ταφῆναι γῆν, ἔνθα καὶ κεῖται νῦν.

Πεσόντος δὴ οὖν οὕτως αἰσχρῶς, ὁρῶντες ἐν τοῖς ἐσχάτοις αὐτοὺς ὄντας οἱ στρατιῶται, προσέπεσον τοῖς ἐχθροῖς καὶ δόντες ὅρκους ἀποστήσεσθαι τοῦ πάντων ἀσφαλεστάτου φρουρίου καὶ ὃ τῆς καθ' ἡμᾶς οἰκουμένης ὥσπερ τεῖχος ἦν ἀρραγές, φιλανθρώπων τε τυχόντες τῶν βαρβάρων, οὕτω διέφυγον καὶ ἐπανῆλθον ἐκ πολλῶν ὀλίγοι καὶ αὐτοὶ πεπονηκότες τὰ σώματα, αἰσχυνόμενοι μὲν ἐφ' οἷς συνέθεντο, ἀναγκαζόμενοι δὲ διὰ τοὺς ὅρκους ἀποστῆναι τῶν πατρικῶν κτημάτων αὐτοῖς. Καὶ ἦν ἰδεῖν πάσης αἰχμαλωσίας ἐλεεινότερον θέαμα· οἱ γὰρ τὴν πόλιν οἰκοῦντες ἐκείνην, παρ' ὧν χάριτας προσεδόκησαν λήψεσθαι, ὅτι δίκην προβόλου πάντας τοὺς ἔνδον ἐν λιμένι κατέστησαν, ἀντὶ πάντων πρὸς πάντας αὐτοὶ προβεβλημένοι τοὺς κινδύνους ἀεί, παρὰ τούτων τὰ τῶν πολεμίων ἔπασχον, εἰς ἀλλοτρίαν μετανιστάμενοι γῆν, καὶ οἰκίας ἀφέντες καὶ

58. Τὶς συγκεχυμένες πληροφορίες γιὰ τὸν θάνατο τοῦ Ἰουλιανοῦ ἀναφέρουν ὁ Σωζομενὸς στὴν *Ἐκκλησιαστικὴ Ἱστορία* 6,1 PG 1292 BC, καὶ ὁ Θεοδώρητος στὴ δική του *Ἐκκησιαστικὴ Ἱστορία* 3,20 *ΠΓ* 82 1186 ἑ.

ριεύση ὁλόκληρη τὴν Περσία χωρὶς πόλεμο καὶ κόπο, τόσα ἄθλια καὶ ἐλεεινὰ ἐνήργησε, σὰν νὰ εἶχε ὑπὸ τὶς διαταγές του γυναῖκες καὶ παιδιὰ μᾶλλον, παρὰ ἄνδρες στρατιῶτες.

Στὴν ἀρχὴ λοιπὸν ἐξ αἰτίας τῆς ἀπερισκεψίας του τοὺς ἔφερε σὲ μιὰ τέτοια ἀνάγκη, ὥστε νὰ τρῶνε κρέατα ἵππων, καὶ ἄλλοι πέθαιναν ἀπὸ τὴν πεῖνα καὶ ἄλλοι ἀπὸ τὴ δίψα. Γιατὶ σὰν νὰ ἦταν στρατηγὸς τῶν Περσῶν καὶ φρόντιζε ὄχι νὰ νικήση ἐκείνους ἀλλὰ νὰ προδώση τοὺς δικούς του στρατιῶτες, τοὺς τοποθέτησε σὲ τέτοιες ἀκατάλληλες θέσεις γιὰ πόλεμο, ποὺ ἔμοιαζε σὰν νὰ τοὺς παρέδιδε δεμένους στοὺς ἐχθρούς. Ἀλλ' ὅλες ἐκεῖνες τὶς συμφορὲς ποὺ συνέβηκαν ἐκεῖ, δὲν θὰ μπορέση νὰ τὶς διηγηθῆ κανεὶς οὔτε καὶ ἀπὸ ἐκείνους ποὺ εἶδαν καὶ ἔζησαν τὰ γεγονότα· τόσο πολὺ ξεπέρασαν κάθε ὑπερβολή. Καὶ γιὰ νὰ συντομεύσω, αὐτὸς ὁ ἴδιος φονεύθηκε στὸν πόλεμο κατὰ τρόπο αἰσχρὸ καὶ ἐλεεινό. Ἄλλοι λοιπὸν λένε, ὅτι χτυπήθηκε ἀπὸ κάποιον σκευοφόρο στρατιώτη ἀγανακτισμένο γιὰ τὴν ὅλη κατάσταση καὶ ἔτσι πέθανε, ἄλλοι πάλι λένε, ὅτι δὲν γνωρίζουν τὸν δολοφόνο του, ἀλλ' ὅτι μόνο χτυπήθηκε καὶ παρακάλεσε νὰ ταφῆ στὴ γῆ τῶν Κιλίκων, ὅπου καὶ βρίσκεται τώρα θαμμένος[58].

Ἀφοῦ λοιπὸν ἔπεσε αὐτὸς τόσον αἰσχρά, βλέποντας οἱ στρατιῶτες ὅτι βρίσκονται σὲ ἀπελπιστικὴ κατάσταση, παρακάλεσαν τοὺς ἐχθρούς τους καὶ ὡρκίσθηκαν σ' αὐτοὺς νὰ ἐγκαταλείψουν τὸ πιὸ ἀσφαλέστερο ἀπ' ὅλα φρούριο, ποὺ ἦταν γιὰ τὴν αὐτοκρατορία μας σὰν τεῖχος ἀπόρθητο, καὶ ἐπειδὴ βρῆκαν τοὺς βαρβάρους φιλάνθρωπους, μπόρεσαν ἔτσι νὰ ἐπιστρέψουν λίγοι ἀπὸ τοὺς πολλοὺς καὶ αὐτοὶ σωματικὰ καταπονημένοι, γεμᾶτοι ντροπὴ γιὰ τὶς συνθῆκες ποὺ ἔκαναν, ἀναγκασμένοι ὅμως, ἐξ αἰτίας τῶν ὅρκων ποὺ ἔδωσαν νὰ ἐγκαταλείψουν τὰ πατρικά τους κτήματα. Καὶ μποροῦσε νὰ δῆ κανεὶς τὸ ἐλεεινότερο θέαμα ἀπὸ κάθε αἰχμαλωσία . Γιατὶ οἱ κάτοικοι τῆς πόλεως ἐκείνης, ἀπὸ τοὺς ὁποίους οἱ στρατιῶτες ἔλπιζαν ὅτι θὰ λάβουν χάρη, ἀφοῦ ἐκεῖνοι διαφύλαξαν σὰν μέσα σὲ προστατευτικὸ ὀχύρωμα ὅλους τοὺς κατοίκους τῆς πόλεως, ἀντιμετωπίζοντας πάντοτε αὐτοὶ ὅλους τοὺς κινδύνους ἐκ μέρους τῶν ἐχθρῶν σὰν ἐκπρόσωποι ὅλων, ἀπὸ αὐτοὺς ἔπαθαν ὅ,τι καὶ ἀπὸ τοὺς ἐχθρούς. Ἐξωρίσθηκαν σὲ ξένη γῆ, καὶ ἀφοῦ ἄφησαν

ἀγροὺς καὶ πάντων τῶν κτημάτων ἀποσπώμενοι τῶν προγονικῶν, καὶ ταῦτα ὑπὸ τῶν οἰκείων ὑπομείναντες.

Τοιαῦτα τοῦ γενναίου βασιλέως ἀπολελαύκαμεν. Ταῦτα δὲ οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε λῦσαι τὴν ἀπορίαν τῶν ζητούντων, τί δή ποτε μὴ τὸν βασιλέα ἐκόλασεν ἐξ ἀρχῆς ὁ Θεός; Ἐβουλήθη μὲν γὰρ αὐτὸν λυττῶντα πολλάκις ἀναστεῖλαι τῆς εἰς τὸ πρόσω φορᾶς καὶ τοῖς ἑτέρων διορθῶσαι κακοῖς· ἐπειδὴ δὲ ἀντέτεινε, παρέδωκεν αὐτὸν τοῖς ἐσχάτοις κακοῖς, τὴν μὲν ἀληθῆ τῶν αὐτοῦ τολμημάτων ἀντίδοσιν κατὰ τὴν μεγάλην ταμιευόμενος ἡμέραν καὶ διὰ τῆς παρούσης δὲ κολάσεως τοὺς ὑπτιωτέρους διανιστὰς καὶ σωφρονεστέρους ποιῶν. Τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ μακροθυμία τοῖς οὐκ εἰς δέον χρωμένοις αὐτῇ πικροτέραν πρὸς τὸ τέλος ἐπάγει τὴν δίκην· καὶ καθάπερ τοῖς μετανοοῦσιν ὠφέλιμος, οὕτω καὶ τοῖς ἀνενδότοις καὶ σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις. Εἰ δὲ λέγοι τις, τί οὖν οὐ προῄδει τὸν τύρρανον ἀδιόρθωτον ἐσόμενον ὁ Θεός; ἐροῦμεν, ὅτι προῄδει μέν, ἀλλ' οὐδέποτε παύεται διὰ τὴν πρόγνωσιν τῆς ἡμετέρας κακίας τὰ αὐτοῦ ποιῶν· ἀλλὰ κἂν ἡμεῖς μὴ δεχώμεθα τὴν νουθεσίαν, αὐτὸς τὴν φιλανθρωπίαν ἐπιδείκνυται τὴν ἑαυτοῦ. Εἰ δὲ εἰς μείζονα ἑαυτοὺς ὠθοῦμεν κακά, οὐκέτι τοῦτο παρ' αὐτόν, οὐ διὰ τοῦτο μακροθυμήσαντα, ἵνα ἀπολώμεθα, ἀλλ' ἵνα σωθῶμεν, ἀλλὰ παρ' ἡμᾶς τοὺς ἐξυβρίσαντας εἰς τὴν ἄφατον ἀνεξικακίαν αὐτοῦ. Καὶ οὕτω δὲ τῆς φιλανθρωπίας τὸ ἄπειρον δείκνυται. Ὅταν γὰρ μὴ θελήσωμεν αὐτοὶ τῆς πολλῆς αὐτοῦ μακροθυμίας ἀπόνασθαι, τότε εἰς τὸ ἑτέρων αὐτὴν τρέπει κέρδος, πανταχοῦ τό τε φιλάνθρωπον ὁμοῦ καὶ τὸ εὐμήχανον ἐπιδεικνύς· ὅπερ καὶ τότε γέγονε.

Καὶ ὁ μὲν τύραννος οὕτω τὸν βίον κατέλυσε, τῆς δὲ μανίας αὐτοῦ καὶ τῆς δυνάμεως τοῦ μακαρίου Βαβύλα, ἕστηκεν ὑπομνήματα ὅ τε νεὼς καὶ τὸ μαρτύριον, ὁ μὲν ἔρημος ὤν, τὸ δὲ τὴν αὐτὴν ἔχον ἐνέργειαν, ἥνπερ καὶ πρότερον. Ἡ δὲ λάρναξ οὐκέτι πάλιν

τὰ σπίτια τους καὶ τὰ χωράφια τους, ἀπομακρύνθηκαν ἀπὸ ὅλα τὰ κτήματα τῶν προγόνων τους, καὶ ὅλα αὐτὰ τὰ ἔπαθαν ἀπὸ τοὺς δικούς τους.

Τέτοια ἦταν τὰ ὅσα ἀπολαύσαμε ἀπὸ τὸν γενναῖο βασιλέα. Καὶ αὐτὰ δὲν λέχθηκαν τυχαῖα, ἀλλὰ γιὰ νὰ λύσω τὴν ἀπορία ἐκείνων ποὺ ζητοῦν νὰ μάθουν, γιατί ὁ Θεὸς δὲν τιμώρησε ἀπὸ τὴν ἀρχὴ τὸν βασιλέα. Πραγματικὰ βλέποντάς τον σὰν λυσσασμένο θέλησε πολλὲς φορὲς νὰ συγκρατήση τὴν πρὸς τὸ χειρότερο ὁρμή του καὶ νὰ τὸν διορθώση μὲ τὶς συμφορὲς ἄλλων. Ἐπειδὴ ὅμως ἐναντιωνόταν, τὸν παρέδωσε στὰ πιὸ χειρότερα κακά, ἐπιφυλάσσοντας βέβαια τὴν πραγματικὴ ἀνταπόδοση τῶν τολμημάτων του γιὰ τὴν μεγάλη ἡμέρα τῆς κρίσεως, ἐνῶ μὲ τὴν παροῦσα τιμωρία θέλησε νὰ διεγείρη καὶ νὰ κάμη πιὸ σώφρονες τοὺς ἀδιάφορους πνευματικά. Γιατὶ τέτοια εἶναι ἡ μακροθυμία τοῦ Θεοῦ· ἐκείνους ποὺ δὲν τὴν χρησιμοποιοῦν ὅπως πρέπει, τοὺς τιμωρεῖ στὸ τέλος μὲ πικρότερη τιμωρία. Καὶ ὅπως ἀποβαίνει ὠφέλιμη γιὰ ἐκείνους ποὺ μετανοοῦν, ἔτσι καὶ γιὰ τοὺς ἀμετανόητους καὶ σκληροὺς γίνεται αἰτία μεγαλυτέρων τιμωριῶν. Ἂν ὅμως ἐρωτήση κάποιος καὶ πῆ, ‘Τί λοιπόν; δὲν γνώριζε ὁ Θεός, ὅτι ὁ τύραννος θὰ παραμείνη ἀδιόρθωτος;’ Θὰ τοῦ ἀπαντήσω. Τὸ γνώριζε βέβαια, ὅμως ποτὲ δὲν σταματᾶ, ἐξ αἰτίας τῆς προγνώσεως τῆς κακίας μας, νὰ κάνη ἐκεῖνα ποὺ ἐξαρτῶνται ἀπὸ αὐτόν, ἀλλὰ κι ἂν ἀκόμη ἐμεῖς δὲν δεχώμαστε τὴ νουθεσία, αὐτὸς δείχνει τὴν φιλανθρωπία του πρὸς ἐμᾶς. Ἂν ὅμως ἐμεῖς ὁδηγοῦμε τὸν ἑαυτό μας σὲ μεγαλύτερα κακά, αὐτὸ δὲν ὀφείλεται σ’ αὐτόν, γιατὶ δὲν δείχνει μακροθυμία γι’ αὐτό, γιὰ νὰ καταστραφοῦμε δηλαδή, ἀλλὰ γιὰ νὰ σωθοῦμε, ἀλλ’ αὐτὸ ὀφείλειται σ’ ἐμᾶς, ποὺ δείχνομε περιφρόνηση πρὸς τὴν ἀπερίγραπτη ἀνεξικακία του. Καὶ ἔτσι φανερώνεται τὸ ἄπειρο τῆς φιλανθρωπίας του. Γιατί, ὅταν ἐμεῖς δὲν θελήσωμε νὰ ὠφεληθοῦμε ἀπὸ τὴν πολλὴ μακροθυμία του, τότε τὴν στρέφει πρὸς τὴν ὠφέλεια τῶν ἄλλων, δείχνοντας παντοῦ συγχρόνως καὶ τὴν φιλανθρωπία του καὶ τὴν σοφία καὶ ἐπινοηκότητά του, πρᾶγμα ποὺ ἔγινε καὶ τότε.

Ὁ τύραννος λοιπὸν ἔτσι τελείωσε τὴ ζωή του, ἐνῶ ὑπομνήματα τόσο τῆς μανίας αὐτοῦ ὅσο καὶ τῆς δυνάμεως τοῦ μακαρίου Βαβύλα στέκονται καὶ ὁ ναὸς τοῦ δαίμονα καὶ τὸ μαρτύριο τοῦ ἁγίου, ἐκεῖνος ἔρημος, ἐνῶ τὸ μαρτύριο τοῦ ἁγίου μὲ τὴν ἴδια δύναμη ποὺ

ἀνάγεται, τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομήσαντος, ἵνα τρανοτέρα τοῖς ἐπιγινομένοις γένηται τῶν τοῦ ἁγίου κατορθωμάτων ἡ γνῶσις. Ἕκαστος γὰρ τῶν ἐξ ἀλλοτρίας ἡκόντων ἐφιστάμενος τὸ τόπῳ καὶ τὸν μάρτυρα ζητῶν, εἶτα οὐχ ὁρῶν ἐκεῖ, εὐθέως ἐπὶ τὸ ζητῆσαι τὴν αἰτίαν ἔρχεται καὶ οὕτω πᾶσαν τὴν ἱστορίαν ἀκούσας ἄπεισι, πλέον κερδάνας ἢ πρότερον· οὕτω καὶ παραγενόμενος τῇ Δάφνῃ καὶ πάλιν αὐτὴν ἐγκαταλιπὼν τὰ μέγιστα ὀνίνησι. Τοιαύτη ἡ τῶν μαρτύρων ἰσχὺς καὶ ζώντων καὶ τελευτώντων, καὶ τόποις ἐφισταμένων καὶ πάλιν αὐτοὺς καταλιμπανόντων. Καὶ γὰρ ἐξ ἀρχῆς μέχρι τέλους συνῆπται τὰ κατορθώματα συνεχῆ.

Ὅρα γάρ, ἤμυνε τοῖς τοῦ Θεοῦ νόμοις ὑβριζομένοις, ἔλαβεν ὑπὲρ τοῦ τετελευτηκότος δίκην, ἣν ἔδει· ἔδειξεν ὅσον ἱερωσύνης καὶ βασιλείας τὸ μέσον, κατέλυσε πάντα τὸν τοῦ κόσμου τῦφον καὶ κατεπάτησε τοῦ βίου τὴν φαντασίαν, ἐπαίδευσε τοὺς βασιλεῖς μὴ πέρα τοῦ δοθέντος αὐτοῖς παρὰ τοῦ Θεοῦ μέτρου τὴν ἐξουσίαν προάγειν· ἔδειξε τοῖς ἱερωμένοις πῶς ταύτης προΐστασθαι τῆς ἀρχῆς δεῖ. Καὶ ταῦτα μὲν καὶ τούτων πλείονα ἡνίκα ἦν ἐν σαρκί· ἐπειδὴ δὲ μετέστη καὶ ἀπεδήμησε, κατέλυσε τοῦ δαίμονος τὴν ἰσχύν, διήλεγξε τὴν τῶν Ἑλλήνων ἀπάτην, ἀπεκάλυψε τῆς μαντείας τὸν λῆρον, συνέτριψε τὸ προσωπεῖον αὐτῆς, καὶ πᾶσαν αὐτῆς τὴν ὑπόκρισιν γυμνώσας ἐπέδειξε, τὸν ἐν αὐτῇ δοκοῦντα κρατεῖν ἐπιστομίσας καὶ καταβαλὼν μετὰ πολλῆς τῆς σφοδρότητος. Καὶ νῦν ἑστᾶσιν οἱ τοῖχοι τοῦ νεώ, πᾶσι κηρύττοντες τοῦ δαίμονος τὴν αἰσχύνην, τὸν γέλωτα, τὴν ἀσθένειαν· τοῦ μάρτυρος τοὺς στεφάνους, τὴν νίκην, τὴν δύναμιν. Τοσαύτη ἡ τῶν ἁγίων ἰσχύς· οὕτως ἄμαχος καὶ φοβερὰ καὶ βασιλεῦσι καὶ δαίμοσι καὶ αὐτῷ τῷ τῶν δαιμόνων ἀρχηγῷ.

εἶχε καὶ προηγουμένως. Ἡ λειψανοθήκη ὅμως δὲν μεταφέρθηκε πάλι στὴ Δάφνη, γιατὶ καὶ αὐτὸ ἔτσι ρυθμίσθηκε ἀπὸ τὸν Θεό, ὥστε νὰ γίνη τρανότερη ἡ γνώση τῶν κατορθωμάτων τοῦ ἁγίου σ' ἐκείνους ποὺ ἔρχονται νὰ τὸν ἐπισκεφθοῦν. Γιατὶ ὁ καθένας ἀπὸ ἐκείνους ποὺ ἔρχονται ἀπὸ ξένη χώρα φθάνοντας στὸν τόπο τοῦ μαρτυρίου ἀναζητεῖ τὸν μάρτυρα, ἐπειδὴ ὅμως δὲν τὸν βρίσκει ἐκεῖ, ἀμέσως ἐρωτᾶ νὰ μάθη τὴν αἰτία, καὶ ἔτσι, ἀφοῦ ἀκούση ὅλη τὴν ἱστορία, φεύγει ἀπὸ ἐκεῖ περισσότερο ὠφελημένος τώρα, παρὰ προηγουμένως. Ἔτσι καὶ ἐπισκεπτόμενος τὴ Δάφνη καὶ φεύγοντας πάλι ἀπὸ ἐκεῖ ὠφελεῖται πάρα πολύ. Τέτοια εἶναι ἡ δύναμη τῶν μαρτύρων καὶ ὅταν ζοῦν καὶ ὅταν πεθάνουν, καὶ ὅταν βρίσκωνται σ' ἕναν τόπο καὶ ὅταν τὸν ἐγκαταλείπουν πάλι. Γιατὶ ἀπὸ τὴν ἀρχὴ μέχρι τέλους τὰ κατορθώματα συνάπτονται ἀδιάκοπα.

Πρόσεχε δηλαδή· ὑπεραμύνθηκε τοὺς νόμους τοῦ Θεοῦ ποὺ ἀτιμάζονταν, τιμώρησε τὸν βασιλέα γιὰ τὸν φόνο τοῦ παιδιοῦ μὲ τὴν τιμωρία ποὺ ἔπρεπε· ἔδειξε τὴ διαφορὰ ποὺ ὑπάρχει μεταξὺ τῆς ἱερωσύνης καὶ τῆς βασιλείας, συνέτριψε ὅλη τὴν κοσμικὴ ἀλαζονεία καὶ καταπάτησε τὴ φαντασία τῆς ζωῆς, δίδαξε τοὺς βασιλεῖς νὰ μὴ ἐπεκτείνουν τὴν ἐξουσία τους πέρα ἀπὸ τὰ ὅρια ποὺ καθώρισε γι' αὐτοὺς ὁ Θεός καὶ ἔδειξε στοὺς ἱερωμένους πῶς πρέπει ν' ἀσκοῦν τὴν ἐξουσία αὐτή. Καὶ ὅλα αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ τὰ κατώρθωσε ὅσο ἀκόμη βρισκόταν στὴ ζωή· ὅταν ὅμως μετατέθηκε ἀπὸ τὴ ζωὴ αὐτὴ καὶ ἀπεδήμησε στὴν ἄλλη, συνέτριψε τὴ δύναμη τοῦ δαίμονα, ἀπέδειξε τὴν ἀπάτη τῶν Ἑλλήνων, ἀποκάλυψε τὶς φλυαρίες τῆς μαντείας, συνέτριψε τὸ προσωπεῖο αὐτῆς, καὶ ἀφοῦ τὴν ἀπογύμνωσε ἔδειξε ὅλη τὴν ὑποκρισία της, ἀποστομώνοντας ἐκεῖνον ποὺ φαινόταν νὰ ἔχη ὅλη τὴν ἐξουσία αὐτῆς καὶ κατανικώντας τον μὲ μεγάλη σφοδρότητα. Καὶ σήμερα στέκονται ὄρθιοι οἱ τοῖχοι τοῦ ναοῦ, κηρύττοντας σ' ὅλους καὶ τὴν αἰσχύνη καὶ τὴ γελοιότητα καὶ τὴν ἀδυναμία τοῦ δαίμονα, καὶ τὰ στεφάνια καὶ τὴ νίκη καὶ τὴ δύναμη τοῦ μάρτυρα. Τόση μεγάλη εἶναι ἡ δύναμη τῶν ἁγίων· τόσο ἀκαταμάχητη καὶ φοβερὴ εἶναι καὶ στοὺς βασιλεῖς καὶ στοὺς δαίμονες καὶ στὸν ἴδιο τὸν ἀρχηγὸ τῶν δαιμόνων.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

(ΛΟΓΟΙ Α'-S')

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

ΛΟΓΟΣ Α'

1. Πολλῆς γέμει ταραχῆς ἡμῶν ἡ ζωη καὶ θορύβων μεστὸς ὁ παρὼν βίος ἐστίν. Ἀλλ' οὐ τοῦτό ἐστι τὸ χαλεπόν, ἀγαπητοί, ἀλλ' ὅτι τοὺς θορύβους τούτους καὶ τὰς ταραχάς, ἢ πρὸς τὸ πρᾳότερον μεταθεῖναι δυνάμενοι ἢ μένοντες φέρειν ἀλύπως, οὐδέτερον τούτων μεμελετήκαμεν, ἀλλ' ἀποδυσπετοῦντες τὸν ἅπαντα διατελοῦμεν χρόνον· καὶ ὁ μὲν πενίαν, ὁ δὲ νόσον ὀδύρεται, ἄλλος φροντίδων ὄγκον καὶ προστασίαν οἰκίας, ἕτερος παιδοτροφίαν, ἄλλος ἀπαιδίαν. Καὶ θέα τῆς ἀνοίας τὴν ὑπερβολήν· οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς πράγμασιν, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἴσως πάντες θρηνοῦμεν. Καίτοι γε εἰ τῶν πραγμάτων ἡ φύσις ἡμῖν αἰτία τῶν ὀδυρμῶν ἦν, οὐκ ἐχρῆν ἐπὶ τοῖς ἐναντίοις ἴσως ὀδύρεσθαι· ἀλλ' εἰ πενία κακὸν καὶ ἀφόρητον, τὸν ἐν πλούτῳ ζῶντα οὐδέποτε ἐχρῆν ἀλύειν· καὶ εἰ ἀπαιδία κακόν, τὸν πολυπαιδίας ἀπολαύοντα εὐθυμεῖν ἐχρῆν. Πάλιν εἰ τὸ τὰ κοινὰ τῆς πόλεως πράγματα διοικεῖν καὶ τιμῶν ἀπολαύειν καὶ πολλοὺς ἔχειν τοὺς ὑποκειμένους ζηλωτόν, ἐχρῆν ἀπράγμονα τὸν βίον καὶ γαληνὸν φευκτὸν εἶναι καὶ παρὰ πάντων ἀνθρώπων μισεῖσθαι.

Νῦν δὲ ὅταν ἴδῃς, ὅτι πλούσιοι καὶ πένητες ἴσως ὀδύρονται, πολλάκις δὲ ὁ πλουτῶν ὑπὲρ πένητα τοῦτο πάλιν ποιεῖ, καὶ ὁ ἀρχῆς ἀπολαύων καὶ ὁ ἀρχόμενος καὶ ὁ πολλῶν παίδων πατὴρ καὶ ὁ μηδένα ὅλως ἐσχηκώς, μὴ τὰ πράγματα τῆς ἀταξίας αἰτιώμεθα, ἀλλὰ τοὺς οὐ δυναμένους αὐτοῖς εἰς δέον χρήσασθαι καὶ πάσης ἀθυμίας ἀπαλλάττειν ἑαυτούς. Ἡ γὰρ ταραχὴ καὶ ὁ θόρυβος, οὐχὶ

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

ΛΟΓΟΣ Α'

1. Ἡ ζωή μας εἶναι γεμάτη ἀπὸ μεγάλη ταραχὴ καὶ ὁ βίος αὐτὸς κατάμεστος ἀπὸ θορύβους. Ὅμως δὲν εἶναι αὐτό, ἀγαπητοί, τὸ φοβερό, ἀλλὰ τὸ ὅτι τοὺς θορύβους αὐτοὺς καὶ τὶς ταραχές, ἐνῶ μποροῦμε νὰ τοὺς κάνουμε πιὸ ἐλαφροὺς ἢ νὰ τοὺς ὑπομένουμε χωρὶς λύπη, δὲν ἔχουμε φροντίσει νὰ κάνουμε κανένα ἀπὸ αὐτά, ἀλλὰ περνοῦμε ὅλον τὸν καιρό μας ἀποθαρρυμένοι. Κι ἄλλος θρηνεῖ γιὰ τὴ φτώχεια του, ἄλλος γιὰ τὴν ἀρρώστια του, ἄλλος γιὰ τὸ πλῆθος τῶν φροντίδων καὶ τὴν προστασία τῆς οἰκογένειάς του, ἄλλος γιὰ τὴ διατροφὴ τῶν παιδιῶν του καὶ ἄλλος γιὰ τὴν ἔλλειψη παιδιῶν. Καὶ πρόσεχε τὴν ὑπερβολὴ τῆς ἀνοησίας· γιατὶ δὲν θρηνοῦμε ὅλοι γιὰ τὰ ἴδια πράγματα, ἀλλ' ὅλοι ἐξ ἴσου γιὰ τὰ ἀντίθετα. Ἂν καὶ βέβαια, ἂν ἡ φύση τῶν πραγμάτων ἦταν ἡ αἰτία τῶν θρήνων μας, δὲν ἔπρεπε νὰ θρηνοῦμε ἐξ ἴσου γιὰ ἀντίθετα πράγματα, ἀλλ', ἂν ἡ φτώχεια εἶναι πρᾶγμα κακὸ καὶ ἀφόρητο, δὲν ἔπρεπε νὰ ἀγανακτῆ ποτὲ ἐκεῖνος ποὺ ζῆ μέσα στὸν πλοῦτο· καὶ ἂν ἡ ἀτεκνία εἶναι κακό, ἔπρεπε αὐτὸς ποὺ ἔχει πολλὰ παιδιὰ νὰ εἶναι εὔθυμος. Ἐπίσης, ἂν τὸ νὰ διοικῆ κανεὶς τὰ κοινὰ τῆς πόλεως καὶ νὰ ἀπολαμβάνη τιμὲς καὶ νὰ ἔχη πολλοὺς ὑφισταμένους εἶναι πρᾶγμα ἀξιοζήλευτο, ἔπρεπε ἡ ἄπρακτη καὶ ἥσυχη ζωὴ νὰ ἀποφεύγεται καὶ νὰ μισῆται ἀπ' ὅλους τοὺς ἀνθρώπους.

Τώρα ὅμως ὅταν δῆς, ὅτι πλούσιοι καὶ φτωχοὶ θρηνοῦν ἐξ ἴσου καὶ πολλὲς φορὲς ὁ πλούσιος θρηνεῖ περισσότερο ἀπὸ τὸν φτωχὸ καθὼς καὶ αὐτὸς ποὺ ἀσκεῖ τὴν ἐξουσία καὶ ὁ ἀρχόμενος, καὶ ὁ πατέρας πολλῶν παιδιῶν καὶ ἐκεῖνος ποὺ δὲν ἔχει κανένα παιδί, ἂς μὴ κατηγοροῦμε τὰ πράγματα γιὰ τὴν ἀταξία αὐτή, ἀλλ' ἐκείνους ποὺ δὲν μποροῦν νὰ τὰ χρησιμοποιήσουν ὅπως πρέπει, καὶ ν' ἀπαλλάσσουν ἔτσι τὸν ἑαυτό τους ἀπὸ κάθε λύπη. Γιατὶ ἡ ταραχὴ

τούτων ἐστὶ περιπέτεια, ἀλλ' ἡμεῖς καὶ ἡ ἡμετέρα διάνοια· ὡς ἐὰν αὐτὴ καλῶς ἡμῖν ᾖ κατεσκευασμένη, κἂν μυρίοι πανταχόθεν ἐγείρωνται χειμῶνες, ἐν γαλήνῃ καὶ λιμένι καθευδούμεθα διαπαντός. Ὥσπερ οὖν οὐκ εὖ ἐχούσης αὐτῆς, κἂν ἐξ οὐρίων ἡμῖν ἅπαντα φέρηται, τῶν ἐν ναυαγίοις ὄντων οὐδὲν ἄμεινον διακεισόμεθα. Τοῦτο γοῦν ἐστι καὶ ἐπὶ τῶν σωμάτων ἰδεῖν. Ὁ μὲν γὰρ ἰσχυρὸν τὸ ἑαυτοῦ κατεσκευακὼς σῶμα, κἂν μυρίοις ἀέρων ἀνωμαλίαις μάχηται, οὐ μόνον οὐδὲν πείσεται δεινόν, ἀλλὰ καὶ προσθήκην ἰσχύος τῇ γυμνασίᾳ καὶ τῇ τῆς δυσκρασίας ὁμιλίᾳ προσέλαβεν· ἂν δὲ ἀσθενὲς ἔχῃ καὶ διάραιον, κἂν ἀρίστης ἀπολαύῃ τῆς τῶν ὡρῶν κράσεως, οὐδὲν αὐτῷ πλέον ἀπὸ ταύτης ἔσται τῆς εὐμοιρίας, τῆς οἴκοθεν ἀσθενείας, τῇ παρὰ τῶν ὡρῶν εὐκληρίᾳ λυμαινομένης. Οὕτω καὶ ἐπὶ τῶν σιτίων ὁρῶμεν· ὅταν μὲν γὰρ ἰσχυρὸν καὶ ἐρρωμένον ἡμῖν τὸ σῶμα τῆς γαστρὸς ᾖ, πᾶν ὅπερ ἂν ἐνδέχηται, κἂν σκληρὸν ᾖ, κἂν αὐτῷ ἀκατέργαστον, πρὸς καθαρὸν αὐτὸ μετασχηματίζει χυμόν, τῆς φυσικῆς κράσεως περιγιγνομένης τῆς ἐν τῷ σιτίῳ κακίας· ὅταν δὲ ὁ τόνος αὐτοῦ καταλελυμένος ᾖ καὶ χαῦνος, κἂν τὸ πάντων εὐχυμότερον αὐτῇ προσενέγκῃς ἔδεσμα, εἰς τὸ χείριστον αὐτὸ μετερρύθμισε καὶ διέφθειρε, τῆς ἀσθενείας τὴν ἀρετὴν αὐτοῦ λυμαινομένης.

Οὕτω δὴ καὶ ἡμεῖς, ὅταν ἴδωμεν πραγμάτων ἀταξίαν, μὴ τὸν Θεὸν αἰτιώμεθα, ἀγαπητοί· τοῦτο γὰρ οὐχὶ φάρμακόν ἐστιν εὑρεῖν τῷ τραύματι, ἀλλὰ τραῦμα ἐπαγαγεῖν τραύματι. Μὴ δαίμοσι λογιζώμεθα τοῦ κόσμου τὴν οἰκονομίαν, μὴ ἀπρονόητα εἶναι νομίζωμεν τὰ παρόντα, μὴ γενέσεώς τινος καὶ εἱμαρμένης τυραννίδα ἐπιτειχίζωμεν τῇ προνοίᾳ τοῦ Θεοῦ. Ταῦτα γὰρ πάντα βλασφημίας γέμει καὶ ἡ ὄντως ταραχὴ καὶ ἀταξία, οὐχὶ τῶν πραγμάτων ἐστὶ φορά, ἀλλ' ὁ οὕτω διακείμενος λογισμός· ὃς κἂν μυρίας εὐταξίας ἀπολαύῃ, ἕως ἂν τὴν ἀταξίαν τὴν ἐν αὐτῷ καὶ τὴν ταραχὴν διορθώσηται, οὐδὲν αὐτῷ τῆς ἐν τοῖς πράγμασιν εὐταξίας ἔσται τὸ

καὶ ὁ θόρυβος δὲν εἶναι φυσικὸ ἐπακόλουθο τῶν πραγμάτων, ἀλλὰ τὰ δημιουργοῦμε ἐμεῖς καὶ ἡ ψυχή μας· γιατί, ἂν αὐτὴ εἶναι καλὰ συγκροτημένη, κι ἂν ἀκόμη ξεσηκώνονται ἀπὸ παντοῦ ἄπειρες τρικυμίες, θὰ ἡσυχάζουμε συνεχῶς μέσα σὲ γαλήνη καὶ σὲ λιμάνι. Ὅπως πάλι βέβαια, ὅταν αὐτὴ δὲν βρίσκεται σὲ καλὴ κατάσταση, κι ἂν ἀκόμη ὅλα μᾶς εἶναι εὐνοϊκά, δὲν θὰ βρισκώμαστε σὲ καλύτερη κατάσταση ἀπ' αὐτοὺς ποὺ ἔχουν ναυαγήσει. Τὸ ἴδιο πρᾶγμα μποροῦμε νὰ δοῦμε καὶ στὰ σώματα. Ἐκεῖνος δηλαδὴ ποὺ ἔχει κάμει τὸ σῶμα του ἰσχυρό, κι ἂν ἀκόμη μάχεται ἐναντίον μυρίων καιρικῶν ἀνωμαλιῶν, ὄχι μόνο δὲν θὰ πάθη κανένα κακό, ἀλλὰ μὲ τὴν ἐξάσκηση καὶ τὸν ἐθισμὸ στὶς κακὲς συνθῆκες ἀπέκτησε μεγαλύτερη ἰσχύ, ἂν ὅμως ἔχη σῶμα ἀσθενὲς καὶ πλαδαρό, κι ἂν ἀκόμη εἶναι ἄριστες οἱ καιρικὲς συνθῆκες, δὲν θὰ συμβῆ τίποτε τὸ ἐπὶ πλέον σ' αὐτὸν ἀπὸ αὐτὲς τὶς εὐνοϊκὲς συνθῆκες, γιατὶ ἡ ἀσθένειά του αὐτὴ ἐξουδετερώνει τὶς εὐνοϊκὲς αὐτὲς καιρικὲς συνθῆκες. Τὸ ἴδιο βλέπουμε νὰ συμβαίνη καὶ μὲ τὶς τροφές. Ὅταν δηλαδὴ τὸ στομάχι εἶναι ὑγιὲς καὶ ἰσχυρό, ὁποιαδηποτε τροφὴ κι ἂν δεχθῆ, εἴτε αὐτὴ εἶναι σκληρὴ εἴτε δύσπεπτη, τὴν μετασχηματίζει σὲ καθαρὸ χυμό, γιατὶ ἡ φυσικὴ εὐεξία ὑπερνικᾶ τὴν κακὴ ποιότητα τῆς τροφῆς, ὅταν ὅμως τὸ στομάχι εἶναι ἄτονο καὶ παραλυμένο, κι ἂν ἀκόμη τοῦ προσφέρης τὴν πιὸ εὔχυμη τροφή, τὴν μεταβάλλει στὴν πιὸ χειρότερη καὶ τὴν ἀχρηστεύει, γιατὶ ἡ ἀσθένεια αὐτοῦ καταστρέφει τὴν ποιότητά του.

Ἔτσι λοιπὸν καὶ ἐμεῖς, ὅταν δοῦμε ἀταξία στὰ πράγματα, ἂς μὴ κατηγοροῦμε, ἀγαπητοί, τὸν Θεό. Γιατὶ μ' αὐτὸ δὲν εἶναι δυνατὸ νὰ βροῦμε φάρμακο στὸ τραῦμα, ἀλλὰ νὰ προσθέσουμε τραῦμα στὸ τραῦμα. Ἂς μὴν ἀποδίδουμε στοὺς δαίμονες τὴ διοίκηση τοῦ κόσμου, ἂς μὴ νομίζουμε ὅτι τὰ παρόντα εἶναι ἀπρονόητα, ἂς μὴ ἀντιτάσσουμε στὴν πρόνοια τοῦ Θεοῦ τὴν τυραννικὴ ἐξουσία κάποιας μοίρας καὶ εἱμαρμένης. Γιατὶ ὅλα αὐτὰ εἶναι γεμᾶτα βλασφημία, καὶ ἡ πραγματικὴ ταραχὴ καὶ ἀταξία δὲν ὀφείλεται στὴ φορὰ τῶν πραγμάτων, ἀλλ' ὀφείλεται στὴ ταραγμένη σκέψη μας, ἡ ὁποία, κι ἂν ἀκόμη ἀπολαμβάνη μιὰ ἀπόλυτη εὐταξία, δὲν θὰ συμβῆ σ' αὐτὴν ἀπὸ τὴν εὐταξία τῶν πραγμάτων τίποτε τὸ ἐπὶ πλέον, ἂν προηγουμένως δὲν μπορέση νὰ διορθώση τὴν ἀταξία καὶ ταραχὴ ποὺ ὑπάρχει σ' αὐτήν. Ὅπως ἀκριβῶς δηλαδὴ ὁ ὀφθαλμός, ὅταν εἶναι ἀσθενὴς

πλέον· ἀλλ' ὥσπερ ὀφθαλμός, νοσῶν μὲν καὶ ἐν μεσημβρίᾳ φανοτάτῃ σκότος ὄψεται καὶ ἕτερα ἀνθ' ἑτέρων καὶ οὐδὲν αὐτῷ τῆς ἀκτῖνος ἔσται πλέον, ὑγιαίνων δὲ καὶ ἐρρωμένος καὶ ἐν ἑσπέρᾳ δυνήσεται τὸ σῶμα χειραγωγεῖν μετὰ ἀσφαλείας· οὕτω καὶ ὁ τῆς διανοίας τῆς ἡμετέρας ὀφθαλμός, ἕως μὲν ἂν ἐρρωμένος ᾖ καὶ ἅπαντα εἶναι δοκοῦντα ἴδῃ, καλῶς ὄψεται· ὅταν δὲ διεφθαρμένος, κἂν εἰς αὐτὸν ἀναγάγῃς τὸν οὐρανὸν καὶ τῶν ἐκεῖ πολλὴν ἀταξίαν καταγνώσεται καὶ ταραχήν.

2. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, πολλά σοι τῶν πάλαι καὶ τῶν ἐφ' ἡμῶν τούτων κατασκευάσω παραδείγματα. Πόσοι πενίαν φέρουσιν εὐκόλως καὶ τῷ Θεῷ διὰ τοῦτο εὐχαριστοῦντες οὐ διαλιμπάνουσιν; πόσοι πλοῦτον καὶ τρυφὴν ἔχοντες, οὐκ εὐχαριστοῦσιν, ἀλλὰ βλασφημοῦσι τὸν Δεσπότην; πόσοι μηδὲν παθόντες δεινόν, κατηγοροῦσι τῆς καθόλου προνοίας; πόσοι δεσμωτήριον τὸν ἅπαντα χρόνον οἰκήσαντες, τῶν ἐν ἀδείᾳ καὶ ἀσφαλείᾳ βεβιωκότων εὐγνωμονέστερον τὴν ἐκεῖ φέρουσι ταλαιπωρίαν; Ὁρᾷς ὅτι ἡ τῆς ψυχῆς κατάστασις καὶ ὅτι ὁ οἰκεῖος λογισμὸς καὶ τούτων καὶ ἐκείνων αἴτιος, ἀλλ' οὐκ αὐτὴ τῶν πραγμάτων ἡ φύσις; Ὥστε, εἰ τῆς διανοίας ἐπιμέλειαν ἐποιούμεθα τῆς ἡμετέρας, οὐκ ἦν ταραχή, οὐκ ἦν ἀταξία, οὐκ ἦν τῶν δεινῶν οὐδέν, εἰ καὶ εὐρίπου παντὸς χαλεπώτερον ἄνω καὶ κάτω τὰ πράγματα τῆς ἡμετέρας ἐφέρετο ζωῆς. Διὰ τί γάρ, εἰπέ μοι, Παῦλος εὐχαριστεῖ; Καίτοι τῶν ἄριστα βεβιωκότων ἐστί, τῶν τῇ ἀρετῇ συνεζηκότων τὸν ἅπαντα χρόνον, τῶν ἥκιστα τοσαῦτα παθόντων δεινά. Οὐδεὶς οὔτε δικαιότερος ἐκείνου γέγονε τῶν ὑφ' ἡλίῳ πάντων ἀνθρώπων, οὔτε χαλεπώτερα ἐκείνου πέπονθε τῶν ἐξ οὗ γεγόνασιν ἄνθρωποι. Ἀλλ' ὅμως ὁρῶν πολλοὺς ἐν πονηρίᾳ ζῶντας καὶ εὐθυμουμένους καὶ τῶν παρόντων χρημάτων ἀπολαύοντας, εὐχαριστεῖ τῷ Θεῷ καὶ αὐτός, καὶ τοῖς ἄλλοις πᾶσι παρῄνει τοῦτο.

Πρὸς ἐκεῖνον βλέπετε. Καὶ σὺ ὅταν ἴδῃς τὸν πονηρὸν εὐθυμούμενον, ὅταν ἴδῃς ἐπαιρόμενον, ὅταν ἴδῃς ἐχθρῶν κρατοῦντα, τοὺς λελυπηκότας ἀμυνόμενον, μηδὲ μίαν ὑποστάντα ζημίαν, πανταχόθεν αὐτῷ τὰ χρήματα ἐπιρρέοντα, πάντας τιμῶντας καὶ κολα-

1. Ἐφεσ. 5,20. Κολ. 1,3 κ.ἀ.

θὰ βλέπη σκοτάδι κατὰ τὴν ὥρα φωτεινοτάτης μεσημβρίας καὶ ἄλλα ἀντὶ ἄλλων καὶ δὲν θὰ τὸν ὠφελοῦν σὲ τίποτε οἱ ἀκτῖνες, ὅταν ὅμως εἶναι ὑγιὴς καὶ δυνατὸς θὰ μπορέση νὰ ὁδηγῇ μὲ ἀσφάλεια τὸ σῶμα καὶ κατὰ τὴ νύχτα, ἔτσι καὶ ὁ ὀφθαλμὸς τῆς διάνοιάς μας, ὅσο εἶναι ἰσχυρὸς θὰ βλέπη καλὰ καὶ ἐκεῖνα ποὺ εἶναι ἄτακτα, ὅταν ὅμως εἶναι βλαμμένος, κι ἂν ἀκόμη τὸν ὁδηγήσης στὸν οὐρανό, καὶ ἐκεῖ θὰ διαπιστώση μεγάλη ἀταξία καὶ ταραχή.

2. Καὶ ὅτι αὐτὰ ἔχουν ἔτσι, θὰ σοῦ παρουσιάσω πολλὰ παραδείγματα ἀπὸ ἐκεῖνα ποὺ συνέβηκαν κατὰ τὴν παλαιὰ καὶ κατὰ τὴ δική μας ἐποχή. Πόσοι ὑπομένουν μὲ εὐκολία τὴ φτώχεια καὶ δὲν παύουν γι' αὐτὸ νὰ εὐχαριστοῦν τὸν Θεό; Καὶ πόσοι, ζώντας μέσα στὰ πλούτη καὶ στὶς ἀπολαύσεις, ὄχι μόνο δὲν εὐχαριστοῦν, ἀλλὰ καὶ βλασφημοῦν τὸν Κύριο; Πόσοι, χωρὶς νὰ πάθουν κανένα κακό, κατηγορῦν γενικὰ τὴν πρόνοια; Πόσοι, ποὺ πέρασαν ὅλη τὴ ζωή τους στὴ φυλακή, ὑπομένουν τὴν ἐκεῖ ταλαιπωρία τους μὲ μεγαλύτερη εὐγνωμοσύνη ἀπὸ ἐκείνους ποὺ ἔζησαν τὴ ζωή τους μὲ ἄνεση καὶ ἀσφάλεια; Βλέπεις ὅτι ἡ κατάσταση τῆς ψυχῆς καὶ ὁ δικός μας λογισμὸς εἶναι ἡ αἰτία καὶ αὐτῶν καὶ ἐκείνων καὶ ὄχι ἡ ἴδια ἡ φύση τῶν πραγμάτων; Ὥστε, ἂν δείχναμε φροντίδα γιὰ τὴ διάνοιά μας δὲν θὰ ὑπῆρχε ταραχή, δὲν θὰ ὑπῆρχε ἀταξία, δὲν θὰ ὑπῆρχε κανένα ἀπὸ τὰ κακά, κι ἂν ἀκόμη τὰ πράγματα τῆς ζωῆς μας φέρονταν ἄνω κάτω φοβερώτερα ἀπὸ κάθε ὁρμητικὴ παλίρροια. Πές μου δηλαδή, γιατί εὐχαριστεῖ ὁ Παῦλος; Ἂν καὶ βέβαια αὐτὸς εἶναι ἕνας ἀπὸ ἐκείνους ποὺ πέρασαν τὴ ζωή τους ἄριστα, ἀπὸ ἐκείνους ποὺ ἔζησαν ὅλη τὴ ζωή τους μὲ τὴν ἀρετή, καὶ ἕνας ἀπὸ τοὺς ἐλάχιστους ποὺ ὑπέμειναν τόσα δεινά. Κανεὶς δὲν ὑπῆρξε ἀπὸ ὅλους τοὺς ἀνθρώπους ποὺ ἔζησαν κάτω ἀπὸ τὸν ἥλιο οὔτε πιὸ δίκαιος ἀπὸ ἐκεῖνον, οὔτε καὶ κανεὶς ὑπέφερε χειρότερα ἀπὸ ἐκεῖνον ἀπὸ τότε ποὺ ὑπάρχουν ἄνθρωποι. Ἀλλ' ὅμως, ἂν καὶ ἔβλεπε πολλοὺς νὰ ζοῦν μέσα στὴν κακία, νὰ εἶναι χαρούμενοι καὶ ν' ἀπολαμβάνουν τὰ πράγματα τῆς παρούσας ζωῆς, εὐχαριστεῖ τὸν Θεὸ καὶ ὁ ἴδιος, καὶ ὅλους τοὺς ἄλλους τοὺς προέτρεπε αὐτό[1].

Ἔχετε λοιπὸν στραμμένη τὴν προσοχή σας πρὸς ἐκεῖνον. Καὶ σύ, ὅταν ἰδῆς τὸν ἁμαρτωλὸ νὰ εὐθυμῇ, ὅταν τὸν δῆς νὰ ὑπερηφανεύεται, ὅταν τὸν δῆς νὰ ὑπερισχύη τῶν ἐχθρῶν του, ν' ἀπομακρύνη ὅσους τὸν ἐλύπησαν, νὰ μὴ ἔχη πάθει καμμιὰ ζημιά, ἀπὸ πα-

κεύοντας, σαυτὸν δὲ ἐν τοῖς ἐναντίοις πᾶσιν, ἐν ἐπηρείαις, συκοφαντίαις, ἐπιβουλαῖς, μὴ νομίσῃς εἶναι τῶν ἀπερριμμένων, ἀλλ' εἰς Παῦλον ἰδὼν τὸν τῆς σῆς ὄντα μερίδος, ἀνάβηθι τὴν διάνοιαν, ἀνάκτησαι τοὺς λογισμούς, μὴ καταπέσῃς ὑπὸ τῆς ἀθυμίας. Τὸν φίλον τῷ Θεῷ καὶ τὸν πολέμιον μὴ ἀπο τῆς εὐπραγίας καὶ δυσπραγίας τῆς ἐνταῦθα δοκίμαζε, ἀλλὰ ἂν μὲν ἴδῃς ὀρθῶς ζῶντα καὶ νόσῳ κενούμενον καὶ πρὸς εὐσέβειαν βλέποντα, μακάριζε καὶ ζηλωτὸν εἶναι νόμιζε, κἂν μυρίας ἁλύσεις περικέηται καὶ δεσμωτήριον οἰκῇ διαπαντός, κἂν ἀναξίοις δουλεύῃ, κἂν πένηται, κἂν μέταλλα ἐργάζηται, κἂν ὁτιοῦν πάσχῃ δεινόν. Μακάριος γὰρ οὗτός ἐστι, κἂν ἐξορύγηται, κἂν καίηται, κἂν κατὰ μικρὸν δαπανᾶται τὸ σῶμα.

Ἂν δὲ ἴδῃς ἕτερον ἐν ἀσελγείᾳ καὶ πονηρίᾳ καὶ τοῖς ἐσχάτοις ζῶντα κακοῖς καὶ πολλῆς ἀπολαύοντα τιμῆς, ἐπὶ τὸν θρόνον αὐτὸν ἀναβαίνοντα τὸν βασιλικὸν καὶ διάδημα περικείμενον καὶ ἁλουργίδα ἔχοντα καὶ τῆς οἰκουμένης ἁπάσης κρατοῦντα, δάκρυσον καὶ διὰ τοῦτο τὸν τοιοῦτον καὶ ταλάνιζε. Οὐδὲν γὰρ ὄντως ἀθλιώτερον τῆς οὕτω διακειμένης ψυχῆς, κἂν πᾶσαν ὑποτεταγμένην ἔχῃ τὴν οἰκουμένην. Τί γὰρ ὄφελος ἐν χρήμασι πλουτεῖν, ὅταν κατὰ τὴν ἀρετὴν πάντων πενέστερος ᾖ; τί δὲ κέρδος τοσούτων κρατεῖν, ὅταν ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ παθῶν μὴ δύνηται περιγενέσθαι; Ἀλλ' ἂν μὲν σῶμα ἴδωμεν κακῶς διακείμενον καὶ πυρέττοντα, ἢ ποδαλγίᾳ ἢ φθόῃ τινὶ ἢ ἑτέρῳ ἀνηκέστῳ πάθει προκατειλημμένον, δακρύομεν, κἂν πάντων εὐπορώτερος ᾖ, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ περ ἂν εὐπορώτερος ᾖ. Ἡ γὰρ αἴσθησις δριμυτέρα γίνεται τῶν δεινῶν, ὅταν ἐν ἀφθονίᾳ τις τῶν ἀναγκαίων ᾖ. Ὁ μὲν γὰρ παρὰ πενίαν κωλυόμενος τῆς ἀπολαύσεως, ἔχει τὴν ἀνάγκην παραμυθίαν· ὁ δὲ κύριος ὢν πάσῃ κεχρῆσθαι καὶ κωλυόμενος ὑπὸ τῆς ἀρρωστίας, αὐτῷ τούτῳ μᾶλλον ἐμπίπραται. Πῶς οὖν οὐκ ἄτοπον εἰ μὲν νοσή-

ντοῦ νὰ εἰσρέουν σ' αὐτὸν τὰ χρήματα, ὅλοι νὰ τὸν τιμοῦν καὶ νὰ τὸν κολακεύουν, καὶ σὺ νὰ βρίσκεσαι στὴν ἐντελῶς ἀντίθετη κατάσταση, νὰ περιφρονῆσαι δηλαδή, νὰ συκοφαντῆσαι καὶ νὰ ἐπιβουλεύεσαι, μὴ νομίσης ὅτι εἶσαι κάποιος ἀπὸ τοὺς παραπεταμένους, ἀλλά, ἀφοῦ φέρης τὸν νοῦ σου στὸν Παῦλο, ποὺ ἀνῆκε στὴν ἴδια μερίδα μὲ σένα, ἀνέβα ψηλὰ μὲ τὴ σκέψη σου, ἀνάκτησε τοὺς ὑγιεῖς λογισμούς, μὴ καταπέσης ἀπὸ τὴ λύπη. Τὸν φίλο τοῦ Θεοῦ καὶ τὸν ἐχθρὸ μὴ τὸν κρίνης ἀπὸ τὴν εὐτυχία ἢ τὴ δυστυχία τῆς ἐδῶ ζωῆς, ἀλλ' ἂν δῆς κάποιον νὰ ζῆ ἐνάρετα, καὶ ἐνῶ ὑποφέρει ἀπὸ κάποια ἀσθένεια, αὐτὸς ἀποβλέπει πρὸς τὴν ἀρετή, μακάριζέ τον καὶ νόμιζέ τον ἀξιοζήλευτο, εἴτε περιβάλλεται ἀπὸ μύριες ἁλυσίδες καὶ ζῆ γιὰ πάντα μέσα στὴ φυλακή, εἴτε ὑπηρετεῖ ἀνάξιους, εἴτε εἶναι φτωχός, εἴτε ἐργάζεται στὰ μεταλλεῖα, εἴτε ὑποφέρει ὁποιοδήποτε κακό. Εἶναι πράγματι μακάριος αὐτός, εἴτε τοῦ ἔχουν βγάλει τὰ μάτια του, εἴτε καίεται, εἴτε λειώνει σιγὰ–σιγὰ τὸ σῶμα του.

Ἂν πάλι δῆς ἄλλον νὰ ζῆ μέσα στὴν ἀσέλγεια καὶ στὴν πονηρία καὶ στὰ πιὸ χειρότερα κακά, καὶ παρ' ὅλα αὐτὰ νὰ ἀπολαμβάνη μεγάλη τιμή, νὰ ἀνεβαίνη στὸν ἴδιο τὸν βασιλικὸ θρόνο καὶ νὰ φορῆ τὸ βασιλικὸ στέμμα καὶ τὴ βασιλικὴ πορφύρα καὶ νὰ ἔχη ὑπὸ τὴν ἐξουσία του ὅλη τὴν οἰκουμένη, δάκρυσε γι' αὐτὸν καὶ γι' αὐτὸ καὶ ταλάνιζέ τον. Γιατὶ δὲν ὑπάρχει τίποτε πιὸ ἄθλιο ἀπὸ τὴν ψυχὴ ποὺ ζῆ σὲ μιὰ τέτοια κατάσταση, κι ἂν ἀκόμη ἔχη ὑποταγμένη ὅλη τὴν οἰκουμένη. Γιατί, ποιό τὸ ὄφελος νὰ εἶναι κανεὶς πλούσιος σὲ χρήματα, ὅταν ὡς πρὸς τὴν ἀρετὴ εἶναι φτωχότερος ἀπὸ ὅλους; Ποιό τὸ κέρδος νὰ ἐξουσιάζη τόσους πολλούς, ὅταν δὲν μπορῆ νὰ ἐξουσιάση τὸν ἑαυτό του καὶ τὰ πάθη του; Ἀλλ', ἂν δοῦμε ἕνα σῶμα νὰ βρίσκεται σὲ κακὴ κατάσταση καὶ νὰ καίγεται ἀπὸ πυρετὸ ἢ νὰ ὑποφέρη ἀπὸ ποδαλγία ἢ ἀπὸ φυματίωση ἢ ἀπὸ κάποια ἄλλη ἀθεράπευτη ἀρρώστια, δακρύζουμε, κι ἂν ἀκόμη αὐτὸς εἶναι ἀπὸ ὅλους πιὸ πλούσιος, καὶ τόσο περισσότερο, ὅσο πιὸ πλούσιος εἶναι. Γιατὶ ἡ αἴσθηση τῶν δεινῶν γίνεται δριμύτερη, ὅταν κανεὶς ἔχη σὲ ἀφθονία τὰ ἀναγκαῖα. Ἐκεῖνος δηλαδὴ ποὺ ἐμποδίζεται ἀπὸ τὶς ἀπολαύσεις λόγω τῆς φτώχειας του, ἔχει γιὰ παρηγοριά του τὴν ἀνάγκη, ἐνῶ ἐκεῖνος ποὺ ἔχει τὴ δυνατότητα ν' ἀπολαύση τὰ πάντα καὶ ἐμποδίζεται ἀπὸ τὴν ἀρρώστια, γι' αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα ὑποφέρει περισσότερο. Πῶς λοιπὸν δὲν εἶναι παράλογο, ἂν δοῦμε κά-

ματι σωματικῷ προκατειλημμένον ἴδοιμέν τινα, ταλανίζειν αὐτόν, κἂν εὔπορος ᾖ, ψυχῆς δὲ κακῶς διακειμένης, ψυχῆς, ἧς ἡμῖν ἴσον οὐδέν, οὐδὲ τιμιώτερον, μακαρίζειν δι' ὀλίγα χρήματα, ἢ διὰ πρόσκαιρον τιμήν, ἢ δι' ἄλλο τῶν ἐνταῦθα μενόντων καὶ μετὰ τῆς ζωῆς ταύτης, μᾶλλον δὲ πολλάκις καὶ πρὸ τῆς ζωῆς ἡμᾶς ἀπολιμπανόντων; Μή, παρακαλῶ.

3. Ταῦτα τῆς ταραχῆς ἡμῖν αἴτια, ταῦτα θορύβου. Διὰ τοῦτο τοῦ Θεοῦ κατηγοροῦσι πολλοί, διὰ τοῦτο τὸν κόσμον ἀπρονόητον νομίζουσιν. Ὡς, εἰ ᾔδεσαν ὅτι οὐδὲν ἀγαθὸν ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἡ ἀρετὴ μόνον, οὐ πλοῦτος, οὐ χρήματα, οὐχ ὑγίεια, οὐ δυναστεία, οὐκ ἄλλο οὐδέν, καὶ ὡς οὐδὲν κακὸν ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἡ κακία μόνον καὶ πονηρία καὶ διαστροφὴ ψυχῆς, οὐ πενία καὶ νόσος καὶ ἐπήρεια καὶ συκοφαντίαι καὶ τὰ ἄλλα, ἃ νομίζεται εἶναι δεινά, οὐκ ἄν ποτε ταῦτα ἐφθέγξαντο, ἅπερ νῦν, οὐκ ἄν ποτε ἐν ἀθυμίᾳ διήγαγον, οὐκ ἄν ποτε ἐμακάρισαν οὓς ταλανίζειν ἐχρῆν, οὐκ ἄν ποτε ἐταλάνισαν οὓς μακαρίζειν ἔδει, οὐκ ἂν ὡς περὶ ὄντων τῶν ἀνθρώπων διέκειντο. Τὸ γὰρ ἐπὶ πολυσαρκίᾳ καὶ δαψιλεῖ φάτνῃ καὶ ὕπνῳ πολλῷ μακαρίζειν ἀνθρώπους οὐδὲν ἕτερόν ἐστιν, ἢ ὡς περὶ ἀλόγων διακεῖσθαι. Ἐπεὶ καὶ ἐκείνων τοῦτό ἐστιν ἡ εὐπραγία, μᾶλλον δὲ καὶ ἐν τοῖς ἀλόγοις κακία τοῦτό ἐστι. Πολλοὶ γοῦν καὶ ὄνοι καὶ ἵπποι διεφθάρησαν, ἀργίᾳ καὶ ἀδηφαγίᾳ ζῶντες. Εἶτα, ἐπὶ μὲν τῶν ἀλόγων ζώων, οἷς ἡ πᾶσα ἀρετὴ ἐν εὐεξίᾳ σώματος, βλαβερὸν τοῦτο· ἐπὶ δὲ τῶν ἀνθρώπων, οἷς πᾶν τὸ κῦρος ἐν τῇ τῆς ψυχῆς εὐγενείᾳ, ἀρετὴν τοῦτο θησόμεθα καὶ οὐκ αἰσχυνθησόμεθα τὸν οὐρανὸν καὶ τοὺς τῆς ψυχῆς ἡμῶν συγγενεῖς ἀγγέλους; οὐκ ἐρυθριᾷς καὶ αὐτὴν τοῦ σώματος τὴν φύσιν καὶ τὴν διάπλασιν; Οὐ γὰρ ὥσπερ τοῖς ἀλόγοις, οὕτω καὶ ἡμῖν αὐτὸ διετύπωσεν ὁ Θεός, ἀλλ' ὡς πρέπον ἦν μέλλον ψυχῇ λογικῇ καὶ ἀθανάτῳ διακονεῖν. Διὰ τί γὰρ τοῖς μὲν ἀλόγοις πᾶσι κάτω νεύοντας ἐποίησε τοὺς ὀφθαλμοὺς ὁ Θεός, σοὶ δὲ καθάπερ ἐν ἀκροπόλει τῇ κεφαλῇ φέ-

2. Ματθ. 16,26. Μάρκ. 8,36. Λουκᾶ 9,25.

ποιον νὰ ὑποφέρῃ ἀπὸ σωματικὴ ἀρρώστια νὰ τὸν ταλανίζουμε, κι ἂν ἀκόμη εἶναι πλούσιος, ἐνῶ μιὰ ψυχὴ ποὺ βρίσκεται σὲ κακὴ κατάσταση, ψυχή, τῆς ὁποίας δὲν ἔχουμε τίποτε ἰσάξιο οὔτε καὶ πολυτιμότερο[2], νὰ τὴν μακαρίζουμε γιὰ λίγα χρήματα ἢ γιὰ πρόσκαιρη τιμὴ ἢ γιὰ κάτι ἄλλο ποὺ παραμένει ἐδῶ μετὰ τὴ ζωὴ αὐτή, ἢ καλύτερα ποὺ πολλὲς φορὲς μᾶς ἐγκαταλείπει προτοῦ φύγουμε ἀπὸ τὴν ἐδῶ ζωή; Μή, παρακαλῶ.

3. Αὐτὰ εἶναι τὰ αἴτια τῆς ταραχῆς μας καὶ τοῦ θορύβου. Γι' αὐτὸ πολλοὶ κατηγοροῦν τὸν Θεό, γι' αὐτὸ νομίζουν ὅτι ὁ κόσμος εἶναι ἀπρονόητος. Γιατί, ἂν γνώριζαν, ὅτι δὲν ὑπάρχει κανένα ἀγαθὸ στὴ παροῦσα ζωή, παρὰ μόνο ἡ ἀρετή, οὔτε ὁ πλοῦτος, οὔτε τὰ χρήματα, οὔτε ἡ ὑγεία, οὔτε ἡ ἐξουσία, οὔτε τίποτε ἄλλο, καὶ ὅτι τίποτε δὲν εἶναι κακὸ στὴ παροῦσα ζωή, παρὰ μόνο ἡ κακία καὶ ἡ πονηρία καὶ ἡ διαστροφὴ τῆς ψυχῆς καὶ ἡ μοχθηρία καὶ οἱ συκοφαντίες καὶ ὄχι ἡ φτώχεια καὶ ἡ ἀρρώστια καὶ τὰ ἄλλα, ὅσα θεωροῦνται δεινά, δὲν θὰ τὰ ἔλεγαν ποτὲ αὐτὰ ποὺ λέγουν τώρα, δὲν θὰ ἔνιωθαν ποτὲ λύπη, δὲν θὰ μακάριζαν ποτὲ ἐκείνους ποὺ ἔπρεπε νὰ τοὺς ταλανίζουν, δὲν θὰ ταλάνιζαν ποτὲ ἐκείνους ποὺ ἔπρεπε νὰ τοὺς μακαρίζουν, καὶ δὲν θὰ σκέπτονταν γιὰ τοὺς ἀνθρώπους σὰν νὰ εἶναι ἄλογα ζῶα. Γιατί, τὸ νὰ μακαρίζῃ κανεὶς τοὺς ἀνθρώπους γιὰ τὴν πολυσαρκία τους, γιὰ τὸ πλούσιο παχνί τους καὶ γιὰ τὸν πολὺν ὕπνο τους, τίποτε ἄλλο δὲν δείχνει, παρὰ ὅτι τοὺς βλέπει σὰν ἄλογα ζῶα. Καθ' ὅσον καὶ ἐκείνων αὐτὸ εἶναι ἡ εὐτυχία, ἢ καλύτερα καὶ στὰ ἄλογα ζῶα κακὸ εἶναι αὐτό. Πολλοὶ δηλαδὴ ὄνοι καὶ ἵπποι ἀχρηστεύθηκαν ἀπὸ τὴν ἀργία καὶ τὴν πολυφαγία. Ἔπειτα, στὴν περίπτωση τῶν ἀλόγων ζώων, στὰ ὁποῖα ἡ ὅλη ἀρετὴ συνίσταται στὴν εὐεξία τοῦ σώματος, βλαβερὸ εἶναι αὐτό, στὴν περίπτωση τῶν ἀνθρώπων, τῶν ὁποίων ἡ ὅλη ἀξία συνίσται στὴν εὐγένεια τῆς ψυχῆς, θὰ θεωρήσουμε ἀρετὴ αὐτὸ καὶ δὲν θὰ ντραποῦμε τὸν οὐρανὸ καὶ τοὺς ὡς πρὸς τὴν ψυχὴ συγγενεῖς μας ἀγγέλους; Δὲν κοκκινίζεις ἀπὸ ντροπὴ καὶ γιὰ τὴν ἴδια τὴ φύση καὶ τὴ διάπλαση τοῦ σώματος τοῦ ἀνθρώπου; Γιατὶ ὁ Θεὸς δὲν ἔπλασε τὸ σῶμά μας ὅπως τὸ σῶμα τῶν ἀλόγων ζώων, ἀλλὰ τὸ ἔπλασε τέτοιο, ὅπως ἔπρεπε σὲ λογικὴ καὶ ἀθάνατη ψυχή, τὴν ὁποία ἐπρόκειτο νὰ ὑπηρετῇ. Γιατί δηλαδὴ ὁ Θεὸς σὲ ὅλα τὰ ἄλογα ζῶα τοποθέτησε τοὺς ὀφθαλμοὺς ἔτσι, ὥστε νὰ βλέπουν πρὸς τὰ κάτω, ἐνῶ σὲ σένα τοὺς τοποθέτησε, σὰν

ρων αὐτοὺς ἐγκατέθηκεν; Οὐκ ἐπειδὴ ἐκείνοις μὲν οὐδὲν πρὸς τὸν οὐρανὸν κοινόν, σοὶ δὲ μάλιστα τὰ ἄνω περισκοπεῖν νόμος καὶ παρὰ τοῦ Θεοῦ καὶ παρὰ τῆς φύσεως ἐξ ἀρχῆς ἐτέθη; Διὰ τί σοὶ μὲν τὸ σῶμα ὄρθιον ἐποίησεν, ἐκείνοις δὲ πάλιν κάτω νενευκός; Οὐχὶ διὰ τὴν αὐτὴν αἰτίαν πάλιν καὶ ἀπ' αὐτῆς τῆς διαπλάσεως παιδεύων σε, μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, μήτε προστετηκέναι τοῖς παροῦσι πράγμασι;

Μὴ τοίνυν καταπροδῶμεν τὴν εὐγένειαν, μηδὲ πρὸς τὴν τῶν ἀλόγων δυσγένειαν ἐξολισθήσωμεν, ἵνα μὴ καὶ περὶ ἡμῶν εἴπῃ, «ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκεν». Τὸ γὰρ τρυφῇ καὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς παροῦσι πράγμασι τὴν εὐημερίαν ὁρίζεσθαι, οὐκ ἔστιν ἀνθρώπων ἐπεσκεμμένων τὴν οἰκείαν εὐγένειαν, ἀλλ' ἀνθρώπων ἵππων καὶ ὄνων γενομένων. Ἀλλὰ μὴ γένοιτό τινας τοιούτους ἐνταῦθα παρεῖναι, ἐν ἁγίῳ χορῷ καὶ θεάτρῳ πνευματικῷ καὶ συλλόγῳ θεοσεβεῖ. Διὰ γὰρ τοῦτο καθ' ἑκάστην ἡμέραν θείας ἀπολαύομεν ἀκροάσεως, ἵνα καθάπερ δρεπάνῃ τῷ λόγῳ, τὰ ὑλομανοῦντα πάθη τῆς διανοίας περικόπτοντες, ἔγκαρπα δένδρα γενώμεθα καὶ καρπὸν ἐνέγκωμεν ὥριμον, εἰς ἀποθήκην ἀποτιθέμενον βασιλικήν, δόξαν φέροντα τῷ κοινῷ Δεσπότῃ καὶ γεωργῷ τῶν ἡμετέρων ψυχῶν καὶ ἡμῖν ζωὴν τὴν ἀθάνατον, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα καὶ τὸ κράτος καὶ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σὲ ἀκρόπολη, στὴν κεφαλή; Δὲν τὸ ἔκαμε ἐπειδὴ ἐκεῖνα δὲν ἔχουν τίποτε τὸ κοινὸ μὲ τὸν οὐρανό, ἐνῶ σὲ σένα τέθηκε ἀπὸ τὴν ἀρχὴ νόμος ἀπὸ τὸν Θεὸ καὶ ἀπὸ τὴ φύση νὰ ἀτενίζης κυρίως πρὸς τὰ ἐπάνω; Γιατί σὲ σένα ἔπλασε τὸ σῶμα ὄρθιο, ἐνῶ σ' ἐκεῖνα πάλι τὸ ἔπλασε νὰ βλέπη πρὸς τὰ κάτω; Δὲν εἶναι πάλι γιὰ τὴν ἴδια αἰτία, γιὰ νὰ σὲ διδάσκη καὶ μὲ τὴν ἴδια τὴ διάπλασή σου νὰ μὴν ἔχης κανένα κοινὸ μὲ τὴ γῆ, οὔτε νὰ προσκολλᾶσαι στὰ πράγματα τῆς παρούσας ζωῆς;

Ἂς μὴ καταπροδώσουμε λοιπὸν τὴν εὐγένεια, οὔτε νὰ ὀλισθήσουμε πρὸς τὸ γένος τῶν ἀλόγων ζώων, γιὰ νὰ μὴν πῆ καὶ γιὰ μᾶς· «ἐνῶ πλάσθηκε ἄνθρωπος μὲ τιμή, δὲν τὸ κατάλαβε αὐτό»[3]. Γιατί, τὸ νὰ ὁρίζης τὴν εὐτυχία τῆς ζωῆς ἀπὸ τὶς ἀπολαύσεις καὶ τὸν πλοῦτο καὶ τὴ δόξα καὶ ἀπὸ τὰ παρόντα ἀγαθά, δὲν εἶναι γνώρισμα ἀνθρώπων ποὺ σκέπτονται τὴν εὐγένειά τους, ἀλλ' ἀνθρώπων ποὺ ἔγιναν ἵπποι καὶ ὄνοι. Ἀλλὰ μὴ γένοιτο νὰ βρίσκωνται ἀνάμεσά μας, σ' αὐτὸν τὸν ἅγιο χορό, σ' αὐτὸ τὸ πνευματικὸ θέατρο, σ' αὐτὸν τὸν θεοσεβῆ σύλλογο, τέτοιοι ἄνθρωποι. Γιατὶ γι' αὐτὸ καθημερινὰ ἀπολαμβάνουμε τὴ θεία ἀκρόαση, ὥστε, περικόπτοντας, σὰν μὲ δρεπάνι, μὲ τὸν λόγο τὰ ὑλιστικὰ πάθη τῆς ψυχῆς, νὰ γινώμαστε δένδρα καρποφόρα καὶ νὰ φέρουμε ὥριμο καρπό, ποὺ νὰ τὸν ἀποθέτουμε σὲ βασιλικὴ ἀποθήκη, γιὰ νὰ προσδίδη δόξα στὸν κοινὸ Κύριό μας καὶ γεωργὸ τῶν ψυχῶν μας καὶ σὲ μᾶς νὰ ἐξασφαλίζη ζωὴ τὴν ἀθάνατη, τὴν ὁποία εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη καὶ ἡ τιμὴ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

3. Ψαλμ. 48,21.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ

ΛΟΓΟΣ Β'

1. «Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτῳ», φησίν· ἐπὶ τῆς Παλαιᾶς ὁ νόμος ἔκειτο, ὅτε οὐ πολλὴ ἀρίστης πολιτείας ἡ ἀκρίβεια, ὅτε εἰσαγωγὴ τοῦ θείου ἦν, ὅτε παιδικὰ τὰ παραγγέλματα, ὅτε τὸ γάλα, ὅτε ὁ παιδαγωγός, ὅτε ὁ λύχνος, ὅτε ὁ τύπος καὶ ἡ σκιά. Τί οὖν ἂν εἴποιμεν περὶ τῶν νῦν ἐν τῇ χάριτι καὶ τῇ τῶν πραγμάτων ἀληθείᾳ καὶ τῇ τοσαύτῃ γνώσει, οὐχὶ πατέρα καὶ μητέρα κακολογούντων, ἀλλ' αὐτὸν τὸν τῶν ὅλων Θεόν; Τίς τοὺς τοιούτους δέξεται τιμωρία; ποία τῷ μέτρῳ τῆς κακίας διαρκέσει κόλασις; ποῖος δὲ πυρὸς ποταμός, ποῖος σκώληξ ἀτελεύτητος, ποῖον σκότος ἐξώτερον, ποῖα δεσμά, ποῖος βρυγμός, ποῖος κλαυθμός; Πάντα ἐλάττω τὰ βασανιστήρια καὶ τὰ ὄντα καὶ τὰ μέλλοντα τῆς οὕτω διακειμένης ψυχῆς, τῆς πρὸς τοσοῦτον κακίας κατενεχθείσης. Βλασφημίας δὲ τρόποι πολλοὶ καὶ διάφοροι· διόπερ ἀναγκαῖον αὐτοὺς ἐκθέσθαι τήμερον, ὥστε μήτε ἑκόντας τινὶ τοιούτῳ περιπεσεῖν, μήτε τινὰ τῶν φίλων, μήτε ἐχθρὸν περιπίπτοντα παριδεῖν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ταύτης ἁμαρτία χείρων, ἀλλ' οὐδὲ ἴση, ἀλλὰ καὶ προσθήκη κακῶν τοῦτό ἐστι καὶ ὃ πάντα συγχεῖ καὶ ἀσύγνωστον ἔχει κόλασιν καὶ ἀφόρητον τιμωρίαν.

Τίνες εἰσὶν οἱ τὸν Θεὸν κακῶς λέγοντες; Οἱ τῇ σοφίᾳ τῆς προνοίας αὐτοῦ τὴν ἐκ τῆς εἱμαρμένης ἀταξίαν καὶ ἀνάγκην ἐπιτει-

2. Α' Κορ. 4,15. Γαλ. 3,24–25.
3. Ματθ. 18,8. Μάρκ. 9,43 ἑ. Ματθ. 8,12. Λουκᾶ 13,28 κ.ἄ.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ

ΛΟΓΟΣ Β'

1. «Ἐκεῖνος», λέγει, «ποὺ κακολογεῖ τὸν πατέρα του ἢ τὴ μητέρα του νὰ τιμωρῆται μὲ θάνατο[1]. Ὁ νόμος αὐτὸς ἴσχυε κατὰ τὴν ἐποχὴ τῆς Παλαιᾶς Διαθήκης, ὅταν δὲν ὑπῆρχε ἀκόμη μεγάλη φροντίδα γιὰ ἐνάρετη ζωή, ὅταν εἰσήχθηκε τὸ θεῖο στὴ ζωὴ τοῦ ἀνθρώπου καὶ τὰ θεῖα προστάγματα ἦταν παιδικά, ὅταν ἦταν τὸ γάλα, ὅταν ἦταν ὁ παιδαγωγός[2], ὅταν ἦταν ὁ λύχνος, ὅταν ἦταν ὁ τύπος καὶ ἡ σκιά. Τί θὰ μπορούσαμε λοιπὸν νὰ ποῦμε τώρα γι' αὐτοὺς ποὺ ζοῦν στὴ ἐποχὴ τῆς χάριτος καὶ τῆς ἀλήθειας τῶν πραγμάτων καὶ τῆς τόσης μεγάλης γνώσεως καὶ δὲν κακολογοῦν τὸν πατέρα καὶ τὴν μητέρα, ἀλλὰ τὸν ἴδιο τὸν Θεὸ τῶν ὅλων; Ποιά τιμωρία θὰ ἐπιβληθῆ σ' αὐτούς; ποιά ἀνάλογη κόλαση θὰ ἐπαρκέση γιὰ τὴν κακία αὐτή; ποιός πύρινος ποταμός, ποιό αἰώνιο σκουλήκι, ποιό σκότος ἐξώτερο, ποιά δεσμά, ποιός βρυγμός, ποιός κλαυθμός;[3] Ὅλα τὰ βασανιστήρια, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα, δὲν ἐπαρκοῦν γιὰ τὴν ψυχὴ ποὺ βρίσκεται σ' αὐτὴν τὴν κατάσταση, γιὰ τὴν ψυχὴ ποὺ ἔφθασε σὲ τόση κακία. Εἶναι πολλοὶ καὶ διάφοροι οἱ τρόποι τῆς βλασφημίας· γι' αὐτὸ πρέπει νὰ τοὺς ἐκθέσουμε σήμερα, ὥστε οὔτε μὲ τὴ θέλησή του νὰ περιπέση κανεὶς σ' αὐτὴν οὔτε ν' ἀφήση νὰ περιπέση κάποιος ἀπὸ τοὺς φίλους του, οὔτε καὶ νὰ παραβλέψη τὸν ἐχθρό του βλέποντάς τον νὰ περιπίπτη σ' αὐτήν. Γιατὶ δὲν ὑπάρχει, δὲν ὑπάρχει χειρότερη ἁμαρτία ἀπὸ αὐτήν, οὔτε καὶ ἴση, ἀλλ' αὐτὴ ἀποτελεῖ προσθήκη κακῶν, καὶ εἶναι ἡ ἁμαρτία ἐκείνη ποὺ τὰ συγχέει ὅλα καὶ ἔχει ἀσυγχώρητη κόλαση καὶ ἀφόρητη τιμωρία.

Ποιοί εἶναι αὐτοὶ ποὺ κακολογοῦν τὸν Θεό; Εἶναι ἐκεῖνοι ποὺ τοποθετοῦν ἀπέναντι στὴ σοφία τῆς πρόνοιας τοῦ Θεοῦ τὴν ἀταξία

1. Ἔξ. 21,16.

χίζοντες. Καὶ τὸ μὲν τοὺς ἀπίστους καὶ πρὸς ξύλα καὶ λίθους κεχηνότας καὶ θεραπεύοντας, ταύτην νοσεῖν τὴν νόσον, θαυμαστὸν οὐδέν· τὸ δὲ τοὺς ταύτην μὲν ἀπαλλαγέτας τῆς πλάνης καὶ τῆς δουλείας, καταξιωθέντας δὲ τὸν ἐπὶ πάντων εἰδέναι Θεόν, τὸν ἀληθῆ καὶ ὄντως Θεόν, ὥσπερ ἔκ τινος παλιρροίας, πρὸς ἐκείνην ὑποσύρεσθαι τὴν ζάλην, τὸν λογισμὸν καὶ τὴν μανίαν, τοῦτό ἐστι τὸ δεινότατον καὶ πολλῶν ὄντως δακρύων καὶ θρήνων ἄξιον· ὅταν οἱ τὸν Χριστὸν λέγοντες προσκυνεῖν καὶ τοσούτων καταξιωθέντες μυστηρίων καὶ τῶν ἀπορρήτων μετασχόντες δογμάτων καὶ τῆς σοφίας τῆς ἐξ οὐρανῶν ἡμῖν κατενηνεγμένης, μετὰ τὴν τοσαύτην τιμὴν ἧς ἀπολελαύκασι παρὰ τοῦ Θεοῦ, ἑκόντες ἑαυτοὺς κατακρημνίζωσι, τῆς μὲν ἐλευθερίας, ἣν αὐτοῖς ὁ Θεὸς ἐχαρίσατο, μετὰ πολλῆς ἀλογίας ἑαυτοὺς ἐκβαλόντες, δουλείᾳ δὲ χαλεπωτάτῃ ὑποβάλλοντες ἑαυτοὺς καὶ τυραννικωτάτην τυραννίδα τὴν οὐκ οὖσαν ἀναπλάττοντες διὰ τῶν λογισμῶν καὶ πᾶσαν ἐλπίδα χρηστὴν ἐκκόπτοντες καὶ τὰ νεῦρα τῶν ὑπὲρ ἀρετῆς ἐσπουδακότων ἐκτεμεῖν ἐπιχειροῦντες.

2. Καθάπερ ἐν πολέμῳ στρατιώτας γενναίους καὶ τὴν ψυχὴν αὐτὴν ὑπὲρ τῆς πατρίδος ἑτοίμους ὄντας ἐπιδοῦναι τῶν ἐχθρῶν τις ἰδὼν καὶ μὴ δυνηθεὶς ἑτέρῳ καταβλάψαι τρόπῳ, μηδὲ ἀποστῆσαι τῆς ὑπὲρ τοῦ βασιλέως προθυμίας, μηδὲ ποιῆσαι δειλούς, μηδὲ μηχανήμασι περιγενέσθαι, ἑτέρως λυμήνηται· τὸ πείθειν ἐπιχειρῶν, ὡς εἰκῇ καὶ μάτην καὶ ἐπ' οὐδενὶ τοσοῦτον ἐπιδείκνυνται πόνον, ὥστε αὐτῶν ἐκλῦσαι τὰς χεῖρας, ὥστε αὐτῶν καταβαλεῖν τὴν ῥώμην, ὥστε σβέσαι τὴν προθυμίαν, ὥστε διὰ πάντων τούτων ἀποστῆσαι μὲν τῆς περὶ τὸ πόλεμον σπουδῆς, γυμνοὺς δὲ καὶ ἀόπλους νομίσας, δεδεμένους αἰχμαλώτους λαβεῖν, οὕτω καὶ ὁ διάβολος πεποίηκεν. Ἐπειδὴ ἑώρα τῇ χάριτι τοῦ Θεοῦ τὸ πλέον τῆς οἰκουμένης καταγελῶντας μὲν τῆς ἑλληνικῆς πλάνης, παντὶ δὲ θυμῷ καὶ πάσῃ ψυχῇ τὸν ὑπὲρ τῆς εὐσεβείας πρεσβεύοντας λόγον,

καὶ τὴν ἀναγκαιότητα τῆς εἱμαρμένης. Καὶ τὸ νὰ πάσχουν ἀπὸ τὴν ἀρρώστια αὐτὴ οἱ ἄπιστοι καὶ ἐκεῖνοι ποὺ χάσκουν μπροστὰ στὰ ξύλινα καὶ πέτρινα ἀγάλματα καὶ τὰ λατρεύουν, δὲν εἶναι καθόλου παράξενο, τὸ νὰ σύρωνται ὅμως σὰν ἀπὸ κάποια παλίρροια πρὸς τὴ ζάλη αὐτή, πρὸς τὸν λογισμὸ αὐτὸν καὶ τὴ μανία, ἐκεῖνοι ποὺ ἀπαλλάχθηκαν ἀπὸ τὴν πλάνη καὶ τὴ δουλεία τῆς ἁμαρτίας καὶ ἀξιώθηκαν νὰ γνωρίσουν τὸν Θεὸ τῶν ὅλων, τὸν ἀληθινὸ καὶ πραγματικὸ Θεό, αὐτὸ εἶναι τὸ πιὸ φοβερὸ καὶ τὸ ἄξιο πραγματικὰ πολλῶν δακρύων καὶ θρήνων. Ὅταν αὐτοὶ ποὺ λένε, ὅτι προσκυνοῦν τὸν Χριστὸ καὶ ἀξιώθηκαν νὰ δεχθοῦν τόσα μεγάλα μυστήρια καὶ γνώρισαν ἔτσι τὰ ἀπόρρητα δόγματα καὶ τὴ σοφία ποὺ δόθηκε ἀπὸ τὸν οὐρανό, μετὰ ἀπὸ τὴν τόσο μεγάλη τιμὴ ποὺ ἀπόλαυσαν ἀπὸ τὸν Θεό, ρίχνουν στὸν γκρεμὸ τὸν ἑαυτό τους μὲ τὴ θέλησή τους καὶ ἀπομακρύνονται μὲ πολλὴ ἀπερισκεψία ἀπὸ τὴν ἐλευθερία ποὺ τοὺς χάρισε ὁ Θεὸς καὶ ὑποτάσσονται σὲ μιὰ πάρα πολὺ φοβερὴ δουλεία, καὶ πλάθοντας μὲ τοὺς λογισμούς τους μιὰ πάρα πολὺ τυραννικὴ ἐξουσία ποὺ δὲν ὑπάρχει καὶ ἀποκόπτοντας κάθε καλὴ ἐλπίδα, ἐπιχειροῦν νὰ ἀποκόψουν τὰ νεῦρα ἐκείνων ποὺ δείχνουν ζῆλο γιὰ τὴν ἀρετή.

2. Ὅπως ἀκριβῶς δηλαδὴ στὸν πόλεμο, ὅταν ὁ ἐχθρὸς δῆ μερικοὺς γενναίους στρατιῶτες, ποὺ εἶναι πρόθυμοι νὰ θυσιάσουν γιὰ τὴν πατρίδα καὶ τὴν ἴδια ἀκόμη τὴ ζωή τους, καὶ δὲν μπορέση νὰ τοὺς βλάψη μὲ ἄλλο τρόπο οὔτε νὰ τοὺς ἀποτρέψη ἀπὸ τὴν προθυμία τους ὑπὲρ τοῦ βασιλέως οὔτε νὰ τοὺς κάμη νὰ δειλιάσουν οὔτε καὶ νὰ τοὺς καταβάλη μὲ ἄλλες μηχανορραφίες, τότε τοὺς ἐξουδετερώνει μὲ ἄλλο τρόπο· ἐπιχειρεῖ δηλαδὴ νὰ τοὺς πείση, ὅτι ἄσκοπα καὶ ἀνώφελα καὶ μάταια ὑποβάλλονται σὲ τόσο κόπο, ὥστε νὰ παραλύση τὰ χέρια τους, νὰ καταβάλη τὴ δύναμή τους, νὰ σβήση τὴν προθυμία τους, καὶ ἀφοῦ μὲ ὅλα αὐτὰ τοὺς ἀπομακρύνη ἀπὸ τὴν προθυμία γιὰ τὸν πόλεμο καὶ τοὺς καταστήση γυμνοὺς καὶ ἄοπλους, νὰ τοὺς συλλάβη αἰχμαλώτους. Αὐτὸ ἀκριβῶς ἔκαμε καὶ ὁ διάβολος. Ἐπειδὴ ἔβλεπε μὲ τὴ χάρη τοῦ Θεοῦ τὸ μεγαλύτερο μέρος τῆς οἰκουμένης νὰ καταγελᾶ τὴν εἰδωλολατρικὴ πλάνη καὶ μὲ ὅλη τὴν ψυχὴ καὶ μὲ ὅλη τὴν καρδιά τους ὅλοι ν' ἀποδέχωνται καὶ νὰ κηρύττουν τὴ διδασκαλία ὑπὲρ τῆς εὐσεβείας, πρᾶγμα ποὺ γεννοῦσε πολλὴ προθυμία πρὸς τὴν ἀρετὴ καὶ μεγάλη περιφρόνηση πρὸς τὴν κα-

εἶτα ἐκ τούτου πολλὴν μὲν ἀρετῆς γιγνομένην σπουδήν, πολλὴν δὲ ὑπεροψίαν κακίας, προελθεῖν μὲν καὶ φανερῶς εἰπεῖν, ‘ἀπόστητε τοῦ Χριστοῦ, καταγελάσατε τῶν παρ’ αὐτοῦ δογμάτων, μῦθός ἐστι τὰ ἐκείνου καὶ πλάνη, πονηρός τίς ἐστι καὶ ἀπάνθρωπος’, οὐ τολμᾷ (οἶδε γὰρ ταύτῃ μᾶλλον ἀποπηδήσοντας αὐτοῦ τῆς τυραννίδος καὶ μισήσοντας αὐτὸν μειζόνως). Διὰ τοῦτο μὲν ἐξ εὐθείας οὐκ εἰσάγει τὴν κατηγορίαν, κύκλῳ δὲ περιιών, ὑποσπείρει λάθρα τὸν ἰὸν τῶν δυσσεβῶν δογμάτων, τὸ μὲν δοκεῖν ἀφεὶς μένειν ἐν τῇ πίστει, τῇ δὲ ἀληθείᾳ, πρόρριζον αὐτὴν ἀνασπῶν καὶ πάντα καταλύων τῆς ἀληθείας τὰ δόγματα καὶ πολλὴν τοῦ Θεοῦ καταχέων διαβολὴν παρὰ τοῖς πειθομένοις.

Διὰ τοῦτο αὐτῷ τὸ δηλητήριον τοῦτο καὶ τὰ θανατηφόρα τῆς εἱμαρμένης κατεσκεύασται φάρμακα, ἵνα πάντα ἅπερ εἶπον λάθρα εἰσαγάγῃ, ἵνα κενὸν ἡμῶν δείξῃ τὸ φρόνημα καὶ τὴν πίστην κενήν, ἵνα πονηρὰν περὶ τοῦ Θεοῦ πείσῃ τοὺς ἀνθρώπους ψῆφον ἔχειν, ὅπερ οὖν καὶ ἐν ἀρχῇ πεποίηκεν ἐπὶ τοῦ Ἀδάμ, καθάπερ βάσκανόν τινα καὶ φθονερὸν διαβαλὼν τὸν Θεόν. Μόνον γὰρ οὐχὶ οὕτως ἔλεγεν δι’ ὧν παρῄνει· ᾔδει φησίν, ὁ Θεὸς ὅτι ἀνοιγήσονται ὑμῶν οἱ ὀφθαλμοί, ᾔδει ὅτι ἔσεσθε ὡς θεοί, ἐφθόνησεν ὑμῶν, ἐβάσκανεν ὑμῖν μείζονος τιμῆς. Εἰ γὰρ καὶ μὴ προσετίθει ταῦτα τὰ ῥήματα, ταῦτα αὐτοῖς ἀφ’ ὧν ἔλεγεν ὑποπτεύειν ἐδίδου. Καὶ ὅρα τὴν κακουργίαν. Ἀνατρέψας τοῦ Θεοῦ τὴν ψῆφον καὶ εἰπών, οἷον, ἄνοιξις ὀφθαλμῶν καὶ ἰσοθεΐα καὶ γνῶσις ἠρτημένη, οὐκέτι προσέθηκεν ὅτι πονηρὸς ὁ τούτων ἀπείργων, ἵνα μὴ δόξῃ καθάπερ ἐχθρός τις καὶ πολέμιος λέγων ἀπολογεῖσθαι, ἀλλά, πρόσωπον συμβούλου καὶ κηδεμόνος ὑποδύς, εὐπαράδεκτον ποιήσῃ τὴν κακὴν παραίνεσιν, ὃ δὴ καὶ γέγονεν. Οὐδὲν γὰρ ἕτερον ἤθελε κατασκευάσαι δι’ ὧν ἔλεγεν, ἀλλ’ ἢ ὅτι ἀπόστητε τοῦ Θεοῦ τοῦ πεποιηκότος. Βάσκανός ἐστι καὶ φθονερός, φθονεῖ τῶν μειζόνων ἡμῖν ἀγαθῶν. Ἀλλὰ ταῦτα φανερῶς μὲν οὐκ ἔθηκε τὰ ῥήματα· ἢ γὰρ ἄν, ὑπο-

κία, ἐπειδὴ δὲν τολμοῦσε νὰ ἔλθη καὶ νὰ πῆ φανερά, 'φύγετε μακριὰ ἀπὸ τὸν Χριστό, περιφρονῆστε τὰ δόγματά του, γιατὶ ὅλα τὰ σχετικὰ μὲ ἐκεῖνον εἶναι μῦθος καὶ πλάνη, καὶ ὁ ἴδιος εἶναι πονηρὸς καὶ ἀπάνθρωπος' (γιατὶ γνώριζε, ὅτι μὲ τὸν τρόπο αὐτὸ θ' ἀπομακρυνθοῦν περισσότερο ἀπὸ τὴν τυραννικὴ ἐξουσία του καὶ θὰ τὸν μισήσουν περισσότερο), γι' αὐτὸ δὲν ἐκφέρει εὐθέως τὴν κατηγορία, ἀλλὰ περιφερόμενος γύρω–γύρω σπέρνει κρυφὰ τὸ δηλητήριο τῶν δεσσεβῶν δογμάτων, ἀφήνοντάς τους ἔτσι νὰ νομίζουν ὅτι παραμένουν στὴν πίστη, στὴν πραγματικότητα ὅμως τοὺς τὴν ἐκριζώνει τελείως, καταλύοντας τὰ δόγματα τῆς ἀλήθειας καὶ διαβάλλοντας τὰ μέγιστα τὸν Θεὸ σ' ἐκείνους ποὺ πείθονται σ' αὐτόν.

Γιὰ τὸν σκοπὸ αὐτὸ ἀκριβῶς ἔχει παρασκευασθῆ τὸ δηλητήριο αὐτὸ καὶ τὰ θανατηφόρα φάρμακα τῆς εἱμαρμένης, γιὰ νὰ τὰ εἰσαγάγη ὅλα αὐτά, ποὺ εἶπα, λαθραῖα σὲ μᾶς, γιὰ νὰ δείξη, ὅτι τὸ φρόνημά μας καὶ ἡ πίστη μας εἶναι μάταιη, καὶ νὰ πείση τοὺς ἀνθρώπους νὰ ἔχουν πονηρὴ ἰδέα γιὰ τὸν Θεό, πρᾶγμα βέβαια ποὺ ἔκαμε στὴν ἀρχὴ καὶ στὸν Ἀδάμ, στὸν ὁποῖο διέβαλε τὸν Θεὸ σὰν βάσκανο καὶ φθονερό. Μόνο βέβαια ποὺ δὲν τὸ ἔλεγε ἔτσι μὲ τὶς συμβουλὲς ποὺ τοῦ ἔδινε. 'Γνώριζε, λέγει, ὁ Θεὸς ὅτι θ' ἀνοίξουν τὰ μάτια σας, γνώριζε ὅτι θὰ γίνετε καὶ σεῖς θεοί, καὶ γι' αὐτὸ σᾶς φθόνησε καὶ ἐξ αἰτίας τοῦ φθόνου του σᾶς στέρησε ἀπὸ μεγαλύτερη τιμή'. Γιατί, ἂν καὶ δὲν πρόσθεσε αὐτὰ τὰ λόγια, αὐτὰ τοὺς ἔκαμνε νὰ ὑποπτευθοῦν μὲ τὰ ὅσα τοὺς ἔλεγε. Καὶ πρόσεχε τὴν κακουργία του. Ἀφοῦ ἀντέστρεψε τὴν ἐντολὴ τοῦ Θεοῦ, λέγοντάς τους ὅτι θὰ ἔχουν μεγάλα ἀγαθὰ ἂν δὲν ὑπακούσουν σ' αὐτόν, ὅπως θ' ἀνοίξουν οἱ ὀφθαλμοί τους καὶ θὰ γίνουν ἴσοι μὲ τὸν Θεό, ἔχοντας πλήρη γνώση, δὲν πρόσθεσε, ὅτι εἶναι πονηρὸς ἐκεῖνος ποὺ τοὺς ἀπαγορεύει ὅλα αὐτά, γιὰ νὰ μὴ φανῆ ὅτι ὁμιλεῖ σὰν κάποιος ἐχθρὸς καὶ πολέμιος, ἀλλ' ὑποδύθηκε πρόσωπο συμβούλου καὶ κηδεμόνα γιὰ νὰ κάμη εὔκολα ἀποδεκτὴ τὴν κακὴ συμβουλή του, πρᾶγμα βέβαια καὶ ποὺ ἔγινε. Γιατὶ δὲν ἐπεδίωκε νὰ ἐπιτύχη μὲ αὐτὰ ποὺ ἔλεγε τίποτε ἄλλο, παρὰ αὐτό· 'ἀπομακρυνθῆτε ἀπὸ τὸν Θεὸ τὸν δημιουργό σας. Βάσκανος εἶναι καὶ φθονερὸς καὶ φθονεῖ ν' ἀποκτήσουμε μεγαλύτερα ἀγαθά'. Ἀλλὰ τὰ λόγια αὐτὰ δὲν τὰ εἶπε φανερά· γιατί, ἂν ὑποπτεύονταν ὅτι εἶναι ἐχθρός, θὰ ἔφευγαν. Ἀποφεύγοντας ὅμως

πτεύσαντες αὐτὸν εἶναι ἐχθρόν, ἔφυγον· ἀφεὶς δὲ εἰπεῖν αὐτοῖς ταῦτα καὶ περιστείλας, τὴν ὀλεθρίαν ταύτην εἰσήγαγε συμβουλήν.

3. Οὕτω δὴ καὶ νῦν οὐ λέγει μέν, 'ἀπόστητε τοῦ Χριστοῦ, ὡς κατεγνωσμένων τῶν θείων δογμάτων'· οἶδε γὰρ ὅτι ἐψεύδετο καὶ οὐκ ἐπιστεύετο· κακούργως δὲ δοκεῖ μὲν ἡμᾶς ἀφεῖναι ἐν τούτοις καὶ συγχωρεῖν πρὸς τὴν ἀλήθειαν, ἑτέρως δὲ οὐκ εἰδότας αὐτοὺς ἐξαιρεῖ τῆς αἰωνίου ταύτης κληρονομίας· ὥσπερ ἂν εἴ τις παῖδα γνήσιον καὶ ἐλεύθερον, ἁπλοῦν τινα καὶ ἀπόνηρον, τῇ δεξιᾷ μὲν κατέχων μὴ ἐκβάλοι τῆς πατρικῆς οἰκίας, παραινοῖ δὲ αὐτῷ ποιεῖν, δι' ὧν καὶ ἑκὼν καὶ ἄκων ἐκπεσεῖται τῶν πατρικῶν ἁπάντων. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν εἱμαρμένῃ προσέχοντα, δυνηθῆναι τῶν οὐρανῶν ἐπιτυχεῖν, μᾶλλον δὲ οὐκ ἔστι δυνηθῆναι τὴν γέενναν καὶ τὴν κόλασιν ἐκφυγεῖν· ἀπεναντίας γὰρ τοῖς τοῦ Θεοῦ δόγμασιν ἅπαντας πείθεσθαι ἐπιτάττει. Ὁ Θεὸς λέγει, «ἐὰν θέλητε καὶ εἰσακουσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα». Εἶδες πῶς ὁ Θεὸς φθέγγεται καὶ ποίους τίθησι νόμους; Ἄκουσον καὶ τῆς εἱμαρμένης, πῶς φθέγγεται καὶ πῶς ἐναντίους εἰσάγει θεσμοὺς καὶ μάθε, πῶς ἐκεῖνα μὲν ὑπὸ πονηροῦ δαίμονος καὶ θηρός τινος ἀνημέρου.

Εἶπεν ὁ Θεός, «ἐὰν θέλητε» καὶ «ἐὰν μὴ θέλητε», κυρίους ἡμᾶς ποιῶν ἀρετῆς καὶ κακίας καὶ ἐπὶ τῇ γνώμῃ τῇ ἡμετέρᾳ τιθείς. Ἐκεῖνος δὲ τί φησιν; Ὅτι τὸ εἱμαρμένον οὐ δυνατὸν ἐκφυγεῖν, κἂν θέλωμεν κἂν μὴ θέλωμεν. Ὁ Θεὸς λέγει· «ἐὰν θέλητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε»· αὐτὴ λέγει, 'κἂν θέλωμεν, μὴ ᾖ δὲ ἡμῖν δεδομένον, οὐδὲν ὄφελος τοῦτο θέλειν'. Ὁ Θεὸς λέγει, «ἐὰν μὴ θέλητε προσέχειν τοῖς λόγοις μου, μάχαιρα ὑμᾶς κατέδεται»· αὐτὴ λέγει, 'ἂν μὴ θέλωμεν, ᾖ δὲ ἡμῖν δεδομένον, πάντως σωζόμεθα'. Οὐ ταῦτα ἡ εἱμαρμένη φησί; Τί γένοιτο ἂν οὖν τῆς μάχης ταύτης σαφέστερον; τί τοῦ πολέμου φανερώτερον τούτου, ὃν ἀναισχύντως οὕτω πρὸς τὰ θεῖα λόγια εἵλοντο οἱ τῆς πονηρίας διδάσκαλοι δαίμονες;

4. Ἡσ. 1,19–20.

νὰ τοὺς τὰ πῆ αὐτὰ καὶ ἀφήνοντάς τους νὰ τὰ ἐννοήσουν, εἰσήγαγε τὴν ὀλέθρια αὐτὴ συμβουλή του.

3. Ἔτσι λοιπὸν καὶ τώρα δὲν λέγει, 'ἀπομακρυνθῆτε ἀπὸ τὸν Χριστό, γιατὶ τὰ θεῖα δόγματα εἶναι καταδικασμένα' (γιατὶ γνωρίζει πολὺ καλὰ ὅτι θὰ θεωροῦνταν ψεύστης καὶ δὲν θὰ γινόταν πιστευτός), ἀλλὰ μὲ κακουργία τοὺς ἀφήνει νὰ νομίζουν ὅτι δὲν τοὺς ἐμποδίζει νὰ πιστεύουν σ' αὐτὰ καὶ τοὺς ἀφήνει ν' ἀκολουθοῦν τὴν ἀλήθεια, μὲ ἄλλο τρόπο ὅμως ποὺ δὲν τὸν ὑποπτεύονται τοὺς στερεῖ τὴν αἰώνια κληρονομία. Ὅπως ἀκριβῶς δηλαδὴ κάποιος, ποὺ ἔχει γνήσιο καὶ ἐλεύθερο υἱό, ἀλλὰ ἀφελῆ καὶ ἀπονήρευτο, δὲν τὸν πιάνει ἀπὸ τὸ χέρι καὶ νὰ τὸν διώξη ἀπὸ τὸ πατρικὸ σπίτι, τὸν συμβουλεύει ὅμως νὰ κάμη ἐκεῖνα, μὲ τὰ ὁποῖα θέλοντας καὶ μὴ θὰ στερηθῆ ὅλα τὰ πατρικὰ ἀγαθά. Πραγματικὰ δὲν εἶναι δυνατό, δὲν εἶναι δυνατὸ νὰ κερδίση τοὺς οὐρανούς, ἢ καλύτερα δὲν εἶναι δυνατὸ ν' ἀποφύγη τὴν γέεννα καὶ τὴν κόλαση ἐκεῖνος ποὺ πιστεύει στὴν εἱμαρμένη· γιατὶ προστάζει ὅλους νὰ πιστεύουν σὲ δοξασίες ἀντίθετες πρὸς τὰ δόγματα τοῦ Θεοῦ. Ὁ Θεὸς λέγει, «ἂν θελήσετε καὶ ἀκούσετε τὶς ἐντολές μου, θὰ φᾶτε τὰ ἀγαθὰ τῆς γῆς· ἂν ὅμως δὲν θελήσετε καὶ δὲν τὶς ἀκούσετε, θὰ σᾶς καταφάγη ἡ μάχαιρα. Γιατὶ αὐτὰ τὰ εἶπε τὸ στόμα τοῦ Κυρίου»[4]. Βλέπεις πῶς ὁμιλεῖ ὁ Θεὸς καὶ ποιούς νόμους ὁρίζει; Ἄκουσε καὶ τὴν εἱμαρμένη πῶς ὁμιλεῖ καὶ πῶς ὁρίζει ἀντίθετους νόμους καὶ μάθε, ὅτι ἐκεῖνα ἔχουν λεχθῆ ἀπὸ τὸ ἅγιο Πνεῦμα, ἐνῶ αὐτὰ ἀπὸ τὸν πονηρὸ δαίμονα καὶ ἀπὸ κάποιο ἀνήμερο θηρίο.

Εἶπε ὁ Θεός, «ἂν θέλετε καὶ ἂν δὲν θέλετε», καθιστώντας ἐμᾶς κύριους τῆς ἀρετῆς καὶ τῆς κακίας καὶ ἀφήνοντας τὴν ἐκλογὴ στὴ δική μας θέληση. Ἐκεῖνος ὅμως τί λέγει; Ὅτι δὲ μποροῦμε νὰ ἀποφύγουμε τὸ πεπρωμένο, εἴτε τὸ θέλουμε εἴτε δὲν τὸ θέλουμε. Ὁ Θεὸς λέγει, «ἂν θελήσετε, θὰ φᾶτε τὰ ἀγαθὰ τῆς γῆς», ἐνῶ ἡ εἱμαρμένη λέγει, 'κι ἂν ἀκόμη τὸ θέλουμε, ἂν δὲν μᾶς εἶναι δεδομένο, δὲν ἔχουμε κανένα ὄφελος ἀπὸ τὸ νὰ τὸ θέλουμε'. Ὁ Θεὸς λέγει, «ἂν δὲν θελήσετε νὰ προσέχετε τοὺς λόγους μου, θὰ σᾶς καταφάγη μάχαιρα», ἐνῶ αὐτὴ λέγει· 'ἂν δὲν τὸ θέλουμε, ἀλλ' εἶναι δεδομένο σὲ μᾶς, ὁπωσδήποτε θὰ σωθοῦμε'. Δὲν τὰ λέγει αὐτὰ ἡ εἱμαρμένη; Τί θὰ μποροῦσε νὰ ὑπάρξη σαφέστερο ἀπὸ τὴ μάχη αὐτή; τί πιὸ φανερὸ ἀπὸ τὸν πόλεμο αὐτόν, τὸν ὁποῖο τόσο ἀδιάντροπα ἀνέλαβαν

Ἀλλ' ὅπερ ἔφην, τὸ μὲν δαίμονας καὶ ἀνθρώπους ἄλλους δαίμονας, τοὺς Ἕλληνας λέγω, ταῦτα πείθεσθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ ὑμᾶς οὕτω θείας καὶ σωτηρίου διδασκαλίας ἀπολαύοντας, ἀτιμάζειν μὲν ταῦτα, προστρέχειν δὲ ἐκείνοις τοῖς ἀλογωτάτοις καὶ ψυχῆς ἀπώλειαν ἔχουσι, τοῦτό ἐστι τὸ πάντων χαλεπώτερον. Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; Ἐμοὶ τέως πρὸς ὑμᾶς ἐστιν ὁ λόγος, τὰ μέλη τοῦ Χριστοῦ, τέκνα τῆς Ἐκκλησίας, τοὺς ἐν τῷ πατρικῷ οἴκῳ παιδευομένους, τοὺς οὐρανίων ἀπολαύοντας διδαγμάτων, τοὺς τοσαύτῃ τιμηθέντας τιμῇ. Διὰ τοῦτο στένω, διὰ τοῦτο δακρύω καὶ θρηνῶ. Θρήνων γὰρ ὄντως ἄξια, ὅταν τις μηδὲ συγγνώμης ἄξια πίπτῃ πτώματα. Ποία γάρ, εἰπέ μοι, συγγνώμη, ὅταν ἀποφαίνηται Θεὸς καὶ δαίμονες ἀντιφθέγγωνται καὶ ἀξιοπιστότερα δόξῃ παρὰ τῶν οἰκείων τοῦ Θεοῦ τὰ παρ' ἐκείνων λεγόμενα; Μὴ γὰρ λογισμοὺς κινοῦμεν νῦν, ἀλλὰ τέως τὴν ἰταμότητα τῶν ἐκείνοις πειθομένων δείξομεν.

Ὁ Θεὸς λέγει, «παρέθηκά σοι πῦρ καὶ ὕδωρ, τὴν ζωὴν καὶ τὸν θάνατον, οὗ ἐὰν θέλῃς ἔκτεινόν σου τὴν χεῖρα»· ὁ δαίμων λέγει, ὅτι οὐκ ἔστιν ἐν σοὶ τὸ ἐκτείνειν τὴν χεῖρα, ἀλλ' ἀνάγκῃ τινὶ καὶ βίᾳ. Καὶ ἀξιοπιστότερα εἶναί σοι δοκεῖ καὶ οὐ τὸ μέσον τῶν συμβουλευόντων νοεῖς, ὅτι ὁ μὲν Θεός, ὁ δὲ δαίμων· οὐ τῆς συμβουλῆς τὸ διάφορον ἐξετάζεις, ὅτι τὸ μὲν σωτήριον καὶ πρὸς ἀρετὴν καλεῖ, τὸ δὲ ὄντως καὶ δαιμονικὸν καὶ πρὸς κακίαν καὶ πονηρίαν· οὐ τὰ παρὰ τοῦ Θεοῦ σοι γεγενημένα καὶ τὰ παρὰ τοῦ δαίμονος σκοπεῖς, ὅτι ὁ μὲν οὕτω σε ἐφίλησεν, ὡς καὶ τὸν Μονογενῆ δοῦναι ὑπὲρ σοῦ, οὗ τιμιώτερον οὐδὲν ἦν τῷ Πατρί, καὶ ἔτι φιλεῖ, ὡς καὶ παρακαλεῖν σε διὰ τῶν ἀποστόλων ὑπὲρ τῆς σῆς σωτηρίας καὶ πάντα ποιεῖ· ὁ δὲ οὕτως ἐμίσησε καὶ μισεῖ, ὡς διὰ πάντων σοι πολεμεῖν καὶ μὴ μόνον οὐδὲν διδόναι χρηστόν, ἀλλὰ καὶ ὧν ἔλαβες παρὰ τοῦ

5. Α' Κορ. 5,12.
6. Σοφ. Σειρ. 15,16–17.

πρὸς τὰ θεῖα λόγια οἱ διδάσκαλοι τῆς πονηρίας, οἱ δαίμονες; Ἀλλά, ὅπως εἶπα, τὸ νὰ πιστεύουν αὐτὰ οἱ δαίμονες καὶ ἄνθρωποι, ποὺ εἶναι ἄλλοι δαίμονες, ἐννοῶ τοὺς εἰδωλολάτρες, δὲν εἶναι καθόλου παράξενο, τὸ νὰ περιφρονῆτε ὅμως αὐτὰ σεῖς, ποὺ ἀπολαμβάνετε τὴ θεία καὶ σωτηριώδη διδασκαλία, καὶ νὰ προστρέχετε σ' ἐκεῖνα τὰ τόσο παράλογα καὶ ποὺ ὁδηγοῦν τὴν ψυχὴ στὴν ἀπώλεια, αὐτὸ εἶναι τὸ πιὸ φοβερὸ ἀπ' ὅλα. Γιατὶ «ποιά ἁρμοδιότητα ἔχω ἐγὼ νὰ κρίνω τοὺς ἔξω;»[5]. Ὁ λόγος μου ἀπευθύνεται πρῶτα σὲ σᾶς, στὰ μέλη τοῦ Χριστοῦ, στὰ τέκνα τῆς Ἐκκλησίας, σ' ἐκείνους ποὺ διδάσκονται μέσα στὸν πατρικὸ οἶκο, ποὺ ἀπολαμβάνουν τὰ οὐράνια διδάγματα καὶ ἔχουν τιμηθῆ μὲ τόση μεγάλη τιμή. Γι' αὐτὸ στενάζω, γι' αὐτὸ δακρύζω καὶ θρηνῶ. Γιατὶ εἶναι πραγματικὰ ἄξια θρήνων, ὅταν κανεὶς διαπράττη ἀσυγχώρητα ἁμαρτήματα. Πές μου δηλαδή, ποιά συγγνώμη ὑπάρχει, ὅταν ὁ Θεὸς δίνη μιὰ ἐντολὴ καὶ οἱ δαίμονες ἀντιλέγουν πρὸς αὐτήν, νὰ θεωροῦν οἱ ἄνθρωποι τοῦ Θεοῦ πιὸ ἀξιόπιστα τὰ λόγια τῶν δαιμόνων; Ἂς μὴ ἀνακινοῦμε τώρα λογισμοὺς ἀμφιβολίας, ἀλλ' ἂς δείξουμε πρῶτα τὴν ἀνοησία ἐκείνων ποὺ πιστεύουν σ' αὐτούς.

Ὁ Θεὸς λέγει, «ἔβαλα μπροστά σου φωτιὰ καὶ νερό, τὴ ζωὴ καὶ τὸν θάνατο· σ' ὅποιο θέλεις ἅπλωσε τὸ χέρι σου»[6], ἐνῶ ὁ δαίμονας λέγει, 'δὲν μπορεῖς ν' ἁπλώσης τὸ χέρι σου, ἀλλ' αὐτὸ ἐξαρτᾶται ἀπὸ κάποια ἀναγκαιότητα καὶ βία', καὶ σοῦ φαίνονται αὐτὰ πιὸ ἀξιόπιστα, καὶ δὲν σκέπτεσαι τὴ διαφορὰ ποὺ ὑπάρχει μεταξὺ αὐτῶν ποὺ σὲ συμβουλεύουν, ὅτι δηλαδὴ ὁ ἕνας εἶναι ὁ Θεός, ἐνῶ ὁ ἄλλος ὁ δαίμονας. Δὲν ἐξετάζεις τὴ διαφορὰ τῆς συμβουλῆς, ὅτι δηλαδὴ ἡ μιὰ σὲ ὁδηγεῖ στὴ σωτηρία καὶ σὲ καλεῖ στὴν ἀρετή, ἐνῶ ἡ ἄλλη εἶναι πράγματι καὶ δαιμονικὴ καὶ σὲ ὁδηγεῖ πρὸς τὴν κακία καὶ τὴν πονηρία. Δὲν ἐξετάζεις τὰ ὅσα ἔκαμε γιὰ σένα ὁ Θεὸς καὶ τὰ ὅσα σοῦ προξένησε ὁ δαίμονας, ὅτι δηλαδὴ ὁ Θεὸς τόσο πολὺ σὲ ἀγάπησε, ὥστε θυσίασε γιὰ σένα καὶ τὸν Μονογενῆ του Υἱό, ἀπὸ τὸν ὁποῖο δὲν ὑπῆρχε τίποτε πολυτιμότερο στὸν Πατέρα, καὶ ἀκόμη σὲ ἀγαπᾶ, ὥστε καὶ νὰ σὲ παρακαλῆ γιὰ τὴ σωτηρία σου μὲ τοὺς Ἀποστόλους καὶ νὰ κάμνη τὰ πάντα, ἐνῶ ὁ δαίμονας τόσο πολὺ σὲ μίσησε καὶ σὲ μισεῖ, ὥστε νὰ σὲ πολεμᾶ μὲ ὅλα, καὶ ὄχι μόνο δὲν σοῦ δίνει κανένα καλό, ἀλλὰ προσπαθεῖ νὰ σὲ ἀπομακρύνη καὶ ἀπὸ ἐκεῖνα ποὺ ἔλαβες ἀπὸ τὸν Θεό. Ὁ Θεὸς φρόντισε νὰ σὲ κάμη ἴσον

Θεοῦ καὶ τούτων πειρᾶσθαι ἐκβάλλειν· ὁ μὲ ἀγγέλοις σε ἴσον ποιῆσαι ἐσπούδασεν, ὁ δὲ τῶν χαμαὶ βαδιζόντων ἀτιμότερόν σε κατέστησεν, αὐτούς τε σὲ προσκυνεῖν ἀντέπεισεν· ὁ μὲν εἰς βασιλείαν οὐρανῶν ἕλκει καὶ τὰς ἄλλας τιμάς, ὁ δὲ καὶ ἐνταῦθά σοι δοθείσης ἐφθόνησε καὶ οὐ πρότερον ἀπέστη, ἕως ἐξέβαλεν.

Εἰ γὰρ καὶ τὰ δόγματα οὐ δύνασθε αὐτοῦ συνορᾶν, καίτοι ἡλίου σαφέστερα τοῖς μὴ νωθεστέροις ἐστὶν (οὕτω καὶ ταῦτα τὰ τοῦ Θεοῦ πρόδηλον ἔχει τὴν ἀρετὴν καὶ τὴν σωτηρίαν, κἀκεῖνα τὴν κακίαν)· ἀλλ' ὅμως εἰς πρὸς αὐτὰ μὴ δύνασθε συνιδεῖν, κἂν ἀπὸ τῶν συμβουλευόντων μάθετε τὸ σωτήριον καὶ τὸ βλαβερόν. Πῶς γὰρ οὐκ ἄτοπον ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων ταύτῃ κεχρῆσθαι τῇ γνώμῃ, κἂν μὲν ἰατρὸς δώσῃ τινὶ σιτίον, μὴ περιεργάζεσθαι, ἀλλ' ὡς ὑγιείας ποιητικὸν δέχεσθαι, ἂν δὲ φαρμακὸς καὶ γόης, μὴ πολυπραγμονεῖν, ἀλλ' ὡς δηλητήριον καὶ βλαβερὸν ἀποστρέφεσθαι, ἐπὶ δὲ τοῦ Θεοῦ μηδὲ τούτῳ κεχρῆσθαι τῷ μέσῳ; Καίτοι τοσούτῳ πλέον τὸ μέσον Θεοῦ καὶ δαίμονος, ἢ ἰατροῦ καὶ φαρμακοῦ, ὅσον οὐδὲ ἔξεστιν εἰπεῖν, οὐδὲ τῷ νῷ παραστῆσαι καὶ λόγῳ. Πῶς οὖν οὐκ ἐσχάτης ἀτοπίας, ἔνθα μὲν ἐλάχιστον τὸ διάφορον τῶν παρεχόντων τὰ σιτία, μὴ πολυπραγμονεῖν, ἀλλὰ τῇ ποιότητι τῶν προσώπων ἀντὶ πάσης κεχρῆσθαι διδασκαλίας· ἔνθα δὲ τοσοῦτον τὸ μέσον τῶν συμβουλευόντων, λόγου χρείαν ἔχειν πρὸς τὸ μαθεῖν, ὅτι τὸ μὲν σωτήριον, τὸ δὲ βλάβερόν;

4. Μή, παρακαλῶ, μὴ τῶν ἀλόγων ὦμεν ἀλογώτεροι, ἀλλ' ἀποπηδῶμεν καὶ μὴ ἐπικλίνωμεν τὰς ἀκοάς. «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί»· καὶ συγγνώμης οὐκ ἔστι τυχεῖν τοὺς ἀπατηθέντας. Τίνος γὰρ ἕνεκεν, ἂν μὲν λοιμικὸν χωρίον ἴδῃς καὶ ἐπίνοσον, φεύγεις τὴν ἐκεῖ διατριβήν, κἂν μυρία σε ἕλκῃ πρὸς τὴν οἴκησιν ἐκείνην, πάντων τὴν τοῦ σώματος ὑγίειαν προτιθείς· ὅταν δὲ

7. Α' Κορ. 15,33.

μὲ τοὺς ἀγγέλους, ἐνῶ ὁ διάβολος σὲ κατέστησε πιὸ ἄτιμο καὶ ἀπὸ τὰ ἑρπετὰ τῆς γῆς καὶ σὲ ἔπεισε νὰ προσκυνᾶς τοὺς δαίμονες. Ὁ Θεὸς σὲ ὁδηγεῖ στὴ βασιλεία τῶν οὐρανῶν καὶ πρὸς τὶς ἄλλες τιμές, ἐνῶ ὁ διάβολος φθόνησε καὶ τὴν τιμὴ ποὺ σοῦ δόθηκε ἐδῶ καὶ δὲν σταμάτησε τὸν φθόνο του αὐτόν, μέχρι ποὺ σοῦ ἀποστέρησε αὐτήν.

Ἂν λοιπὸν δὲν μπορῆτε νὰ διακρίνετε τὰ δόγματα τοῦ διαβόλου, ἂν καὶ εἶναι καὶ ἀπὸ τὸν ἥλιο πιὸ σαφῆ σ' ἐκείνους ποὺ δὲν εἶναι τόσο νωθροὶ (ὅπως τὰ δόγματα τοῦ Θεοῦ ἔχουν ὁλοκάθαρη τὴν ἀρετὴ καὶ τὴ σωτηρία, ἔτσι τοῦ διαβόλου ἔχουν τὴν κακία), ἀλλ' ὅμως, ἂν δὲν μπορῆτε νὰ τὰ διακρίνετε, τοὐλάχιστο μάθετε τὸ σωτήριο καὶ βλαβερὸ αὐτῶν ἀπὸ ἐκείνους ποὺ σᾶς δίνουν τὶς συμβουλές. Γιατί, πῶς δὲν εἶναι παράλογο, γιὰ τὰ ἄλλα βέβαια πράγματα νὰ χρησιμοποιοῦμε τὴ συμβουλὴ ποὺ μᾶς δίνεται, κι ἂν ὁ ἰατρὸς δώση σὲ κάποιον τροφή, νὰ μὴ τὴν ἐξετάζη μὲ περιέργεια, ἀλλὰ νὰ τὴ δέχεται σὰν κάτι ποὺ συμβάλλει στὴν ὑγεία, ἂν ὅμως τὴν δώση φαρμακευτὴς καὶ γόης, νὰ μὴν τὴν πολυεξετάζη, ἀλλὰ νὰ τὴν ἀποφεύγη σὰν δηλητήριο καὶ βλαβερό πρᾶγμα, στὴν περίπτωση ὅμως τοῦ Θεοῦ νὰ μὴ ἐφαρμόζουμε τὸν τρόπο αὐτό; Ἂν καὶ βέβαια εἶναι τόση μεγάλη ἡ ἀπόσταση μεταξὺ Θεοῦ καὶ δαίμονα, μεταξὺ ἰατροῦ καὶ φαρμακευτῆ, τόση ποὺ δὲν εἶναι δυνατὸ νὰ τὴν ἐκφράση κανεὶς οὔτε νὰ τὴν παραστήση μὲ τὴ σκέψη καὶ τὸν λόγο. Πῶς λοιπὸν δὲν εἶναι δεῖγμα τῆς πιὸ χειρότερης ἀνοησίας, ὅπου ἡ διαφορὰ μεταξὺ ἐκείνων ποὺ δίνουν τὴν τροφὴ εἶναι ἐλάχιστη, νὰ μὴ ἐξετάζουμε τὸ πράγμα μὲ σχολαστικότητα, ἀλλὰ νὰ χρησιμοποιοῦμε τὴν ποιότητα τῶν ἀνθρώπων ἀντὶ πάσης ἄλλης διδασκαλίας, ὅπου ὅμως εἶναι τόση μεγάλη ἡ διαφορὰ μεταξὺ ἐκείνων ποὺ συμβουλεύουν, νὰ χρειάζεται διδασκαλία γιὰ νὰ μάθης, ὅτι τὸ ἕνα εἶναι σωτήριο καὶ τὸ ἄλλο βλαβερό;

4. Μή, παρακαλῶ, ἂς μὴν εἴμαστε πιὸ ἄλογοι καὶ ἀπὸ τὰ ἄλογα ζῶα, ἀλλ' ἂς ἀπομακρυνώμαστε κι ἂς μὴ προσέχουμε τὰ λόγια τους. «Οἱ κακὲς συναναστροφὲς καταστρέφουν τὶς καλὲς συνήθειες»[7], καὶ δὲν εἶναι δυνατὸ νὰ τύχουν συγγνώμης ἐκεῖνοι ποὺ θ' ἀπατηθοῦν. Γιὰ ποιό λόγο, ἂν δῆς κάποιο μέρος ἀνθυγιεινὸ καὶ νοσογόνο ἀποφεύγεις τὴν ἐκεῖ διαμονή, κι ἂν ἀκόμη ἄπειρα πράγματα σὲ τραβοῦν νὰ διαμείνης ἐκεῖ, θέτοντας πάνω ἀπὸ ὅλα τὴν ὑγεία τοῦ

λόγου τοῦ λοιμώδους τινὲς ὦσιν ἐμπεπλησμένοι καὶ νοσήματος, οὐχὶ σῶμα διαφθείροντος μόνον, ἀλλὰ καὶ ψυχὴν ἀπολλύντος καὶ χείρω καὶ φαυλοτέραν ἐργαζομένου, οὐκ ἀποπηδᾷς; «Ἄκουσον», φησί τις σοφὸς ἀνήρ», «μὴ στήσῃς, ἀποπήδησον, μὴ ἐγχρονίσῃς καὶ τὴν βραχυτάτην ἐν τούτοις δεδοικὼς διατριβήν». Ταῦτα δὲ λέγομεν, οὐ τὴν ἰσχὺν τῶν παρ' ἐκείνοις δογμάτων δεδοικότες, ἀλλὰ τὴν ὑμετέραν ἀσθένειαν φοβούμενοι. Ἡμῖν γὰρ τῇ τοῦ Θεοῦ χάριτι ἀραχνίων ἀσθενέστερα τὰ ἐκείνων φαίνεται, τοῖς τεθεμελιωμένοις τῇ πίστει, κἂν μυριάκις ἡμῶν ἐπᾴδωσι τὰς ἀκοάς, τοσούτῳ πλείω τὸν γέλωτα ὀφλισκάνουσι παρ' ἡμῶν, καθάπερ οἱ μεμηνότες καὶ τῶν οἰκείων φρενῶν ἐξεστηκότες· τὴν δὲ ὑμετέραν ἀσθένειαν δεδοίκαμεν.

Οὐ κατὰ πάντων λέγω τὰ εἰρημένα, ἀλλὰ κατὰ τῶν ὑπευθύνων τοῖς λεγομένοις ὄντων. Ἐπεὶ καὶ Παῦλος, ὁ πάντων κρατῶν, οὐχὶ διδασκαλίαν μόνον, ἀλλὰ καὶ κατὰ τῶν ἀλλοτρίων ἐπιδεικνὺς τῷ μαθητῇ Τιμοθέῳ τὰς λογομαχίας, τὰς κενοφωνίας περιΐστασθαι παραινεῖ. Ὀλίγος ἐστὶν ὁ τῆς ζωῆς ἡμῶν χρόνος, βραχὺ τὸ τῆς σωτηρίας ἐφόδιον. Ἂν οὖν αὐτὸν τὸν βραχὺν χρόνον τὸν δοθέντα ἡμῖν πρὸς τὸ μαθεῖν τι τῶν χρησίμων, εἰς περιττὰς καὶ ἀνοήτους καὶ βλαβερὰς ἀναλώσωμεν ἀκροάσεις, πότε λοιπὸν εὐπορήσομεν ἑτέρου πρὸς τὸ μαθεῖν τὰ ἀναγκαῖα καὶ κατεπείγοντα; Μάλιστα μὲν γάρ, εἰ καὶ μακρὸς ἦν, πάντα αὐτὸν εἰς τὰ χρήσιμα ἀναλίσκειν ἔδει· ὅταν δὲ καὶ ὀλίγος ᾖ καὶ βραχύς, πῶς οὐκ ἐσχάτης ἀνοίας τὴν ὀλιγότητα αὐτοῦ εἰς τὰ διαφθείροντα δόγματα τὴν ψυχὴν τὴν ἡμετέραν δαπανᾶν; Τί σοι χρεία φαρμάκου; Μὴ δέξῃ πληγήν, μὴ τὸν χρόνον ἀναλώσῃς εἰς τὸ θεραπεύειν, ἃ λαμβάνεις παρ' ἑτέρων, καὶ ἔχεις· ἀπὸ τῶν θείων Γραφῶν τὸ ὑγιὲς συγκρότει, κἂν προσέλθῃ τις ἕτερόν τι λέγων, ἀπόφραξον τὰ ὦτα, ἀποπήδησον εὐθέως, μὴ ἐγχρονίσῃς. Καὶ εἰ, κατὰ βασιλέων συλλόγου γενομένου, οὐκ ἂν ἠνέσχου μετασχεῖν τοῦ συνεδρίου, ὡς τῇ κοινωνίᾳ τῆς ἀκροάσεως, εἰ καὶ μὴ συγκατάθεσις γένοιτο, κινδυνεύσων πάντως· ὅταν κατὰ Θεοῦ λέγηταί τι καὶ δόγμα τῆς αὐτοῦ γέμον κατη-

8. Παρ. 9,18. 9. Β' Τιμ. 2,16.

σώματος, ὅταν ὅμως κάποιοι εἶναι γεμᾶτοι ἀπὸ λόγο βλαβερὸ καὶ πάσχουν ἀπὸ νόσημα λοιμῶδες, ποὺ καταστρέφει ὄχι μόνο τὸ σῶμα, ἀλλ' ὁδηγεῖ καὶ τὴν ψυχὴ στὴν ἀπώλεια καὶ τὴν κάμνει χειρότερη καὶ φαυλότερη, δὲν ἀπομακρύνεσαι ἀπ' αὐτούς; «῎Ακουσε», λέγει κάποιος σοφὸς ἄνδρας, «μὴ μείνης ἐκεῖ, ἀπομακρύνσου, μὴ μείνης οὔτε γιὰ λίγο χρόνο»[8], φοβούμενος καὶ τὴν πιὸ σύντομη διαμονὴ κοντὰ σ' αὐτούς. Καὶ αὐτὰ τὰ λέγω ὄχι γιατὶ φοβᾶμαι τὴ δύναμη τῶν δογμάτων τους, ἀλλὰ ἐπειδὴ φοβᾶμαι τὴ δική σας ἀδυναμία. Γιατὶ σὲ μᾶς, ποὺ εἴμαστε γερὰ θεμελιωμένοι στὴν πίστη μὲ τὴ χάρη τοῦ Θεοῦ, τὰ δικά τους δόγματα φαίνονται πιὸ ἀδύνατα καὶ ἀπὸ τὸν ἱστὸ τῆς ἀράχνης, καὶ ὅσο πιὸ πολὺ ἐρεθίζουν τὶς ἀκοές μας, τόσο περισσότερο γελοῖοι φαίνονται σὲ μᾶς, ὅπως ἀκριβῶς οἱ μανιακοὶ καὶ ἐκεῖνοι ποὺ ἔχουν πάθει διατάραξη τῶν φρενῶν τους. 'Αλλὰ φοβᾶμαι τὴ δική σας ἀδυναμία.

Καὶ δὲν τὰ λέγω αὐτὰ ἐναντίον ὅλων, ἀλλὰ γιὰ ἐκείνους ποὺ εἶναι ὑπεύθυνοι γι' αὐτά. Γιατὶ καὶ ὁ Παῦλος, ὁ νικητὴς ὅλων, δείχνοντας στὸν μαθητή του Τιμόθεο ὄχι μόνο τὸν τρόπο τῆς διδασκαλίας, ἀλλὰ καὶ τὶς λογομαχίες πρὸς τοὺς ἀλλοπίστους, τὸν συμβουλεύει νὰ ἀποφεύγη τὶς φλυαρίες[9]. Λίγος εἶναι τῆς ζωῆς μας ὁ χρόνος καὶ εἶναι σύντομο τῆς σωτηρίας τὸ ἐφόδιο. ῎Αν λοιπὸν αὐτὸν τὸν σύντομο χρόνο, ποὺ μᾶς δόθηκε νὰ μάθουμε κάτι τὸ χρήσιμο, τὸν ξοδέψουμε σὲ περιττὲς καὶ ἀνωφελεῖς καὶ βλαβερὲς ἀκροάσεις, πότε τότε θὰ βροῦμε ἄλλον χρόνο γιὰ νὰ νὰ μάθουμε τὰ ἀναγκαῖα καὶ κατεπείγοντα; Βέβαια, κι ἂν ἀκόμη ἦταν μακρός, ἔπρεπε νὰ τὸν ξοδεύουμε ὅλον στὰ χρήσιμα, ὅταν ὅμως εἶναι καὶ λίγος καὶ σύντομος, πῶς δὲν εἶναι δεῖγμα τῆς πιὸ χειρότερης ἀνοησίας νὰ δαπανοῦμε αὐτὸν τὸν λίγο χρόνο στὰ δόγματα ἐκεῖνα ποὺ φθείρουν τὴν ψυχή; Τί σὲ χρειάζεται τὸ φάρμακο; Μὴ δεχθῆς πληγή, μὴ ξοδέψης τὸν χρόνο στὴ θεραπεία τῶν πληγῶν ποὺ δέχεσαι ἀπὸ τοὺς ἄλλους καὶ αὐτῶν ποὺ ἔχεις. 'Απὸ τὶς θεῖες Γραφὲς ἐξασφάλισε τὴν ὑγεία σου· κι ἂν ἔλθη κάποιος λέγοντάς σου κάτι ἄλλο, κλεῖσε τὰ αὐτιά σου, φύγε ἀμέσως, μὴ καθυστερήσης. ῎Αν γίνη συγκέντρωση ἐναντίον τῶν βασιλέων, δὲν θέλεις νὰ πάρης μέρος σ' αὐτήν, γιατί, συμμετέχοντας στὴ συγκέντρωση, καὶ ἂν ἀκόμη δὲν συμφωνῆς μὲ τὰ ὅσα λέγονται ἐκεῖ, ὁπωσδήποτε ὅμως θὰ κινδυνεύσης· ὅταν λέγεται κάτι κατὰ τοῦ Θεοῦ καὶ διδάσκεται δόγμα, ποὺ εἶναι γεμᾶτο

γορίας γυμνάζηται, οὐκ ἀποφεύξῃ, οὐ μισήσεις τὴν βλάσφημον γλῶτταν, οὐκ ἐμφράξεις τὰ ἄθεα στόματα; Καὶ πῶς δυνήσῃ μετὰ παρρησίας εὔχεσθαι τὸν Θεόν, ταῖς διαβολαῖς ταῖς κατ' αὐτοῦ κοινωνῶν; Μή, παρακαλῶ.

Ταῦτά μοι οὐ πρὸς τοὺς παρόντας εἴρηται, μᾶλλον δὲ καὶ πρὸς τοὺς παρόντας. Εἰ γὰρ καὶ ὑμεῖς ἀνεύθυνοι, ἀλλ' οὕς τινας ἴστε ταύτην νοσοῦντας τὴν νόσον, τούτοις καὶ ἑτέροις πλείοσιν ἐπαντλᾶτε ρήμασιν, ὥστε πρόρριζον ἀνασπᾶσαι τὸ κακόν. Γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων καὶ φίλων τοῦ Θεοῦ (οὐ γὰρ δὴ τοσοῦτον ἡμῶν ἰσχύει τὰ ρήματα, ὅσον τῆς ἐκείνων εὐχῆς ἡ παρρησία), γένοιτο πάντας ἡμᾶς καὶ ὅσοι πρὸς τὸ πλήρωμα τῆς Ἐκκλησίας συντελοῦσι, τούτων ἀπαλλαγέντας τῶν κακῶν, μετὰ παρρησίας στῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ᾧ ἡ δόξα. Ἀμήν.

ἀπὸ κατηγορίες ἐναντίον του, δὲν θὰ τὸ ἀποφύγης, δὲν θὰ μισήσης τὴ βλάσφημη γλῶσσα, δὲν θὰ κλείσης τὰ ἄθεα στόματα; Καὶ πῶς θὰ μπορέσης μὲ παρρησία νὰ προσεύχεσαι στὸν Θεό, συμμετέχοντας στὶς διαβολὲς ἐναντίον αὐτοῦ; Μή, παρακαλῶ.

Αὐτὰ ποὺ εἶπα δὲν λέχθηκαν γιὰ τοὺς παρόντες, ἢ καλύτερα καὶ γιὰ τοὺς παρόντες. Γιατί, ἂν καὶ σεῖς εἶσθε ἀνεύθυνοι, ὅμως ὅσους γνωρίζετε νὰ πάσχουν ἀπὸ τὴ νόσο αὐτὴ νὰ τοὺς κατακλύζετε μὲ αὐτὰ καὶ μὲ ἄλλα περισσότερα λόγια, ὥστε νὰ ἀποσπάσετε ἀπὸ τὴ ρίζα τὸ κακό. Εἴθε μὲ τὶς εὐχὲς τῶν ἁγίων καὶ φίλων τοῦ Θεοῦ (γιατὶ τὰ λόγια μας δὲν ἔχουν τόση δύναμη, ὅση ἔχει ἡ παρρησία τῆς προσευχῆς ἐκείνων), νὰ συμβῇ ὅλοι ἐμεῖς, ἀλλὰ καὶ ὅσοι συμβάλλουν γιὰ τὸ πλήρωμα τῆς Ἐκκλησίας, ἀφοῦ ἀπαλλαγοῦμε ἀπὸ τὰ κακὰ αὐτά, μὲ παρρησία νὰ σταθοῦμε μπροστὰ στὸ βῆμα τοῦ Χριστοῦ, στὸν ὁποῖο καὶ ἀνήκει ἡ δόξα. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ

ΛΟΓΟΣ Γ'

1. Οἶδα πρῴην περὶ εἱμαρμένης εἰπὼν πρὸς τὴν ὑμετέραν ἀγάπην, ἀλλ' οὐδὲν κωλύει καὶ τήμερον περὶ τῆς αὐτῆς ὑποθέσεως γυμνάσαι τὸν λόγον· οὐκ ἐπειδὴ τὸ πάθος ἐστὶν ἰσχυρόν, ἀλλ' ἐπειδὴ ἡ ῥᾳθυμία ὑμῶν ἐστιν ἄφατος, ἡ καὶ τὰ μικρὰ μεγάλα ποιοῦσα τῶν νοσημάτων. Ἐπεὶ καὶ τυφλῷ δῆλόν ἐστι φύσει, ὅτι τὸν πιστὸν οὐδὲ λόγων οὐδὲ διδασκαλίας δεῖσθαι χρὴ πρὸς τὴν τοῦ κακοῦ τούτου φυγήν. Καθάπερ γὰρ τὸν οἰκοῦντα τὴν καθ' ἡμᾶς οἰκουμένην καὶ νόμοις πολιτευόμενον τοῖς παρ' ἡμῖν καὶ βασιλεῦσιν ὑποτεταγμένον τοῖς αὐτοῖς, οὐ δεῖ πείθειν, ὅτι τὴν περσικὴν πολιτείαν ὁσημέραι εἰσάγειν οὐ χρή, ἀλλ' ἀπαγορεύειν μόνον, οὕτω δὴ καὶ ἐνταῦθα. Τῶν γὰρ ἁμαρτημάτων, τὰ μέν ἐστι λόγου δεόμενα καὶ διδασκαλίας, τὰ δὲ οὕτω φανερὰ καὶ δῆλα, ὡς φόβῳ καὶ τιμωρίᾳ μόνῃ κωλύεσθαι· οἷον τὸ φονεύειν, τὸ μοιχεύειν, τὸ κλέπτειν, οὐ δεῖται λόγων· δι' ὅπερ καὶ ὁ νομοθέτης, οὐχὶ διδασκαλίαν ὑπὲρ τούτων συντέθεκει περιηχοῦσαν ἡμᾶς, ὅτι τὸ πρᾶγμα πονηρόν· προκατειλήφει γὰρ ἡμᾶς τῷ λογισμῷ· ἀλλὰ μόνον ἀπηγόρευσεν, «οὐ μοιχεύσεις», «οὐ φονεύσεις». Ὅταν δὲ περὶ χηρῶν ὑπεροψίας καὶ παρακαταθηκῶν κακουργίας ἡμῖν διαλέγηται καὶ λογισμοὺς τίθησιν, «ἐλέησον τὴν χήραν», φησίν, «καὶ τὸν προσήλυτον· καὶ γὰρ καὶ σὺ προσήλυτος ἦσθα ἐν γῇ Αἰγύπτῳ». «Τὸ σάββατον ἀργίᾳ τίμα», φησίν· εἶτα καὶ λογισμὸν τίθησιν.

Τὸ τοίνυν εἱμαρμένης ἀπέχεσθαι, οὐ τούτων ἐστὶ τῶν δεομένων λογισμοῦ ἀλλ' ἐκείνων τῶν δήλων. Ὥσπερ γὰρ δῆλον ὅτι πο-

2. Δευτ. 10,18.
3. Ἐξ. 20,10.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

ΛΟΓΟΣ Γ΄

1. Τὸ ξέρω βέβαια ὅτι τὴν περασμένη φορὰ μίλησα στὴν ἀγάπη σας γιὰ τὴν εἱμαρμένη, τίποτε ὅμως δὲν ἐμποδίζει καὶ σήμερα νὰ μιλήσω γιὰ τὸ ἴδιο θέμα, ὄχι γιατὶ τὸ πάθος αὐτὸ εἶναι ἰσχυρό, ἀλλ' ἐπειδὴ ἡ ἀδιαφορία σας εἶναι ἀπερίγραπτη, ἡ ὁποία τὰ μικρὰ νοσήματα τὰ κάμνει μεγάλα. Γιατὶ καὶ στὸν τυφλὸ εἶναι ἐκ φύσεως φανερό, ὅτι ὁ πιστὸς δὲν πρέπει νὰ ἔχη ἀνάγκη ἀπὸ διδασκαλία γιὰ ν' ἀποφύγη τὸ κακὸ αὐτό. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος ποὺ κατοικεῖ στὴ χώρα μας καὶ ζῆ σύμφωνα μὲ τοὺς δικούς μας νόμους καὶ εἶναι ὑποταγμένος στοὺς ἴδιους βασιλεῖς, δὲν χρειάζεται καθημερινὰ νὰ τὸν πείθουμε, ὅτι δὲν πρέπει νὰ εἰσάγη τὸν περσικὸ τρόπο ζωῆς, ἀλλὰ μόνο νὰ τὸ ἀπαγορεύουμε αὐτό, ἔτσι λοιπὸν καὶ τώρα. Γιατὶ ἀπὸ τὰ ἁμαρτήματα ἄλλα ἔχουν ἀνάγκη ἀπὸ λόγο καὶ διδασκαλία, καὶ ἄλλα δὲν εἶναι τόσο φανερὰ καὶ γνωστά, καὶ γι' αὐτὸ πρέπει νὰ ἐμποδίζωνται μόνο μὲ τὸν φόβο καὶ τὴν τιμωρία, ὅπως γιὰ παράδειγμα ὁ φόνος, ἡ μοιχεία καὶ ἡ κλοπὴ δὲν χρειάζονται διδασκαλία, καὶ γι' αὐτὸ καὶ ὁ νομοθέτης δὲν ὥρισε διδασκαλία ποὺ νὰ ἠχῆ ἀκατάπαυστα στὰ αὐτιά μας καὶ νὰ μᾶς ὑπενθυμίζη, ὅτι τὸ πρᾶγμα αὐτὸ εἶναι κακό, γιατὶ ἔτσι θὰ προκαταλάμβανε τὴ σκέψη μας, ἀλλὰ μόνο τὰ ἀπαγόρευσε, λέγοντας, «δὲν θὰ μοιχεύσης», «δὲν θὰ φονεύσης»[1]. Ὅταν ὅμως μᾶς ὁμιλῆ γιὰ τὴν περιφρόνηση τῶν χηρῶν καὶ γιὰ τὶς δολιότητες τῶν παρακαταθηκῶν, τότε προσθέτει καὶ ἐπεξηγήσεις. «Ἐλέησε τὴν χήρα», λέγει, «καὶ τὸν προσήλυτο· γιατὶ καὶ σὺ ἦσουν προσήλυτος στὴν Αἴγυπτο»[2]. Ἐπίσης λέγει, «τὸ Σάββατο τίμα το μὲ ἀργία»[3]. Ἔπειτα προσθέτει καὶ ἐπεξηγήσεις.

Τὸ ν' ἀποφεύγη λοιπὸν κανεὶς τὴν εἱμαρμένη δὲν εἶναι ἀπὸ αὐτὰ ποὺ χρειάζονται διδασκαλία, ἀλλ' ἀνήκει σ' ἐκεῖνα ποὺ εἶναι

1. Δευτ. 5,17–18.

νηρὸν τὸ φονεύειν καὶ τὸ μοιχεύειν φαῦλον, οὕτω δῆλον ὅτι τὸ προσέχειν εἱμαρμένῃ πονηρὸν καὶ ἀπηγορευμένον. Μὴ γὰρ ἀπὸ τῶν πειθομένων νομίζετε αὐτὸ εἶναι τῶν μὴ κεκωλυμένων· ἐπεὶ καὶ φόνος τολμᾶται καὶ κεκώλυται παρὰ τοῖς νόμοις καὶ αἱ μοιχεῖαι καὶ αἱ ἁρπαγαὶ τῶν ἀπηγορευμένων εἰσί, καίτοι δρωμένων παρὰ τῶν πολλῶν. Ἐπεὶ ὅτι γε τῶν κεκωλυμένων ἐστίν, ὥσπερ ὁ φόνος, παρὰ τοῖς νόμοις αὐτοῖς τοῖς τῶν Ἑλλήνων, τὸ τῇ γενέσει πείθεσθαι, παρελθών τις τῶν μοιχευσάντων τὴν τοῦ δεῖνος γυναῖκα, κατηγορούμενος ἐν δικαστηρίῳ λεγέτω, ὅτι 'οὐκ ἐγώ, ἀλλ' ἡ γένεσις· ἐγὼ μὲν γὰρ σωφρονεῖν ἐβουλόμην, ἐκείνη δέ με ὦσε καὶ ἐνέβαλεν'· ἆρα οὐ διὰ τοῦτο χαλεπωτέραν δώσει δίκην, ὡς καταγέλαστα ἀπολογούμενος; ἆρα συγγνώμης τεύξεταί τινος; Οὐδαμῶς. Καὶ μὴν ἐχρῆν κατ' ἐκείνους. Εἰ γὰρ γενέσει πάντα καὶ οὐ προαιρέσει γίνεται, ταύτης μείζων οὐκ ἔστιν ἀπολογία. Εἰ μὲν γὰρ κυρία καὶ δυνατωτέρα ἐστὶ τῆς γενέσεως ἡ προαίρεσις, οὐκ ἂν εἴη γένεσις. Εἰ κἂν μυρία μηχανήσηταί τις, ἀνάγκη τὰ ἐπιτάγματα τὰ ἐκείνης πληροῦσθαι, μάτην οὗτος κολάζεται καὶ οὐ τεύξεται συγγνώμης. Ἀλλ' οὐδεὶς αὐτοῦ οὔτε ἀπολογουμένου, οὔτε τυχόντος συγγνώμης ἀκούσεται· οὕτω παρὰ πᾶσιν τὸ πρᾶγμα διαβέβληται καὶ μῦθος εἶναι καὶ λῆρος δοκεῖ.

2. Πολλοί τε τῶν ἀρχόντων (καίτοι γε εἰ παρὰ ἀνθρώπου πάθοι βίαν, ἀρκεῖ πρὸς ἀπολογίαν αὐτὸ τοῦτο ἐγκαλουμένῳ, μᾶλλον οὐδὲ ἔγκλημα λοιπὸν εἶναι δοκεῖ), πολλοὶ γοῦν τῶν ἀρχόντων, ἐπὶ φόνοις ἀδίκοις κατηγορηθέντες, δίκην ἔδοσαν, τοὺς δὲ δημίους τοὺς διακονουμένους τῷ φόνῳ καὶ αὐτόχειρας γεγενημένους τῆς σφαγῆς, οὐδὲ εἰς δικαστήριον ἑλκύσαι τις, ἀλλ' οὐδὲ ζητῆσαι τὴν ἀρχήν, τῆς ἀνάγκης ὑπὲρ αὐτῶν ἀπολογουμένης καὶ τοῦ τῆς ἀρχῆς ἀξιώματος καὶ τοῦ τῆς ὑποταγῆς φόβου. Εἶτα ἀνθρώπῳ μὲν ἴσασι

ὁλοφάνερα. Ὅπως δηλαδὴ εἶναι φανερό, ὅτι εἶναι κακὸ τὸ νὰ φονεύη κανεὶς καὶ φαῦλο τὸ νὰ μοιχεύη, ἔτσι εἶναι φανερό, ὅτι εἶναι κακὸ καὶ ἀπαγορευμένο τὸ νὰ πιστεύη κανεὶς στὴν εἱμαρμένη. Μὴ δηλαδὴ νομίζετε ἀπὸ τὸ ὅτι πιστεύουν σ' αὐτήν, καὶ ὅτι εἶναι ἀπὸ ἐκεῖνα ποὺ δὲν ἀπαγορεύονται· γιατὶ καὶ ὁ φόνος τολμᾶται καὶ γίνεται, ἂν καὶ ἀπαγορεύεται ἀπὸ τοὺς νόμους, ἐπίσης καὶ οἱ μοιχεῖες καὶ οἱ ἁρπαγὲς ἀνήκουν στὰ ἀπαγορευμένα, ἂν καὶ διαπράττονται ἀπὸ τοὺς πολλούς. Γιατί, ἐπειδὴ ἀπαγορεύεται καὶ ἀπὸ τοὺς νόμους τῶν Ἐθνικῶν τὸ νὰ πιστεύη κανεὶς στὴν εἱμαρμένη, ὅπως ἀκριβῶς καὶ ὁ φόνος, ἂν ὁδηγηθῆ κάποιος στὸ δικαστήριο κατηγορούμενος γιὰ μοιχεία μὲ τὴν γυναῖκα κάποιου καὶ λέγη ἐκεῖ, 'δὲν φταίω ἐγώ, ἀλλὰ ἡ γένεση, γιατὶ ἐγὼ ἤθελα νὰ ἀσκῶ τὴν ἐγκράτεια, ἀλλ' ἐκείνη μὲ ὤθησε καὶ μὲ ἔβαλε νὰ τὸ κάνω', ἄραγε δὲν θὰ τιμωρηθῆ γι' αὐτὸ μὲ πάρα πολὺ βαρειὰ τιμωρία, ἐπειδὴ ἀπολογεῖται μὲ τέτοιο καταγέλαστο τρόπο; ἄραγε θὰ βρῆ κάποια συγγνώμη; Καθόλου. Κι ὅμως ἔπρεπε, σύμφωνα μὲ ἐκείνους, νὰ τύχη. Γιατί, ἂν ὅλα γίνωνται ἀπὸ τὴν εἱμαρμένη καὶ ὄχι ἀπὸ τὴν προαίρεση, τότε μεγαλύτερη ἀπ' αὐτὴ δικαιολογία δὲν ὑπάρχει. Ἂν ὅμως ἡ προαίρεση εἶναι ἀνώτερη καὶ ἰσχυρότερη ἀπὸ τὴν εἱμαρμένη, τότε εἶναι ἀδύνατη ἡ ὕπαρξη αὐτῆς. Κι ἂν ἀκόμη ἐπινοήση κάποιος ἄπειρα τεχνάσματα, ἂν εἶναι ἀνάγκη νὰ ἐκπληρωθοῦν τὰ ἐπιτάγματά της, τότε αὐτὸς δὲν θὰ τὸν ἀκούση προβάλλοντας μιὰ τέτοια ἀπολογία, οὔτε θὰ ἐπιτύχη συγχώρηση· τόσο πολὺ ἀπ' ὅλους κατηγορεῖται τὸ πρᾶγμα καὶ θεωρεῖται ὅτι εἶναι μῦθος καὶ φλυαρία.

2. Πολλοὶ λοιπὸν ἀπὸ τοὺς ἄρχοντες (ἂν καὶ βέβαια, ἂν κάποιος ἐξαναγκασθῆ ἀπὸ ἄλλον ἄνθρωπο, ἀρκεῖ γιὰ ἀπολογία τοῦ κατηγορουμένου αὐτὸ καὶ μόνο, ἢ καλύτερα δὲν θεωρεῖται τότε οὔτε κἂν ἀδίκημα), πολλοὶ λοιπὸν ἀπὸ τοὺς ἄρχοντες, ποὺ κατηγορήθηκαν γιὰ φόνους ἄδικους, τιμωρήθηκαν, ἐνῶ οἱ δήμιοι, ποὺ διεκπεραιώνουν τὸν φόνο καὶ μὲ τὰ ἴδια τους τὰ χέρια διαπράττουν τὴ σφαγή, δὲν μπορεῖ κανεὶς νὰ τοὺς ὁδηγήση στὸ δικαστήριο, ἀλλ' οὔτε καὶ ἐξετάζει τὴν αἰτία τοῦ φόνου, γιατὶ δικαιολογοῦνται ἀπὸ τὴν ἀνάγκη, καθὼς καὶ ἀπὸ τὸ ἀξίωμα τῆς ἐξουσίας καὶ τὸν φόβο τῆς ὑποταγῆς. Ἔπειτα, γνωρίζουν αὐτοὶ νὰ συγχωροῦν ἄνθρωπο,

συγγινώσκειν, ὑπ' ἀνθρώπου τοῦ ὁμοφύλου καὶ ὁμογενοῦς καταναγκαζομένου, τῷ δὲ ὑπὸ εἱμαρμένης οὐχὶ πολλῷ μᾶλλον συγγινώσκειν ἐχρῆν; Καὶ γὰρ διαδρᾶναι ἔδει. Ἐκείνης δέ, ὥς φασιν, οὕτως ἀμήχανος ἡ ἀρχή, ὡς κἂν εἰς ἔρημον κἂν εἰς θάλασσαν κἂν ὅπου τις ἀφίκηται, τὰ νοήματα αὐτῆς οὐ διαφεύξεται. Πῶς οὖν οὐκ ἄτοπον τὸν μὲν ὑπὸ βαρβάρων βίας ἀγχόμενον, πλείστης συγγνώμης ἀπολαύειν, ὡς μηδὲ ἐγκαλεῖσθαι τὴν ἀρχήν, τὸν δὲ ὑπὸ δυνατωτέρας, ὥς φασι, δυνάμεως καταναγκαζόμενον, δίκην διδόναι καὶ μηδὲ λόγου μεταδιδόναι πρὸς ἀπολογίαν αὐτῷ τοιαύτην; Οὐδεὶς γάρ ποτε προβαλλόμενος εἱμαρμένην ἀπέφυγεν, οὐκ ἐν δικαστηρίοις κακοῦργος, οὐκ ἐν οἰκίᾳ οἰκέτης, οὐκ εἰς διδασκαλεῖον παῖδες, οὐκ ἐν ταῖς τέχναις μαθηταί, ἐν οἷς ἂν διαμάρτωσιν.

Πῶς οὖν τινες εἱμαρμένην πρεσβεύουσιν ἀτιμάζοντες αὐτήν, καὶ τῇ ὑπ' αὐτῆς ἀνάγκῃ οὐδὲ μιᾶς μεταδιδόντες συγγνώμης; Οὕτω τῇ μὲν ἀληθείᾳ καὶ τῷ συνειδότι σφόδρα πεπείκασιν ἑαυτούς, ὅτι μῦθος τὸ πρᾶγμά ἐστιν. Ὅταν δὲ εἰς ἁμαρτήματα ἐμπέσωσι χαλεπά, ἕτερον αὐτοῖς προστιθέασι πάλιν, ὡς ταύτῃ διαφευξόμενοι τὴν ἀποκειμένην αὐτοῖς δίκην, ἀλλ' οὐ χαλεπώτερον αὐτὴν δώσοντες. Οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν χαλεπόν, ὡς τὸ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντεῖν καὶ τὸν Θεὸν διαβάλλειν ὑπὲρ τῶν οἰκείων κακῶν. Τοῦτο πάσης ἁμαρτίας χεῖρον· ὅπερ οὖν καὶ ὁ διάβολος ἐσπούδασεν, ὡς μὴ μόνον ῥᾳθύμους ἡμᾶς γενέσθαι πρὸς ἀρετὴν καὶ προχείρους εἰς κακίαν, ἁπάντων τὴν αἰτίαν ἀνατιθέναι τῷ Θεῷ, ἀλλὰ καὶ μετὰ τοῦ βλάσφημον ἡμῶν καὶ τὴν ψυχὴν καὶ τὴν γλῶτταν ἐργάσασθαι, ἀπολογίας προσχήματι, τοῦ Θεοῦ κατηγοροῦντας, καὶ τῶν μὲν ἐργαζομένων ἡμῶν αὐτῶν ἀποσκευαζομένους τὴν διαβολήν, εἰς δὲ τὸν οὐκ ὄντα αἴτιον μετατιθέντας τὴν κατηγορίαν. Καίτοι κἂν ἐπ' ἀνθρώπων τις τοιοῦτόν τι φανῇ τολμήσας, ἀρκεῖ τοῦτο μόνον εἰς κατηγορίαν αὐτοῦ καὶ ἀπώλειαν. Ὅταν γὰρ ἕτερον συκο-

ποὺ ἀναγκάσθηκε ἀπὸ ἄνθρωπο ὁμόφυλο καὶ ὁμογενῆ, καὶ αὐτὸν ποὺ ἀναγκάζεται ἀπὸ τὴν εἱμαρμένη δὲν ἔπρεπε πολὺ περισσότερο νὰ τὸν συγχωροῦν; Καθ'ὅσον ἦταν ἀναγκασμένος νὰ τὸ πράξη· Γιατὶ ἡ ἐξουσία ἐκείνης εἶναι, ὅπως λένε, τόσο ἀκαταμάχητη, ὥστε νὰ μὴ μπορῆ κανεὶς νὰ ξεφύγη τὰ σχέδιά της κι ἂν ἀκόμη πάη στὴν ἔρημο ἢ στὴ θάλασσα ἢ ὁπουδήποτε ἀλλοῦ. Πῶς λοιπὸν δὲν εἶναι παράλογο, ἐκεῖνος ποὺ ἐξαναγκάζεται ἀπὸ τοὺς βαρβάρους νὰ βρίσκη συγχώρηση μεγάλη καὶ οὔτε κἂν νὰ ἐξετάζωνται τὰ αἴτια, καὶ ἐκεῖνος ποὺ ἀναγκάζεται ἀπὸ ἀνώτερη, ὅπως λένε, δύναμη νὰ τιμωρῆται καὶ οὔτε νὰ μπορῆ νὰ ἐπικαλεσθῆ τὴ δύναμη αὐτὴ σὰν δικαιολογία; Γιατὶ κανείς, προβάλλοντας σὰν δικαιολογία τὴν εἱμαρμένη, ἀπέφυγε τὴν τιμωρία, οὔτε ὁ κακοῦργος στὸ δικαστήριο οὔτε ὁ δοῦλος στὸ σπίτι οὔτε τὰ παιδιὰ στὸ σχολεῖο οὔτε καὶ οἱ μαθητὲς στὶς τέχνες.

Πῶς λοιπὸν μερικοὶ πρεσβεύουν τὴν εἱμαρμένη καὶ τὴν ἀτιμάζουν ἔτσι, μὴ ἀναγνωρίζοντας καμμιὰ συγγνώμη στὶς πράξεις ἐκεῖνες ποὺ ἔγιναν μετὰ ἀπὸ ἐξαναγκασμὸ δικό της; Ἔτσι ἔχουν πεισθῆ ἀπόλυτα αὐτοὶ καὶ ἀπὸ τὴν ἀλήθεια τοῦ πράγματος καὶ ἀπὸ τὴν ἴδια τὴ συνείδησή τους, ὅτι τὸ πρᾶγμα εἶναι μῦθος. Ὅταν ὅμως περιπέσουν σὲ βαριὰ ἁμαρτήματα, προσθέτουν σ' αὐτὰ πάλι καὶ κάτι ἄλλο, ὅτι δηλαδὴ μὲ τὴν εἱμαρμένη θὰ ἀποφύγουν τὴν τιμωρία ποὺ τοὺς ἐπιφυλάσσεται, καὶ δὲν θὰ τιμωρηθοῦν πάρα πολὺ αὐστηρά. Γιατὶ δὲν εἶναι τόσο φοβερὸ τὸ νὰ ἁμαρτάνη κανείς, ὅσο τὸ νὰ φέρεται μετὰ την ἁμαρτία μὲ ἀδιαντροπιὰ καὶ νὰ κατηγορῆ τὸν Θεο γιὰ τὰ δικά του κακά. Αὐτὸ εἶναι ἀπὸ κάθε ἁμαρτία χειρότερο, πρᾶγμα βέβαια γιὰ τὸ ὁποῖο ἔδειξε ὁ διάβολος μεγάλη φροντίδα, ὥστε ὄχι μόνο νὰ γίνουμε ἀδιάφοροι πρὸς τὴν ἀρετὴ καὶ πρόθυμοι πρὸς τὴν κακία, ἀναθέτοντας τὴν αἰτία ὅλων στὸν Θεό, ἀλλὰ καὶ νὰ κάμη, μὲ τὸ πρόσχημα τῆς δικαιολογίας, βλάσφημη πρὸς αὐτὸν καὶ τὴν ψυχή μας καὶ τὴ γλῶσσα μας, μὲ τὸ νὰ κατηγοροῦμε τὸν Θεό· καὶ ἀπὸ μᾶς τοὺς ἴδιους βέβαια ποὺ διαπράττουμε τὸ κακὸ νὰ ἀποκρούουμε τὴν κατηγορία, νὰ τὴ μεταθέτουμε ὅμως σ' ἐκεῖνον ποὺ δὲν εἶναι αἴτιος αὐτοῦ. Ἂν καὶ βέβαια, ἂν φανῆ κάποιος ποὺ νὰ τολμήση νὰ τὸ κάμη αὐτὸ στοὺς ἀνθρώπους, ἀρκεῖ αὐτὸ καὶ μόνο γιὰ νὰ τοῦ ἀποδοθῆ κατηγορία καὶ νὰ ὑποστῆ βαρειὰ τιμωρία. Γιατί, ὅταν κάποιος συκοφαντῆ ἕναν ἄλλον, ποὺ ὁ

φαντῇ ὁ μηδὲν ἐργασάμενος δεινόν, τῶν δεδρακότων τὸ τόλμημα τιμωρίᾳ ἐνέχεται.

3. Ὅρα οὖν πόσα κακὰ συνέστησεν ὁ διάβολος ἀπὸ τῆς εἱμαρμένης· ὑπεροψίαν ἀρετῆς· ἐκλύει γὰρ ψυχὴν κἂν σφόδρα πρόθυμος ᾖ πρὸς τοὺς ὑπὲρ αὐτῆς ἱδρῶτας, ὅταν πείσῃ, ὅτι τῶν γενομένων οὐδέν ἐστιν ἐφ' ἡμῖν εὐέμπτωτον πρὸς πονηρίαν ἔργον. Ὅταν γὰρ μάθῃ τις ὅτι μοιχεύων ἢ φονεύων, καὶ τοίχους διαρύττων, οὐκ ἔστιν ἐγκλήματος ἄξιος, οὐ παύσεται, καθάπερ ἐπὶ κατάντους χωρίου, μετὰ προθυμίας φερόμενος τῆς προνοίας ποιεῖν συκοφάντας, καὶ συκοφάντης γενέσθαι κατὰ τοῦ Θεοῦ· οὗ τί γένοιτο ἂν χεῖρον, εἰπέ μοι, κακόν; Φεύγωμεν τοίνυν, ἀγαπητοί, τὴν εἰδωλολατρίαν ταύτην· ὄντως θάνατός ἐστιν ἐν τῷ λέβητι καὶ πάντα τὸν ἀρυσάμενον ἐντεῦθεν κἂν μικρόν τι τῶν διεφθαρμένων δογμάτων ἀνάγκη πάντως ἀποθανεῖν, εἰ μὴ πάλιν δρομήσειε καὶ τῆς ὑγιείας ἀπολαύσειε τῆς καθαρᾶς. Ἵν' οὖν μὴ μετὰ ταῦτα ἀνόητα θρηνῶμεν, ὅταν τῆς μετανοίας ἡμῖν ἡ προθεσμία μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκκοπῇ, ἕως ἐσμὲν κύριοι, ὅσοι μὲν ἑάλωμεν τῷ νοσήματι, μετανοήσωμεν καὶ ἀνακτησώμεθα ἑαυτούς· ὅσοι δὲ ὑγιαίνομεν, τήν τε ὑγίειαν καθαρὰν διατηρῶμεν καὶ τοῖς προκατειλημμένοις χεῖρα ὀρέγωμεν. Εἰ γὰρ τοῖς τὰ σώματα νοσοῦσι τοσαύτην ἐπιδεικνύμεθα σπουδὴν καὶ κηδεμονίαν, ὅταν ψυχῆς ἀρρωστία προκέηται, τί τῶν πάντων οὐ πρακτέον ἡμῖν; τί δὲ οὐχ ὑπομενοῦμεν, ὥστε τὸν ἀδελφόν, εἰς συνάφειαν μέλους ἡμῖν συντελοῦντα, ἀνακτήσασθαι, τὸν καὶ τῷ πληρώματι τοῦ σώματος τοῦ ἐκκλησιαστικοῦ τελοῦντα;

Πάντα οὖν ὑπὲρ τούτου πραγματευσώμεθα, πάντα οὖν ὑπὲρ τούτου πράττωμεν, τοὺς κύνας, τοὺς λύκους ἀπελαύνοντες, μηδὲ ἀρκεῖν ἡγώμεθα ἡμῖν τὴν ἡμετέραν αὐτῶν σωτηρίαν. Ὥσπερ γὰρ εἴρηται ὅτι, «εἰ ἐθεώρεις κλέπτην συνέτρεχες καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθης», οὕτω δὴ καὶ ἐναῦθα ἀκουσόμεθα. Οἶκός ἐστι δεσποτικὸς ἡ Ἐκκλησία, σκεύη τίμιά εἰσιν οἱ πιστοί. Ὅταν οὖν ἴδῃς τινὰ τῶν ἔξωθεν βουλόμενον ὑφελέσθαι τι τῶν σκευῶν, κἂν

4. Ψαλμ. 49,18.

ἴδιος δὲν ἔκαμε κανένα κακό, τὸ τόλμημα αὐτὸ συνεπάγεται τὴν τιμωρία ἐκείνων ποὺ τὸ διέπραξαν.

3. Πρόσεχε λοιπὸν πόσα κακὰ ἐπέτυχε ὁ διάβολος ἀπὸ τὴν εἱμαρμένη. Τὴν περιφρόνηση τῆς ἀρετῆς· γιατὶ παραλύει τὴν ψυχή, κι ἂν ἀκόμη εἶναι πάρα πολὺ πρόθυμη γιὰ τοὺς ἱδρῶτες αὐτῆς, ὅταν τὴν πείση, ὅτι καμμιὰ ἀπὸ τὶς κακὲς πράξεις μας δὲν εἶναι ἀξιοκατάκριτη. Γιατί, ὅταν μάθη κανείς, ὅτι διαπράττοντας μοιχεῖες ἢ φόνους ἢ διαρρήξεις, δὲν εἶναι ἀξιοκατάκριτος, δὲν θὰ παύση, σὰν νὰ βρίσκεται σὲ μέρος κατηφορικό, νὰ κινῆται μὲ προθυμία καὶ νὰ δημιουργῆ συκοφάντες τῆς πρόνοιας καὶ ὁ ἴδιος νὰ συκοφαντῆ τὸν Θεό, πρᾶγμα ἀπὸ τὸ ὁποῖο, πές μου, τί θὰ μποροῦσε νὰ ὑπάρξη χειρότερο κακό; Ἂς ἀποφεύγουμε λοιπόν, ἀγαπητοί, τὴν εἰδωλολατρία αὐτή. Πράγματι ὑπάρχει θάνατος μέσα στὸ καζάνι, καὶ ὁ καθένας ποὺ ἀντλεῖ ἀπὸ ἐκεῖ, ἔστω καὶ τὸ ἐλάχιστο ἀπὸ τὰ διεφθαρμένα δόγματα, κατ' ἀνάγκη θὰ πεθάνη ὁπωσδήποτε, ἂν δὲν ἐπιστρέψη πάλι καὶ ν' ἀπολαύση τὴν καθαρὴ ὑγεία. Γιὰ νὰ μὴ θρηνοῦμε λοιπὸν ἀργότερα ἀνώφελα, ὅταν θὰ τελειώση ἡ προθεσμία τῆς μετάνοιας μετὰ την ἀποδημία μας ἀπὸ τὴν ἐδῶ ζωή, ὅσο βρίσκεται στὴν ἐξουσία μας, ὅσοι κυριευθήκαμε ἀπὸ τὴ νόσο ἂς μετανοήσουμε καὶ ἂς ἐπανεύρουμε τὴν ὑγεία μας, ὅσοι πάλι εἴμαστε ὑγιεῖς καὶ τὴν ὑγεία νὰ διατηροῦμε καθαρὴ καὶ νὰ ἁπλώνουμε χέρι βοήθειας σ' ἐκείνους ποὺ ἔχουν προσβληθῆ ἀπὸ τὴν νόσο. Γιατί, ἂν δείχνουμε τόσο ἐνδιαφέρον καὶ τόση φροντίδα γιὰ ἐκείνους ποὺ νοσοῦν σωματικά, ὅταν βρίσκεται μπροστά μας ἀσθένεια ψυχῆς, τί πάνω ἀπ' ὅλα δὲν πρέπει νὰ κάνουμε; τί δὲν πρέπει νὰ ὑπομείνουμε, γιὰ νὰ ἀποκτήσουμε ξανὰ τὸν ἀδελφό μας, ποὺ συντελεῖ στὴν ἕνωση ἑνὸς μέλους μας μὲ ἐμᾶς, ἐφ' ὅσον ἀνήκει στὸ πλήρωμα τοῦ ἐκκλησιαστικοῦ σώματος;

Ἂς ἀναλάβουμε λοιπὸν κάθε φροντίδα γι' αὐτὸν καὶ ἂς κάμνουμε τό κάθετι ὑπὲρ αὐτοῦ, ἀπομακρύνοντας τοὺς σκύλους καὶ τοὺς λύκους, κι ἂς μὴ νομίζουμε ὅτι ἀρκεῖ μόνο ἡ σωτηρία μας. Γιατί, ὅπως ἀκριβῶς ἔχει λεχθῆ, «ἂν ἔβλεπες κλέφτη ἔτρεχες μαζί του, καὶ μαζὶ μὲ τοὺς μοιχοὺς ἔπαιρνες καὶ σὺ τὴν μερίδα σου στὴν ἀκολασία»[4], τὸ ἴδιο λοιπὸν θ' ἀκούσουμε καὶ ἐδῶ. Ἡ Ἐκκλησία εἶναι οἶκος δεσποτικὸς καὶ οἱ πιστοὶ εἶναι τὰ πολύτιμα σκεύη. Ὅταν λοιπὸν δῆς κάποιον ἀπὸ τοὺς ἐκτὸς αὐτῆς νὰ θέλη ν' ἀρπά-

αὐτὸς ἀνάλωτος ᾖς, ὡς μέλλων κινδυνεύων, εἰ παρίδοις καὶ μὴ προσελθὼν εἴποις τοῖς διορθῶσαι κυρίοις, ἔνοχος γέγονας τῆς ἐκείνου ψυχῆς, ὁ τὸν κλέπτην ὁρῶν διορύττοντα καὶ μὴ κωλύων ἢ διὰ σαυτοῦ ἢ δι' ἑτέρου. Οὐχ ὥς σοι τὸν κίνδυνον ἁπλῶς ἐπικρέμασθαι ταῦτα λέγω, ἀλλ' ὥστε ἀσφαλίσασθαι, ὥστε ποιῆσαι ἴσως ὑπὲρ τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων σωτηρίας μεριμνᾶν. Οὕτω γὰρ δυνησόμεθα καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν χάριτι Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ξη κάποιο ἀπὸ τὰ σκεύη, κι ἂν ἀκόμη σὺ εἶσαι ἀπρόσβλητος, ἐπειδὴ πρόκειται νὰ κινδυνεύσης, ἂν ἀδιαφορήσης καὶ δὲν πᾶς νὰ τὸ ἀναφέρης σ' ἐκείνους ποὺ μποροῦν νὰ τὸ διορθώσουν, κατέστης ἔνοχος γιὰ τὴν ἀπώλεια τῆς ψυχῆς ἐκείνου, σὺ ποὺ βλέπεις τὸν κλέφτη νὰ σκάβη καὶ δὲν τὸν ἐμποδίζεις ἢ μόνος σου ἢ μὲ ἄλλον. Καὶ δὲν τὰ λέγω αὐτὰ ἐπειδὴ ἐπικρέμεται γιὰ σένα ὁ κίνδυνος, ἀλλὰ γιὰ νὰ σὲ ἀσφαλίσω, ὥστε νὰ φροντίζης ἐξ ἴσου γιὰ τὴ σωτηρία τὴ δική σου καὶ τῶν ἄλλων. Γιατὶ ἔτσι θὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ, μὲ τὴ χάρη τοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ

ΛΟΓΟΣ Δ'

1. Τὰ αὐτὰ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. Εἰ δὲ Παύλῳ συνεχοῦς ἔδει διδασκαλίας πρὸς τοὺς μαθητάς, Παύλῳ τῷ μετὰ τῆς τοῦ Πνεύματος διδάσκοντι χάριτος καὶ μετὰ ἐπιτάγματος ἐλαύνοντι τοὺς ἐχθροὺς καὶ πάντων ἀναιροῦντι τὰ παθήματα, Παύλῳ τῷ τιμωμένῳ, οὗ πάντες ἤκουον ὡς ἐξ οὐρανῶν ἀγγέλου καταβάντος, μᾶλλον δὲ ὡς αὐτοῦ τοῦ Χριστοῦ· εἰ τοίνυν ἐκείνῳ χρεία ἦν τοῦ συνεχῶς τὰ αὐτὰ λέγειν, πολλῷ μᾶλλον ἡμῖν τοῖς οὐδενὸς ἀξίοις λόγου. Καὶ γὰρ ὄντως ἀσφαλὲς τὸ πολλάκις ὑμῖν περὶ τῶν αὐτῶν ἀκούειν καὶ οὐ μόνον τὸ περὶ τῶν αὐτῶν, ἀλλὰ καὶ τὸ τὰ αὐτὰ περὶ τῶν αὐτῶν. Μὴ δὴ δυσχεραινέτω τις, μηδὲ ἐνοχλεῖσθαι νομιζέτω παρ' ἡμῶν, εἰ περὶ τῆς αὐτῆς ὑποθέσεως μέλλοιμεν τὰ αὐτὰ λέγειν πάλιν. Εἰ μὲν γὰρ ἦν θαρσῆναι, ὅτι ἅπαξ ἀκούσαντες ἀποτίθεσθε τὸ νόσημα τῆς ψυχῆς, μάλιστα μὲν οὐδὲ οὕτως ἀποστῆναι ἐχρῆν, ἀλλ' ἔτι περὶ τῶν αὐτῶν λέγειν ἐχρῆν, ὥστε μόνιμον ὑμῖν καὶ βεβαίαν ποιῆσαι τὴν ὑγίειαν καὶ δυσχειρώτους πρὸς τὸ τοῖς αὐτοῖς μὴ περιπεσεῖν πάλιν ἔργοις. Ἐπειδὴ δὲ ὑποπτεύομεν εἶναι ἔτι λείψανά τινα τοῦ κακοῦ παρὰ τοῖς ἀκροαταῖς, ἀναγκαία καὶ κατὰ λόγον ἡμῖν ἡ συνεχὴ ὑπὲρ τούτων ἐστὶ παραίνεσις. Τήμερον γὰρ ἀναγκαῖόν ἐστιν εἰπεῖν πῶς ἂν ἐκφύγοιμεν.

Πῶς οὖν ἐκφύγοιμεν ἄν; Πρῶτον μὲν ταῖς εὐχαῖς καὶ τῇ πρὸς τὸν Θεὸν ὁμιλίᾳ, δεύτερον δέ, λογισμοῖς εὐσεβέσιν. Ἂν γὰρ ἴδῃς τίνα μὲν τὰ μέλλοντα, τίνα δὲ τὰ παρόντα καὶ τὴν ὀρθὴν περὶ ἑκατέρων ψῆφον ἐνέγκῃς, οὐδέποτέ σου τῆς ψυχῆς ἅψεται τοῦτο τὸ κακόν. Ὅταν οὖν ἴδῃς πλουτοῦντά τινα παρ' ἀξίαν, μὴ μακαρίσῃς,

1. Φιλιπ. 3,1.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

ΛΟΓΟΣ Δ'

1. «Τὸ νὰ σᾶς λέγω τὰ ἴδια σὲ μένα δὲν εἶναι βαρετό, ἐνῶ σᾶς παρέχει ἀσφάλεια»[1]. Ἂν ὁ Παῦλος ἔπρεπε νὰ διδάσκη συνέχεια τοὺς μαθητές του, ὁ Παῦλος ποὺ δίδασκε μὲ τὴ χάρη τοῦ Πνεύματος καὶ μὲ τὸ πρόσταγμά του ἔδιωχνε τοὺς ἐχθροὺς καὶ σήκωνε ἐπάνω του τὰ παθήματα ὅλων, ὁ Παῦλος ὁ τιμημένος, ποὺ ὅλοι τὸν ἄκουαν σὰν ἄγγελο ποὺ κατέβηκε ἀπὸ τοὺς οὐρανούς, ἢ καλύτερα ποὺ τὸν ἄκουαν σὰν νὰ ἦταν ὁ ἴδιος ὁ Χριστός, ἂν λοιπὸν ἐκεῖνος ἦταν ἀναγκασμένος νὰ λέγη συνεχῶς τὰ ἴδια, πολὺ περισσότερο εἴμαστε ἐμεῖς οἱ ἀνάξιοι γιὰ κάθε λόγο. Γιατὶ πραγματικὰ ἀποτελεῖ ἀσφάλεια τὸ νὰ ἀκοῦτε πολλὲς φορὲς γιὰ τὸ ἴδιο πρᾶγμα, καὶ ὄχι μόνο γιὰ τὸ ἴδιο πρᾶγμα, ἀλλὰ καὶ νὰ ἀκοῦτε τὰ ἴδια λόγια γιὰ τὸ ἴδιο πρᾶγμα. Ἂς μὴ δυσανασχετῆ λοιπὸν κανείς, οὔτε νὰ νομίζη ὅτι ἐνοχλεῖται ἀπὸ μᾶς, ἂν συμβαίνη νὰ λέμε γιὰ τὸ ἴδιο θέμα τὸ ἴδια πάλι. Γιατί, κι ἂν ἀκόμη μποροῦσα νὰ πιστέψω, ὅτι ἀκούοντάς τα μιὰ φορὰ μόνο, θ' ἀποβάλατε τὸ νόσημα τῆς ψυχῆς, οὔτε βέβαια καὶ στὴν περίπτωση αὐτὴ ἔπρεπε νὰ σταματήσω, ἀλλὰ θὰ ἔπρεπε καὶ πάλι νὰ σᾶς μιλήσω ἐπανειλημμένα γιὰ τὸ ἴδιο θέμα, ὥστε νὰ καταστήσω μόνιμη καὶ σταθερὴ τὴν ὑγεία σας καὶ σᾶς τοὺς ἴδιους δυσκολοκατάβλητους, γιὰ νὰ μὴ περιπέσετε καὶ πάλι στὰ ἴδια ἔργα. Ἐπειδὴ ὅμως ὑποψιάζομαι, ὅτι ὑπάρχουν ἀκόμη στοὺς ἀκροατὲς μερικὰ λείψανα τοῦ κακοῦ, εἶναι ἀναγκαία καὶ δικαιολογημένη ἡ συνεχὴς συμβουλὴ γι αὐτά. Σήμερα λοιπὸν εἶναι ἀνάγκη νὰ σᾶς πῶ πῶς θὰ μπορέσουμε νὰ ξεφύγουμε ἀπ' αὐτά.

Πῶς λοιπὸν θὰ μπορέσουμε νὰ ξεφύγουμε ἀπ' αὐτά; Πρῶτα-πρῶτα μὲ τὶς προσευχὲς καὶ μὲ τὴν ἐπικοινωνία μας μὲ τὸν Θεό, καὶ δεύτερον μὲ τοὺς εὐσεβεῖς λογισμούς. Ἂν δηλαδὴ δῆς ποιά εἶναι τὰ μέλλοντα καὶ ποιά εἶναι τὰ παρόντα καὶ σχηματίσης γιὰ τὸ καθένα ὀρθὴ γνώμη, ποτὲ τὸ κακὸ αὐτὸ δὲν θὰ ἐγγίση τὴν ψυχή

μὴ ζηλωτὸν νομίσῃς, μὴ καταγνῷς τῆς τοῦ Θεοῦ προνοίας, μὴ μάτην φέρεσθαι καὶ εἰκῆ τὰ παρόντα νόμιζε, ἐπειδὴ ὁ δεῖνα πλουτεῖ παρ' ἀξίαν. Ἀναμνήσθητι τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, πῶς ὁ μὲν πρὸς ἄκρον εὐπορίας ἐληλάκει καὶ τρυφῆς, ὠμὸς ὢν καὶ ἀπηνὴς καὶ ἀπάνθρωπος καὶ κυνῶν αὐτῶν ἀγριώτερος· εἴ γε οἱ μὲν τὸν πένητα ἠλέουν καὶ ἐθεράπευον, οὐκ ὀκνοῦντες τῇ γλώττῃ ἅψασθαι τῶν ἑλκῶν τῶν κατὰ παντὸς τοῦ σώματος, ὁ δὲ οὐδὲ ψιχίων αὐτῷ μετεδίδου. Ἐννόησον οὖν πῶς αὐτὸς μὲν πρὸς ἄκρον εὐπορίας ἐληλάκει, ὁ δὲ πένης ἐκεῖνος ὁ ὄντως πλούσιος, ὁ ὄντως εὔπορος, εἰς αὐτὸ τῆς πενίας τὸ ἔσχατον κατέπεσε καὶ αὐτῆς τῆς ἀναγκαίας ἠπόρει τροφῆς καὶ νόσῳ καὶ λιμῷ διηνεκεῖ παλαίων. Καὶ ὁ μὲν ἥττω τῆς χρείας εἶχεν, ὁ δὲ οὐδὲ τῆς συμμετρίας ἀπήλαυεν. Ἀλλ' ὅμως οὐκ ἐδυσχέραινεν, οὐκ ἐφθέγξατο ῥῆμα ἀσεβές, οὐ κατηγόρησε τοῦ Θεοῦ, οὐκ ἐμέμψατο τὴν πρόνοιαν, οὐκ ἀνέθηκεν εἱμαρμένῃ τὰ γεγενημένα, οὐκ εἶπε πρός τινα, ἀλλ' οὐδὲ πρὸς ἑαυτόν· 'ἐγὼ μὲν οὐδὲν ποιήσας κακὸν εἰδικῶς, τοσαύτην τίνω δίκην καὶ τὴν ἐσχάτην ὑπομένω τιμωρίαν, λιμῷ τηκόμενος, δαπανώμενος νόσῳ χαλεπωτάτῃ, κατὰ μικρὸν ἀναλισκόμενος καὶ ἀσχημονῶν· οὗτος δὲ πλουτεῖ καὶ τρυφᾷ ταῖς ἀλλοτρίαις ἐνδιαιτώμενος συμφοραῖς, ὁ τοῖς ἐμοῖς ἐμπαροινῶν κακοῖς· καὶ τὸν μὲν ἀπάνθρωπον καὶ ἀνηλεῆ καὶ ὠμὸν καὶ λίθινον τοσούτων ἐποίησε χρημάτων κύριον ὁ Θεός, ἐμὲ δὲ τὸν οὐδὲ μέχρι ῥημάτων ψιλῶν παροξύναντα ἀφῆκε κατατείνεσθαι πόνοις τοσούτοις. Ποῦ ταῦτα δικαιοκρισίας ἄξια; ποῦ ταῦτα προνοίας καὶ κηδεμονίας τῆς ὑπὲρ ἡμῶν;'

2. Οὐδὲν τούτων οὐκ εἶπεν ἐκεῖνος. Πῶς οὖν οὐκ ἄτοπον, ὅταν αὐτοὶ μὲν οἱ πάσχοντες κακῶς οὕτω τὸν Δεσπότην εὐλογῶσιν ἐν πᾶσιν, σὺ δὲ ὁ τῶν παλαισμάτων ἑστηκὼς ἔξω, ὑπὲρ τούτων βλασφημεῖς τὸν Θεόν, ὑπὲρ ὧν εὐχαρίστως ἕτεροι ἔχουσιν; Ὁ μὲν πάσχων δεινῶς, κἂν εἴπῃ τι ῥῆμα φορτικὸν καὶ ἐπαχθές, εἰ καὶ μὴ το-

σου. Ὅταν λοιπὸν δῆς κάποιον νὰ πλουτίζη χωρὶς νὰ τὸ ἀξίζη, μὴ τὸν μακαρίσης, μὴ τὸν θεωρήσης ἀξιοζήλευτο, μὴ κατηγορήσης τὴν πρόνοια τοῦ Θεοῦ καὶ μὴ νομίσης, ὅτι τὰ παρόντα κινοῦνται ἄσκοπα καὶ τυχαῖα, ἐπειδὴ ὁ τάδε πλουτίζει παρ' ἀξίαν. Θυμήσου τὸν Λάζαρο καὶ τὸν πλούσιο, πῶς ὁ πλούσιος ἔφθασε στὴν πιὸ μεγάλη εὐπορία καὶ τρυφή, ἐνῶ ἦταν ὠμὸς καὶ σκληρὸς καὶ ἀπάνθρωπος καὶ ἀπὸ τὰ σκυλιὰ πιὸ ἄγριος, ἐφόσον ἐκεῖνα λυποῦνταν τὸν φτωχὸ καὶ τὸν διακονοῦσαν, μὴ διστάζοντας νὰ γλύψουν μὲ τὴ γλῶσσα τους τὶς πληγὲς ποὺ ὑπῆρχαν σ' ὅλο τὸ σῶμα του, ἐνῶ ἐκεῖνος οὔτε ψίχουλα τοῦ ἔδινε. Σκέψου λοιπὸν πῶς αὐτὸς εἶχε φθάσει στὴν πιὸ μεγάλη εὐπορία, ἐνῶ ὁ φτωχὸς ἐκεῖνος, ὁ πραγματικὰ πλούσιος, ὁ πραγματικὰ εὔπορος, κατέπεσε στὴν πιὸ χειρότερη φτώχεια, στερούμενος ἀκόμη καὶ τὴν ἀναγκαία τροφή, καὶ παλεύοντας μὲ τὴν διαρκῆ ἀρρώστια καὶ τὴ φτώχεια του. Καὶ ὁ ἕνας εἶχε πιὸ λίγα ἀπὸ τὶς ἀνάγκες του, ἐνῶ ὁ ἄλλος ἀπολάμβανε περισσότερα καὶ ἀπὸ τὰ κανονικά. Ἀλλ' ὅμως δὲν ἀγανακτοῦσε, δὲν εἶπε λόγο ἀσεβῆ, δὲν κατηγόρησε τὸν Θεό, δὲν μέμφηκε τὴν πρόνοιά του, δὲν ἀπέδωσε τὰ ὅσα γίνονταν στὴν εἱμαρμένη, δὲν εἶπε σὲ κανένα, ἀλλ' οὔτε καὶ στὸν ἑαυτό του· "Ἐγώ, χωρὶς νὰ ἔκαμα κανένα κακὸ ειδικῶς, τιμωροῦμαι μὲ μιὰ τόση μεγάλη τιμωρία καὶ ὑπομένω τὴν πιὸ χειρότερη ταλαιπωρία, λειώνοντας ἀπὸ τὴν πεῖνα, φθειρόμενος ἀπὸ πάρα πολὺ βαρειὰ ἀρρώστια, καὶ σβήνοντας σιγὰ σιγὰ μέσα σ' αὐτὴν τὴν ἀθλιότητά μου. Αὐτὸς ἀντίθετα πλουτεῖ καὶ ζῆ μέσα στὶς ἀπολαύσεις, τρεφόμενος ἀπὸ τὶς ξένες συμφορές, αὐτὸς ποὺ χλευάζει τὴ δυστυχία μου. Καὶ τὸν ἀπάνθρωπο καὶ ἄσπλαχνο καὶ ὠμὸ καὶ λίθινο τὸν κατέστησε ὁ Θεὸς κύριο τόσων πολλῶν χρημάτων, ἐνῶ ἐμένα, ποὺ δὲν τὸν ἐξώργισα οὔτε μὲ ἁπλὰ λόγια, μὲ ἄφησε νὰ βασανίζωμαι ἀπὸ τόσους πόνους. Πῶς αὐτὰ εἶναι ἄξια τῆς δικαιοκρισίας; πῶς αὐτὰ εἶναι δείγματα τῆς πρόνοιας καὶ τῆς κηδεμονίας τοῦ Θεοῦ γιὰ μᾶς;'

2. Τίποτε ἀπ' ὅλα αὐτὰ δὲν εἶπε ἐκεῖνος. Πῶς λοιπὸν δὲν εἶναι παράλογο, ὅταν αὐτοὶ ποὺ ὑποφέρουν, ἔτσι εὐλογοῦν σὲ ὅλα τὸν Κύριο, ἐνῶ σύ, ποὺ στέκεσαι ἔξω ἀπὸ τὰ παλαίσματα, βλασφημεῖς τὸν Θεὸ γι' αὐτά, γιὰ τὰ ὁποῖα ἄλλοι τὸν εὐχαριστοῦν; Ἐκεῖνος ποὺ ὑποφέρει φοβερά, κι ἂν ἀκόμη πῆ κάποιο λόγο σκληρὸ καὶ πικρό, ἂν καὶ δὲν λαμβάνει τόση συγγνώμη ὅση κάποιος ἄλλος, ὁπωσδή-

σαύτης ὅσης ἕτερος, ἀλλ' ὅμως γε καὶ ἐλάττονος μετέχει συγγνώμης· ὁ δὲ ἔξω τῶν δεινῶν ἑστὼς καὶ ὑπὲρ ἑτέρων τὴν ἑαυτοῦ ψυχὴν ἀπολλύς, ποίας ἂν εἴη συγγνώμης ἄξιος, ὑπὲρ τούτων βλασφημῶν τὸν Θεόν, ὑπὲρ ὧν ὁ παθὼν κακῶς εὐχαριστεῖ καὶ διαπαντὸς αὐτὸν ἀνυμνῶν οὐκ ἀφίσταται; Ὅταν ἴδῃς δίκαιον πάσχοντα κακῶς, ἀναμνήσθητι τούτου τοῦ παραδείγματος· οὔτε γὰρ δικαιότερον ἐκείνου τινὰ ἔχοις μοι νῦν εἰπεῖν· καὶ γὰρ δῆλον ἀπὸ τῆς ὑπομονῆς, δῆλον ἀπὸ τῶν ἐπάθλων· τὸν γὰρ πρῶτον εἴληχε τῆς ἀναπαύσεως τόπον, μετὰ τοῦ πατριάρχου τιμώμενος Ἀβραάμ· οὔτε μείζονα παθόντα κακά, οὔτε οὕτως ὑπεροφθέντα. Τί γὰρ ἂν ἔχοις εἰπεῖν, ὅταν μηδὲ τῶν ἀποπιπτόντων ψιχίων ἐμφορεῖσθαι ἔχῃ; Ὅταν οὖν ἴδῃς ἄκρα κακίαν· τί γὰρ ὠμότερον τοῦ τὸν ἐν συμφορᾷ τοσαύτῃ παρατρέχοντος; κακίαν εἰπεῖν μὴ αὐτὴ συνεζευγμένη· τί τοίνυν εὐπορώτερον γένοιτο ἂν τῆς τραπέζης ἐκείνης καὶ τῆς ἀμφιάσεως ἄκραν τρυφὴν καὶ εὐπραγίαν;

Πάλιν ὅταν ἴδῃς ἄκρον δικαιοσύνην· τί γὰρ ἂν γένοιτο θεοφιλέστερον ψυχῆς τοιαῦτα πασχούσης καὶ φερούσης γενναίως ἄκραν ταλαιπωρίαν; τί γὰρ ἂν γένοιτο θεοφιλέστερον ψυχῆς τοιαῦτα πασχούσης καὶ φερούσης γενναίως ἄκραν ταλαιπωρίαν; τί γὰρ ἂν γένοιτο ἀθλιώτερον λιμοῦ καὶ νοσήματος οὕτως ἀνιάτου; ποίαν ἔχεις, εἰπέ μοι, συγγνώμην, ἐν τοῖς ἄλλοις σκανδαλιζόμενος; Μὴ γὰρ μέχρι τοῦ παρόντος βίου τὰ πράγματα ἕστηκεν; Ἀνάμεινον τὸ τέλος καὶ τότε ὄψει τὸ κατ' ἀξίαν τῆς ἑκάστου ζωῆς. Μὴ πρὸ τῶν βραβείων, μὴ πρὸ τῶν στεφάνων θορυβοῦ. Ὅταν οὖν ἴδῃς εἰς τὸ δικαστήριον ἀμφοτέρους εἰσελθόντας, καὶ τῆς ψήφου τυχόντας, τότε καὶ αὐτὸς τὴν περὶ ἑκάστου κρίσιν ἐξήνεγκε. Πόσοι νῦν ταῖς ὁδοῖς ἐφεδρεύουσι, πόσοι διορύττουσι τοίχους, πόσοι θήκας τῶν κατοιχομένων ἀναρρήσσουσι, πόσοι γάμοις ἐπεβούλευσαν ἀλλοτρίοις, πόσοι δηλητηρίοις φαρμάκοις πολλοὺς ἀπώλεσαν; Ἆρ' οὖν ὑπὲρ τούτων ἐγκαλοῦμεν τῷ δικαστῇ; Οὐδαμῶς. Ἂν μὲν γὰρ λαβὼν

ποτε ὅμως λαμβάνει, ἔστω καὶ μικρότερη, ἐνῶ ἐκεῖνος ποὺ στέκεται ἔξω ἀπὸ τὰ δεινὰ καὶ βλάπτει τὴν ψυχή του γιὰ ξένα πράγματα, ποιᾶς συγγνώμης θὰ μποροῦσε νὰ κριθῆ ἄξιος, βλασφημώντας τὸν Θεὸ γι' αὐτά, γιὰ τὰ ὁποῖα ἐκεῖνος ποὺ ὑποφέρει τὸν εὐχαριστεῖ καὶ δὲν παύει διαρκῶς νὰ τὸν ὑμνῆ; Ὅταν δῆς δίκαιον ἄνθρωπο νὰ ὑποφέρη, θυμήσου αὐτὸ τὸ παράδειγμα· γιατὶ δὲν μπορεῖς νὰ μοῦ πῆς τώρα ἄλλον δικαιότερον ἀπὸ ἐκεῖνον· καθόσον αὐτὸ εἶναι φανερὸ ἀπὸ τὴν ὑπομονή, εἶναι φανερὸ ἀπὸ τὰ ἔπαθλα. Γιατὶ ἔλαχε τὸν πρῶτο τόπος τῆς ἀναπαύσεως, καὶ τιμᾶται μαζὶ μὲ τὸν πατριάρχη Ἀβραάμ. Κανεὶς ἄλλος δὲν ὑπέστη οὔτε μεγαλύτερα κακὰ οὔτε περιφρονήθηκε τόσο πολύ. Γιατὶ τί θὰ μποροῦσες νὰ πῆς, ὅταν δὲν μποροῦσε οὔτε τὰ ψίχουλα ποὺ ἔπεφταν νὰ γευθῆ; Ὅταν λοιπὸν δῆς ὑπερβολικὴ κακία σκέψου αὐτὸ τὸ παράδειγμα. Γιατὶ τί θὰ μποροῦσε νὰ εἶναι σκληρότερο ἀπὸ ἐκεῖνον ποὺ προσπερνᾶ ἀδιάφορος ἕναν ἄνθρωπο ποὺ βρίσκεται σὲ τέτοια συμφορά; Κακία νὰ μοῦ πῆς ποὺ νὰ μὴν εἶναι συνυφασμένη μὲ αὐτήν. Καὶ τί θὰ μποροῦσε νὰ εἶναι πιὸ πλούσιο ἀπὸ τὴν τράπεζα ἐκείνη καὶ ἀπὸ τὴν ὑπερβολικὴ πολυτέλεια τῆς ἐνδυμασίας καὶ τῆς εὐπραγίας; Πάλι ὅταν δῆς ἄκρα δικαιοσύνη σκέψου αὐτό. Γιατὶ τί θὰ μποροῦσε νὰ εἶναι θεοφιλέστερο ἀπὸ τὴν ψυχὴ ποὺ ὑποφέρει ἀπὸ τέτοια κι ὅμως ὑπομένει γενναῖα τὴν ὑπερβολικὴ ταλαιπωρία; Πραγματικὰ τί θὰ μποροῦσε νὰ ὑπάρξη ἀθλιώτερο ἀπὸ τὴν πεῖνα καὶ ἀπὸ ἕνα νόσημα τόσο ἀθεράπευτο; Πές μου λοιπόν, ποιά συγγνώμη θὰ ἔχης, ὅταν σκανδαλίζεσαι μὲ τὰ ἄλλα ποὺ συμβαίνουν;

Μήπως τὰ πράγματα σταματοῦν σ' αὐτὴ ἐδῶ τὴ ζωή; Περίμενε τὸ τέλος, καὶ τότε θὰ δῆς τὴν ἀμοιβὴ τοῦ καθενὸς σύμφωνα μὲ τὴν ἀξία τῆς ἐδῶ ζωῆς του. Μὴ θορυβῆσαι πρὶν ἀπὸ τὰ βραβεῖα, μὴ πρὶν ἀπὸ τὰ στεφάνια. Ὅταν λοιπὸν δῆς καὶ τοὺς δυὸ νὰ μπαίνουν στὸ δικαστήριο καὶ νὰ δέχωνται τὴν ἀπόφαση αὐτοῦ, τότε καὶ σὺ πὲς τὴ γνώμη σου γιὰ τὸν καθένα. Πόσοι τώρα στήνουν ἐνέδρες στοὺς δρόμους, πόσοι τρυποῦν τοίχους, πόσοι σκάβουν τάφους πεθαμμένων, πόσοι ἐπιβουλεύθηκαν ξένους γάμους, πόσοι μὲ δηλητηριώδη φάρμακα ὡδήγησαν πολλοὺς στὸ θάνατο; Ἄραγε λοιπὸν γι' αὐτοὺς ὅλους κατηγοροῦμε τὸν δικαστή; Καθόλου. Γιατί, ἂν τοὺς λάβη γιὰ νὰ τοὺς δικάση καὶ τοὺς ἀφήση ἐλεύθερους καὶ τιμωρήση ἐκεῖνον ποὺ ἀδικήθηκε καὶ τιμήση ἐκεῖνον ποὺ ἀδίκησε

αὐτοὺς ὑποψήφους ἀφῇ καὶ τὸν μὲν παθόντα κακῶς κολάσῃ, τὸν δὲ ποιήσαντα τιμήσῃ καὶ στεφανώσας ἐκπέμψῃ, κατηγορίας ὄντως ἄξιος καὶ ἐγκλημάτων ἐσχάτων· ὅταν δὲ μηδέπω ὦσιν παραδοθέντες, μηδὲ ὁ καιρὸς ἐπιστῇ τῆς ψήφου, μήπω δὲ αὐτὸς τὰς εὐθύνας ἀπαιτῇ, προλαβὼν προκαταγινώσκεις;

Ἀλλ' ἔδει, φησίν, ἐντεῦθεν ἤδη δοῦναι δίκην τῶν ἡμαρτημένων. Ἐννόησον τὰ σαυτῷ βεβιωμένα, ἄνθρωπε, εἰς τὸ σὸν εἴσελθε συνειδὸς καὶ μεταθήσῃ τὴν γνώμην· οὐκ ἐπαινέσεις ταύτην τὴν ψῆφον, ἀλλ' ἀποδέξῃ τῆς μακροθυμίας τὸν φιλάνθρωπον Θεόν. Εἰ γὰρ ἤμελλεν ἕκαστος παρ' αὐτὰ τὰ ἁμαρτήματα δίκην ἀπαιτεῖσθαι τῶν πεπλημμελημένων, οὐκ ἂν ἡμῶν ἔφθασε τὸ γένος πάλαι ἀναρπασθέν. «Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν;». Ἀλλ' ὅταν ἀλγῇς ἐπὶ τῇ τοῦ Θεοῦ μακροθυμίᾳ, λογίζου τὰ πεπλημμελημένα σοι μετὰ ἀκριβείας καὶ χάριν εἴσῃ τῆς ἀνοχῆς, θαυμάσας τῆς ἀνεξικακίας αὐτόν. Θορυβῇ καὶ ἀλύεις καὶ πάντα ταραχῆς πληροῖς, ἐπειδὴ ὁ δεῖνα παρ' ἀξίαν πλουτεῖ καὶ ἀπολαύει θεραπείας τῆς παρὰ τῶν πολλῶν· εἶτα οὐκ ἀκούεις τοῦ ψαλμῳδοῦ λέγοντος, «μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα ὀπίσω αὐτοῦ»; Οὐκ ἀκούεις τοῦ προφήτου βοῶντος μετὰ μεγάλης τῆς φωνῆς, «πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου»; Οὐχ ὁρᾷς ἐπιμαρτυροῦσαν ταῖς τῶν προφητῶν ἀποφάσεσιν αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν; Οὐχ ὁρᾷς τὴν πεῖραν καὶ τὴν ἔκβασιν ἐπιψηφιζομένην τοῖς εἰρημένοις, «οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα»; Ἄκουσον τοῦ Ἰὼβ τὸ αὐτὸ τοῦτο λέγοντος, «γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός, γυμνὸς καὶ ἀπελεύσομαι», ὅτι «οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα». Ἄκουσον τοῦ Παύλου τὰ αὐτὰ φιλοσοφοῦντος, «οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον· δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα».

3. Σὺ δὲ μακαρίζεις ἄνθρωπον οὐδὲν ἐντεῦθεν δυνάμενον ἀπε-

2. Παροιμ. 20,9.
3. Ψαλμ. 48,17–18.
4. Ἠσ. 40,6.

καὶ ἀφοῦ τὸν στεφανώση τὸν ἀφήση ἐλεύθερο, τότε πραγματικὰ εἶναι ἄξιος κατηγορίας καὶ ὑπεύθυνος βοβερῶν ἐγκλημάτων. Ὅταν ὅμως δὲν παραδόθηκαν ἀκόμη αὐτοὶ σ' αὐτὸν οὔτε καὶ ὁ καιρὸς τῆς κρίσεως ἔχει φθάσει καὶ ὁ δικαστὴς δὲν ζητῆ ἀκόμη τὶς εὐθύνες, ἔρχεσαι καὶ τὸν καταδικάζεις ἐκ τῶν προτέρων;

Ἀλλ' ἔπρεπε, λέγει, νὰ τιμωρηθῆ γιὰ τὰ ἁμαρτήματά του ὅσο ἀκόμη βρισκόταν ἐδῶ. Σκέψου, ἄνθρωπε, ὅλη τὴ δική σου ζωή, ἐρεύνησε τὴ συνείδησή σου, καὶ θ' ἀλλάξης γνώμη. Δὲν θὰ ἐπαινέσης τὴν ἀπόφαση αὐτή, ἀλλὰ θ' ἀποδεχθῆς τὴν μακροθυμία τοῦ φιλάνθρωπου Θεοῦ. Γιατί, ἂν ἐπρόκειτο ὁ καθένας συγχρόνως μὲ τὴ διάπραξη τῶν ἁμαρτημάτων του νὰ δικασθῆ καὶ νὰ τιμωρηθῆ, δὲν θὰ ὑπῆρχε σήμερα τὸ γένος μας ἀλλὰ θὰ εἶχε ἐξαφανισθῆ πρὸ πολλοῦ. Γιατὶ λέγει, «ποιός θὰ καυχηθῆ ὅτι ἔχει ἁγνὴ καρδιὰ ἢ ποιός μπορεῖ νὰ πῆ μὲ παρρησία ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτίες;»[2]. Ἀλλ' ὅταν δυσανασχετῆς γιὰ τὴ μακροθυμία τοῦ Θεοῦ σκέψου μὲ ἀκρίβεια τὰ ἁμαρτήματά σου, καὶ τότε θὰ τὸν εὐχαριστήσης γιὰ τὴν ἀνοχή του, θαυμάζοντας τὴν ἀνεξικακία του. Θορυβῆσαι καὶ στενοχωρῆσαι καὶ νιώθεις ταραχὴ γιὰ ὅλα, ἐπειδὴ ὁ τάδε πλουτίζει παρ' ἀξίαν καὶ ἀπολαμβάνει τὴν περιποίηση ἐκ μέρους τῶν πολλῶν. Μὰ δὲν ἀκοῦς τὸν ψαλμωδὸ ποὺ λέγει, «μὴ φοβᾶσαι, ὅταν πλουτήση ἄνθρωπος, γιατὶ ὅταν θὰ πεθάνη δὲν θὰ πάρη τίποτε ἀπ' ὅλα αὐτά, οὔτε καὶ ἡ δόξα του θὰ τὸν ἀκολουθήση μετὰ τὸ θάνατό του»[3]; Δὲν ἀκοῦς τὸν προφήτη ποὺ φωνάζει δυνατά, «κάθε ἄνθρωπος εἶναι σὰν τὸ χορτάρι καὶ κάθε δόξα τοῦ ἀνθρώπου μοιάζει μὲ τὸ ἄνθος τοῦ χόρτου»[4]; Δὲν βλέπεις ποὺ ἐπιβεβαιώνει τὶς κρίσεις τῶν προφητῶν καὶ αὐτὴ ἡ ἴδια ἡ ἀλήθεια τῶν πραγμάτων; Δὲν βλέπεις τὴν πεῖρα καὶ τὴν ἔκβαση τῶν πραγμάτων ποὺ ἐπιβεβαιώνουν αὐτὸ ποὺ ἔχει λεχθῆ, «δὲν θὰ πάρη τίποτε μαζί του μετὰ τὸν θάνατό του»; Ἄκουσε τὸν Ἰὼβ ποὺ λέγει ἀκριβῶς αὐτὸ τὸ ἴδιο· «γυμνὸς βγῆκα ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας μου, γυμνὸς καὶ θὰ φύγω ἀπὸ ἐδῶ», γιατὶ «δὲν θὰ πάρη τίποτε μαζί του μετὰ τὸν θάνατό του»[5]. Ἄκουσε καὶ τὸν Παῦλο ποὺ φιλοσοφεῖ τὰ ἴδια· «τίποτε δὲν φέραμε στὸν κόσμο· εἶναι φανερὸ καὶ ὅτι δὲν μποροῦμε τίποτε νὰ πάρουμε μαζί μας»[6]

3. Σὺ ὅμως μακαρίζεις ἄνθρωπο, ποὺ δὲν μπορεῖ νὰ πάρη μαζί

5. Ἰὼβ 1,21.
6. Α' Τιμ. 6,7.

νεγκεῖν ἐκεῖ τῶν ὀφειλόντων αὐτῷ παραστῆναι κατὰ τὴν ἡμέραν τῆς κρίσεως. Καὶ τίς ἄλλος ἀθλιότητος ὅρος, εἰπέ μοι, καὶ ταλανισμός, ἀλλ' ἤ, ὅταν ὁ ἐν πολλῇ τρυφῇ ζήσας ἀπέρχηται πάντων ἐντεῦθεν ἀτιμότερος; Σὺ δὲ εἴ τινα τούτων τῶν εὐπορούντων καὶ σοβούντων ἐπὶ τῆς ἀγορᾶς εἶδες, ἐπὶ μὲν τῆς ἀλλοτρίας πολλῆς ἀπολαύοντα τιμῆς, παρασίτους καὶ κόλακας ἔχοντα, εἰς δὲ τὰ οἰκεῖα ἐπανελθόντα καὶ οὐδὲν συγχωρούμενον ἐκείνων λαβεῖν, ἀλλὰ γυμνόν, ἄτιμον, τῶν προσαιτούντων ἀπορώτερον καὶ φαυλότερον φαινόμενον, ἆρα τοῦτον ζηλωτὸν εἶναι ἐνόμιζες, ἀλλ' οὐ διὰ τοῦτο μᾶλλον ἠλέεις καὶ ἐταλάνιζες; Τοῦτο καὶ ἐπὶ τῶν πλουτούντων ποίει.

Ἀλλ' εἰσί τινες, οἳ ἐπειδὰν τούτους τῆς φιλοσοφίας τοὺς λόγους κινήσωμεν, ὑῶν καὶ τράγων δίκην τῇ γαστρὶ προσηλωμένοι καὶ τοῖς παροῦσι δουλεύοντες πράγμασιν, οὐδὲν εἶναι μετὰ τὴν ἐντεῦθεν νομίζουσιν ἀποδημίαν· ἕτεροι δὲ εἶναι μέν τινα νομίζουσι, προτιθέασι δὲ τὰ παρόντα τῶν μελλόντων. Πρὸς μὲν οὖν τοὺς μηδὲν εἶναι νομίζοντας, ἀλλ' ἀποσβεσθεῖσαν τὴν ψυχὴν τὴν ἡμετέραν, μηδένα διδόναι λόγον, μηδὲ εὐθύνας ὑπέχειν οἰομένους, τάχα καὶ γελοῖον ἀντειπεῖν, ὥσπερ πρὸς τοὺς μαινομένους καὶ τοὺς ἐξεστηκότας. Οὐδὲ γὰρ εἴ τις ἐν ἡμέρᾳ ἀμφιβάλλοι ἡμέραν μὴ εἶναι, καὶ περὶ τῶν πᾶσιν ὁμολογουμένων ἀμφισβητοίη, καιρὸς ἂν εἴη λόγῳ τὸν τοιοῦτον πείθειν καὶ προσάγειν τῷ δόγματι· πλὴν ἀλλὰ διὰ τὴν ὑμετέραν ἀγάπην καὶ πρὸς ἐκεῖνον διαλεξόμεθα, ἅπερ ἂν δῷ ἡ τοῦ Θεοῦ χάρις.

Τί λέγεις, ἄνθρωπε, οὐδὲν εἶναι νομίζεις τὰ μετὰ ταῦτα; Τοῦτο γὰρ ἀναγκαῖον εἰπεῖν· πῶς καθάπερ κακῶν τινων ὁρμαθῷ ἀεὶ δυσσεβεστέρῳ δόγματι, τὸν ἅπαξ ἐκτραπέντα τῆς ἀληθείας παραδίδωσιν ὁ διάβολος. Ὅρα γάρ· ἔπεισεν ἀμελῆσαι σωφροσύνης, ἐπιεικείας, τῆς ἄλλης ἀρετῆς, ἐποίησε φαύλους κατὰ τὸν βίον, πονηρῷ συζῶντες συνειδότι λοιπὸν καὶ τὴν ἀμοιβὴν τῶν αὐτοῖς ἡμαρτημένων ἑτέροις μεταθεῖναι ζητοῦντας, δέον μεταβάλλεσθαι

του ἀπὸ ἐδῶ γιὰ τὸν ἄλλον κόσμο τίποτε ἀπὸ ἐκεῖνα ποὺ θὰ πρέπει νὰ παραστοῦν κοντά του κατὰ τὴν ἡμέρα τῆς κρίσεως. Καὶ ποιός ἄλλος μεγαλύτερος ὁρισμὸς ἀθλιότητας ὑπάρχει καὶ ταλανισμός, παρὰ τὸ νὰ ζήση κανεὶς μέσα στὶς ἀπολαύσεις καὶ νὰ φύγη ἀπὸ ἐδῶ ὡς ὁ πιὸ ἄτιμος ἀπὸ ὅλους τοὺς ἀνθρώπους; Ἂν σὺ ἔβλεπες στὴν ἀγορὰ κάποιον ἀπὸ αὐτοὺς τοὺς πλουσίους καὶ ἀλαζόνες, ποὺ ἀπολαμβάνει μεγάλη τιμὴ σὲ ξένη χώρα καὶ ἔχει παρασίτους καὶ κόλακες, ἐπανερχόμενος ὅμως στὴν πατρίδα του νὰ μὴν τοῦ ἐπιτρέπεται νὰ πάρη μαζί του τίποτε ἀπ' ὅλα ἐκεῖνα, ἀλλὰ νὰ ἐπιστρέφη γυμνὸς καὶ ἄτιμος καὶ νὰ φαίνεται πιὸ φτωχὸς καὶ πιὸ ἐλεεινὸς καὶ ἀπὸ τοὺς ζητιάνους, ἄραγε θὰ τὸν θεωροῦσες ἀξιοζήλευτο καὶ δὲν θὰ τὸν λυπόσουν πολὺ περισσότερο γι' αὐτὸ καὶ θὰ τὸ ταλάνιζες; Αὐτὸ κάμνε καὶ μὲ τοὺς πλουσίους.

Ἀλλ' ὑπάρχουν μερικοὶ ποὺ, ὅταν ἀνακινήσουμε αὐτοὺς τοὺς λόγους τῆς εὐσέβειας, προσηλωμένοι στὴν κοιλία σὰν χοῖροι καὶ τράγοι καὶ ὄντας δοῦλοι τῶν παρόντων πραγμάτων, νομίζουν ὅτι δὲν ὑπάρχει τίποτε μετὰ τὴν ἀναχώρηση ἀπὸ τὴν ἐδῶ ζωή. Ἄλλοι πάλι νομίζουν ὅτι κάτι ὑπάρχει, προτιμοῦν ὅμως τὰ παρόντα ἀπὸ τὰ μελλοντικά. Καὶ πρὸς ἐκείνους ποὺ νομίζουν ὅτι δὲν ὑπάρχει τίποτε, ἀλλ' ὅτι, ἀφοῦ σβήση ἡ ψυχή μας, δὲν πρόκειται νὰ δώσουμε λόγο σὲ κανένα οὔτε καὶ εἴμαστε ὑπεύθυνοι γιὰ τίποτε, ἴσως εἶναι καὶ γελοῖο νὰ τοὺς δώσουμε ἀπάντηση, ὅπως ἀκριβῶς εἶναι γελοῖο νὰ δίνης ἀπάντηση πρὸς τοὺς παράφρονες καὶ τοὺς μανιακούς. Γιατί, οὔτε καὶ ἂν κάποιος ἀμφέβαλλε κατὰ τὴ διάρκεια τῆς ἡμέρας ὅτι εἶναι ἡμέρα καὶ ἀμφισβητοῦσε ἐκεῖνα ποὺ τὰ ἀποδέχονται ὅλοι, θὰ ἦταν δυνατὸ νὰ τὸν πείσης αὐτὸν μὲ τὰ λόγια καὶ νὰ τὸν κάμης νὰ δεχθῆ τὴν ἀλήθεια. Πλὴν ὅμως, γιὰ τὴν ἀγάπη τὴ δική σας θὰ πῶ καὶ πρὸς ἐκεῖνον αὐτὰ ποὺ θὰ μοῦ δώση ἡ χάρη τοῦ Θεοῦ.

Τί λές, ἄνθρωπε· νομίζεις ὅτι δὲν ὑπάρχει τίποτε μετὰ τὴ ζωὴ αὐτή; Γιατὶ εἶναι ἀνάγκη νὰ ποῦμε αὐτό. Πῶς δηλαδὴ ὁ διάβολος ἐκεῖνον, ποὺ μιὰ φορὰ ἐκτράπηκε ἀπὸ τὴν ἀλήθεια, τὸν παραδίνει πάντοτε σὲ ἀσεβέστερο δόγμα, σὲ ἕναν κατὰ κάποιο τρόπο ὁρμαθὸ κακῶν. Γιατὶ πρόσεχε. Τοὺς ἔπεισε νὰ ἀδιαφορήσουν γιὰ τὴ σωφροσύνη, τὴν ἐπιείκεια, καὶ γιὰ τὴν ἄλλη ἀρετή, τοὺς κατέστησε φαύλους στὴ ζωή, καὶ ζώντας ἔτσι μὲ συνείδηση βαρημένη, θέλησαν νὰ μεταθέσουν σὲ ἄλλους τὴν τιμωρία γιὰ τὰ ἁμαρτήματά τους,

τῆς κακίας. Τοῦτο μὲν οὐκ ἐποίησαν, ἀνέπλασαν δὲ δόγμα πονηρὸν καὶ μυρίων γέμον κακῶν, τὸ τῆς εἱμαρμένης. Εἶτα ὑπὲρ τούτου πάλιν ἐλεγχόμενοι καὶ συνομολογεῖν ἀναγκαζόμενοι μηδὲν εἶναι τὰ παρόντα, τὸ μέλλον ἀνατρέπουσι καὶ τὸν περὶ ἀναστάσεως ἀναιροῦσι λόγον. Κἂν τοῦτο πάλιν διελέγξωμεν, εἰς ἕτερον ἐκπεσόντες δόγμα δυσσεβοῦσι· πλὴν τέως τὸ ἐν χερσὶ διελέγξωμεν.

Οὐδέν ἐστιν, ἄνθρωπε, μετὰ ταῦτα καὶ πρὸς ταῦτα ἵστασαι τὰ δόγματα; Τοσαῦτα ἐλήρησαν Ἕλληνες, ἀλλ' ὅμως πρὸς τὴν τοῦ δόγματος τούτου οὐκ ἀντέστησαν ἀλήθειαν· ἀλλ' εἰ καὶ αὐτοῖς ἀκολουθήσεις, ὅμως ἔδωκάν τινα μετὰ ταῦτα βίον καὶ εὐθύνας καὶ διακαστήρια ἐν ᾅδου καὶ κολάσεις καὶ τιμὰς καὶ ψήφους καὶ κρίσεις. Κἂν Ἰουδαίους ἐρωτήσῃς, κἂν αἱρετικούς, κἂν ὅν τινα ἄνθρωπον, αἰσχυνθήσεται τοῦ δόγματος τὴν ἀλήθειαν, καὶ εἰ καὶ ἐν ἄλλοις διαφέρονται, ἀλλ' ἐν τούτῳ πάντες συμφωνοῦσι καὶ λέγουσιν, εἶναι τῶν ἐνταῦθα γεγενημένων εὐθύνας ἐκεῖ. Ἀλλ' οὐδενὶ βούλει πείθεσθαι τούτων, ἀλλ' ἀναισχυντεῖς καθάπαξ ἐκδιδοὺς σαυτὸν τῇ πλάνῃ. Οὐκοῦν διὰ τοὺς ἔτι νήφοντας, ἀναγκαῖον τοὺς περὶ τούτων κινῆσαι λόγους. Τῷ γὰρ μηδὲν ὁμολογοῦντι εἶναι μετὰ ταῦτα, ἀνάγκη μηδὲ Θεὸν εἶναι ὁμολογῆσαι. Ὁρᾷς, ὅπερ εἶπον, ὅτι ἀεὶ τῶν φαυλοτέρων ἐστὶ μετὰ τὰ πρῶτα δόγματα τὰ ὕστερα, ἅπερ αὐτοὺς διαδέξεται; Εἰ γὰρ μηδέν ἐστιν ἐκεῖ μετὰ ταῦτα, οὐδὲ Θεός ἐστιν. Εἰ γάρ ἐστι Θεός, δίκαιός ἐστιν· εἰ δὲ δίκαιός ἐστι, τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ· εἰ δὲ οὐδέν ἐστι μετὰ ταῦτα, ποῦ τὸ κατ' ἀξίαν ἀπολήψεται ἕκαστος;

Πρόσεχε γάρ· πολλοὶ παρ' ἀξίαν, ὡς καὶ αὐτοὶ προλαβόντες ὡμολόγησαν, εὖ πάσχουσιν ἐνταῦθα καὶ τιμῶνται, ἕτεροι δὲ κολάζονται ἐν δικαιοσύνῃ ζῶντες. Εἰ τοίνυν οὐδείς ἐστι καιρὸς μετὰ ταῦτα, ἀπελεύσονται ἀδικηθέντες ὁ δίκαιοι, καὶ παρ' ἀξίαν εὖ παθόντες ἄδικοι· εἰ δὲ ταῦτα μὴ ἔσται, πῶς ἂν εἴη τὸ δίκαιον; Ἀνάγκη γὰρ ἢ εἶναί τινα καιρὸν μετὰ ταῦτα τὸν τὸ κατ' ἀξίαν ἀπονέμοντα

ἐνῶ ἔπρεπε ν' ἀποβάλουν τὴν κακία. Καὶ αὐτὸ βέβαια δὲν τὸ ἔκαμαν, ἀλλ' ἔπλασαν δόγμα πονηρὸ καὶ γεμᾶτο ἀπὸ ἄπειρα κακά, τὸ δόγμα τῆς εἱμαρμένης. Ἔπειτα, ἐλεγχόμενοι γιὰ τὸ δόγμα αὐτὸ καὶ ἀναγκαζόμενοι νὰ ὁμολογήσουν, ὅτι τὰ παρόντα δὲν εἶναι τίποτε, ἀνατρέπουν τὸ μέλλον, ἀπορρίπτοντας τὸ δόγμα τῆς ἀναστάσεως τῶν νεκρῶν. Κι ἂν πάλι τὸ ἐλέγξουμε καὶ αὐτό, καταφεύγουν σὲ ἄλλο δόγμα, δυσσεβώντας καὶ πάλι. Πλὴν ὅμως ἂς ἐξετάσουμε τὸ δόγμα ποὺ συζητᾶμε.

Δὲν ὑπάρχει, ἄνθρωπε, τίποτε μετὰ τὴ ζωὴ αὐτὴ καὶ ἀντιμάχεσαι τὰ δόγματα αὐτὰ τῆς πίστεως; Τόσες φλυαρίες εἶπαν οἱ ἐθνικοί, κι ὅμως δὲν προέβαλαν ἀντίσταση πρὸς τὴν ἀλήθεια τοῦ δόγματος αὐτοῦ, ἀλλά, κι ἂν ἀκόμη ἀκολουθήσης αὐτούς, ὅμως δέχθηκαν καὶ αὐτοὶ κάποια ζωὴ μετὰ θάνατο, καθὼς καὶ εὐθύνες καὶ δικαστήρια στὸν ἅδη καὶ τιμωρίες καὶ τιμὲς καὶ ἀποφάσεις καὶ κρίσεις. Κι ἂν ἀκόμη ἐρωτήσης τοὺς Ἰουδαίους ἢ τοὺς αἱρετικοὺς ἢ ὁποιονδήποτε ἄνθρωπο, θὰ ντραπῆ τὴν ἀλήθεια τοῦ δόγματος, καὶ ἂν καὶ διαφέρουν σὲ ἄλλα, ὅμως σ' αὐτὸ συμφωνοῦν ὅλοι καὶ λέγουν, ὅτι ἐκεῖ ὑπάρχουν εὐθύνες γι' ὅσα διαπράχθηκαν ἐδῶ. Κι ὅμως δὲν θέλεις νὰ πιστέψης σὲ κανέναν ἀπ' αὐτούς, ἀλλὰ φέρεσαι μὲ ἀδιαντροπιά, παραδίνοντας μιὰ γιὰ πάντα τὸν ἑαυτό σου στὴν πλάνη. Πρὸς αὐτοὺς λοιπὸν ποὺ εἶναι ἀκόμη νηφάλιοι εἶναι ἀνάγκη νὰ δώσουμε τὶς ἀπαντήσεις γι' αὐτά. Γιατί, ἐκεῖνος ποὺ ὑποστηρίζει, ὅτι δὲν ὑπάρχει τίποτε μετὰ τὴν ἐδῶ ζωή, αὐτὸς κατ' ἀνάγκη θὰ ὁμολογήση, ὅτι δὲν ὑπάρχει οὔτε καὶ Θεός. Βλέπεις ἐκεῖνο ποὺ εἶπα, ὅτι δηλαδὴ πάντοτε τὰ ἑπόμενα δόγματα εἶναι πιὸ φαῦλα ἀπὸ τὰ πρῶτα; Γιατί, ἂν δὲν ὑπάρχη τίποτε ἐκεῖ μετὰ τὴν ἐδῶ ζωή, τότε οὔτε Θεὸς ὑπάρχει. Ἂν ὅμως ὑπάρχη Θεός, εἶναι δίκαιος, καὶ ἂν εἶναι δίκαιος, ἀπονέμει στὸν καθένα ἀνάλογα μὲ τὴν ἀξία του· ἂν ὅμως δὲν ὑπάρχη τίποτε μετὰ τὴν ἐδῶ ζωή, ποῦ θὰ λάβη ὁ καθένας αὐτὸ ποὺ κατ' ἀξίαξ τοῦ ἀνήκει;

Πρόσεχε λοιπόν. Πολλοί, ὅπως καὶ οἱ ἴδιοι ὡμολόγησαν, εὐεργετοῦνται ἐδῶ καὶ τιμῶνται χωρὶς νὰ τὸ ἀξίζουν, ἐνῶ ἄλλοι, ἂν καὶ ζοῦν μὲ δικαιοσύνη, ὅμως τιμωροῦνται. Ἂν λοιπὸν δὲν ὑπάρχη κανένας καιρὸς μετὰ τὴν ἐδῶ ζωή, θὰ φύγουν οἱ δίκαιοι ἀπὸ ἐδῶ ἀδικημένοι καὶ οἱ ἄδικοι παρ' ἀξίαν εὐεργετημένοι. Κι ἂν αὐτὸς ὁ καιρὸς δὲν ὑπάρχη, πῶς θ' ἀποδοθῆ τὸ δίκαιο; Εἶναι ἀνάγκη λοιπὸν

ἑκάστῳ (ἐνταῦθα γὰρ αὐτὸ οὐχ εὑρίσκομεν)· εἴ γε μή ἐστι καιρός, πῶς τὸ κατ' ἀξίαν ἀπολάβῃ ἕκαστος; εἰ δὲ μηδεὶς τὸ κατ' ἀξίαν ἀπολαμβάνει, οὔτε Θεός ἐστι κατὰ σὲ δίκαιος· εἰ δὲ οὐκ ἔστι δίκαιος ὁ Θεός, οὐδὲ Θεὸς ἂν εἴη. Ἀλλ' ἡ βλασφημία εἰς τὴν κεφαλὴν τῶν ταῦτα ἡμᾶς ἀναγκαζόντων περιτραπείη. Ὁρᾶτε πρὸς ὅσην βλασφημίαν ὁ λόγος ἐξενήνεκται. Ἀλλὰ μὴν ὅτι Θεός ἐστι τὰ πράγματα βοᾷ· οὐκοῦν καὶ δίκαιός ἐστιν· εἰ δὲ δίκαιός ἐστι, τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ· εἰ δὲ τὸ κατ' ἀξίαν ἀπονέμει ἑκάστῳ, ἀνάγκη τινὰ εἶναι μετὰ ταῦτα καιρόν, καθ' ὃν τὸ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται καὶ δώσει δίκην καὶ τιμηθήσεται ὑπὲρ τῶν κατωρθωμένων αὐτῷ.

4. Ἀνανήψωμεν, ἀγαπητοί· ἀγνωσίαν Θεοῦ τινες ἔχουσιν· ἀνανήψωμεν, γρηγορήσωμεν. Ἥμαρτες, μὴ προσθῇς ἔτι· ἥμαρτες, ἡσύχασον· ἥμαρτες μὴ καταδήσῃς δὶς ἁμαρτίας. Ἡμεῖς δὲ τριπλᾶς καὶ τετραπλᾶς καταδεσμοῦμεν, τοιούτων δογμάτων φόρτον εἰς τὰς ἡμετέρας ψυχὰς εἰσάγοντες. Ἥμαρτες, ἐπίγνωθι τὸν Δεσπότην, τὸν ἐλεήμονα, τὸν φιλάνθρωπον, τὸν ἀγαθόν, τὸν ἰατρόν, τὸν συγγνωμονικόν, τὸν εὐπαραίτητον, τὸν εὐαξίωτον. Οὐκ ἤκουσας ὅτι μυρία τάλαντά τις κατεδηδοκὼς καὶ τὴν οὐσίαν πᾶσαν τὴν δεσποτικὴν ἀπολέσας καὶ διασπάσας, ἕτοιμος ὢν καὶ τὴν γυναῖκα ἀποδόσθαι καὶ τὰ παιδία, ἐπειδὴ μόνον ἔκλαυσεν, ἐπειδὴ μόνον τῶν ποδῶν αὐτοῦ ἥψατο, παντὸς ἐκείνου τοῦ ὀφειλήματος λύσιν ηὕρατο καὶ ἄφεσιν; Εἰ δὲ λέγοις, ὅτι μετὰ ταῦτα αὐτὸν παρέδωκε τοῖς βασανισταῖς (ἴσασιν οἱ εἰδότες τὴν ἱστορίαν), ἑτέρας μοι λέγεις φιλανθρωπίας ὑπόθεσιν. Καὶ γὰρ καὶ τότε αὐτὸν ἐλεήσας ἀφῆκε καὶ πάλιν ἐκεῖνον ἐλεήσας ἐνέβαλεν· ὥσπερ τότε τούτῳ βοηθῶν ἐποίησεν, οὕτω καὶ νῦν ἐκείνῳ βοηθῶν ἀνέπραττε, τοῦτον μὲν ἵνα παιδεύσῃ μὴ εἶναι ὠμόν, μηδὲ ἀπάνθρωπον, ἐκεῖνον δὲ ἵνα καὶ ἀπαλλάξῃ βίας καὶ ἀπανθρωπίας.

Ὁρᾶτε ἀγαπητοί· καλῶς γάρ με μεταξὺ λέγοντα τοῦτο εἰσῆλ-

ἢ νὰ ὑπάρχη κάποιος καιρὸς μετὰ τὴν ἐδῶ ζωή, κατὰ τὸν ὁποῖο θ' ἀπονεμειθῆ στὸν καθένα αὐτὸ ποὺ τοῦ ἀξίζει (γιατὶ αὐτὸ δὲν συμβαίνει στὴν ἐδῶ ζωή), ἂν ὅμως δὲν ὑπάρχη καιρός, πῶς θὰ λάβη ὁ καθένας αὐτὸ ποὺ τοῦ ἀξίζει; Κι ἂν δὲν λαμβάνη κανεὶς αὐτὸ ποὺ τοῦ ἀξίζει, τότε, κατὰ τὴ γνώμη σου, οὔτε καὶ ὁ Θεὸς εἶναι δίκαιος· καὶ ἂν δὲν εἶναι δίκαιος ὁ Θεός, οὔτε Θεὸς εἶναι δυνατὸ νὰ ὑπάρχη. Ἀλλ' ἡ βλασφημία αὐτὴ ἂς γυρίση καὶ ἂς πέση στὸ κεφάλι ἐκείνων ποὺ μᾶς ἀναγκάζουν νὰ λέμε αὐτά. Βλέπετε σὲ πόσο μεγάλη βλασφημία ἔφθασε ὁ λόγος. Ἀλλ' ὅμως τὸ ὅτι ὑπάρχει Θεὸς τὸ βροντοφωνοῦν τὰ πράγματα· εἶναι ἄρα καὶ δίκαιος, καὶ ἐφ' ὅσον εἶναι δίκαιος, ἀπονέμει στὸν καθένα σύμφωνα μὲ τὴν ἀξία του, καὶ ἂν ἀπονέμη στὸν καθένα αὐτὸ ποὺ τοῦ ἀξίζει, πρέπει κατ' ἀνάγκη νὰ ὑπάρχη μετὰ τὴν ἐδῶ ζωὴ κάποιος καιρός, κατὰ τὸν ὁποῖον ὁ καθένας θὰ λάβη αὐτὸ ποὺ τοῦ ἀξίζει, καὶ θὰ τιμωρηθῆ καὶ θ' τιμηθῆ γιὰ τὰ κατορθώματά του.

4. Ἂς ἀνανήψουμε, ἀγαπητοί· ἀγνωσία Θεοῦ ἔχουν μερικοί· ἂς ἀνανήψουμε, ἂς εἴμαστε ἐπάγρυπνοι. Ἁμάρτησες, μὴ προσθέτης καὶ ἄλλη ἁμαρτία· ἁμάρτησες, ἡσύχασε· ἁμάρτησες, μὴ προσθέσης καὶ δεύτερη ἁμαρτία. Ἀλλ' ἐμεῖς προσθέτουμε καὶ τρίτη καὶ τέταρτη ἁμαρτία, εἰσάγοντας τέτοιο φόρτο δογμάτων στὶς ψυχές μας. Ἁμάρτησες, ἀναγνώρισε καὶ γύρισε στὸν Κύριο, τὸν ἐλεήμονα, τὸν φιλάνθρωπο, τὸν ἀγαθό, τὸν ἰατρό, τὸν ἐπιεικῆ, τὸν εὐδιάλλακτο, τὸν ἀποδίδοντα τὸ δίκαιο. Δὲν ἄκουσες ὅτι κάποιος ποὺ κατέφαγε μύρια τάλαντα καὶ ἔχασε καὶ διεσκόρπισε ὅλη τὴ δεσποτικὴ περιουσία καὶ ἦταν ἕτοιμος νὰ πωλήση καὶ τὴ γυναῖκα καὶ τὰ παιδιά του, ἐπειδὴ μόνο ἔκλαψε, ἐπειδὴ μόνο ἄγγισε τὰ πόδια του, τοῦ χαρίσθηκε ὅλο ἐκεῖνο τὸ χρέος καὶ συγχωρήθηκε; Ἂν ὅμως ἔφθανες νὰ πῇς, ὅτι στὴ συνέχεια τὸν παρέδωσε στοὺς βασανιστὲς (γνωρίζουν καλὰ τὸν λόγο ἐκεῖνοι ποὺ γνωρίζουν τὴν ἱστορία), μοῦ ἀναφέρεις μιὰ ἄλλη περίπτωση φιλανθρωπίας. Γιατὶ καὶ τὴν πρώτη φορὰ ἀπὸ εὐσπλαγχνία τὸν ἄφησε ἐλεύθερο, καὶ τὴ δεύτερη ἀπὸ εὐσπλαγχνία τὸν ἔβαλε στὴ φυλακή. Ὅπως τότε τὸ ἔκαμε γιὰ νὰ βοηθήση αὐτόν, ἔτσι καὶ τώρα τὸ ἔκαμε αὐτὸ γιὰ νὰ βοηθήση πάλι ἐκεῖνον· αὐτὸν γιὰ νὰ τὸν κάμη νὰ μὴ εἶναι σκληρὸς οὔτε καὶ ἀπάνθρωπος, ἐνῶ ἐκεῖνον γιὰ νὰ τὸν ἀπαλλάξη ἀπὸ τὴ βία καὶ τὴν ἀπανθρωπιά.

Προσέχετε, ἀγαπητοί. Λέγοντάς σας αὐτὰ πολὺ σωστὰ ἦρθε

θε τὸ νόημα, πῶς οὐ μόνον τὸ πλεονεκτεῖν καὶ ἁρπάζειν, ἀλλὰ καὶ τὸ μὴ ἐλεεῖν γεέννης ἡμῖν πρόξενον γίγνεται. Οὗτος γάρ, οὐκ ἐπειδὴ τὰ ἀλλότρια ἔλαβεν ἀδίκως, ἀλλ' ἐπειδὴ τὰ αὐτοῦ ἀπήτει ἀπανθρώπως, παρεδόθη τοῖς βασανισταῖς· καὶ γὰρ εἴρηται, ὅτι ὤφειλεν ἐκεῖνος· ἀλλ' εἰ καὶ ἐκεῖνος ὤφειλεν, ὤφειλες καὶ σὺ τὸ αὐτὸ ὄφλημα καὶ τὸ αὐτὸ δίκαιον ἐπ' ἀμφοτέρων φυλάττεσθαι ἐχρῆν. Διὰ τοῦτό σοι ἀφῆκεν, ἵνα τὴν αὐτοῦ σοι δείξῃ φιλανθρωπίαν, ἵνα ζηλωτήν σε τῆς δεσποτικῆς ἡμερότητος ἐργάσηται. Ἐπειδὴ δὲ παθὼν εὖ οὐκ ἐγένου βελτίων, ἑτέρῳ σε διορθοῦται τρόπῳ, τῷ τῆς κολάσεως, τῷ τῆς τιμωρίας. Ὥστε καὶ τοῦτο εὐεργεσίας εἶδός ἐστι. Παρέδωκε τοῖς βασανισταῖς, ἵνα κακίαν ἐξέλῃ ψυχῆς, καθάπερ ἰατρὸς ἄριστος. Οὐκ εἶξας φαρμάκῳ προσηνεῖ, σιδήρου σοι δεῖ καὶ πυρὸς λοιπόν. Ἤιδει μυρία τάλαντα ἀφεὶς ὅτι ὠμός ἐστι καὶ ἀπάνθρωπος, ἀλλ' ἀνέμεινε διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως ἀπολογήσασθαί σοι, ὃ πολλαχοῦ ποιεῖ, εἰδὼς ὅτι δικαίως ποιεῖ. Μετὰ τὸ ἀπολογήσασθαί σοι τοῦτο ποιεῖ, οἷον ἐπὶ τῶν Σοδόμων· οὐχ ἁπλῶς ἀφῆκε τὸ πῦρ, οὐδὲ τὰς πόλεις ἐκείνας ἀνήρπασεν· ἀλλὰ τί; «Κραυγὴ Σοδόμων καὶ Γομόρρων», καὶ οὐδὲ μέχρι τούτου, ἀλλά, «καταβὰς ὄψομαι». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ πέμπει τοὺς ἀγγέλους ὑποδεικνύοντάς σοι τὴν κακίαν τῶν ἐνοικούντων τὴν πόλιν, ἵνα μηδὲ τῶν ἀναισχύντων μηδεὶς ἔχῃ βλασφημεῖν τὸν Θεὸν ὅτι τοὺς ἀξένους, ὅτι τοὺς ἀπανθρώπους, ὅτι τοὺς παρανόμους καὶ τὰ τῆς δικαιοσύνης ἀγνοήσαντας δίκαια καὶ τοὺς κοινοὺς τῆς φύσεως ἀνατρέψαντας νόμους καὶ τοὺς κακίᾳ πεπληρωμένους ἀπολέσθαι ἔδει.

Τί ἴσον τοῦ οὕτω φιλανθρώπου καὶ προσηνοῦς Θεοῦ; Καίτοι γε ἡμεῖς κολάζοντες, οὐκ ἀξιοῦμεν τὰς αἰτίας λέγειν πολλάκις· αὐτὸς δὲ ἂν μὴ πρότερόν σε διδάξῃ, ἂν μὴ πρότερόν σε πείσῃ καὶ τὴν παρὰ σοῦ λάβῃ ψῆφον, ὅτι δικαίως ἐπάγει τὴν κόλασιν, οὐ τιμωρεῖται τοὺς πάλαι κολάσεως καὶ τιμωρίας ἀξίους, καὶ εὐθύνας σοι

7. Γεν. 18,20.
8. Γεν. 18,21.

στὸν νοῦ μου ἡ σκέψη, ὅτι ὄχι μόνο τὸ νὰ εἴμαστε πλεονέκτες καὶ νὰ ἁρπάζουμε, ἀλλὰ καὶ τὸ νὰ μὴ ἐλεοῦμε γίνεται αἰτία ρίψεώς μας στὴ γέεννα. Καθ' ὅσον αὐτὸς παραδόθηκε στοὺς βασανιστές, ὄχι γιατὶ ἔλαβε ἄδικα τὰ ξένα, ἀλλ' ἐπειδὴ ζητοῦσε ἀπάνθρωπα τὰ δικά του. Γιατὶ ἔχει λεχθῆ, ὅτι ὤφειλε ἐκεῖνος. Ἀλλ' ἂν ἐκεῖνος ὤφειλε, καὶ σὺ ὤφειλες τὸ ἴδιο χρέος καὶ ἔπρεπε νὰ τηρηθῆ τὸ ἴδιο μέτρο δικαιοσύνης καὶ γιὰ τὶς δύο περιπτώσεις. Γι' αὐτὸ σοῦ χάρισε τὸ χρέος, γιὰ νὰ σοῦ δείξη τὴ φιλανθρωπία του, γιὰ νὰ σὲ κάμη ζηλωτὴ τῆς δικῆς του δεσποτικῆς ἐπιείκειας. Ἐπειδὴ ὅμως, μολονότι εὐεργετήθηκες, δὲν ἔγινες καλύτερος, σὲ διορθώνει μὲ ἄλλον τρόπο, μὲ τὸν τρόπο τῆς κολάσεως, μὲ τὸν τρόπο τῆς τιμωρίας. Ὥστε καὶ αὐτὸ εἶναι ἕνα εἶδος εὐεργεσίας. Τὸν παρέδωσε στοὺς βασανιστές, γιὰ νὰ ἐκριζώση τὴν κακία τῆς ψυχῆς του, ὅπως ἀκριβῶς κάμνει ὁ ἄριστος ἰατρός. Δὲν ὑπεχώρησε ἡ ἀρρώστια σου μὲ φάρμακο ἐλαφρό, σοῦ χρειάζεται πλέον ἐγχείρηση καὶ καυτηριασμός. Γνώριζε, χαρίζοντάς του τὰ μύρια τάλαντα, ὅτι εἶναι σκληρὸς καὶ ἀπάνθρωπος, περίμενε ὅμως μὲ τὴν ἔκβαση τῶν πραγμάτων ν' ἀπολογηθῆ σὲ σένα, πρᾶγμα ποὺ τὸ κάμνει σὲ πολλὲς περιπτώσεις, γνωρίζοντας ὅτι τὸ κάμνει δίκαια. Μετὰ τὴν ἀπολογία του σὲ σένα κάμνει ἐκεῖνο ποὺ ἔκαμε καὶ στὴν περίπτωση τῶν Σοδόμων. Δὲν ἄφησε ἁπλῶς νὰ πέση ἡ φωτιά, οὔτε ἐρήμωσε τὶς πόλεις ἐκεῖνες, ἀλλὰ τί; Ἔκαμε «ν' ἀκουσθῆ κραυγὴ ἀπὸ τὰ Σόδομα καὶ τὰ Γόμορρα»[7]. Καὶ δὲν ἀρκέσθηκε σ' αὐτό, ἀλλὰ λέγει, «θὰ κατεβῶ νὰ δῶ τί συμβαίνει»[8]. Καὶ οὔτε ἐδῶ σταμάτησε, ἀλλὰ στέλνει τοὺς ἀγγέλους, δείχνοντάς σου ἔτσι τὴν κακία τῶν κατοίκων τῆς πόλεως, ὥστε νὰ μὴ μπορῆ κανεὶς ἀδιάντροπα νὰ βλασφημῆ κατὰ τοῦ Θεοῦ, γιατὶ ἔπρεπε αὐτοὺς τοὺς ἀφιλόξενους, αὐτοὺς τοὺς ἀπάνθρωπους, αὐτοὺς τοὺς παράνομους, αὐτοὺς ποὺ παρέβλεπαν τοὺς νόμους τῆς δικαιοσύνης καὶ ἀνέτρεψαν τοὺς κοινοὺς νόμους τῆς φύσεως, αὐτοὺς ποὺ ἦταν γεμᾶτοι ἀπὸ κακία, ἔπρεπε νὰ τοὺς ἀφανίση.

Τί μπορεῖ νὰ ἐξισωθῆ μὲ τὸν τόσο φιλάνθρωπο καὶ εὔσπλαγχνο Θεό; Ἂν καὶ βέβαια ὅταν τιμωροῦμε ἐμεῖς, πολλὲς φορὲς δὲν θεωροῦμε ἄξιο νὰ ποῦμε τὶς αἰτίες τῆς τιμωρίας, αὐτὸς ὅμως, ἂν δὲν σὲ διδάξη πρῶτα, ἂν δὲν σὲ πείση πρῶτα καὶ δὲν λάβη καὶ τὴ δική σου ψῆφο, ὅτι δίκαια σὲ τιμωρεῖ, δὲν τιμωρεῖ ἐκείνους ποὺ πρὶν ἀπὸ πολὺ καιρὸ ἦταν ἄξιοι κολάσεως καὶ τιμωρίας, εἶναι ἕτοιμος σὲ

πολλαχοῦ παρέχειν ἕτοιμός ἐστι καὶ κρίνεται πρός σε καὶ δικάζεσθαι οὐκ ὀκνεῖ. Ὁρᾷς τοὺς προφήτας τούτων ἐμπεπλησμένους τῶν λόγων· πανταχοῦ δικαστήρια Θεοῦ πρὸς ἀνθρώπους, καὶ πολλάκις μὲν αὐτοὺς δικάζοντας τοὺς ἠδικηκότας καλεῖ, πολλάκις δὲ τὴν κτίσιν καθημένην ἐπὶ τῆς ψήφου, δεικνὺς τὴν περιφάνειαν τῶν δικαιωμάτων, οὔτε αὐτὸν τὸν ἀντίδικον, οὔτε τὰ ἀναίσθητα παραιτεῖται εἰς κρίσιν καλεῖν ὁ Θεός· ὅπερ ἡμῖν ἔθος ἐστὶ ποιεῖν, ὅταν θαρρῶμεν τοῖς οἰκείοις δικαίοις. «Ἀκούσατε φάραγγες, θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ»· καὶ πάλιν, «ἄκουε, οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι Κύριος ἐλάλησε». Πολλάκις δὲ αὐτοὺς ἐκείνους, «λαός μου, τί ἐποίησά σοι, ἢ τί ἠδίκησά σε;». Καὶ ὁ Ἱερεμίας, «τί εὗρεσαν ἐν ἐμοὶ οἱ πατέρες ὑμῶν πλημμέλημα;». Οὐ ποιεῖ δὲ αὐτὸ κατὰ πόλεις καὶ ἔθνη μόνον, ἀλλὰ καὶ κατὰ ἕνα πολλάκις ἄνθρωπον. Πρὸς τὸν Δαυῒδ κρίνεται διὰ τοῦ προφήτου καὶ τῷ Ἰωνᾷ παραιτουμένῳ κηρῦξαι Νινευΐταις, ἀπολογεῖται διὰ τῆς κολοκύνθης· «εἰ σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ἐγὼ οὐ φείσομαι ὑπὲρ Νινευῆς;». Καὶ πολλῶν τοιούτων εὑρήσεις γεμούσας τὰς Γραφάς.

Ταῦτ' οὖν εἰδότες, προσκυνῶμεν αὐτόν, θαυμάζωμεν, θεραπεύωμεν, ὡς δυνατὸν ἡμῖν (ὡς γὰρ ἄξιον οὐ δυνατόν). Ἐπιμελώμεθα τῆς παρούσης ζωῆς καὶ πειθώμεθα, ὅτι Θεὸς ἐφέστηκε καὶ πρόνοια πάντα κυβερνᾷ καὶ μετὰ ταῦτα πάντα ἐστὶν ἀποδημήσαντας τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

9. Μιχ. 6,2.
10. Ἠσ. 1,2.
11. Μιχ. 6,3.
12. Ἰωνᾶς 4,1.

πολλὲς περιπτώσεις καὶ νὰ λογοδοτήση σὲ σένα, καὶ δὲν διστάζει νὰ κριθῆ ἀπὸ σένα καὶ νὰ δικασθῆ. Βλέπεις τοὺς προφῆτες νὰ εἶναι γεμᾶτοι ἀπὸ τοὺς λόγους αὐτούς. Παντοῦ ὑπάρχουν δικαστήρια τοῦ Θεοῦ μὲ τοὺς ἀνθρώπους καὶ πολλὲς φορὲς καλεῖ νὰ δικάσουν ἐκεῖνοι οἱ ἴδιοι ποὺ ἀδίκησαν, πολλὲς φορὲς πάλι καλεῖ καὶ τὴν ἴδια τὴ φύση νὰ ἐκφέρη ἀπόφαση, δείχνοντας μ' αὐτὸ τὴ λαμπρότητα τῶν δικαιωμάτων, καὶ δὲν ἀποφεύγη ὁ Θεὸς νὰ καλέση σὲ κρίση καὶ τὸν ἴδιο τὸν ἀντίδηκο, οὔτε καὶ τὰ ἄψυχα, πρᾶγμα ποὺ συνηθίζουμε ἐμεῖς νὰ κάμνουμε, ὅταν εἴμαστε βέβαιοι γιὰ τὸ δίκαιό μας. «Ἀκοῦστε φαράγγια, σεῖς τὰ θεμέλια τῆς γῆς, γιατὶ ὁ Κύριος θὰ στήση δικαστήριο»[9]. Καὶ πάλι· «ἄκουε, οὐρανέ, καὶ βάλε το καλὰ στ' αὐτιά σου, γῆ, γιατὶ ὁ Κύριος μίλησε»[10]. Ἀλλὰ καὶ οἱ ἴδιοι πολλὲς φορὲς ἔλεγαν· «Λαός μου, τί σοῦ ἔκαμα, ἢ σὲ τί σὲ ἀδίκησα;»[11]. Καὶ ὁ Ἱερεμίας λέγει· «ποιό ἀδίκημά μου βρῆκαν οἱ πατέρες σας σὲ βάρος τους;». Καὶ δὲν τὸ κάμνει αὐτὸ σὲ πόλεις μόνο καὶ σὲ ἔθνη, ἀλλὰ πολλὲς φορὲς καὶ πρὸς ἕναν ἄνθρωπο. Πρὸς τὸν Δαυὶδ κρίνεται μὲ τὸν προφήτη καὶ πρὸς τὸν Ἰωνᾶ, ποὺ ἀρνοῦνταν νὰ κηρύξη στοὺς Νινευΐτες, ἀπολογεῖται μὲ τὴν κολοκυθιά· «ἂν σὺ λυπήθηκες γιὰ μιὰ κολοκυθιά, ἐγὼ δὲν θὰ δείξω εὐσπλαχνία γιὰ τὴν Νινευή.»[12]. Καὶ θὰ βρῆς ἀπὸ πολλὰ τέτοια παραδείγματα νὰ εἶναι γεμᾶτες οἱ Γραφές.

Γνωρίζοντας λοιπὸν αὐτὰ ἂς προσκυνοῦμε αὐτόν, ἂς τὸν θαυμάζουμε, ἂς τὸν λατρεύουμε ὅσο μποροῦμε (γιατὶ δὲν εἶναι δυνατὸ νὰ τὸν λατρεύσουμε ὅσο τοῦ ἀξίζει). Ἂς φροντίζουμε γιὰ τὴν παροῦσα ζωὴ καὶ ἂς πιστεύουμε, ὅτι ὑπάρχει ὁ Θεὸς καὶ ὅτι ἡ πρόνοιά του κυβερνᾶ τὰ πάντα καὶ μετὰ ἀπὸ ὅλα αὐτά, ἀφοῦ φύγουμε ἀπὸ τὸν κόσμο αὐτό, νὰ μπορέσουμε νὰ ἀπολαύσουμε τὰ ἐπηγγελμένα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη τοῦ Χριστοῦ, στὸν ὁποῖον ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑΙ ΕΙΜΑΡΜΕΝΗΣ

ΛΟΓΟΣ Ε'

1. Οὐδέν ἐστιν ὄντως δόγμα πονηρόν, ἀγαπητέ, καὶ σηπεδόνος ἀνιάτου γέμον, ὡς τὸ τῆς εἱμαρμένης καὶ γενέσεως δόγμα. Μετὰ γὰρ τοῦ δόξαν βλάσφημον καὶ ἀσεβῆ καὶ ὀλεθρίαν ἐντιθέναι ταῖς τῶν ἠπατημένων ψυχαῖς καὶ πείθειν τοιαῦτα λέγειν περὶ Θεοῦ, ἃ μηδὲ περὶ δαιμόνων τις εἴποι καὶ τὸν βίον συγχεῖ τὸν ἡμέτερον, πάντα θορύβου καὶ πολλῆς ἐμπίπλησι τῆς ταραχῆς· καὶ ὅσα πρὸς διδασκαλίαν καὶ διόρθωσιν παρὰ τοῦ Θεοῦ καὶ τῆς φύσεως καὶ διὰ προφητῶν εἰσενήνεκται καὶ διὰ ἁγίων ἀνδρῶν, ἀνατρέπει καὶ καταλύει καὶ δείκνυσι περιττά. Καὶ ποιεῖ ταὐτόν, οἷον ἂν εἴ τις σῶμα νενοσηκὸς καὶ φαρμάκων δεόμενον, παρόντων ἰατρῶν καὶ τὸ φάρμακον κατασκευαζόντων, πείθοι μηδενὶ τούτων κεχρῆσθαι, μηδὲ ἀπαλλάττεσθαι τοῦ νοσήματος, ἀλλ' ἀμελείᾳ καὶ ῥᾳθυμίᾳ ἐνδόντα τὰ καθ' ἑαυτόν, τὴν ἐλεεινοτάτην ἀναμένειν ἀπώλειαν. Ἢ οὐχὶ ταῦτά φησιν ἡ εἱμαρμένη; Μηδεὶς παραινείτω τι τῶν χρησίμων, μηδεὶς ἀκουέτω παραινοῦντος ἑτέρου· μάτην εἰσὶν οἱ νόμοι καὶ οἱ δικασταί, μάτην ἐπιπλήξεις καὶ νουθεσίαι, μάτην τιμωρίας φόβος, μάτην τιμαὶ καὶ γέρα καὶ ἔπαθλα τοῖς κατορθοῦσιν. Οὔτε ἐὰν σπουδάσῃς, ὄφελός τι, οὔτε ἐὰν ἀμελήσῃς, βλάβος τι γενήσεται. Μήτε ἐπὶ διδασκαλεῖον παιδίον ὢν βαδιζέτω, μήτε ἀνὴρ γενόμενος ἀκουέτω νόμων, μὴ προσεχέτω συμβουλαῖς καὶ νουθεσίαις χρησίμοις. Τί δυνήσεται ἐνεγκεῖν ὁ κόπος; Ὥσπερ ἀνερμάτιστον πλοῖον καὶ ναυτῶν καὶ κυβερνητῶν ἔρημον, τῇ τοῦ χειμῶνος φορᾷ ἐπιδοὺς τὰ πηδάλια τῆς διανοίας, οὕτω φερέσθω.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

ΛΟΓΟΣ Ε'

1. Κανένα δόγμα, ἀγαπητέ, δὲν εἶναι τόσο πονηρὸ καὶ γεμᾶτο ἀπὸ σήψη ἀθεράπευτη, ὅσο τὸ δόγμα τῆς εἱμαρμένης καὶ τῆς μοίρας. Γιατί, ἀφοῦ ἐνστατάξη στὶς ψυχὲς ἐκείνων ποὺ ἀπατήθηκαν γνώμη βλάσφημη καὶ ἀσεβῆ καὶ ὀλέθρια καὶ τοὺς πείση νὰ λένε τέτοια λόγια γιὰ τὸν Θεό, τὰ ὁποῖα δὲν μπορεῖ κανεὶς οὔτε γιὰ τοὺς δαίμονες νὰ τὰ πῆ, προκαλεῖ σύγχυση καὶ στὴ ζωή μας, γεμίζοντας ὅλα μὲ θόρυβο καὶ πολλὴ ταραχή, καὶ ὅσα ἔχουν εἰσαχθῆ πρὸς διδασκαλία καὶ διόρθωσή μας καὶ ἀπὸ τὸν Θεὸ καὶ ἀπὸ τὴ φύση καὶ ἀπὸ τοὺς προφῆτες καὶ ἀπὸ τοὺς ἁγίους ἄνδρες, ὅλα τὰ ἀνατρέπει καὶ τὰ καταλύει καὶ τὰ δείχνει περιττά. Καὶ κάμνει τὸ ἴδιο ἐκεῖνο ποὺ κάμνει κάποιος ποὺ νοσεῖ κατὰ τὸ σῶμα καὶ ἔχει ἀνάγκη ἀπὸ φάρμακα, πού, ἐνῶ εἶναι παρόντες οἱ ἰατροὶ καὶ παρασκευάζουν τὸ φάρμακο, τοὺς πείθει νὰ μὴ χρησιμοποιηθῆ τίποτε ἀπὸ αὐτά, ἀλλ' οὔτε καὶ χρειάζεται ν' ἀπαλλαγῆ ἀπὸ τὸ νόσημα, καὶ ἔτσι παραδίνοντας τὸν ἑαυτό του στὴν ἀμέλεια καὶ στὴ ραθυμία, φθάνει στὸ νὰ περιμένη τὴν ἀξιοθρήνητη ἀπώλεια. Ἢ μήπως δὲν λέγει αὐτὰ ἡ εἱμαρμένη; Κανεὶς ἂς μὴ συμβουλεύη κάτι χρήσιμο· κανεὶς ἂς μὴ ἀκούη ἄλλον ποὺ συμβουλεύει. Ἄσκοπα ὑπάρχουν οἱ νόμοι καὶ οἱ δικαστές, ἄσκοπα γίνονται οἱ ἐπιπλήξεις καὶ οἱ νουθεσίες, ἄσκοπος εἶναι ὁ φόβος τῆς τιμωρίας, ἄσκοπες οἱ τιμὲς καὶ τὰ βραβεῖα καὶ τὰ ἔπαθλα σ' ἐκείνους ποὺ κατορθώνουν τὴν ἀρετή. Οὔτε ἂν δείξης προθυμία ὑπάρχει κάποιο ὄφελος, οὔτε ἂν ἀμελήσης θὰ σοῦ συμβῆ κάποια βλάβη. Οὔτε κανεὶς ὅταν εἶναι παιδὶ νὰ πηγαίνη στὸ σχολεῖο, οὔτε ὅταν γίνη ἄνδρας νὰ ὑπακούη στοὺς νόμους, οὔτε νὰ προσέχη τὶς συμβουλὲς καὶ τὶς χρήσιμες νουθεσίες. Τί θα μπορέση νὰ προσφέρη ὁ κόπος; Σὰν τὸ ἀνερμάτιστο πλοῖο, ποὺ εἶναι ἔρημο ἀπὸ ναῦτες καὶ κυβερνήτη, ἔτσι ἂς φέρεται κι αὐτός, ἀφήνοντας τὰ πηδάλια τῆς διάνοιας στὴν ὁρμὴ τῆς κακοκαιρίας.

Θέλεις, εἰπέ μοι, πεισθησώμεθα καὶ οὐδὲν ἐνεργήσωμεν τῶν πρὸς σωτηρίαν τῆς ἡμετέρας ζωῆς; Τέως γὰρ ἀφείσθω τὰ τῆς ψυχῆς, ἀλλὰ τὰ περὶ τῆς παρούσης ζωῆς διαλεγώμεθα. Πειθόμεθα τῇ εἱμαρμένῃ ταῦτα λεγούσῃ, καὶ οὔτε οἰκέτας ἁμαρτάνοντας κολάσομεν, οὔτε ἀσελγείαις διεφθαρμένους ἐπιστρέψομεν, οὔτε τοὺς ἀδικοῦντας εἰς δικαστήριον ἄξομεν, οὐκ ἀκουσόμεθα τῶν νόμων; Ἐβουλόμην κἂν πρὸς βραχὺ τοῦτο γενέσθαι, ἵν' ἔργῳ τὴν ὀλεθρίαν ταύτην καὶ ἐπιβλαβῆ διδάσκαλον τῶν κακῶν δυνηθῆτε συνιδεῖν. Εἰ γὰρ ἀνάγκη πάντως τὰ εἱμαρμένα γενέσθαι, καὶ σπουδαζόντων καὶ καθευδόντων, μηδεὶς γεωργὸς ζευγνύτω βοῦς, μηδὲ ἄροτρον ἑλκέτω, μήτε αὔλακα τεμνέτω, μηδὲ καταβαλέτω σπέρματα, μήτε ὥραν ἔτους ἐπιτηρείτω ἐπιτηδείαν, μήτε ἀνεχέσθω κρυμοῦ καὶ διηνεκοῦς ὑετοῦ καὶ ταλαιπωρίας καὶ μόχθων πρὸς διαμεμετρημένον τὸ ἔτος, μὴ θηγέτω δρεπάνην, μηδὲ ἀμάτω λήϊον, μὴ τριβέτω ἀστάχυς, μὴ φυτευέτω, μηδὲ θεραπευέτω φυτά, πᾶσαν ἁπλῶς τῆς γεωργίας ῥίψας τὴν ἐπιμέλειαν, οἴκοι καθεζέσθω καὶ πάντα καθευδέτω τὸν χρόνον, πάντως ἂν εἱμαρμένον αὐτῷ καὶ κεκλωσμένον ᾖ, αὐτόματα εἰς τὴν οἰκίαν ἥξει τὰ ἀγαθά· ἐὰν δὲ εἰς τοὐναντίον στρέψῃ τὸν ἄτρακτον ἡ Κλωθώ, κἂν μυριάκις πονῆται, πέρας οὐδὲν αὐτῷ τῶν πόνων ἔσται καὶ ἱδρώτων.

Τίνος οὖν ἕνεκεν οὔτε παραινεῖτε ταῦτα ποιεῖν, εἴγε ὄντως εἱμαρμένη πιστεύετε; τίνος ἕνεκεν οὐ παραινεῖτε, ἵν' ὄντως ἔργῳ μάθητε τὰ τῆς εἱμαρμένης καλά; Βούλει μοι δεῖξαι τί ὄντως εἵμαρται; Κατάλυσον γεωργίαν, ἄνελε ναυτιλίαν, ἔκβαλε πάσας τέχνας βιωτικὰς καὶ μήτε οἰκοδόμος, μήτε χαλκοτύπος, μήτε ὑφάντης, μήτε ἄλλος τις τῶν εἰς τὴν ἡμετέραν συντελούντων ζωὴν μεταχειριζέτω τὴν αὐτοῦ τέχνην καὶ τότε ὄψει καλῶς, οἷα τῆς εἱμαρμένης τὰ ἐπίχειρα, τότε αὐτῆς αἰσθήσῃ καλῶς, τότε αὐτῆς τὸ ἀπερίτρεπτον ὄψει. Καὶ τί λέγω τέχνας, αἳ τὴν ζωὴν συνέχουσι τὴν ἡμετέραν;

Θέλεις, πές μου, νὰ πιστέψουμε σ' αὐτὰ καὶ νὰ μὴ κάνουμε τίποτε ἀπὸ ἐκεῖνα ποὺ συντελοῦν στὴ σωτηρία τῆς ζωῆς μας; Ἀλλὰ πρῶτα ἂς ἀφήσουμε τὰ σχετικὰ μὲ τὴν ψυχή μας καὶ ἂς μιλήσουμε γιὰ τὴν παροῦσα ζωή. Θὰ πιστέψουμε στὴν εἱμαρμένη ποὺ λέγει αὐτὰ καὶ οὔτε τοὺς δούλους ποὺ σφάλλουν θὰ τιμωρήσουμε, οὔτε τοὺς διεφθαρμένους ἀπὸ τὶς ἀσέλγειες θὰ ἐπαναφέρουμε, οὔτε ἐκείνους ποὺ ἀδικοῦν θὰ τοὺς ὁδηγήσουμε στὸ δικαστήριο, οὔτε θὰ ὑπακούσουμε στοὺς νόμους; Ἤθελα νὰ γίνη αὐτὸ ἔστω καὶ γιὰ λίγο, γιὰ νὰ μπορέσετε ν' ἀντιληφθῆτε στὴν πράξη τὴν ὀλέθρια καὶ ἐπιβλαβῆ αὐτὴ διδάσκαλο τῶν κακῶν. Γιατί, ἂν πρέπει κατ' ἀνάγκη νὰ συμβοῦν ὅσα εἶναι γραμμένα ἀπὸ τὴ μοῖρα, εἴτε ἐμεῖς μοχθοῦμε εἴτε κοιμώμαστε, τότε κανεὶς γεωργὸς ἂς μὴ ζέψη τὰ βόδια οὔτε νὰ σύρη τὸ ἄροτρο οὔτε αὐλάκια ν' ἀνοίξη οὔτε τὸν σπόρο νὰ σπείρη οὔτε νὰ περιμένη τὴν κατάλληλη ἐποχὴ τοῦ ἔτους οὔτε νὰ προφυλάσσεται ἀπὸ τὸ ψῦχος καὶ τὶς διαρκεῖς βροχές, οὔτε ν' ἀποφεύγη τὶς ταλαιπωρίες καὶ τοὺς κόπους καθ' ὅλο τὸ διάστημα τοῦ ἔτους, ἂς μὴ ἀκονίση τὸ δρεπάνι οὔτε νὰ θερίση τὸ σπαρμένο χωράφι, ἂς μὴ τρίψη τὰ στάχυα, ἂς μὴ φυτεύη οὔτε νὰ καλλιεργῆ δένδρα, καὶ γενικὰ ἂς ἀφήση κατὰ μέρος κάθε φροντίδα τῆς γεωργίας, καὶ ἂς καθήση στὸ σπίτι του καὶ ὅλον τὸν χρόνο ἂς κοιμᾶται, γιατὶ ὁπωσδήποτε ὅλα αὐτὰ τὰ ἀγαθὰ θὰ ἔλθουν αὐτόματα στὸ σπίτι του, ἐφόσον αὐτὸ εἶναι γραμμένο καὶ ὡρισμένο ἀπὸ τὴ μοῖρα. Ἂν ὅμως ἡ Κλωθὼ στρέψη στὸ ἀντίθετο τὴν ἄτρακτο, κι ἂν ἀκόμη ὑποβληθῆ σὲ ἄπειρους κόπους, δὲν θὰ ὑπάρξη κανένα τέλος στοὺς κόπους καὶ στοὺς ἱδρῶτες του.

Γιὰ ποιό λόγο λοιπὸν δὲν συμβουλεύετε τοὺς ἀνθρώπους νὰ τὰ κάμνουν αὐτά, ἂν πράγματι πιστεύετε στὴν εἱμαρμένη; Γιὰ ποιό λόγο δὲν τὰ συμβουλεύετε, γιὰ νὰ μάθετε ἀπὸ τὰ ἴδια τὰ ἔργα τὰ καλὰ τῆς εἱμαρμένης; Θέλεις νὰ μοῦ δείξης πράγματι ποιό εἶναι αὐτὸ ποὺ ἔχει γραφῆ ἀπὸ τὴ μοῖρα; Κατάργησε τὴ γεωργία, σταμάτησε τὴ ναυτιλία, ἀπόρριψε ὅλες τὶς βιωτικὲς τέχνες, καὶ κανείς, οὔτε οἰκοδόμος οὔτε χαλκουργὸς οὔτε ὑφαντὴς οὔτε κανεὶς ἄλλος ἀπὸ ἐκείνους ποὺ μᾶς ὑπηρετοῦν στὴν καθημερινὴ ζωὴ νὰ ἀσκῆ τὴν τέχνη του, καὶ τότε θὰ δῆς πολὺ καλὰ ποιές εἶναι οἱ ἀμοιβὲς τῆς εἱμαρμένης, τότε θὰ καταλάβης αὐτὴν πολὺ καλά, τότε θ' ἀντιληφθῆς τὸ ἀπερίτρεπτο αὐτῆς. Καὶ γιατί ὁμιλῶ γιὰ τέχνες, ποὺ συγκροτοῦν

Ἔστωσαν τέχναι καὶ μηδὲ μίαν καταλύσῃς, ἀλλὰ πάντων μενόντων ἐπὶ τῆς οἰκείας τάξεως, ὁ καθ' ἕκαστον μηδὲν μεριμνάτω τῶν αὐτοῦ, μηδὲ φροντιζέτω τῶν κατὰ τὴν οἰκίαν, ἀλλ' ἐπιτρεψάτω τῇ εἱμαρμένῃ τὰ κατὰ αὐτὸν οἰκονομῆσαι πάντα καὶ τότε εἴσεται αὐτῆς τὴν ὠφέλειαν, ὅταν στρεβλούμενος καὶ μαστιζόμενος ἀπαιτῆσαι μὲν τὰς εἰσφοράς, μὴ ἔχων δὲ καταφεύγει μὲν ἐπὶ τὴν ἐκείνης ἀπολογίαν, προσέχει δὲ αὐτῷ μηδείς.

Μέχρι πότε παιδία ἐσμὲν ταῖς φρεσί; μέχρι τίνος οὐ παυσόμεθα ληροῦντες; μέχρι τίνος οὐκ ἐπιγνωσόμεθα τὸν κοινὸν Δεσπότην; Εἰ φαύλους καὶ ἀγαθοὺς εἱμαρμένη ποιεῖ, τίνος ἕνεκεν παραινεῖς τῷ παιδί, τίνος ἕνεκεν νουθετεῖς; Πάντα εἰκῇ καὶ μάτην. Εἰ πλουσίους καὶ πένητας ποιεῖ, μὴ πέμψῃς εἰς διδασκαλεῖα, μὴ πορίσῃς χρήματα, μὴ πράξῃς μηδὲ ἓν τῶν δυναμένων αὐτῷ τὴν οὐσίαν αὐξῆσαι, ἀλλ' ἐπίτρεψον τῇ εἱμαρμένῃ τὸ κατ' αὐτόν. Ἀλλ' οὐκ ἀνέχῃ. Ὁρᾷς πῶς ἐν τοῖς ἐλάττοσι διαπιστῶν αὐτῆς τὴν δύναμιν, ἐν τοῖς μείζοσιν αὐτῇ πιστεύεις; Εἰ γὰρ ὄντως εἱμαρμένη ἐστίν, ἄφες τὸν παῖδα καὶ πονηροῖς ἀνδράσι συγγίνεσθαι καὶ μετὰ διεφθαρμένων διαφθείρεσθαι· πάντως ἂν εἱμαρμένον αὐτῷ καὶ κεκλωσμένον ᾖ καὶ σὺ χρησιμεύει. Καὶ γὰρ ὄντως, φησίν, ὄντως ἐστί. Τίνος οὖν ἕνεκεν πράγματα καὶ σαυτῷ παρέχεις καὶ ἑτέρῳ; Καὶ τί λέγω παίδων ἕνεκεν, ὅπου γε οὐδὲ ἐπὶ οἰκετῶν ἀνέξῃ τοῦτο ποιεῖν, ἀλλὰ καὶ ἀπειλεῖς καὶ φοβεῖς καὶ πάντα τρόπον κινεῖς, ὅπως γένηταί σοι καλὸς ὁ οἰκέτης καὶ οὐ θαρρεῖς τῇ γενέσει; Τίνος δὲ ἕνεκεν κακὸν γενόμενον κολάζεις; οὐ γὰρ αὐτοῦ τὸ ἁμάρτημα γέγονεν, ἀλλὰ τῆς ὠθούσης γενέσεως. Τίνος δὲ ἕνεκεν καλὸν γενόμενον ἐπαινεῖς; οὐ γὰρ αὐτοῦ τὸ κατόρθωμα, ἀλλὰ τῆς γενέσεως· μᾶλλον δὲ οὔτε καλός, οὔτε κακὸς ἔσται τις. Ὁ γὰρ παρ' ἑαυτοῦ μηδέτερον τούτων ποιῶν, ἀλλ' ἑτέρωθεν τὴν ἀνάγκην δεχόμενος, οὔτε τοῦτο ἔσται, οὔτε ἐκεῖνο. Τίνος οὖν ἕνεκεν ἐπαινοῦμεν ἄνδρας; τίνος δὲ ἕνεκεν ψέγομεν; τίνος ἕνεκεν ἐπαρώμεθα, τίνος ἕνεκεν συν-

ὅλη μας τὴ ζωή; Ἂς μείνουν οἱ τέχνες καὶ καμμιὰ μὴ καταργήσης, ἀλλά, παραμένοντας ὅλες στὴ θέση τους, ὁ καθένας ἂς μὴ μεριμνᾶ γιὰ τὶς ὑποθέσεις του, οὔτε νὰ φροντίζη γιὰ τὰ τοῦ σπιτιοῦ, ἀλλ' ἂς ἀφήση τὴν εἱμαρμένη νὰ ρυθμίση ὅλες τὶς ὑποθέσεις του, καὶ τότε θὰ καταλάβη τὴν ὠφέλειά της, ὅταν θὰ βασανίζεται καὶ θὰ μαστιγώνεται γιὰ νὰ δώση τὶς εἰσφορὲς καὶ μὴ ἔχοντάς τες, θὰ καταφεύγη στὴ δικαιολογία ἐκείνης, ἀλλὰ κανένας δὲν θὰ τὸν προσέχη.

Μέχρι πότε θὰ εἴμαστε παιδιὰ ὡς πρὸς τὸ μυαλό; μέχρι πότε δὲν θὰ πάψουμε νὰ μωρολογοῦμε; μέχρι πότε δὲν θὰ ἀναγνωρίζουμε τὸν κοινὸ Δεσπότη; Ἂν ἡ εἱμαρμένη κάμνη τοὺς κακοὺς καὶ τοὺς καλούς, γιὰ ποιό λόγο συμβουλεύεις τὸ παιδί σου, γιὰ ποιό λόγο τὸ νουθετεῖς; Ὅλα εἶναι ἄσκοπα καὶ γίνονται στὰ χαμένα. Ἂν κάμνη τοὺς πλούσιους καὶ τοὺς πτωχούς, μὴ στέλης τὸ παιδί σου στὰ σχολεῖα, μὴν ἀποκτᾶς χρήματα, μὴ κάνης οὔτε ἕνα ἀπὸ ἐκεῖνα ποὺ μποροῦν νὰ τοῦ αὐξήσουν τὴν περιουσία, ἀλλ' ἄφησε στὴν εἱμαρμένη ὅλα τὰ σχετικὰ μ' αὐτό. Κάτι τέτοιο ὅμως δὲν τολμᾶς. Βλέπεις πῶς, διαπιστώνοντας τὴ δύναμή της στὰ μικρά, τὴν πιστεύεις στὰ μεγάλα; Γιατί, ἂν πράγματι ὑπάρχη ἡ εἱμαρμένη, ἄφησε τὸ παιδί σου νὰ συναναστρέφεται καὶ μὲ κακοὺς ἀνθρώπους καὶ νὰ διαφθείρεται μὲ τοὺς διεφθαρμένους· ὁπωσδήποτε, ἂν ὅλα γι' αὐτὸ εἶναι γραμμένα καὶ καθωρισμένα ἀπὸ τὴν εἱμαρμένη, αὐτὸ θὰ χρησιμεύση καὶ σὲ σένα. Εἶναι πραγματικά, λέγει, πραγματικὰ εἶναι καθωρισμένα. Γιὰ ποιόν λόγο τότε νὰ φορτώνης καὶ τὸν ἑαυτό σου καὶ ἄλλους μὲ ἐνοχλητικὲς ἀσχολίες; Καὶ γιατί λέγω γιὰ χάρη τῶν παιδιῶν σου, τὴ στιγμὴ ποὺ δὲν ἀνέχεσαι νὰ τὸ κάμης αὐτὸ οὔτε καὶ γιὰ τοὺς δούλους σου, ἀλλὰ καὶ τοὺς ἀπειλεῖς καὶ τοὺς φοβίζεις καὶ χρησιμοποιεῖς κάθε τρόπο, γιὰ νὰ γίνη καλὸς ὁ δοῦλος σου, καὶ δὲν ἐμπιστεύεσαι τὸ πρᾶγμα στὴ μοῖρα; Καὶ γιὰ ποιό λόγο, ὅταν γίνη κακός, τὸν τιμωρεῖς; Γιατὶ τὸ ἁμάρτημα δὲν εἶναι δικό του, ἀλλ' ὀφείλεται στὴ μοῖρα ποὺ τὸν ὤθησε. Καὶ γιὰ ποιό λόγο, ὅταν γίνη καλός, τὸν ἐπαινεῖς; Γιατὶ τὸ κατόρθωμα δὲν εἶναι δικό του, ἀλλὰ τῆς μοίρας του, ἢ καλύτερα κανεὶς δὲν θὰ εἶναι οὔτε καλὸς οὔτε κακός. Γιατί, ἐκεῖνος ποὺ δὲν κάμνει κανένα ἀπ' αὐτά, ἀλλὰ δέχεται ἀπὸ ἄλλου τὴν ἀνάγκη, οὔτε τὸ ἕνα θὰ εἶναι οὔτε τὸ ἄλλο. Γιὰ ποιό λόγο λοιπὸν ἐπαινοῦμε τοὺς ἀνθρώπους; καὶ γιὰ ποιό τοὺς ψέγουμε; Γιὰ ποιό λόγο ἄλλους τοὺς καταριέμαστε καὶ

ευχόμεθα ἑτέροις;

2. Ὁρᾷς εἰς ὅσην ἡμᾶς ἀλογίαν ὁ τῆς εἱμαρμένης ἐξήγαγε λόγος; Οὐδείς ἐστι σώφρων, οὐδείς ἐστιν ἀκόλαστος, οὐδείς ἐστι πλεονέκτης, οὐδείς ἐστι δίκαιος· ἀνῄρηται καὶ ἀρετὴ καὶ κακία καὶ μάτην εἰς τὸν παρόντα βίον ὑπήχθημεν, μᾶλλον δὲ οὐ μάτην, ἀλλὰ καὶ ἐπὶ κακῷ. Πῶς γὰρ οὐκ ἄτοπον ὠθεῖσθαι μὲν ὑπὸ τῆς ἀνάγκης τῆς γενέσεως εἰς κακίαν, πάλιν δὲ ὑπὸ τῆς βίας αὐτῆς ταύτης δίκην διδόναι τὴν ἐσχάτην, δέον ἐλεεῖσθαι, δέον ταλανίζεσθαι, καὶ μισούμεθα καὶ κολαζόμεθα, δέον τιμᾶσθαι; Τὸν ἀδικούμενον καὶ βίαν παθόντα, οὐχὶ κολάζεσθαι, ἀλλὰ τιμᾶσθαι χρή· ἡμεῖς δὲ καὶ ἀδικούμεθα καὶ τιμωρίαν ὑπομένομεν. Τί τούτου γένοιτ' ἂν ἀλογώτερον, ὑπὲρ ὧν κακῶς πάσχοντες ὠθισθέντες πρὸς κακίαν, ὑπὲρ τούτων καὶ τιμωρίαν διδόναι; Ἐποίησεν ἀνδροφόνον ἡ εἱμαρμένη καὶ τὴν ψυχὴν ἀπαιτεῖ ἀνθ' ὧν ὑπήκουσεν αὐτῇ· τί τούτου βλαβερώτερον δόγμα γένοιτο ἄν; Ὥσπερ ἂν εἴ τις εἰς τὸ βάραθρον ὠθήσας καὶ καταλαβὼν τὸν κρημνισθέντα, πάλιν τιμωρίαν ἀπαιτοίη τούτων ἕνεκεν· ἢ ὥσπερ ἂν εἴ τις βαρβάρᾳ δεσποίνῃ παραδοὺς αἰκίζεσθαι καὶ μυρίοις περιβαλεῖν κακοῖς, τὸν παραδεδομένον ὑπὲρ τῆς δουλείας καὶ τῆς αἰχμαλωσίας, ἀπαιτοῖ τιμωρίαν. Ἆρά τι γένοιτο ἂν τούτου ἀλογώτερον, εἰπέ μοι, ἢ ἀθλιώτερον τοῦ γένους τούτου;

Εἰ ταῦτα τοιαῦτα καὶ ἐχθροὶ μὲν καὶ πολέμιοι τοῖς αὐτῶν πολεμίοις ἴσασι συγγινώσκειν, ὅταν ἄκοντες καὶ μὴ βουλόμενοι πράττωσί τι τῶν χαλεπωτάτων αὐτοῖς, ἡ δὲ εἱμαρμένη τοῖς ὑπηκόοις καὶ πάντα πειθομένοις, μᾶλλον δὲ κατηναγκασμένοις, οὐκ εἴσεται συγγνώμην, ἀλλ' ὑπὲρ ὧν αὐτοὺς κατηνάγκασε πρᾶξαι, ὑπὲρ τῶν αὐτῶν αὐτοὺς ἀπαιτεῖ δίκην, ποῖος φωρυτός, ποῖος λαβύρινθος, ποία ζάλη ταύτην μιμήσεται τὴν σύγχυσιν, εἰπέ μοι; Οὐκ ἤρκεσέ μοι τρόπος εἷς ἀδικίας, ὅτι μηδὲν ἁμαρτὼν εἰς κακίαν ἐμβέβλημαι καὶ ὅτι ἕτερος μηδὲν κατορθώσας ἀγαθὸς γίνεται καὶ τιμῆς ἀπολαύει· οὐκ ἀρκεῖ αὕτη μόνη ἡ ἀδικία, ὅτι ἁπλῶς καὶ ἀλόγως καὶ

σ' ἄλλους δίνουμε τὶς εὐχές μας;

2. Βλέπεις σὲ ποιό παραλογισμὸ μᾶς ὡδήγησε ὁ λόγος γιὰ τὴν εἱμαρμένη; Κανεὶς δὲν εἶναι σώφρονας, κανεὶς δὲν εἶναι ἀκόλαστος, κανεὶς δὲν εἶναι πλεονέκτης, κανεὶς δὲν εἶναι δίκαιος. Ἐξέλειπε καὶ ἡ ἀρετὴ καὶ ἡ κακία καὶ μάταια βρεθήκαμε στὴν παροῦσα ζωή, ἢ καλύτερα ὄχι μάταια, ἀλλὰ καὶ γιὰ κακό. Γιατί, πῶς δὲν εἶναι παράλογο νὰ ὠθούμαστε στὴν κακία ἀπὸ τὴν ἀνάγκη τῆς μοίρας, καὶ πάλι ἀπὸ τὴ δύναμη τῆς ἴδιας τῆς μοίρας νὰ τιμωρούμαστε μὲ τὴν πιὸ χειρότερη τιμωρία, ἐνῶ ἔπρεπε νὰ ἐλεούμαστε, ἐνῶ ἔπρεπε νὰ ταλανιζώμαστε, καὶ ἐπίσης μισούμαστε καὶ τιμωρούμαστε, ἐνῶ ἔπρεπε νὰ τιμώμαστε; Ἐκεῖνος ποὺ ἀδικεῖται καὶ παθαίνει κάτι μὲ τὴ βία, δὲν πρέπει νὰ τιμωρῆται, ἀλλὰ νὰ τιμᾶται· ἐμεῖς ὅμως καὶ ἀδικούμαστε καὶ τὴν τιμωρία ὑπομένουμε. Τί θὰ μπορουσε νὰ ὑπάρξη πιὸ παράλογο ἀπὸ αὐτό, ὅταν, γιὰ ἐκεῖνα ποὺ ὑποφέρουμε ἐπειδὴ μᾶς ἔπρωξε ἡ μοῖρα πρὸς τὸ κακό, γι' αὐτὰ καὶ τιμωρούμαστε; Ἔκαμε ἡ εἱμαρμένη κάποιον ἀνθρωποκτόνο, καὶ ἔναντι τῆς ὑπακοῆς του σ' αὐτὴν ζητεῖ τὴν ψυχή του. Ποιό δόγμα θὰ μποροῦσε νὰ ὑπάρξη βλαβερώτερο ἀπὸ αὐτό; Ὅπως ἀκριβῶς, ἂν κάποιος, σπρώχνοντας στὸ βάραθρο ἕναν ἄλλον καὶ συλλαμβάνοντας μετὰ αὐτὸν ποὺ τὸν ἔρριξε στὸν γκρεμό, ζητεῖ πάλι νὰ τὸν τιμωρήση γιὰ τὸ ὅ,τι τὸν ἔσπρωξε. Ἢ ὅπως ἂν κάποιος, ποὺ παρέδωσε σὲ βάρβαρη κυρία ἕναν ἄλλο γιὰ νὰ τὸν βασανίση καὶ νὰ τοῦ προξενήση ἄπειρα κακά, ἀπαιτῆ στὴ συνέχεια γιὰ τὴ δουλεία αὐτὴ καὶ τὴν αἰχμαλωσία καὶ νὰ τιμωρηθῆ αὐτός. Πές μου, τί θὰ μποροῦσε νὰ ὑπάρξη ἄραγε πιὸ παράλογο ἀπὸ αὐτὸ ἢ πιὸ ἄθλιο ἀπὸ τὸ γένος αὐτό;

Ἂν αὐτὰ εἶναι τέτοια, καὶ οἱ ἐχθροὶ καὶ οἱ πολέμιοι γνωρίζουν νὰ συγχωροῦν τοὺς ἐχθρούς τους, ὅταν κάμνουν σ' αὐτοὺς χωρὶς νὰ τὸ θέλουν κάτι ἀπὸ τὰ πάρα πολὺ φοβερά, ἐνῶ ἡ εἱμαρμένη ὄχι μόνο δὲν δίνει συγγνώμη στοὺς ὑπηκόους της, ποὺ εἶναι πάντοτε ὑπάκουοι, ἢ καλύτερα ποὺ ἐξαναγκάζονται νὰ ὑπακούουν, ἀλλὰ καὶ ζητεῖ τὴν τιμωρία τους γιὰ ὅσα τοὺς ἐξανάγκασε νὰ πράξουν, ποιός βόρβορος, ποιός λαβύρινθος, ποιά ζάλη, πές μου, θὰ μιμηθῆ τὴ σύγχυση αὐτή; Δὲν μοῦ ἦταν ἀρκετὸς ὁ ἕνας τρόπος ἀδικίας, τὸ ὅτι χωρὶς νὰ ἁμαρτήσω ἔχω ριφθῆ στὴν κακία, καὶ ὅτι ἄλλος, χωρὶς νὰ κατώρθωσε τίποτε, γίνεται καλὸς καὶ ἀπολαμβάνει καὶ τιμή, δὲν ἀρκεῖ αὐτὴ μόνο ἡ ἀδικία, τὸ ὅτι ἔτσι ἁπλὰ καὶ παρά-

ἐμὲ κακὸν ἐποίησε καὶ ἐκεῖνον καλόν, ἀλλὰ καὶ ἑτέραν προστίθησι καὶ οὐδὲ τὴν τῶν ἀνθρώπων δικαιοκρισίαν μιμεῖται· ἀλλ' οἱ μὲν ἄνθρωποι, οὕτω φιλάνθρωποι καὶ ἥμεροι, ὡς διαιρεῖν τὰ ἀκούσια τῶν ἑκουσίων· ἡ δὲ τὰ ἀνθρώπινα διοικοῦσα ἐριννύς τις καὶ δαίμων πονηρός, οὕτω πάντα συγχεῖ. Εἰ μὲν οὖν οὐκ ἔστι Θεὸς ὁ ταῦτα ἐφορῶν, ἐλέγχεται μὲν ὁ λόγος ἑτέρωθεν. Οὐ γὰρ δυνατὸν ἐν εὐταξίᾳ τοσαύτῃ πρόνοιαν μὴ εἶναι. Πλὴν εἰ μὲν οὐκ ἔστι Θεός, πῶς ὅλως ταῦτα συνέστηκεν; εἰ δέ ἐστι, πῶς ταῦτα περιορᾷ; Εἰ μὲν γὰρ αὐτὸς ἐποίησεν, ὅρα τὴν ἀσέβειαν καὶ τῆς βλασφημίας τὴν ὑπερβολήν· εἰ δὲ οὐκ ἐποίησε, γενόμενα δὲ περιορᾷ, πάλιν οὐκ ἔλαττον τοῦ προτέρου τὸ ἔγκλημα. Ὁρᾷς πῶς πανταχόθεν στενοχωρεῖται ὁ διάβολος, συνελαύνων τοὺς ἀνθρώπους εἰς τὴν κατὰ τοῦ Δεσπότου μανίαν;

Βούλει με πεῖσαι, ὅτι εἱμαρμένῃ πείθῃ καὶ νομίζεις εἶναί τι δόγμα; Μὴ ἐγκάλει μοιχευομένῃ γυναικί, μηδὲ πλησθῇς θυμοῦ, μηδὲ εἰς κριτήριον δικαστοῦ ἀγάγῃς τὸν μοιχόν. Ἂν ἴδῃς τοῖχον διορυττόμενον, μὴ ἐπιλάβῃ τοῦ διορύττοντος, μηδὲ ἀπαιτήσῃς δίκην· οὐ γὰρ ἑκὼν τοῦτο ἐποίησε, καθὼς σὺ φῄς. Ἀμέλησον τῶν σαυτοῦ πάντων· πάντως γὰρ ἥξει σοι τὰ τῆς εἱμαρμένης· ῥῖψον ὅσον ἔχεις χρυσίον· ἀμέλησον οἰκιῶν, ἀγορῶν, ἀνδραπόδων· οὐδὲν ἀπὸ τῆς ῥᾳθυμίας τῆς σῆς ἡ τῆς εἱμαρμένης ῥᾳθυμία παραβλαβήσεται. Ἀλλ' οὐκ ἀνέξῃ τούτων οὐδέν, ὡς ἔργῳ πεισθείς, ὅτι κατέγνωκας τῶν δογμάτων τῆς εἱμαρμένης. Τίνος οὖν ἕνεκεν ἐν ταῖς ἁμαρτίαις αὐτὴν προβάλλῃ, πανταχοῦ κατεγνωκώς; Ὁρᾷς ὅτι οὐδαμόθεν τὸ δόγμα τοῦτο εἰσενήνεκται, ἀλλ' ἀπὸ τῆς ῥᾳθυμίας καὶ ὀλιγωρίας καὶ τοῦ πρὸς αὐτοὺς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐκλελύσθαι πόνους. Εἰ γένεσίς ἐστι, κρίσις οὐκ ἔστιν· εἰ γένεσίς ἐστι, πίστις οὐκ ἔστιν· εἰ γένεσίς ἐστι, Θεὸς οὐκ ἔστιν· εἰ γένεσίς ἐστιν, πάντα μάτην, πάντα εἰκῇ καὶ ποιοῦμεν καὶ πάσχομεν· οὐκ ἔστιν ἔπαινος,

λογα καὶ ἐμένα μὲ ἔκαμε κακό, καὶ ἐκεῖνον καλόν, ἀλλὰ προσθέτει καὶ ἄλλη ἀδικία, καὶ δὲν μιμεῖται οὔτε τὴν δικαιοκρισία τῶν ἀνθρώπων. Καὶ οἱ ἄνθρωποι βέβαια εἶναι τόσο φιλάνθρωποι καὶ ἥμεροι, ὥστε νὰ ξεχωρίζουν τὰ ἑκούσια ἀπὸ τὰ ἀκούσια, ἐνῶ αὐτή, διοικώντας τὰ ἀνθρώπινα σὰν κάποια ἐριννύδα καὶ δαίμονας πονηρός, τόσο πολὺ συγχύζει τὰ πάντα. Ἐὰν λοιπὸν δὲν ὑπάρχη Θεός, ὁ ὁποῖος ἐποπτεύει τὰ πάντα, ἡ γνώμη αὐτὴ ἀποδεικνύεται ὡς ἀβάσιμη καὶ ἀπὸ ἀλλοῦ. Γιατὶ δὲν εἶναι δυνατό, τὴ στιγμὴ ποὺ ὑπάρχει τόση τάξη, νὰ μὴ ὑπάρχη πρόνοια. Πλὴν ὅμως ἂν δὲν ὑπάρχη Θεός, πῶς ἔγιναν ὅλα αὐτά; καὶ ἂν ὑπάρχη, πῶς τὰ παραβλέπει αὐτά; Γιατί, ἂν τὰ δημιούργησε αὐτός, πρόσεχε τὴν ἀσέβεια καὶ τὴν ὑπερβολικὴ βλασφημία· ἂν δὲν τὰ δημιούργησε, ἀφοῦ ὅμως δημιουργήθηκαν τὰ παραβλέπει, πάλι τὸ ἔγκλημα δὲν εἶναι μικρότερο ἀπὸ τὸ προηγούμενο. Βλέπεις πῶς ἡ θέση τοῦ διαβόλου γίνεται ἀπὸ παντοῦ δύσκολη, στὴν προσπάθειά του νὰ σπρώξη τοὺς ἀνθρώπους στὴ μανία ἐναντίον τοῦ Κυρίου;

Θέλεις νὰ μὲ πείσης, ὅτι πιστεύεις στὴν εἱμαρμένη καὶ νομίζεις ὅτι εἶναι αὐτὴ κάποιο δόγμα; Μὴ κατηγορῆς γυναῖκα ποὺ μοιχεύει οὔτε νὰ κυριευθῆς ἀπὸ θυμὸ οὔτε νὰ ὁδηγήσης στὸ δικαστήριο τὸν μοιχό. Ἂν δῆς ν' ἀνοίγεται τρύπα στὸν τοῖχο, μὴ συλλάβης τὸν διαρρήκτη οὔτε νὰ ζητήσης τὴν τιμωρία του· γιατί, ὅπως λὲς ἐσύ, δὲν τὸ ἔκαμε μὲ τὴ θέλησή του. Παραμέλησε ὅλα τὰ δικά σου· γιατὶ ὁπωσδήποτε θὰ συμβοῦν τὰ ὅσα ὁρίζει ἡ εἱμαρμένη. Πέταξε ὅσο χρυσάφι ἔχεις, παραμέλησε τὶς ὑποθέσεις τοῦ σπιτιοῦ, τῆς ἀγορᾶς καὶ τῶν δούλων σου· γιατὶ ἡ ἀδιαφορία τῆς εἱμαρμένης καμμιὰ βλάβη δὲν θὰ πάθη ἀπὸ τὴ δική σου ἀδιαφορία. Ἀλλ' ὅμως δὲν θὰ ἀνεχθῆς τίποτε ἀπὸ ὅλα αὐτά, γιατί, πεισθεὶς ἀπὸ τὰ ἴδια τὰ πράγματα, κατεδίκασες τὰ δόγματα τῆς εἱμαρμένης. Γιὰ ποιό λόγο λοιπὸν νὰ τὴν ὑποστηρίζης καὶ ν' ἁμαρτάνης, ἀφοῦ σ' ὅλες τὶς περιπτώσεις τὴν ἔχεις καταδικάσει; Βλέπεις ὅτι τὸ δόγμα αὐτὸ δὲν ἔχει εἰσαχθῆ ἀπὸ πουθενὰ ἀλλοῦ, παρὰ ἀπὸ τὴν ἀδιαφορία, τὴν ἀμέλεια καὶ ἀπὸ τὴν ἐγκατάλειψη τῶν κόπων γιὰ τὴν ἀπόκτηση τῆς ἀρετῆς. Ἂν ὑπάρχη εἱμαρμένη, δὲν ὑπάρχει κρίση· ἂν ὑπάρχη εἱμαρμένη, δὲν ὑπάρχει πίστη· ἂν ὑπάρχη εἱμαρμένη, δὲν ὑπάρχει Θεός· ἂν ὑπάρχη εἱμαρμένη, δὲν ὑπάρχει ἀρετή, δὲν ὑπάρχει κακία· ἂν ὑπάρχη εἱμαρμένη, ὅλα ἄδικα καὶ ἀνώφελα τὰ κάμνουμε καὶ τὰ ὑπομέ-

οὐκ ἔστι ψόγος, οὐκ ἔστιν αἰδώς, οὐκ ἔστιν αἰσχύνη, οὔκ εἰσι νόμοι, οὔκ εἰσι δικαστήρια.

3. Πόθεν οὖν ὁ δεῖνα πλουτεῖ, φησί, πόθεν ἕτερος πένεται; Μάλιστα μὲν εἰ καὶ τοὺς λόγους ἀγνοοῦμεν, ἔδει μένειν ἐπὶ τῆς ἀγνοίας, ἀλλὰ μὴ ἕτερον δόγμα πονηρὸν ἀναλαμβάνειν. Βέλτιον γὰρ ἀγνοεῖν καλῶς, ἢ εἰδέναι κακῶς· τὸ μὲν γὰρ οὐκ ἔχει κατηγορίαν, τὸ δὲ ἀπεστέρηται συγγνώμης. Πλὴν ἀλλὰ καὶ νῦν δῆλον ἡμῖν γέγονε διὰ τὴν τοῦ Θεοῦ χάριν, πόθεν ὁ μὲν πλουτεῖ, ὁ δὲ πένεται· ἢ γὰρ πατρῷον παραλαβὼν κλῆρον ἢ ἐμπορίᾳ καὶ καπηλείᾳ χρησάμενος ἢ τὰ ἑτέρων ἁρπάσας καὶ βιασάμενος ἢ γάμῳ χρησάμενος εὐπόρῳ ἢ γεωργίᾳ ἢ τέχνῃ ἢ ἑτέρῳ τινὶ τοιούτῳ. Καὶ πολλοὶ τοῦ πλουτεῖν τρόποι, οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοι. Οὕτω δὴ καὶ τοῦ πένεσθαι· ἢ γὰρ ἐπηρεασθεὶς ἢ συκοφαντηθεὶς ἢ πλεονεκτηθεὶς ἢ καταφαγὼν ἢ ἀργίᾳ συζῶν ἢ ἀνοίᾳ ἢ ἑτέρῳ τινὶ τρόπῳ· πολλοὶ γὰρ τοῦ γενέσθαι πένητα τρόποι. Καὶ τίνος ἕνεκεν, φησίν, ὁ δεῖνα πόρνας τρέφων καὶ παρασίτους καὶ κόλακας καὶ τοῖς ἀλλοτρίοις ἐπηρεάζων πράγμασι καὶ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον βίον ζῶν, καθάπερ ἐκ πηγῶν ἐπιρρέοντα ἔχει τὰ χρήματα, ἕτερος ἐπιεικείᾳ καὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ ταῖς ἄλλαις συζῶν ἀρεταῖς, οὐδὲ τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς; Ὅτι ὁ μέν ἐστι καλὸς καὶ τὸν ἐπίπονον τῆς ἀρετῆς αἱρεῖται βίον, ὁ δὲ κακὸς καὶ τὴν διαρρέουσαν καὶ διαλελυμένην ἀνεδέξατο τῆς κακίας ὁδόν.

Τίνος οὖν ἕνεκεν ὁ μὲν κακὸς πλουτεῖ, πένεται δὲ ὁ ἀγαθός; Ἵνα καὶ οὗτος μείζονα λάβῃ τὸν στέφανον, ἂν ὑπομείνῃ καὶ τὴν καρτερίαν ἐνέγκῃ, κἀκεῖνος μείζω τὴν κόλασιν καὶ τὴν τιμωρίαν, ἂν μὴ μεταβάληται καὶ γένηται βελτίων καὶ τὸν Δεσπότην ἐπιγνῷ τὸν ἑαυτοῦ. Αἱ γὰρ ἀνέσεις αἱ παρὰ τοῦ Θεοῦ διδόμεναι, μένοντας κακοὺς μᾶλλον βαροῦσι· καὶ ἡ ἀφθονία ἡ παρ' αὐτοῦ τοῖς μὴ

νουμε. Δὲν ὑπάρχει ἔπαινος, δὲν ὑπάρχει κατάκριση, δὲν ὑπάρχει σεβασμός, δὲν ὑπάρχει ντροπή, δὲν ὑπάρχουν νόμοι, δὲν ὑπάρχουν δικαστήρια.

3. Ἀπὸ ποῦ λοιπόν, λέγει, ὁ τάδε πλουτίζει καὶ ἀπὸ ποῦ ὁ ἄλλος ὑποφέρει ἀπὸ τὴν πεῖνα; Βέβαια, κι ἂν ἀκόμη δὲν γνωρίζαμε τὴν αἰτία, θὰ ἦταν προτιμότερο νὰ μένουμε στὴν ἄγνοια καὶ ὄχι νὰ δεχώμαστε ἄλλο δόγμα πονηρό. Εἶναι προτιμότερη ἡ ἄγνοια ἡ καλή, παρὰ ἡ γνώση ἡ κακή. Γιατὶ τὸ πρῶτο δὲν ἐπισύρει κατηγορία, ἐνῶ τὸ δεύτερο στερεῖται συγγνώμης. Πλὴν ὅμως μὲ τὴ χάρη τοῦ Θεοῦ μᾶς ἔγινε τώρα φανερὸ γιὰ ποιό λόγο ὁ ἕνας πλουτίζει καὶ γιὰ ποιό λόγο ὁ ἄλλος ὑποφέρει ἀπὸ πεῖνα. Πλουτίζει δηλαδὴ ἢ ἐπειδὴ κληρονόμησε πατρικὴ περιουσία ἢ ἐπειδὴ ἄσκησε μεγαλεμπόριο ἢ μικρεμπόριο ἢ ἐπειδὴ ἄρπαξε μὲ τὴ βία ξένη περιουσία ἢ ἐπειδὴ ἔκαμε γάμο πλούσιο ἢ ἐπειδὴ ἀσχολεῖται μὲ τὴ γεωργία ἢ μὲ κάποια τέχνη ἢ μὲ κάποιο ἄλλο παρόμοιο. Καὶ εἶναι πολλοὶ οἱ τρόποι τοῦ νὰ πλουτίση κανείς, ἄλλοι ἀπὸ τοὺς ὁποίους εἶναι δίκαιοι καὶ ἄλλοι ἄδικοι. Τὸ ἴδιο βέβαια συμβαίνει καὶ μὲ τὶς αἰτίες τῆς φτώχειας. Εἶναι δηλαδὴ κανεὶς φτωχὸς ἢ ἐπειδὴ ἔπαθε κάποια ζημιὰ ἢ ἐπειδὴ συκοφαντήθηκε ἢ ἐπειδὴ ἀδικήθηκε ἢ ἐπειδὴ κατέφαγε τὴν περιουσία του ἢ ἐπειδὴ συζῆ μὲ τὴν ἀργία ἢ ἀπὸ ἀφροσύνη ἢ γιὰ κάποια ἄλλη αἰτία. Γιατὶ εἶναι πολλοὶ οἱ τρόποι τοῦ νὰ γίνη κανεὶς φτωχός. Καὶ γιὰ ποιό λόγο, λέγει, ὁ τάδε, ἂν καὶ τρέφει πόρνες καὶ παρασίτους καὶ κόλακες καὶ προξενεῖ βλάβες στὰ ξένα πράγματα καὶ ζῆ τὴν ἔκλυτη αὐτὴ καὶ διεφθαρμένη ζωή, ἔχει τὰ χρήματα νὰ τρέχουν σὰν ἀπὸ κάποια πηγή, ἐνῶ κάποιος ἄλλος, ποὺ ζῆ μὲ ἐπιείκεια καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ μὲ κάθε ἄλλη ἀρετή, νὰ μὴν ἔχη οὔτε τὴν ἀναγκαία τροφή; Γιατὶ ὁ ἕνας, ἐπειδὴ εἶναι καλός, προτιμᾶ τὴν ἐπίπονη ζωὴ τῆς ἀρετῆς, ἐνῶ ὁ ἄλλος, ἐπειδὴ εἶναι κακός, ἀκολούθησε τὸν ὀλισθηρὸ καὶ διεφθαρμένο δρόμο τῆς κακίας.

Γιὰ ποιό λόγο λοιπὸν ὁ κακὸς πλουτεῖ, ἐνῶ ὁ καλὸς ὑποφέρει ἀπὸ τὴ πεῖνα; Γιὰ νὰ λάβη ὁ φτωχὸς μεγαλύτερο στεφάνι, ἂν βέβαια δείξη ὑπομονὴ καὶ ὑποφέρη τὴ φτώχεια του μὲ καρτερία, καὶ ὁ πλούσιος μεγαλύτερη τὴν κόλαση καὶ τὴν τιμωρία, ἂν δὲν ἀλλάξη καὶ γίνη καλύτερος καὶ ἀναγνωρίση τὸν Κύριό του. Γιατὶ οἱ ἀνέσεις ποὺ δίνονται ἀπὸ τὸν Θεό, ἐπιφέρουν μεγαλύτερο βάρος σ' ἐκείνους ποὺ παραμένουν κακοί, καὶ ἡ ἀφθονία ποὺ δίνεται ἀπ' αὐτὸν

χρωμένοις εἰς δέον αὐτῇ προσθήκη γίνεται κατηγορίας. Οὕτως οὖν αἱ θλίψεις καὶ αἱ στενοχωρίαι ἀγαθῶν, προσθήκη στεφάνων, κἂν παραπέσωσι. Ἔστι μετρία γοῦν τις συγγνώμη· οὐ γὰρ ἁπλῶς τὰ ἁμαρτήματα κρίνεται, ἀλλ᾽ ἑτέρως ὁ πλούσιος, ἑτέρως ὁ πένης· ὁ μὲν μετὰ συγγνώμης, ὁ δὲ χωρὶς συγγνώμης. Οἷον, ἔστω κλέπτης καὶ φιλότιμος, πλούσιος καὶ πένης, ὁ μὲν εἰ καὶ ψυχράν, ἀλλ᾽ ὅμως ἔχει τινὰ καταφυγήν, τὴν ἀπὸ τῆς πενίας ἀνάγκην, ὁ δὲ οὐδὲ μίαν εὐπρόσωπον ἢ εὔλογον ἔχει καταφυγήν· ὥστε ὅσον ἐλαττοῦται ὁ πένης κατὰ τὸν παρόντα βίον, τοσοῦτον πλεονεκτεῖ κατὰ τὸν μέλλοντα ἐν κατορθώμασι καὶ ὁ πλούσιος ἐν ἁμαρτήμασι. Μὴ τοίνυν νομίσῃς ἀδικεῖσθαι τὸν πένητα, μηδὲ πλέον ἔχειν τὸν πλούσιον. Καθάπερ καὶ ἐπὶ τῶν κακῶν, ὅσοι περ ἂν ἐνταῦθα δῶσι δίκην, ἢ τὸ πᾶν ἀπενίψαντο ἢ ἐλάττονα διδόασιν ἐκεῖ τιμωρίαν, ὡς ἐνταῦθα μεγάλων κακοπαθειῶν δίκην ὑποστάντες· οὕτω καὶ ἐπὶ τῶν ἀγαθῶν, οἱ μὲν ἐνταῦθα ἀπολαύοντες τιμῆς καὶ μένοντες πονηροί, ἐφόδιον κολάσεως ἔχουσι τὴν τιμήν.

Ὅρα γ᾽ οὖν ὁ Θεὸς πῶς πανταχοῦ τοῖς κακοῖς τὰς ἐνταῦθα ὀνειδίζει τιμάς· «ἔδωκά σοι πάντα τὰ τοῦ Κυρίου σου»· καὶ πάλιν τοῖς ἱερεῦσιν ἐπὶ τοῦ Ἠλὶ τὴν τιμήν· καὶ ἀλλαχοῦ, «ἔδωκα ὑμῖν ἐκ τῶν νεανίσκων ὑμῶν εἰς προφήτας καὶ ἐκ τῶν υἱῶν ὑμῶν εἰς ἁγιασμόν»· καὶ τὰ ἐπὶ τῆς ἐρήμου πανταχοῦ προστίθησιν. Ὥστε, ὅταν ἴδῃς τὸν πλουτοῦντα ἀδικοῦντα, πλεονεκτοῦντα, ἁρπάζοντα, διὰ τοῦτο μάλιστα αὐτὸν στέναξον, ἐπειδὴ πλούσιος ὢν ταῦτα ποιεῖ· μείζονα γὰρ δίδωσι τιμωρίαν. Ὅταν ἴδῃς πένητα πολλὴν τοῦ δικαίου ποιούμενον πρόνοιαν, διὰ τοῦτο μάλιστα αὐτὸν θαύμασον, ὅτι μετὰ πενίας τοιοῦτός ἐστιν. Ἂν ταῦτα ᾖ παρὰ σοὶ διηκριβωμένα, οὐδέποτε ἐπὶ τοῖς γενομένοις ταραχθήσῃ πράγμασιν, ἂν πρὸς τὰ μέλλοντα βλέπῃς, ἂν μηδὲν εἶναι νομίσῃς τὰ παρόντα, ἂν ἐκεῖνα ἐλπίσῃς ἀεί, ἂν τούτων σαυτὸν ἀποστήσῃς. Γένοιτο δὲ πάντων ἡμᾶς τῶν ἀγαθῶν ἐπιτυχεῖν, χάριτι Χριστοῦ. Ἀμήν.

1. Β᾽ Βασιλ. 12,8.
2. Ἀμώς 2,11.

αὐξάνει τὴν κατηγορία σ' ἐκείνους ποὺ δὲν τὴν χρησιμοποιοῦν ὅπως πρέπει. Ἔτσι λοιπὸν οἱ θλίψεις καὶ οἱ στενοχώριες τῶν ἀγαθῶν προσθέτουν στεφάνια, κι ἂν ἀκόμη κάποτε αὐτοὶ παραπέσουν. Βέβαια ὑπάρχει κάποια σχετικὴ συγγνώμη. Γιατὶ δὲν κρίνονται τὰ ἁμαρτήματα μὲ κάποιο γενικὸ τρόπο, ἀλλὰ ἀλλιῶς κρίνεται ὁ πλούσιος καὶ ἀλλιῶς ὁ φτωχός. Ὁ φτωχὸς κρίνεται μὲ συγγνώμη, ἐνῶ ὁ πλούσιος χωρὶς συγγνώμη. Γιὰ παράδειγμα. Ἂς ὑποθέσουμε ὅτι ὑπάρχει ἕνας κλέφτης καὶ ἕνας φιλότιμος, ὁ ἕνας πλούσιος καὶ ὁ ἄλλος φτωχός. Ὁ φτωχὸς ἔχει, ἔστω καὶ ψυχρό, κάποιο καταφύγιο, τὴν ἀνάγκη ποὺ προέρχεται ἀπὸ τὴ φτώχεια, ἐνῶ ὁ πλούσιος δὲν ἔχει κανένα εὐπρόσωπο ἢ εὔλογο καταφύγιο. Ὥστε, ὅσο πιὸ κατώτερος γίνεται ὁ φτωχὸς στὴ ζωὴ αὐτή, τόσο πιὸ πολὺ θὰ ὑπερέχει σὲ κατορθώματα στὴ μέλλουσα ζωή, ἐνῶ ὁ πλούσιος σὲ ἁμαρτήματα. Μὴ νομίσης λοιπὸν ὅτι ἀδικεῖται ὁ φτωχός, οὔτε ὅτι ὁ πλούσιος πλεονεκτεῖ ἔναντι αὐτοῦ. Ὅπως ἀκριβῶς συμβαίνει καὶ μὲ τοὺς κακούς· ὅσοι δηλαδὴ τιμωρηθοῦν ἐδῶ, ἢ καθάρισαν ὅλες τὶς ἁμαρτίες τους, ἢ δέχονται ἐκεῖ μικρότερη τιμωρία, ἐπειδὴ ἐδῶ τιμωρήθηκαν μὲ πολλὰ κακοπαθήματα. Ἔτσι καὶ μὲ τὰ ἀγαθά· ἐκεῖνοι ποὺ ἀπολαμβάνουν ἐδῶ τιμὴ καὶ παραμένουν πονηροί, ἔχουν τὴν τιμὴ σὰν ἐφόδιο τιμωρίας.

Πρόσεχε λοιπὸν πῶς ὁ Θεὸς παντοῦ ἀνειδίζει τοὺς κακοὺς γιὰ τὶς ἐδῶ τιμές· «σοῦ ἔδωσα ὅλα τὰ ἀγαθὰ τοῦ Κυρίου σου»[1]. Ἐπίσης καὶ τοὺς ἱερεῖς στὶς ἡμέρες τοῦ Ἠλὶ τοὺς ὀνειδίζει γιὰ τὴν τιμή. Καὶ ἀλλοῦ· «σᾶς ἔδωσα προφῆτες ἀπὸ τοὺς νεωτέρους σας καὶ διάλεξα ἀπὸ τοὺς υἱούς σας ἐκείνους ποὺ θὰ ἦταν ἀφιερωμένοι σὲ μένα»[2]. Καὶ τὰ ὅσα συνέβηκαν στὴν ἔρημο τὰ ἀναφέρει παντοῦ. Ὥστε, ὅταν δῆς τὸν πλούσιο νὰ ἀδικῆ, νὰ εἶναι πλεονέκτης, νὰ ἁρπάζη, γι' αὐτὸ πρὸ πάντων στέναξε γι' αὐτόν, ἐπειδὴ κάμνει αὐτὰ ἐνῶ εἶναι πλούσιος· γιατὶ θὰ δεχθῆ μεγαλύτερη τιμωρία. Ὅταν δῆς φτωχὸ νὰ δείχνη πολλὴ φροντίδα γιὰ τὸ δίκαιο, γι' αὐτὸ πρὸ πάντων θαύμασέ τον, γιατὶ εἶναι τέτοιος ἂν καὶ εἶναι φτωχός. Ἂν αὐτὰ τὰ ἔχης διακρίνει μὲ ἀκρίβεια, ποτὲ δὲν θὰ νιώσης ταραχὴ γιὰ τὰ ὅσα γίνονται, ἂν ἔχης τὸ βλέμμα σου στραμμένο πρὸς τὰ μέλλοντα, ἂν θεωρήσης ἕνα τίποτε τὰ παρόντα, ἂν ἐλπίζης πάντοτε σ' ἐκεῖνα καὶ ἀπομακρύνης τὸν ἑαυτό σου ἀπ' αὐτά. Εἴθε νὰ ἐπιτύχουμε ὅλα τὰ ἀγαθὰ μὲ τὴ χάρη τοῦ Χριστοῦ. Ἀμήν.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΚΑ ΕΙΜΑΡΜΕΝΗΣ

Η ΚΑΤΑ ΓΑΣΤΡΙΜΑΡΓΙΑΣ

ΛΟΓΟΣ S'

1. «Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν», ἐπὶ τῶν προφητῶν ἦσαν πολλοὶ παρὰ Ἰουδαίοις λέγοντες· ἀλλὰ τὸ μὲν Ἰουδαίους ταῦτα λέγειν, «ὧν ὁ Θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν», θαυμαστὸν οὐδέν· τὸ δὲ μετὰ τὴν χάριν καὶ τὴν τῶν παρόντων ὑπεροψίαν πραγμάτων καὶ τὴν τοσαυτην τελειότητα καὶ ἀκρίβειαν, εἶναί τινας ἔτι καὶ νῦν, εἰ καὶ μὴ τοῖς ῥήμασι λέγοντας, διὰ δὲ τῶν ἔργων τὸ αὐτὸ τοῦτο βοῶντας, πόσης ἂν εἴη κατηγορίας ἄξιον; Καὶ γάρ εἰσιν, εἰσὶν ὄντως, οἱ διὰ τοῦτο νομίζοντες εἰς τόνδε παρῆχθαι τὸν βίον, ἵνα τρυφήσαντες καὶ τὴν γαστέρα διαρρήξαντες καὶ τὸ σῶμα πιάναντες, οὕτως ἀπέλθωσι, δαψιλεστέραν τῷ σκώληκι παρασκευάζοντες τράπεζαν τὴν ἐξ οἰκείων σαρκῶν. Καὶ εἴθε τοῦτο μόνον ἦν τὸ δεινόν, ὅτι μάτην καὶ εἰκῇ καὶ εἰς οὐδὲν δέον τὰ παρόντα ἀνήλισκον· καίτοι καὶ τοῦτο χωρὶς ἐγκλημάτων οὐκ ἔστιν, οὐδὲ κατηγορίας. Ὅταν γὰρ τὰ πρὸς τροφὴν σώματος παρὰ τοῦ Θεοῦ δοθέντα ἡμῖν χρήματα καὶ εἰς ἐπικουρίαν τῶν δεομένων, εἰς ἀκολασίαν καὶ ὕβριν καὶ τὴν ἐσχάτην ῥᾳθυμίαν καταναλώσωμεν, οὐκ ἀνεύθυνος ἡμῖν ἔσται ἡ κακίστη αὕτη δαπάνη, ἀλλὰ πάντως δώσομεν λόγον καὶ τὸ περὶ τῶν πέντε ταλάντων καὶ δύο καὶ ἑνὸς εἰρημένον καὶ ἐπὶ χρημάτων καὶ τῶν ἄλλων ἁπάντων ἐστὶν εἰπεῖν.

Ὅπερ οὖν ἔλεγον, ὅτι μάλιστα μέν, εἰ καὶ εἰκῇ καὶ μάτην παραγεγόναμεν, οὐδὲ οὕτως ἀνεύθυνος ἡμῖν ἦν ἡ τοιαύτη πρᾶξις· νῦν δὲ χωρὶς τούτου καὶ ἑτέρα κείσεται δίκη. Τὸν γὰρ τρυφῇ συζῶντα

1. Ἠσ. 22,13.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ ΚΑΙ ΠΡΟΝΟΙΑΣ

Η ΚΑΤΑ ΤΗΣ ΓΑΣΤΡΙΜΑΡΓΙΑΣ

ΛΟΓΟΣ S'

1. «Ἃς φᾶμε καὶ ἂς πιοῦμε, γιατὶ αὔριο πεθαίνουμε»[1], ἔλεγαν πολοὶ ἀπὸ τοὺς Ἰουδαίους κατὰ τὴν ἐποχὴ τῶν προφητῶν. Ἀλλὰ τὸ νὰ τὰ λένε αὐτὰ οἱ Ἰουδαῖοι, «τῶν ὁποίων ὁ Θεὸς ἦταν ἡ κοιλιὰ καὶ τὸ καύχημά τους ἡ ἀδιαντροπιά τους»[2], δὲν εἶναι καθόλου παράξενο, τὸ νὰ ὑπάρχουν ὅμως μερικοὶ ἀκόμη καὶ σήμερα, μετὰ τὴ χάρη ποὺ ἐλάβαμε καὶ τὴν περιφρόνηση τῶν παρόντων ἀγαθῶν, μετὰ τὴν τόση τελειότητα καὶ ἀκρίβεια, νὰ λένε, ἂν καὶ ὄχι μὲ λόγια, ἀλλὰ μὲ τὰ ἔργα τους νὰ διακηρύσσουν αὐτὸ τὸ ἴδιο, πόσης κατηγορίας ἄξιο δὲν θὰ ἦταν; Γιατὶ ὑπάρχουν, πραγματικὰ ὑπάρχουν μερικοί, ποὺ νομίζουν ὅτι γι' αὐτὸ ἦλθαν στὴ ζωὴ αὐτή, ὥστε, ἀφοῦ ζήσουν μέσα στὶς ἀπολαύσεις, γεμίσουν τὴν κοιλιά τους μέχρι σκασμοῦ καὶ παχύνουν τὸ σῶμα τους, ἔτσι νὰ φύγουν ἀπὸ τὴ ζωὴ αὐτή, προετοιμάζοντας πλουσιώτερη τράπεζα γιὰ τὰ σκουλήκια ἀπὸ τὶς δικές τους σάρκες. Καὶ μακάρι αὐτὸ νὰ ἦταν μόνο τὸ κακό, ὅτι δηλαδὴ ξόδευαν ἄσκοπα καὶ ἀνώφελα καὶ ὄχι ἐκεῖ ποὺ ἔπρεπε τὰ παρόντα ἀγαθά, ἂν καὶ βέβαια καὶ αὐτὸ δὲν εἶναι ἐκτὸς ἐγκλημάτων καὶ κατηγορίας. Γιατί, ὅταν τὰ πράγματα ποὺ μᾶς δόθηκαν ἀπὸ τὸν Θεὸ γιὰ τὴ διατροφὴ τοῦ σώματος καὶ γιὰ βοήθεια ἐκείνων ποὺ ἔχουν ἀνάγκη, τὰ ξοδεύσουμε σὲ ἀκολασία καὶ σὲ ὕβρη καὶ μὲ τὴν χειρότερη ἀδιαφορία; ἡ κακίστη αὐτὴ δαπάνη δὲν θ' ἀποβῆ γιὰ μᾶς ἀνεύθυνη, ἀλλ' ὁπωσδήποτε θὰ λογοδοτήσουμε, καὶ ἐκεῖνο ποὺ ἔχει λεχθῆ σχετικὰ μὲ τὰ πέντε καὶ τὰ δύο καὶ τὸ ἕνα τάλαντο, αὐτὸ εἶναι δυνατὸ νὰ λεχθῆ καὶ γιὰ τὰ χρήματα καὶ γιὰ ὅλα τὰ ἄλλα.

Ὅπως λοιπὸν ἔλεγα, κι ἂν ἀκόμη βέβαια ἔχουμε ἔλθει στὴ ζωὴ χωρὶς κανένα σκοπό, οὔτε τότε θὰ ἦταν ἀνεύθυνος ἕνας τέτοιος τρόπος ζωῆς, τώρα ὅμως θὰ ὑπάρξη ἐκτὸς ἀπὸ αὐτὸ καὶ ἄλλη

2. Φιλιπ. 3,19.

καὶ μελετῶντα μέθην καὶ παρασίτους τρέφοντα καὶ κόλακας, κρεωφαγίᾳ τε καὶ οἰνοποσίᾳ διαρρηγνύμενον, πολλάκις καὶ ἄκοντα καὶ ἑκόντα ἀνάγκη ἁμαρτάνειν καὶ παρὰ τὸν τοῦ παρόντος τόπου καιρὸν καὶ μετὰ τὴν ἐκεῖθεν ἀναχώρησιν. Καθάπρ γὰρ πλοῖον μείζω τῆς οἰκείας συμμετρίας τὸ πλῆθος τῶν ἀγωγίμων δεξάμενον, τῷ μεγέθει τοῦ φόρτου βαρυνόμενον ὑποβρύχιον γίγνεται, οὕτω καὶ ἡ ψυχὴ καὶ τοῦ σώματος ἡμῶν ἡ φύσις, πλείονα τῆς οἰκείας δυνάμεως δεξαμένη τὰ σιτία, ὑπέραντλος γίγνεται καὶ τὸ βάρος οὐ στέγουσα τῶν ἐπιβληθέντων, εἰς τὸ τῆς ἀπωλείας καταποντίζεται πέλαγος, καὶ κυβερνήτην καὶ ναύτας καὶ πρωρέα καὶ ἐπιβάτας καὶ αὐτὸν τὸν φόρτον μετὰ πάντων προσαπολλύει. Καθάπερ οὖν ἐπὶ τῶν οὕτω διακειμένων πλοίων, οὐ γαλήνη θαλάσσης, οὐκ ἐπιστήμη κυβερνήτου, οὐ ναυτῶν πλῆθος, οὐ κατασκευῆς ἐπιτηδειότης, οὐχ ὥρα ἔτους εὔκαιρος, οὐκ ἄλλο οὐδὲν τὴν οὕτω χειμαζομένην ὀνίνησι ναῦν· οὕτω δὴ καὶ ἐπὶ τῶν τρυφώντων γίνεται· οὐ λογισμῶν πλῆθος, οὐ διδασκαλία καὶ παραίνεσις, οὐ νουθεσίαι καὶ συμβουλίαι, οὐκ ἄλλο οὐδέν, οὐ φόβος τῶν μελλόντων, οὐκ αἰδώς, οὐ κατηγορία τῶν παρόντων, οὐκ ἄλλο οὐδὲν διασῶσαι δύναται τὴν οὕτω χειμαζομένην ψυχήν· ἀλλ' ἐπικρατεῖ πάντων ἡ ἀμετρία, καὶ ἄκοντα καὶ ἑκόντα λοιπὸν ὑποβρύχιον τὸν τὰ τοιαῦτα νοσοῦντα καταφέρουσα καὶ ναυάγιον ἐργαζομένη χαλεπόν, ὅθεν οὐδὲ ἀνενεγκεῖν ῥᾴδιον.

Καὶ οὐδὲ πρὸς τὰ μέλλοντα καὶ τὰς εὐθύνας τὰς ἐκεῖ, ἀλλὰ καὶ πρὸς τὴν παροῦσαν ζωὴν ὁ τοιοῦτος ἄχρηστος γίγνεται καὶ πρὸς οὐδὲν ἐπιτήδειος, ἀλλὰ πανταχοῦ καταγέλαστος, ἔν τε πολιτικοῖς, ἔν τε ἰδιωτικοῖς πράγμασι. Κἂν δέοι τι πραχθῆναι τῶν κατεπειγόντων, οὐδὲν προνοητικόν, οὐδὲν οἰκονομικὸν ἔχων εὑρεθήσεται, πᾶσιν εὐχείρωτος ὢν τοῖς ἐχθροῖς, πᾶσιν ἄχρηστος τοῖς φίλοις καὶ τοῖς προσήκουσιν. Οὐκ ἐν κινδύνοις καὶ περιστάσεσιν εὐεπηρέαστος μόνον ὁ τοιοῦτος, οὐκ ἐν γαλήνῃ καὶ ἀδείᾳ ἀφόρητος, ἀλλὰ

τιμωρία. Γιατὶ ἐκεῖνος ποὺ ζῆ μέσα στὶς ἀπολαύσεις, καταγίνεται μὲ τὴ μέθη καὶ τρέφει παρασίτους καὶ κόλακες καὶ σκάζει ἀπὸ τὴν κρεωφαγία καὶ τὴν οἰνοποσία, κατ' ἀνάγκη πολλὲς φορὲς ἁμαρτάνει καὶ χωρὶς τὴ θέλησή του καὶ μὲ τὴ θέλησή του, καὶ στὸν τόπο ἐκεῖνο ποὺ τρώγει τὴ στιγμὴ ἐκείνη καὶ πίνει καὶ μετὰ τὴν ἀναχώρησή του ἀπὸ ἐκεῖ. Ὅπως ἀκριβῶς δηλαδὴ ἕνα πλοῖο, ὅταν δεχθῆ μεγαλύτερο φορτίο ἀπὸ ἐκεῖνο ποὺ μπορεῖ νὰ μεταφέρη, βαρύνεται ἀπὸ τὸ μέγεθος τοῦ φορτίου καὶ βυθίζεται, ἔτσι καὶ ἡ ψυχὴ καὶ ἡ φύση τοῦ σώματός μας, ὅταν δεχθῆ περισσότερη τροφὴ ἀπὸ ἐκείνη ποὺ μπορεῖ νὰ ἀφομοιώση, παραγεμίζει καὶ μὴ μπορώντας νὰ βαστάξη τὸ προστεθὲν βάρος καταποντίζεται στὸ πέλαγος τῆς ἀπωλείας, συμπαρασύροντας στὴν ἀπώλεια καὶ τὸν κυβερνήτη καὶ τοὺς ναῦτες καὶ τὸν πρωρέα καὶ τοὺς ἐπιβάτες καὶ τὸ φορτίο μαζὶ μέ ὅλα αὐτά. Ὅπως λοιπὸν τὰ πλοῖα ποὺ βρίσκονται σ' αὐτὴ τὴ κατάσταση δὲν τὰ ὠφελεῖ οὔτε ἡ γαλήνη τῆς θάλασσας οὔτε ἡ ἱκανότητα τοῦ κυβερνήτη οὔτε τὸ πλῆθος τῶν ναυτῶν οὔτε ἡ καταλληλότητα τῆς κατασκευῆς οὔτε ἡ καλοκαιρία, οὔτε τίποτε ἄλλο ὠφελεῖ τὸ πλοῖο ποὺ ἀντιμετωπίζει τὴν κακοκαιρία, τὸ ἴδιο συμβαίνει καὶ μὲ ἐκείνους ποὺ κάμνουν ζωὴ τρυφηλή. Οὔτε πλῆθος λογισμῶν, οὔτε διδασκαλία καὶ παραίνεση, οὔτε νουθεσίες καὶ συμβουλές, οὔτε τίποτε ἄλλο, οὔτε ὁ φόβος τῶν μελλόντων οὔτε ἡ ντροπὴ οὔτε ἡ κατηγορία τῶν παραβρισκομένων οὔτε τίποτε ἄλλο μπορεῖ νὰ διασώση τὴν ψυχὴ ποὺ χειμάζεται ἔτσι, ἀλλὰ τὰ ὑπερνικᾶ ὅλα ἡ ἀμετρία καὶ καταβυθίζει τότε ἐκεῖνον ποὺ πάσχει ἀπὸ τὴν νόσο αὐτὴ εἴτε τὸ θέλει εἴτε δὲν τὸ θέλει, προκαλώντας ναυάγιο φοβερό, ἀπὸ τὸ ὁποῖο δὲν εἶναι εὔκολο νὰ τὸν ἀνασύρη κανείς.

Καὶ ὁ ἄνθρωπος αὐτὸς γίνεται ἄχρηστος ὄχι μόνο γιὰ τὰ μέλλοντα καὶ τὶς ἐκεῖ εὐθύνες, ἀλλὰ καὶ στὴν παροῦσα ζωή, καὶ γιὰ τίποτε δὲν εἶναι κατάλληλος, ἀλλὰ παντοῦ εἶναι καταγέλαστος, καὶ στὰ δημόσια καὶ στὰ ἰδιωτικὰ πράγματα. Κι ἂν χρειασθῆ νὰ γίνη κάτι ἀπὸ τὰ κατεπείγοντα, θὰ βρεθῆ νὰ μὴν ἔχη καμμιὰ προνοητικὴ οὔτε καὶ διοικητικὴ ἱκανότητα, ἀλλὰ θὰ εἶναι εὔκολη λεία σ' ὅλους τοὺς ἐχθρούς του καὶ ἄχρηστος σ' ὅλους τοὺς φίλους καὶ τοὺς συγγενεῖς του. Καὶ ὁ παρόμοιος ἄνθρωπος δὲν παθαίνει εὔκολα ζημιὰ μόνο κατὰ τοὺς κινδύνους καὶ τὶς συμφορές, δὲν εἶναι ἀνυπόφορος σὲ περίοδο γαλήνης καὶ ἠρεμίας, ἀλλὰ καὶ στὶς δυσκολίες λόγω τῆς

καὶ ἐν ταῖς δυσκολίαις ὑπὸ τῆς ἀμετρίας ἑκάστῳ τῶν προσπιπτόντων ἔσται ἄχρηστος. Ἐκεῖ μὲν γὰρ αὐτόν, ἐν ταῖς δυσημερίαις λέγω, δειλία καὶ ἀνανδρία καὶ φόβος ἄμετρος καὶ ἀβουλία πολλὴ καθέξει· ἐνταῦθα δὲ θράσος καὶ ῥᾳθυμία καὶ ἀκολασία, ἀμετρία καὶ τῦφος καὶ ἀλαζονεία, τῶν προτέρων μᾶλλον δυσχερέστερον παρὰ πᾶσι ποιεῖ. Οὐ γὰρ δὴ μόνον τὰ σώματα τῶν οὕτω διακειμένων καὶ ἀειδῆ καὶ πλαδαρὰ καὶ διάβροχα καὶ δυσωδίας ἀφορήτου πάντοθεν ἔμπλεα γίγνεται, ἀλλὰ καὶ ἡ ψυχὴ πολὺ τοῦ σώματός ἐστιν ἀειδεστέρα, πολλῷ μείζονα ἐκείνου νοσήματα δεξαμένη παρὰ τῆς τρυφῆς. Καθάπερ γὰρ τὸ σῶμα οὐ τὰ κατὰ φύσιν περιττώματα προΐεται μόνον, ἀλλὰ πολλῷ πλεῖον καὶ πανταχόθεν· καὶ γὰρ ὀφθαλμοὶ καὶ ῥῖνες καὶ στόματα τῶν ἔνδον ὑπὸ τῆς γενομένης πλημμύρας βαρυνομένων, ἰκμάδος φαυλοτάτης καὶ διαφθορᾶς ἀναπίμπλαται καὶ αὐτὴ τῆς σαρκὸς ἡ φύσις χαυνοτέρα γενομένη τῆς φυσικῆς συμμετρίας, καθάπερ βορβόρων καὶ ἀκαθάρτων τελμάτων πλησθεῖσα, δυσώδης τε ἅμα καὶ ἄχρηστος γίγνεται καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμος. Καὶ γὰρ καὶ αὐτὴ ἡ γῆ ὅταν ὑπὸ τῆς τοιαύτης πλεονεξίας τυραννηθεῖσα τὴν οἰκείαν καὶ ἔμφυτον ἀπολέσῃ θερμότητα, συναπόλλυσιν αὐτῆς καὶ τὴν ἰσχὺν καὶ οὔτε πρὸς ἐργασίαν, οὔτε πρὸς τὴν οἰκείαν γονήν ἐστιν ἐπιτήδειος.

2. Ἐντεῦθεν δὲ χαλεποῖς καὶ ἀνιάτοις ἁλίσκονται νοσήμασιν οἱ τρυφῇ συζῶντες διηνεκεῖ· καὶ γὰρ τρόμοις καὶ παρέσει καὶ φθόῃ καὶ κορύζαις καὶ ποδαλγίαις καὶ χειραλγίαις καὶ ἑτέροις πλείοσιν, ἅπερ ἰατρῶν λέγουσιν παῖδες, ἁλώσιμοι γίνονται. Οὕτως εἰ καὶ μὴ γέεννα ἦν, μηδὲ κόλασις, μηδὲ κατάγνωσις ἐσχάτη παρὰ Θεοῦ, μηδὲ παρὰ ἀνθρώποις μέμψις, μηδὲ ἡ ἄκαιρος δαπάνη, μηδὲ ἕτερα μυρία τὰ ἀπὸ τῆς τρυφῆς ἐγγινόμενα, τοῦτο δὲ μόνον προσῆν, οὐχ ἱκανὸν ἅπαντας ἀποτρέψαι; Δηλητηρίων γὰρ φαρμάκων οὐδὲν ἄμεινον αἱ τοιαῦται διακείσονται τράπεζαι, μᾶλλον δέ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, καὶ πολλῷ χεῖρον. Τὰ μὲν γὰρ εὐθέως ἀπήνεγκε τὸν λαβόντα, καὶ τὴν τελευτὴν ἀναισθήτως ἐπήγαγεν, ὡς μηδὲ αὐτῷ τούτῳ λυπῆσαι τὸν ἀποθανόντα· αὗται δὲ ζωὴν μυρίων θανάτων

ἀμετρίας του θὰ εἶναι ἄχρηστος γιὰ ὁ,τιδήποτε τοῦ συμβῆ. Γιατὶ τότε, κατὰ τὶς δύσκολες δηλαδὴ στιγμές, θὰ τὸν κυριεύση δειλία καὶ ἀνανδρία καὶ φόβος ἄμετρος καὶ μεγάλη ἀβουλία, ἐνῶ τώρα τὸ θράσος, ἡ ἀδιαφορία, ἡ ἀκολασία, ἡ ἀμετρία, ἡ ὑπερηφάνεια καὶ ἡ ἀλαζονεία τὸν κάμνουν πιὸ δύσκολο σὲ ὅλους ἀπ' ὅ,τι τὰ προηγούμενα. Γιατὶ βέβαια δὲν γίνονται μόνο τὰ σώματα τῶν ἀνθρώπων ποὺ βρίσκονται σ' αὐτὴ τὴ κατάσταση καὶ ἀειδῆ καὶ πλαδαρὰ καὶ διάβροχα καὶ γεμᾶτα ἀπὸ παντοῦ μὲ δυσωδία ἀφόρητη, ἀλλὰ καὶ ἡ ψυχή τους γίνεται ἀειδέστερη πολὺ περισσότερο ἀπὸ τὸ σῶμα, ἀφοῦ δέχθηκε ἐξ αἰτίας τῆς τρυφῆς μεγαλύτερα νοσήματα ἀπὸ τὰ τοῦ σώματος. Ὅπως ἀκριβῶς δηλαδὴ τὸ σῶμα δὲν ἀποβάλλει μόνο τὰ φυσικὰ περιττώματα, ἀλλὰ καὶ πολλὰ ἄλλα καὶ ἀπὸ παντοῦ. Πραγματικὰ καὶ οἱ ὀφθαλμοὶ καὶ οἱ ρῖνες καὶ τὰ στόματα, ὅταν τὰ ἐντὸς τῆς κοιλιᾶς βαρυνθοῦν ἀπὸ τὴν πλυμμύρα αὐτή, γεμίζουν ἀπὸ ἕνα ἀπαίσιο καὶ σιχαμερὸ χυμό, ἀλλὰ καὶ ἡ ἴδια ἡ φύση τῆς σάρκας ἀφοῦ γίνη πιὸ χαυνομένη ἀπὸ τὴ φυσική της κατάσταση καὶ γεμίση σὰν ἀπὸ βόρβορο καὶ ἀκάθαρτα τέλματα, γίνεται δυσώδης καὶ συγχρόνως καὶ ἄχρηστη, καθιστάμενη ἔτσι ἀκατάλληλη γιὰ κάθε καλὸ ἔργο. Ἀλλὰ καὶ ἡ ἴδια ἡ γῆ, ὅταν ἐξ αἰτίας τῆς πλεονεξίας αὐτῆς καταπονηθῆ καὶ χάση τὴ δική της ἔμφυτη θερμότητα, χάνει μαζὶ μ' αὐτὴν καὶ τὴν ἰσχύ της καὶ καθίσταται ἀκατάλληλη καὶ γιὰ τὴν καλλιέργεια καὶ γιὰ τὴ γονιμότητα.

2. Γι' αὐτὸ πάσχουν ἀπὸ βαρειὲς καὶ ἀθεράπευτες ἀρρώστιες ἐκεῖνοι ποὺ ζοῦν διαρκῶς μέσα στὶς ἀπολαύσεις. Πράγματι ὑποφέρουν ἀπὸ τρόμο, ἀπὸ παράλυση, ἀπὸ φυματίωση, ἀπὸ ρινικοὺς καταρρους, ἀπὸ ποδαλγίες καὶ χειραλγίες καὶ ἀπὸ πολλὰ ἄλλα ποὺ ἀναφέρουν οἱ ἰατροί. Ἔτσι, κι ἂν ἀκόμη δὲν ὑπῆρχε γέεννα οὔτε κόλαση οὔτε φοβερὴ καταδίκη ἀπὸ τὸν Θεὸ οὔτε κατάκριση ἀπὸ τοὺς ἀνθρώπους οὔτε ἄσκοπη δαπάνη οὔτε ἀναρίθμητα ἄλλα ποὺ εἶναι συνέπειες τῆς τρυφηλῆς ζωῆς, ἀλλ' ὑπῆρχε αὐτὸ μόνο, δὲν θὰ ἦταν ἀρκετὸ ν' ἀποτρέψη ὅλους ἀπὸ τὴν τρυφή; Γιατὶ τὰ τραπέζια αὐτοῦ τοῦ εἴδους δὲν εἶναι καλύτερα ἀπὸ τὰ δηλητηριώδη φάρμακα, ἢ καλύτερα γιὰ νὰ ποῦμε τὴν ἀλήθεια, εἶναι πολὺ χειρότερα. Καθόσον τὰ δηλητήρια ἀφαιροῦν ἀμέσως τὴ ζωὴ καὶ προκαλοῦν ἀνεπαίσθητα τὸν θάνατο σ' ἐκεῖνον ποὺ τὰ πῆρε, ὥστε καὶ αὐτὸν τὸν ἴδιο νὰ μὴ τὸν πονέσουν καθόλου, ἐνῶ οἱ ἀπολαύσεις προσφέρουν μιὰ

χαλεπωτέραν ἐπάγουσι τοῖς αὐτὰς περὶ πολλοῦ ποιουμένοις, ζωὴν ἔφην, οὐκ ἐλεεινὴν μόνον, ἀλλὰ καὶ αἰσχρὰν καὶ καταγέλαστον. Τὰ μὲν γὰρ ἄλλα πάθη πολλοὺς ἔχει τοὺς συναλγοῦντας, ὅσα δὲ ἀπὸ τρυφῆς καὶ μέθης γέγονεν, οὐδὲ βουλομένους τοὺς ὁρῶντας ἀφίησι συναλγῆσαι τοῖς ὑπ' αὐτῶν χειρωθεῖσιν· ἀλλ' ἡ μὲν ὑπερβολὴ τοῦ κακοῦ πρὸς ἔλεον ἐπικάμπτει, ἡ δὲ ὑπόθεσις τοῦ νοσήματος παροξύνει τὸν εἰδότα. Διότι μέσον τι πάθος πάθοιμεν ἄν, οὔτε ἐλεοῦντες αὐτούς· οὐ γὰρ ἀφίησιν αὐτοὺς ἡ αἰτία τῶν δεινῶν· οὔτε ὀργιζόμεθα· οὐ γὰρ ἐπιτρέπει τὸ μέγεθος τῶν δεινῶν, ἀλλὰ μεταξὺ κατηγορίας καὶ συγγνώμης ἡ στάσις. Οὐ γὰρ ὑπὸ τῆς φύσεως ἐπηρεάσθησαν καθάπερ κἀκεῖνοι, οὐδὲ ὑπὸ τῶν ἀνθρώπων ἐπεβουλεύθησαν, ἀλλ' αὐτοὶ δημιουργοὶ τῶν νοσημάτων ἑαυτοῖς τούτων ἐγένοντο, ἑκόντας ἑαυτοὺς ριπτοῦντες εἰς τὸ τῶν κακῶν βάραθρον.

Ὥσπερ οὖν τοὺς βρόχους ἀνάπτοντας καὶ τοὺς κατὰ κρημνῶν ἀφιέντας ἑαυτοὺς καὶ τοὺς διὰ μέσων ξιφῶν ἑαυτοὺς ἀναιροῦντας οὐ σφόδρα οἰκτείρομεν, οὕτως οὐδὲ τούτους. Καίτοι εἰ δεῖ συγγνώμης τυχεῖν, μᾶλλον ἐκεῖνοι τούτων ἂν τύχοιεν, εἰ καὶ αὐτοὶ σφόδρα ἂν εἶεν ἀσύγγνωστοι. Ἐκεῖνοι μὲν γὰρ ἢ συκοφαντίαις ἢ ζημίαις χρημάτων ἢ προσδοκώμενον κίνδυνον ἢ πληγὰς ἐλπίσαντες ἢ ἕτερόν τινα καραδοκήσαντες φόβον καὶ μειζόνων ἑαυτοὺς κακῶν ἐξαρπάζοντες, ἐπὶ τὴν τῆς τελευτῆς παραμυθίαν καταφεύγουσιν, ὥσπερ εἰς ἄσυλόν τι χωρίον τὸν θάνατον κατατρέχοντες ἢ ὥσπερ εἰς λιμένα τινὰ εὔδιον ἀπὸ τῶν προσδοκωμένων χειμώνων σπεύδοντες καὶ ἐπειγόμενοι· οὗτοι δὲ οὐδὲν τοιοῦτον ἔχοντες εἰπεῖν, μυρίων βιαίων θανάτων ζωῇ χαλεπωτέρᾳ παραδιδόασιν ἑαυτούς. Εὔκαιρον οὖν νῦν εἰπεῖν ἐκεῖνο τὸ τοῦ σοφοῦ· «τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον καὶ πάντας τοὺς προσάγοντας θηρίοις ἑαυτούς;». Θηρίον γάρ ἐστιν ἡ τρυφή, θηρίον χαλεπὸν καὶ ἀτίθασσον, καὶ οὐχ οὕτω σκορπίος ἢ ὄφις τοῖς σπλάγχνοις ἡμῶν ἐγκαθήμενος λυμαίνεται πανταχόσε, ὡς

3. Σοφ. Σειρὰχ 12,13.

ζωὴ χειρότερη ἀπὸ μύριους θανάτους σ' ἐκείνους ποὺ ἐπιδίδονται σ' αὐτές, ζωὴ εἶπα, ποὺ δὲν εἶναι μόνο ἐλεεινή, ἀλλὰ καὶ αἰσχρὴ καὶ καταγέλαστη. Γιατὶ ὅλα τὰ ἄλλα πάθη ἔχουν πολλοὺς ποὺ δείχνουν συμπάθεια πρὸς ἐκείνους ποὺ πάσχουν ἀπὸ αὐτά, ὅσα πάθη ὅμως προέρχονται ἀπὸ τὴν τρυφὴ καὶ τὴ μέθη δὲν ἀφήνουν ἐκείνους ποὺ βλέπουν αὐτοὺς ποὺ ἔχουν περιπέσει σ' αὐτὰ νὰ τοὺς συμπονέσουν, κι ἂν ἀκόμη τὸ θέλουν, ἀλλ' ἡ ὑπερβολὴ βέβαια τοῦ κακοῦ προκαλεῖ τὴ συμπόνια, ἡ αἰτία ὅμως τοῦ νοσήματος ὁδηγεῖ στὴν ἀγανάκτηση ἐκεῖνον ποὺ τὴ γνωρίζει. Γιατὶ κυριευόμαστε ἀπὸ κάποιο ἀνάμικτο αἴσθημα· οὔτε δηλαδὴ νιώθουμε συμπόνια πρὸς αὐτούς, γιατὶ δὲν τὸ ἐπιτρέπει ἡ αἰτία τῶν δεινῶν, οὔτε ὀργιζόμαστε, γιατὶ δὲν τὸ ἐπιτρέπει τὸ μέγεθος τῶν δεινῶν, ἀλλ' ἡ στάση μας εἶναι μεταξὺ κατηγορίας καὶ συγγνώμης. Γιατὶ δὲν τοὺς προξενήθηκαν τὰ κακὰ ἀπὸ τὴ φύση, ὅπως σ' ἐκείνους, οὔτε ἐπιβουλεύθηκαν ἀπὸ τοὺς ἀνθρώπους, ἀλλ' οἱ ἴδιοι ἔγιναν δημιουργοὶ τῶν νοσημάτων τους αὐτῶν, ρίχνοντας μὲ τὴ θέλησή τους τὸν ἑαυτό τους στὸ βάραθρο τῶν κακῶν.

Ὅπως ἀκριβῶς δηλαδὴ δὲν συμπονοῦμε καὶ πολὺ ἐκείνους ποὺ βάζουν τὴ θηλειὰ στὸ λαιμό τους ἢ ρίχνουν τὸν ἑαυτό τους στὸν γκρεμμὸ ἢ αὐτοκτονοῦν μὲ ξίφος, ἔτσι οὔτε αὐτούς. Ἂν καὶ βέβαια, ἂν πρέπει νὰ τύχουν κάποιοι συγγνώμης, ὁπωσδήποτε πρέπει νὰ τύχουν ἐκεῖνοι καὶ ὄχι αὐτοί, ἂν καὶ ἐκεῖνοι εἶναι τελείως ἀσυγχώρητοι. Γιατὶ ἐκεῖνοι εἴτε ἐξ αἰτίας συκοφαντιῶν ἢ ζημιᾶς χρηματικῆς, εἴτε ἐξ αἰτίας ἐπικειμένου κινδύνου εἴτε ἐπειδὴ ἀναμένουν νὰ δεχθοῦν πλήγματα ἢ εἶναι κυριευμένοι ἀπὸ κάποιο μεγαλύτερο φόβο, θέλοντας ν' ἀπαλλαγοῦν ἀπὸ μεγαλύτερα κακά, καταφεύγουν στὴν παρηγοριὰ τοῦ θανάτου, σπεύδοντας πρὸς τὸν θάνατο σὰν νὰ καταφεύγουν σὲ κάποιο ἥσυχο μέρος, ἢ σὰν νὰ σπεύδουν μὲ βιασύνη σὲ κάποιο ἥσυχο λιμάνι μπροστὰ στὴν ἀναμενόμενη κακοκαιρία. Αὐτοὶ ὅμως, μὴ μπορώντας νὰ ποῦν κάτι τέτοιο, παραδίνουν τοὺς ἑαυτούς τους σὲ μιὰ ζωὴ χειρότερη ἀπὸ ἄπειρους βίαιους θανάτους. Εὐκαιρία λοιπὸν νὰ ποῦμε τὰ λόγια ἐκεῖνα τοῦ σοφοῦ· «ποιὸς θὰ νιώση συμπόνια γιὰ τὸν μάγο ποὺ δαγκώνεται ἀπὸ φίδι καὶ γιὰ ὅλους ἐκείνους ποὺ παραδίνουν τὸν ἑαυτό τους στὰ θηρία;»[3]. Πραγματικὰ θηρίο εἶναι ἡ τρυφή, θηρίο φοβερὸ καὶ ἀτίθασσο, καὶ δὲν καταστρέφει ὁ σκορπιὸς ἢ τὸ φίδι τόσο πολὺ τὰ σπλάγχνα μας ἂν

ἡ τῆς τρυφῆς ἐπιθυμία πάντα ἀνατρέπει καὶ ἀπόλλυσιν. Τοῖς μὲν γὰρ θηρίοις ἐκείνοις μέχρι τοῦ σώματος ἡ ἐπιβουλή· αὕτη δέ, ὅταν ἐγκαθεσθῇ, μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν προσαπόλλυσι.

Διόπερ φύγωμεν ἀπ᾽ αὐτῆς, ὡς φρονίμοις λέγω. Εἰ μὲν ἔχει τι χρηστόν, μὴ ἀνασχώμεθα, μὴ πεισθῶμεν· εἰ δὲ ἀληθῆ τὰ εἰρημένα καὶ λύμη πάντων ἐστὶ τὸ πρᾶγμα καὶ κατάγελως ἔσχατος, ὑμῶν αὐτῶν φείσασθε τῆς τοῦ σώματος ῥώσεως, τῆς κατὰ ψυχὴν ὑγιείας. Οὐ λέγω πρὸς σκληραγωγίαν ἑαυτοὺς ἀγαγεῖν, ἂν μὴ βουληθείης· τὸ περιττὸν ἀνέλωμεν, τὸ τῆς χρείας ἔξω περικόψωμεν. Ποίαν γὰρ συγγνώμην ἔχομεν, ὅταν ἕτεροι μὲν μηδὲ τῆς χρείας ἀπολαύωσι κύριοι ὄντες, ἡμεῖς δὲ καὶ ὑπὲρ τὴν χρείαν ὁδεύωμεν; Ὅρος ἡμῖν ἔστω τροφῆς τὸ μὴ βλάπτον, τὸ παῦσαι πεινῶντας χωρὶς βλάβης δυνάμενον, περαιτέρω δὲ μηδὲν ἐπιζητῶμεν· μᾶλλον δὲ εἰ χρή τι θαυμαστὸν εἰπεῖν καὶ παρὰ τὴν τῶν πολλῶν ὑπόληψιν, ἀληθὲς δέ, εἰ καὶ ἡδονὴν ἐπιζητοῦμεν, ἐν αὐταρκείᾳ ταύτην μᾶλλον ἢ ἐν τρυφῇ οὖσαν εὑρήσομεν. Ἄκουσον πῶς αὕτη μείζων ἐκείνης ἐστὶν ἡ ἡδονὴ καὶ εὐπορωτέρα. Ἡ μὲν γὰρ οὐδὲ συστῆναι δύναται λοιπόν, οὐδὲ εὑρίσκει φύσιν βρωμάτων ἐπιτηδείαν αὐτῇ, ἡ δὲ καὶ ἐξ ἐναντίων συνίστασθαι δύναται. Τίς τοῦτό φησιν; Ὁ μάλιστα πάντων αὐτῆς ἀπολελαυκώς. «Ψυχῇ», γάρ φησιν, «ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκεῖα φαίνεται· ψυχὴ ἐμπεπλησμένη κηρίοις ἐμπαίζει». Ὁρᾷς πῶς ἐκείνην μὲν καὶ ἐξ ὀλίγων καὶ ἐκ πάντων συστῆναι ῥᾴδιον, ταύτην δὲ οὐδαμῶς; Εἰ γὰρ τὰ κηρία μὴ προσιέμεθα, τί γένοιτο ἂν ἡμῖν ἡδὺ λοιπόν; εἰ τὸ πάντων γλυκύτατον οὐκ ἂν δύναιτο παρέχειν ἡδονήν, ποῖον ἔσται τὸ δυνάμενον ποιῆσαι ἐν ἡδονῇ;

3. Ὥστε, εἰ ἡδονὴν ἐπιζητοῦμεν, ἐνταῦθα μᾶλλον εὑρήσομεν. Πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας τὴν μὲν ἡδονὴν καὶ ὑγίειαν καὶ πάντα

4. Παροιμ. 27,7.

συμβῆ νὰ καθήση ἐπάνω σ' αὐτά, ὅσο τὰ ἀνατρέπει ὅλα καὶ τὰ καταστρέφει ἡ ἐπιθυμία τῆς τρυφῆς. Γιατὶ ἡ ἐπιβουλὴ τῶν θηρίων ἐκείνων φθάνει μέχρι τὸ σῶμα, ἐνῶ ἡ τρυφή, ὅταν γίνη μόνιμη κατάσταση, μαζὶ μὲ τὸ σῶμα καταστρέφει καὶ τὴν ψυχή.

Γι' αὐτὸ ἂς φεύγουμε μακριὰ ἀπὸ αὐτήν· τὰ λέγω αὐτὰ σὲ ἀνθρώπους φρονίμους. Ἂν ὑπάρχη σ' αὐτὴν κάτι τὸ καλό, τότε ἂς μὴ τὰ δεχθοῦμε τὰ λόγια αὐτὰ καὶ ἂς μὴ πεισθοῦμε, ἂν ὅμως εἶναι ἀληθῆ τὰ ὅσα λέχθηκαν καὶ εἶναι αὐτὴ καταστροφὴ τῶν πάντων καὶ ὁ χειρότερος κατάγελως, λυπηθῆτε τὸν ἴδιο τὸν ἑαυτό σας, τὴν εὐρωστία τοῦ σώματός σας καὶ τὴν ψυχική σας ὑγεία. Δὲν λέγω, ἂν δὲν θέλετε, νὰ ὑποβάλετε τὸν ἑαυτό σας σὲ σκληραγωγία· τὸ περιττὸ ἂς ἀπορρίψουμε, ἐκεῖνο ποὺ δὲν χρειάζεται ἂς περικόψουμε. Γιατὶ ποιά συγγνώμη θὰ ἔχουμε, ὅταν ἄλλοι μποροῦν καὶ δὲν ἀπολαμβάνουν οὔτε καὶ τὰ ἀναγκαῖα, ἐνῶ ἐμεῖς προχωροῦμε καὶ πέρα ἀπὸ τὰ ἀναγκαῖα; Ὅριο στὴ τροφή μας ἂς εἶναι ἐκεῖνο ποὺ δὲν βλάπτει, ἐκεῖνο ποὺ μπορεῖ νὰ σταματήση τὴν πεῖνα μας χωρὶς νὰ μᾶς βλάψη, καὶ τίποτε τὸ ἐπὶ πλέον νὰ μὴ ζητοῦμε. Ἢ καλύτερα, ἂν πρέπει νὰ πῶ κάτι τὸ ἀξιοθαύμαστο καὶ ποὺ δὲν συμφωνεῖ μὲ τὴν ἀντίληψη τῶν πολλῶν, ἀλλ' ὅμως εἶναι ἀληθές, ἐὰν ἐπιθυμοῦμε τὴν ἡδονή, θὰ βροῦμε αὐτὴν νὰ ὑπάρχη στὴν αὐτάρκεια μᾶλλον παρὰ στὴν τρυφή. Ἄκουσε πῶς ἡ ἡδονὴ αὐτὴ εἶναι μεγαλύτερη ἀπὸ ἐκείνην καὶ δυνατότερη. Ἡ ἡδονὴ δηλαδὴ τῆς τρυφῆς δὲν εἶναι δυνατὸ νὰ ἐπιτευχθῆ, οὔτε καὶ βρίσκει πρὸς τὸ σκοπὸ αὐτὸ κατάλληλη τὴ φύση τῶν τροφῶν, ἐνῶ ἡ ἡδονὴ τῆς αὐτάρκειας μπορεῖ νὰ ἐπιτευχθῆ καὶ ἀπὸ ἀντίθετα πράγματα. Ποιός τὸ λέγει αὐτό; Ἐκεῖνος ποὺ τὴν ἀπόλαυσε περισσότερο ἀπ' ὅλους. Γιατὶ λέγει· «στὸν πεινασμένο ἄνθρωπο καὶ τὰ πικρὰ ἀκόμη φαίνονται γλυκά· ἐνῶ ἄνθρωπος χορτασμένος μὲ τὸ παραπάνω περιφρονεῖ καὶ τὴν κηρήθρα»[4]. Βλέπεις ὅτι ἡ ἡδονὴ τῆς αὐτάρκειας εἶναι εὔκολο νὰ προέλθη καὶ ἀπὸ τὰ ὀλίγα καὶ ἀπὸ ὅλα, ἐνῶ τῆς τρυφῆς δὲν ὑπάρχει καθόλου; Γιατί, ἂν δὲν μᾶς εὐχαριστοῦν οἱ κηρῆθρες, τί θὰ μποροῦσε πλέον νὰ μᾶς εἶναι γλυκύ; Ἂν αὐτὸ ποὺ εἶναι τὸ πιὸ γλυκὺ ἀπὸ ὅλα, δὲν μπορεῖ νὰ μᾶς προσφέρη ἡδονή, ποιό θὰ εἶναι ἐκεῖνο ποὺ θὰ μπορέση νὰ μᾶς κάνη νὰ νιώσουμε ἡδονή;

3. Ὥστε, ἂν θέλουμε ἡδονή, ἐδῶ κυρίως θὰ τὴ βροῦμε. Πῶς λοιπὸν δὲν εἶναι δεῖγμα τῆς χειρότερης μορφῆς παραλογισμοῦ νὰ ἀπο-

ἔχουσαν τὰ ἀγαθὰ καὶ θεοφιλῆ φεύγειν τράπεζαν, ἑτέραν δὲ κατασκευάζειν μυρίων γέμουσαν συμφορῶν, ἀηδῆ τε καὶ λυπηρὰν καὶ ἐπίνοσον καί, τὸ πάντων χαλεπώτατον, παροξύνουσαν ἡμῶν τὸν Θεόν; Εἰ γὰρ «ἡ χήρα ἡ σπαταλῶσα ζῶσα τέθνηκε», τί ἂν εἴποιμεν περὶ τῶν ἀνδρῶν; εἰ ἐν τῇ Παλαιᾷ τοῦτο ἀπηγόρευται μετὰ πολλῆς τῆς ἀκριβείας, καὶ πολλῇ κέχρηται κατὰ τῶν τρυφώντων καταφορᾷ ὁ προφήτης· καίτοι γε εἶδος τέθεικε τρυφῆς οὐ σφόδρα δαπανηρόν, οὐδὲ ὄντως ἁβρόν· «οἱ δὲ ἐσθίοντες ἐρίφια ἐκ ποιμνίων καὶ μοσχάρια γαλαθηνά, οἱ πίνοντες τὸν διϋλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν»· εἰ ταῦτα κατηγορίας ἄξια, ὅτε πάντα ἦν σαρκικὰ καὶ τοῦ οὐρανοῦ λόγος οὐδείς, ὅτε παιδαγωγία ἦν τὰ ἰουδαϊκά, τί ἂν εἴποιμεν πρὸς τὴν βλακείαν τὴν νῦν; Εἰ γὰρ ἐρίφια καὶ μοσχάρια γαλαθηνὰ ἐσθίειν ὡς ὑγρόν τινα καὶ περιττὸν τοὺς ζῶντας διαβάλλει βίον, τί ἂν εἴποιμεν περὶ τῶν τοὺς μυχοὺς τῆς θαλάσσης διερευνώτων καὶ τὰς ἐσχατιὰς τῆς γῆς, παντοδαποὺς ὀρνίθων καὶ ἰχθύων θηρευτὰς πανταχόθεν συλλεγόντων ἑαυτοῖς; Εἰ τὸν διϋλισμένον οἶνον οἱ πίνοντες ἐν μέμψει, τί ἂν εἴποις πρὸς τοὺς ἀποδημίας διαποντίους στελλομένους ὑπὲρ οἴνου, καὶ πάντα κινοῦντας, ὥστε μηδὲν γένος διαλαθεῖν ἀμπέλου, καθάπερ μέλλοντας εὐθύνας διδόναι, ἢ ἐπὶ τοῖς ἐσχάτοις καταγινώσκεσθαι, εἰ μὴ παντὸς γένους ἐμφορηθεῖεν οἴνου; Εἰ ἐλέφαντος κλίνῃ κεχρῆσθαι κατηγορίας ἄξιον, οἱ πολὺν αὐταῖς περιβάλλοντες ἄργυρον, μᾶλλον δὲ ἐξ ἀργύρου μόνου χαλκεύοντες, οὐ κλίνας, ἀλλ' ἤδη καὶ ὑπόβαθρα καὶ λέβητας καὶ κεράμια καὶ ἀμίδας, ποίας ἂν τύχοιεν συγγνώμης; Τί μικρὸν ἢ μέγα εἰπεῖν εἰς τὰς εὐθύνας ἐκείνας δυνήσονται;

Ἐγὼ δὲ τούτοις προστίθημι τὸ πάντων χαλεπώτατον, ὅτι καὶ ἐξ ἀλλοτρίων συμφορῶν ταῦτα συνείλεκται. Καίτοι γε ὁ προφήτης τοῦτο οὐ τέθεικεν, ἀλλὰ μόνον διέβαλε τὴν τρυφήν. Ὅταν δὲ καὶ

5. Α' Τιμ. 5,6.
6. Ἀμὼς 6,4–6.

φεύγουμε τὴν τράπεζα ποὺ μᾶς προσφέρει καὶ ἡδονὴ καὶ ὑγεία καὶ ὅλα τὰ ἀγαθὰ καὶ εἶναι καὶ θεοφιλής, καὶ νὰ ἐπινοοῦμε ἄλλην, γεμάτη ἀπὸ μύριες συμφορὲς καὶ ποὺ προκαλεῖ ἀηδεία καὶ λύπη καὶ νοσήματα καί, τὸ φοβερώτερο ἀπ' ὅλα, ποὺ ἐξοργίζει τὸν Θεό; Γιατί, ἂν «ἡ χήρα ποὺ σπαταλᾶ τὰ χρήματα στὶς ἀπολαύσεις ἔχῃ πεθάνει, ἂν καὶ ζῇ ἀκόμη»[5], τί θὰ μπορούσαμε νὰ ποῦμε γιὰ τοὺς ἄνδρες; ἂν αὐτὸ ἔχῃ ἀπαγορευθῆ στὴν Παλαιὰ Διαθήκη τόσο αὐστηρά, καὶ ὁ προφήτης καταφέρεται μὲ σφοδρότητα ἐναντίον ἐκείνων ποὺ κάμνουν τρυφηλὴ ζωή, ἂν καὶ βέβαια ὥρισε ἕνα εἶδος τρυφῆς, ποὺ δὲν εἶναι πολὺ δαπανηρὸ οὔτε πράγματι ἀβρό, γιατὶ λέγει· «σεῖς ποὺ τρῶτε ἐρίφια ἀπὸ τὰ ποίμνια καὶ μοσχάρια τοῦ γάλακτος, ποὺ πίνετε τὸ ἐκλετὸ διϋλισμένο κρασὶ καὶ ἀλείφεσθε μὲ τὰ καλύτερα ἀρώματα, ποὺ κοιμᾶσθε σὲ κρεββάτια ἐλεφάντινα καὶ κατασπαταλᾶτε χρήματα γιὰ στρώματα καὶ σκεπάσματα»[6]· ἂν αὐτὰ ἦταν ἄξια κατηγορίας, σὲ μιὰ ἐποχὴ ποὺ ὅλα ἦταν σαρκικὰ καὶ κανένας λόγος δὲν γινόταν γιὰ τὸν οὐρανό, ὅταν τὰ ἰουδαϊκὰ χρησίμευαν γιὰ παιδαγωγία, τί θὰ μπορούσαμε νὰ ποῦμε γιὰ τὴ σημερινὴ βλακεία; Γιατί, ἂν ἐκείνους ποὺ τρώγουν ἐρίφια καὶ μοσχάρια γάλακτος τοὺς κατηγορῇ σὰν νὰ κάμνουν μιὰ ζωὴ φιλήδονη καὶ περιττή, τί θὰ μπορούσαμε νὰ ποῦμε γιὰ ἐκείνους ποὺ ἐρευνοῦν τοὺς μυχοὺς τῶν θαλασσῶν καὶ τὶς ἐσχατιὲς τῆς γῆς, κυνηγώντας παντὸς εἴδους πουλιὰ καὶ ψαρεύοντας γιὰ τὸν ἑαυτό τους ἀπὸ παντοῦ ψάρια; Ἂν ψέγωνται ἐκεῖνοι ποὺ πίνουν ἐκλεκτὸ διϋλισμένο κρασί, τί θὰ μποροῦσες νὰ πῆς γιὰ ἐκείνους ποὺ στέλλονται σὲ ταξίδια ὑπερπόντια γιὰ κρασὶ καὶ κάμνουν τὸ κάθε τι, ὥστε νὰ μὴν τοὺς διαφύγῃ κανένα εἶδος κρασιοῦ, σὰν νὰ ἐπρόκειτο νὰ λογοδοτήσουν ἢ νὰ καταδικασθοῦν μὲ τὴ χειρότερη τιμωρία, ἂν δὲν πιοῦν ὑπέρμετρα ὅλα τὰ εἴδη τῶν κρασιῶν; Ἂν ἦταν ἄξιο κατηγορίας ἡ χρησιμοποίηση ἐλεφάντινων κλινῶν, ἐκεῖνοι ποὺ τὶς ἐπενδύουν μὲ πολὺ ἄργυρο, ἢ καλύτερα ποὺ κατασκευάζουν ἐξ ὁλοκλήρου ἀπὸ ἄργυρο, ὄχι μόνο κλίνες, ἀλλὰ καὶ ὑπόβαθρα καὶ λέβητες καὶ ἀγγεῖα καὶ οὐροδοχεῖα, ποιά συγγνώμη θὰ ἐπιτύχουν; Τί θὰ μπορέσουν, μικρὸ ἢ μεγάλο, νὰ ποῦν κατὰ τὴ λογοδοσία ἐκείνη;

'Αλλ' ἐγὼ προσθέτω σ' ὅλα αὐτὰ καὶ τὸ φοβερώτερο ἀπ' ὅλα, ὅτι δηλαδὴ ὅλα αὐτὰ ἐξασφαλίζονται καὶ ἀπὸ ξένες συμφορές. Ἂν καὶ βέβαια ὁ προφήτης δὲν εἶπε κάτι τέτοιο, ἀλλὰ μόνο κατηγόρη-

αἰτία προσῇ χαλεπωτέρα τῆς τρυφῆς, τίς ἐξαιρήσεται τοὺς τὰ τοιαῦτα ποιοῦντας τῆς ἐσχάτης κολάσεως; ποῖος Νῶε παραστήσεται, ποῖος Ἰώβ, ποῖος Δανιήλ; Οὐκ ἔστιν οὐδείς. Ἀλλ' ἐπὶ τούτων ἐστὶν εἰπεῖν, «ἐκκαυθήσεται ὁ θυμός μου ὡσεὶ καπνός». Οὐ γάρ ἐστι, παρακαλῶ, θυμοῦ καὶ ὀργῆς ὄντως ἐμπλησθῆναι ἐσχάτης, καὶ διαρραγῆναι, ὅταν ἕτερος μὲν μηδὲ ἀναγκαίας ἀπολαύῃ τροφῆς, σὺ δὲ τοσοῦτον εἰκῇ καὶ μάτην χαλκεύῃς ἄργυρον εἰς οὐδὲν δέον, ἀλλ' οὐδὲ πρὸς ἐπίδειξιν; Οὐδὲ γὰρ πρὸς αὐτὸ τοῦτο χρήσιμον ἔσται σοι, ἀλλ' εἰς τοὐναντίον περιτραπήσεται. Σὺ μὲν γὰρ ὥστε ἐπιφανὴς καὶ ἐπίσημος γενέσθαι τοῦτο ποιεῖς, συμβαίνει δὲ τοὐναντίον. Οὐ γὰρ εἶ τις ἐπιφανὴς καὶ ἐπίσημος, ἀλλ' ἐπὶ ὠμότητι καὶ πλεονεξίᾳ καὶ τοῖς ἐσχάτοις κακοῖς ἅπαντές σε διαβάλλουσι. Πόσος γὰρ ὁ φθόνος, πόση ἡ βασκανία, πόσον τὸ μῖσος παρὰ πάντων, πόση ἡ μεταβολῆς ἐπιθυμία πᾶσι; Τὰς γὰρ εἰς τὸν Θεὸν βλασφημίας ἀφίημι, ἃς οἱ τοιοῦτοι πλοῦτοι τίκτουσι· καίτοι τοῦτο πάντων χαλεπώτερον· καὶ τὸ πρὸ τούτου, καὶ ὅπερ ἂν εἴπῃς, θάτερον θατέρου χεῖρον εὑρήσεις.

Ἀλλ' οὐχὶ τὴν σύμμετρον καὶ μετρίαν οὖσαν ἡμῖν, ἣν οὐ προφήτης σκώπτει, οὐκ ἄνθρωπος μέμφεται, οὐ Θεὸς αἰτιᾶται, οὐ πῦρ κολάζει, οὐκ ἀποστρέφεταί τις, οὐ μισεῖ, οὐ βασκαίνει ἀλλ' ἀποδέχεται μὲν Θεός, κοινωνοῦσι δὲ ἄγγελοι, ἐπαινοῦσι δὲ ἄνθρωποι καὶ δέχεται οὐρανός. Αὗται αἱ τράπεζαι ἀγγέλους ἐδέξαντο· ταύταις ὁ Χριστὸς παραγίνεται, οὐκ ἐν ἐκείναις. Τοιαῦται αἱ τῶν προφητῶν ἦσαν, τοιαῦται αἱ τῶν ἀποστόλων, τοιαῦται αἱ τῶν δικαίων. Αἱ δὲ τῶν τυράννων καὶ τῶν ἐπὶ γῆς κακῶς πλουτούντων, ἔχουσαι ὀρχηστὰς καὶ τοὺς ἄλλους τῶν ἐπὶ λύμῃ τοῦ βίου ζώντων καὶ λῃστῶν καὶ γοήτων καὶ τυμβωρύχων, ἐκεῖναι. Ὅταν τοιαύτην παραθῇς τράπεζαν, ἄγγελος μὲν ἀποπηδᾷ, παροξύνεται δὲ Θεός, χαίρει δὲ ὁ τῶν δαιμόνων ἀρχηγός, ἀποστρέφονται δὲ καὶ μισοῦσι καὶ τήκονται, οὐχ οἱ ἐχθροὶ μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ δοκοῦντες ἔχειν

7. Ἡσ. 65,5.

σε τὴν τρυφή. Ὅταν ὅμως μαζὶ μ' αὐτὰ ὑπάρχη καὶ αἰτία χειρότερη ἀπὸ τὴν τρυφή, ποιός θὰ γλυτώση ἀπὸ τὴν χειρότερη κόλαση ἐκείνους ποὺ κάμνουν αὐτά; Ποιός Νῶε θὰ παρασταθῆ, ποιός Ἰώβ, ποιός Δανιήλ; Δὲν ὑπάρχει κανείς. Ἀλλὰ γι' αὐτοὺς μπορεῖ νὰ λεχθῆ αὐτό· «θ' ἀνάψη καὶ θὰ φουντώση ὁ θυμός μου σὰν καπνός»[7]. Δὲν πρέπει, σᾶς παρακαλῶ, ν' ἀνάψη ἀπὸ ὀργὴ καὶ θυμὸ καὶ νὰ διαρραγῆ, ὅταν ὁ ἄλλος δὲν ἀπολαμβάνη οὔτε τὴν ἀναγκαία τροφή, ἐνῶ σὺ χρησιμοποιεῖς τόσο ἄσκοπα καὶ ἀνώφελα τὸν ἄργυρο σὲ κατασκευὲς ποὺ δὲν εἶναι καθόλου ἀναγκαῖες, ἀλλ' οὔτε σοῦ χρησιμεύει καὶ γιὰ ἐπίδειξη; Γιατὶ οὔτε καὶ γιὰ τὸν σκοπὸ αὐτὸν θὰ σοῦ εἶναι χρήσιμος, ἀλλὰ θὰ μετατραπῆ αὐτὸ στὸ ἀντίθετο. Σὺ δηλαδὴ τὸ κάμνεις αὐτὸ γιὰ νὰ γίνης ὀνομαστὸς καὶ σπουδαῖος, συμβαίνει ὅμως τὸ ἀντίθετο. Γιατὶ δὲν γίνεσαι μ' αὐτὸ ὀνομαστὸς καὶ σπουδαῖος, ἀλλ' ὅλοι σὲ κατηγοροῦν γιὰ σκληρότητα καὶ πλεονεξία καὶ γιὰ τὰ χειρότερα κακά. Πόσος εἶναι πράγματι ὁ φθόνος, πόση ἡ μοχθηρία, πόσο τὸ μῖσος ὅλων καὶ πόση σ' ὅλους ἡ ἐπιθυμία μεταβολῆς; Ἀφήνω δηλαδὴ κατὰ μέρος τὶς βλασφημίες ἐναντίον τοῦ Θεοῦ ποὺ γεννοῦν τὰ πλούτη τοὺ εἴδους αὐτοῦ, ἂν καὶ βέβαια αὐτὸ εἶναι τὸ χειρότερο ἀπὸ ὅλα. Καὶ τὸ πρὶν ἀπ' αὐτὸ καὶ ὅποιο κι ἂν πῆς, θὰ βρῆς ὅτι τὸ ἕνα εἶναι χειρότερο ἀπὸ τὸ ἄλλο

Δὲν εἶναι ὅμως τέτοια ἡ δική μας ἡ πρέπουσα καὶ μέτρια τράπεζα, τὴν ὁποία οὔτε προφήτης κατακρίνει, οὔτε ἄνθρωπος μέμφεται, οὔτε ὁ Θεὸς κατηγορεῖ, οὔτε τὸ πῦρ τὴν κολάζει, δὲν τὴν ἀποστρέφεται κανείς, δὲν τὴν μισεῖ, δὲν τὴν φθονεῖ, ἀλλὰ τὴν ἀποδέχεται ὁ Θεός, μετέχουν σ' αὐτὴν ἄγγελοι, τὴν ἐπαινοῦν οἱ ἄνθρωποι καὶ τὴν δέχεται ὁ οὐρανός. Αὐτὲς οἱ τράπεζες δέχθηκαν ἀγγέλους· σ' αὐτὲς ἔρχεται ὁ Χριστὸς καὶ ὄχι σὲ ἐκεῖνες. Τέτοιες ἦταν οἱ τράπεζες τῶν προφητῶν, τέτοιες τῶν ἀποστόλων, τέτοιες τῶν δικαίων. Ἐνῶ οἱ τράπεζες τῶν τυράννων καὶ ἐκείνων ποὺ πλουτοῦν ἐδῶ στὴ γῆ μὲ τρόπους κακούς, ἔχουν χορευτὲς καὶ ὅλους τοὺς ἄλλους ποὺ ζοῦν γιὰ νὰ βλάπτουν τοὺς ἀνθρώπους, ληστὲς δηλαδὴ καὶ μάγους καὶ τυμβωρύχους. Ὅταν παραθέσης μιὰ τέτοια τράπεζα, ὁ ἄγγελος φεύγει, ὁ Θεὸς ἐξοργίζεται, ἐνῶ ὁ ἀρχηγὸς τῶν δαιμόνων χαίρεται, ὅμως τὴν ἀποστρέφονται καὶ τὴν μισοῦν καὶ τὴν φθονοῦν ὄχι μόνο οἱ ἐχθροί, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ φαίνονται βέβαια φιλικοί, κατατρώγονται ὅμως πιὸ πολὺ ἀπὸ τὸ φθόνο, παρὰ ἀπολαμβάνουν τὰ παρό-

ἐπιτηδείως ἄνθρωποι, φθόνῳ μᾶλλον ἐσθιόμενοι, ἢ τῶν παρόντων ἀπολαύοντες. Ὅταν δὲ ἐκείνην τις παραθῇ, τὴν σώφρονα καὶ σύμμετρον καὶ οὐδεμίαν ἔχουσαν φλεγμονήν, καὶ ἡδίστη καὶ προσηνὴς ᾖ πᾶσι τοῖς φίλοις καὶ Θεῷ καὶ ἀγγέλοις καὶ ἀνθρώποις· παραγίνεται οὖν ὁ τοῦ Θεοῦ Μονογενής. Ὥσπερ γὰρ φεύγει τὸν τῦφον καὶ τὸν ὑψηλόφρονα ἅπαντα καὶ τὸν θόρυβον, οὕτω τῷ ταπεινῷ φίλος ἐστὶ καὶ σύνεστιν ἀεὶ καὶ πάντα περιφράττει καὶ τειχίζει πανταχόθεν. Τοῦ δὲ Χριστοῦ παραγινομένου, οὐδὲν ἕτερον ἐπιζητεῖν χρή.

Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, φεύγωμεν ἐκεῖνα, διώκωμεν ταῦτα, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ντα ἀγαθά. Ὅταν ὅμως κάποιος παραθέση τὴν σώφρονα καὶ πρέπουσα ἐκείνη τράπεζα, ποὺ δὲν ἔχει καμμιὰ περιττὴ πολυτέλεια, εἶναι σ' ὅλους τοὺς φίλους καὶ εὐχάριστη καὶ καταδεκτική, ἀλλὰ καὶ στὸν Θεὸ καὶ στοὺς ἀγγέλους καὶ στοὺς ἀνθρώπους, εἶναι δηλαδὴ παρὼν ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Γιατί, ὅπως ἀκριβῶς ἀποφεύγει τὴν ἔπαρση καὶ τὸν κάθε ὑπερήφανο καὶ τὸν θόρυβο, ἔτσι καὶ στὸν ταπεινὸ εἶναι φίλος καὶ βρίσκεται πάντοτε κοντά του, περιφράσσοντας ὅλα γύρω του καὶ περιτειχίζοντάς τον ἀπὸ παντοῦ. Κι ὅταν ὁ Χριστὸς εἶναι παρών, δὲν πρέπει νὰ ζητοῦμε τίποτε ἄλλο.

Γνωρίζοντας λοιπόν, ἀγαπητοί, αὐτά, ἂς ἀποφεύγουμε ἐκεῖνα κι ἂς ἐπιδιώκουμε αὐτά, ὥστε νὰ ἐπιτύχουμε καὶ τὰ παρόντα καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸν στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα στὴ σελίδα ἁπλῶς ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

Γένεσις

Ἔξοδος

Λευϊτικὸν

Ἀριθμοὶ

Δευτερονόμιον

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Β

Γ

Δ

Π

Ρ

Σ

Τ

Υ

Φ

ΠΕΡΙΕΧΟΜΕΝΑ